3.123 Βαλ

Η ΛΟΓΙΚΗ

ΕΚ ΠΑΛΑΙΩΝΤΕ ΚΑΙ ΝΕΩΤΕΡΩΝ
ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ.

Ὑπὸ

ΕΥΓΕΝΙΟΥ ΔΙΑΚΟΝΟΥ
ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ.

Ἧς Προτέτακται

ΑΦΗΓΗΣΙΣ ΠΡΟΕΙΣΟΔΙΩΔΗΣ

Περὶ

Ἀρχῆς καὶ Προόδε τῆς κατὰ τὶω Φιλοσοφίαν Ἐνσάσεως,

Καὶ

ΠΡΟΔΙΑΤΡΙΒΑΙ ΤΕΤΤΑΡΕΣ ΕΙΣΑΓΩΓΙΚΑΙ

Εἰς ἅπασαν ἐν γένει τὴν Φιλοσοφίαν Προτελεσικαί.

Ἐκδοθεῖσα

ΣΠΟΥΔΗΤΕ ΚΑΙ ΦΙΛΟΤΙΜΩ ΔΑΠΑΝΗ

τῦ Ἐλλογιμωτάτε καὶ Ἐξοχωτάτε ἐν Ἰατροφιλοσόφοις

ΚΥΡΙΟΥ

ΘΩΜΑ ΜΑΝΔΑΚΑΣΟΥ

τῦ ἐκ Καστορίας.

Ἐν Λειψίᾳ τῆς Σαξονίας
ἐν τῇ Τυπογραφίᾳ τῦ Βρειτκόπφ. Ἔτει ᾳψξϛ.

ΒΙΒΛΙΟΘΗΚΗ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ 9976 28 ΜΑΙ 1958

ΠΟΛΙΤΙΚΗ

Τῷ

ΥΨΗΛΟΤΑΤΩ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΩ ΑΥΘΕΝΤΗ

ΚΥΡΙΩΜΟΙ ΚΥΡΙΩ

ΓΡΗΓΟΡΙΩ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑ ΒΟΕΒΟΔΑ

Τῷ Μεγαλοπρεπεσάτῳ Ἡγεμόνι πάσης Μολδοβλαχίας.

Καὶ τοῦτο ἆρα, ὡς ἔνιοι τῶν καλῶς καὶ δεόντως νομιζομένων προσκυρώσας ὁ πολὺς ἔοικε χρόνος. Ὧν γὰρ ἂν

λόμενον. Καὶ τοτὶ μὲν ἴσ' ὅτι κατ' ὀφειλὴν τῇ ΣΗ Προσῆκε ΜΕΓΑΛΕΙΟΤΗΤΙ τὸ ἀνάθημα, ἀδεὶς οἶμ' ἔσαι, ὃς οὐχὶ ταυτὰ τῇ Δέλτῳ, ὅτω γιγνωσκόσῃ συμφθέγξεται· Οὔκουν ὅτῳ ἂν καὶ μέλον εἴη, εἶναιτε καὶ φαίνεσθαι δίκαιον. Τίνι γὰρ ἂν ἄλλῳ δικαιότερόν τις ἀναθείη, εἴποτέ τι περὶ λόγος ἔχε μικρὸν, ἢ μεῖζον φιλοτιμήσασθαι, ἢ Ἀνδρὶ τοιούτῳ, ὃς πάντος μὲν ἄλλος τὸν τῆς Ἀρετῆς πλοῦτον ὑπερηγάσατο; Περιέπειν δὲ, καὶ περιποιεῖσθαι χαίρει, καὶ εἴτῳ ἂν αὐτῆς ἔραχύτι ἴχνος, καὶ ἀμυδρὸν ἀποσκίασμα ἐμφαντάζοιτο; Σεμνύνεσθαι δὲ καὶ ἐγκομβοῦσθαι τὸν ἐξ αὐτῆς κόσμον, ὑπὲρ πᾶν ὅ, τι σεμνὸν καὶ τίμιον τῶν ἐν τῷ βίῳ προϊέμενος; ΣΟΙ γὰρ ἂν, καὶ ἀπὸ τῶν ἄλλων ἀγαθῶν, ἐν πολλοῦ τοῦ περιόντος ἐγκοσμεῖσθαι πάρεστι καὶ γάννυσθαι, ὡς οὐδ' ἂν ἔχοιτις εἰπεῖν

τῶν

τῶν εὑροόντων τοῖς πράγμασιν ἕτερον, ἐν τοῖς νῦν Ἕλλησι. Καὶ πᾶσιν ἀρίζηλον τὸ τῶν ΓΚΙΚΑΔΩΝ ἐσὶ ΓΕΝΟΣ τὸ ΣΟΝ, ὡς μηδὲν μᾶλλον δεῖσθαι τᾶ δείξοντος, ἢ ἐν σαθερᾷ μεσημβρίᾳ τοῖς ὁρᾶν δυναμένοις τὸν ἥλιον· Ἀλλὰ γὰρ ἀπὸ τῶν ἔτω καί τοι Ἐνδόξων· καὶ βασιλείοις μὲν τιμαῖς, βασιλικαῖς δὲ λειτργίαις, Ὑπαρχικοῖς δὲ Θρόνοις ἐκ μακρᾶ διαπρεψάντων ὁρμώμενος· Καὶ ἐκ μὲν τᾶ Μεγάλα ἐξ Ἀποῤῥήτων ΑΛΕΞΑΝΔΡΟΥ Φὺς, (οἵα Φεῦ καὶ ἡλίκα Ἀνδρὸς! Φεῦ ὡς ἀνάξια σαθόντος, καὶ ὅσην μὲν τὴν εὔκλειαν, ὅσον δὲ τὸν μετάμελον, ὅσον δὲ τὸν πόθον καλαλελοιπότος καὶ αὐτοῖς τοῖς δράσασιν!) ἀχθεὶς δὲ ὡς ὑπὸ σαλεὶ ἄλλῳ καὶ τῷ πρὸς Παλρὸς ΣΟΥ θείῳ ΓΡΗΓΟΡΙΩ ἐκείνῳ τῷ σάνυ (ὅπερ ἐπὶ τῇ ἀξιαγάσῳ ἀμφοῖν τῶν Ἡγεμονιῶν διοικήσει τὸ

κλέος ἄληστον καὶ ἀΐδιον ὁ ἐς ἀεὶ παραπέμψει χρόνος.) ὑπὸ δὴ τοιούτων, φημὶ, καὶ τηλικούτων γενόμενος, οὐχ οὕτω πρὸς τὸ λαμπρὸν ἀπεῖδες τοῦ Γένους, ὡς ἐπὶ τὴν Ἀρετὴν ἔβλεψας τὴν ἐκείνων. Ταῦτα τοι καὶ τὴν ἀμφοῖν Σπάρταν ἐν μέρει κοσμῆσαι λαχὼν, ἀμφοτέρων ἀπεμάξω καὶ τῶν πλεονεκτημάτων τὰ κάλλιστα· Καὶ ὧν ἂν οὐδὲ παρὰ μέρος τις τοῦ ἑτέρου, οὐδ' ἐγγὺς γενέσθαι τῇ μιμήσει ἐλπίσειε, τούτων αὐτὸς ἑκατέρου, Πινδαρικῶς εἰπεῖν, ἀπεδρέψω τὸ ἄκρον ἄωτον· θάτερόν τε ταῖς θατέρου ὑπερβαλὼν ἀρεταῖς, καὶ τοῖς δυσὶν οἷος φανεὶς ἰσοστάσιος, μῆτιν τε καὶ πρᾶξιν ἀτεχνῶς ἀτάλαντος, ἤδη καὶ εἰς τὸ ὑπερβαλέσθαι, καὶ κατόπιν λιπεῖν ἐντέτασαι, φύσεώς τε ὑπερφυεῖ δυνάμει, καὶ γνώμης παραστήματι ἐξαισίῳ, καὶ προθυμίας τόνῳ ἀπαραμίλλου ἐν ἅπασι χρώμενος. Οὐκοῦν

καὶ

καὶ ὃν πολὲ τὸ Μεγάλε Βασιλέως Μέγαν ἔγνωμεν Ὑποβολέα καὶ Διερμηνευτὴν, δαιμονίως τε καὶ ὑπερφυῶς, καὶ ὡς ἂν μάλιστα κεχαρισμένα εἴη αὐτῷ τε τῷ Κραιτῶνι, καὶ τοῖς ἐκ παντὸς Ἔθνες ὡς αὐτὸν διαπρεσβευομένοις ἕκαστα πραγματευόμενον· (Καὶ ταῦτα ἐν καιροῖς χαλεπωτάτοις καὶ πολλὴν ἔχοντι τὴν δυχέρειαν, ἡνίκα ὡς ἐκ παγκόσμιε τινὸς σάσεως τὰ τῆς Εὐρώπης συνεδονεῖτο καὶ ἐκυμαίνετο·) Αὐτὸν ΣΕ τὸ σάλε μικρὸν ὅσον, καὶ μάλα μόγις λωφήσαντος, ἐπὶ τὸν Ὑψηλὸν τῆς Δακίας Θρόνον ἐπαρθέντα καθείδομεν, ὡς ἄρα ἐπὶ τὸς Σαυρομάτας ἐκεῖσε τὸς ὁμόρους, καὶ τὰ περὶ αὐτὸς Γένη, τὸς συγκινεῖσθαι ἤδη ἐπὶ τῇ τὸ παρ' αὐτοῖς κράτος διαδοχῇ ἀρχομένους, τῆς χρείας καλούσης, καὶ τὸν Ἄνδρα ζητούσης, τὸν τοῖς πράγμασι συμμέτρως, τὸ ἐγρηγορὸς καὶ διε-

γηγερμένον τȣ̃ φρονήματος παρεπιδειξόμενον. Ὥςε καὶ σαφῶς ἐντεῦθεν εἶναι τεκμαίρεσθαι, ἅμα μὲν ΣΟΙ τὴν ἀρχὴν, ὡς γέρας ἀξιόχρεων τῶν πρὶν ὑπȣργηθέντων ἐπιβραβευθῆναι, ἅμα δὲ καὶ πρὸς διακονίας ἄλλης ἐγχειρισθῆναι ἐκπλήρωσιν, ἀνθ' ἧς ἀξιοπρεπῶς καὶ ταύτης ἐξυπηρετηθείσης, εἰκός ΣΕ καὶ μείζονα καὶ τελεωτέραν ἔτι παρὰ τȣ̃ Βασιλέως ἐκδέξεσθαι τὴν ἀντίδοσιν. Καὶ τȣτὶ μὲν ȣ̓́τω προεκφοιβάζει ἡ παρ' ἐμοὶ Μαντική· Οἱ δὲ καλοὶ κἀγαθοὶ Δάκαι, οἷς ἔμελλε νῦν ὑπὸ ΣΟΙ ΔΕΣΠΟΤΗ καὶ ΗΓΕΜΟΝΙ μακαρίοις εἶναι καὶ τρισευδαίμοσι, τὸν ἐμὸν τȣ̃τον Ὄρνιν εὖ οἶδ' ὅτι ὡς πορρωτάτω ἀποσοβήσȣσιν. Εἰκότως· Πῶς γὰρ ȣ̓ κατ' εὐχὴν αὐτοῖς ἔςαι, ὧν ἂν εὔξαιντο μεγίςην ἁπασῶν καὶ πρώτην, τὸ ἐπὶ πλεῖςον ὅσον καὶ μήκιςον σφίσιτε παραταθῆναι, καὶ παισὶν αὐτῶν εἴπερ

ἐνῆν,

ἐνῆν, καὶ παισὶ παίδων, τὰς χρυσέας ἔννας, ὧν ἐξ εὐκληρίας νῦν ἀπολαύσσι; Πότε γὰρ ἐξ ὅτυγε εἰς τῦτο χήμαλος αὐτοῖς περιῆλθε τὰ πράγματα, ἤτοι ἄμεινον τὰ κατ' αὐτὰς διῳκήθη; ἢ ἐπεῖδεν ἐπὶ τὸ λυσιτελέστερον; ἢ πρὸς τὸ κρεῖττον προήχθηλε καὶ ἐπέδωκε; Πότε γὰρ ἄμεινον ἢ νῦν, Νόμοιλε οἱ παρ' αὐτοῖς, ἐγένοντο κύριοι, καὶ δίκη ἀδεκάστως τὴν εὐθύτηλα πρυτανεύσσα, πρόνοιά τε ἡ τῷ ὅλι Ἡγεμονικὴ, καὶ ἡ Πατρικὴ ἄνλιπρυς κηδεμονία ἡ πανλαχῆ ἀκάμανλον τὸν ὀφθαλμὸν ἐπιπέμπτσσα, ὅπως καὶ πᾶσι, καὶ μικροῖς, καὶ μείζοσι τὸ μέρος τῆς ἀδείας τε καὶ ἀσφαλείας μελέσελαι; Ταῦτα γᾶν τοῖς πᾶσι τεθρύλληλαι, καὶ ὁ μὴ συνομολογῶν οἶμαι ἂν ἔσιν ἀδείς· Εἰδέτις καὶ γένοιτο, (ἀδὲ γὰρ Ζεὺς αὐτὸς πᾶσι τὸ τᾶ ἔπτς ἀνδάνει, ἄθ' ὕων, ἄτε νίφων.) ἀλλ' ἡ μὲν παροιμία κω-

φὸν

Φὸν ἐρεῖ τὸν μὴ ϛόμα τῷ Ἥρωϊ παραβάλλοντα· αὐτοῖς δ' ἐκεῖνος Κωφίας τις ἀτεχνῶς ἔϛαι ὁ αὐτὸς ἡμῖν καὶ Τυφλίας, ἰὸν μὲν, καὶ πικρίαν ἐξεμέσαι, καὶ σκολιῶς ἕρψαι, δεξιῶς εὖ μάλα ἐκ τῆς περιούσης οἱ διαθέσεως παρεσκευασμένος, μήθ' ὁρᾷν δὲ, μηδ' ἀκούειν ὑπὸ τοῦ ἐντετηκότος συγχωρούμενος πάθους, μηδὲ τὰς τῆς διανοίας προόδους εὐθείας ποιεῖν δυνάμενος. Καὶ οὗτος μὲν οὕτως· Τοῖς δὲ λοιποῖς, καὶ Δάκαις πᾶσι, καὶ πᾶσιν ἀνθρώποις, ὅσοις ἀρετὴ ὑμνεῖται καὶ διὰ τιμῆς ἄγεται, δίκαιοι μὲν ἔσονται ΗΓΕΜΩΝ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΕ οἱ κατὰ ΣΟΥ παρὰ πάντων λεγόμενοι ἔπαινοι, καίγε τῆς ἀξίας καθυϛεροῦντες τῆς ΣΗΣ ἢ ἐξικνούμενοι. Δικαία δὲ καὶ ἣν αὐτὸς ἔγνων ποιῆσαι τῆς δεμου τῆς συγγραφῆς ἡ ἀνάθεσις· Οὐδὲ γὰρ ὅπως διὰ τὰ εἰρημένα ἐν δίκῃ ΣΟΙ

προ-

προσοφειλομένη ὀφθήσεται, ἀλλὰ καὶ διὰ τὸ ἀρτίως ὑπὸ ΣΟΥ ἐν Γιασίῳ ἱδρυθὲν Μουσεῖον, ἐν ᾧ πολυτελέσι δαπάναις, καὶ ἀθραῖς συνιάξεσι καὶ χορηγίαις, τὸν ἄρισα Σχολαρχήσοντα ἐγκαθασήσας, καὶ πάντας ὅσοις Ἐπιστημῶν, καὶ τῆς ἄλλης Ἐγκυκλίου παιδείας ἔρως ἐντέτηκεν εἰλικρινὴς ἀπανταχόθεν διεγείρωνται καὶ περιέπων, ἐν πολλοῖς ἄλλοις οἷς τὸ Δαναῶν ἔθνος εὖ ποιῶν διατελεῖς, καὶ σπέρματα λόγων ἐν αὐτοῖς καταβαλεῖν προτεθύμησαι, τῶν Ἀττικῶν ὐ λειπόμενα. Τοιγαρῦν ἐντεῦθεν ἁμοίτε πρέψειν, καὶ τῇ βίβλῳ αὐτῇ συνοίσειν εὐλόγως ἔδοξεν, εἰ τῷ ΣΩ ΤΥΦΕΙ ἀνατεθείη. Πρῶτον μὲν γὰρ, ὧν ἐγὼ προλαῶν ἤδη καὶ μεγάλων ἀπολαύσας ἔτυχον εὐποιϊῶν παρὰ ΣΟΥ, καὶ τῆς ἐν ΣΟΙ Μεγαλοπρεπείας, βραχύτι τόδε οἱονεὶ δεῖγμα εὐχαρίστου τρόπου δι-

δὺς,

δὲς, ἀγνωμοσύνης καὶ ἀχαριστίας ἐπ' ὀφλήσω γραφήν. Ἔπειτα δὲ, καὶ πρὸς τὸ Λυχνεῖον (ὡς ὁ λόγος) εἰκὸς ἦν ἀπιδεῖν λύχνον ἅψαντας, καὶ πρόσγε τὸ Τέμενος, φαίην ἄν, βωμὸν ἱδρυκότας· Κἂν ἄλλως ἴσμεν, μηδὲ πρὸς τὸ ἐγερθὲν ὑπὸ ΣΟΥ τῶν Ἐπισημῶν περιφανὲς αὐτὸ Λυχνεῖον τιθονὶ τὸν λύχνον, μηδὲ τὸν βωμὸν πρὸς τὸ Ἱερὸν ἔχειν ἀνάλογον. Ἀλλὰ γὰρ πρόσθε δήμοι καὶ τὸν βωμίσκον, καὶ τὸ λυχνάριον, ὁποῖα ποθ' ἂν ᾖ, εὐμενῶς ΓΑΛΗΝΟΤΑΤΕ· αὐτῷ γάρ τοι τῷ προσέσθαι, εὖ οἶδ' ὅτι συσήσεις, μᾶλλον δὲ ἐπιρίξεις τὸ ΣΟΙ προσφερόμενον Φιλοπόνημα, Χρυσέας αὐτῷ κίονας, καὶ τὸν Λυρικὸν εἰπεῖν, τὰς σὰς ὑποσάσας· Ἵν' εἰ μὴ θαμινὸν Μέγαρον τοῦτο πάξωμεν, ἐδραιότερον γοῦν αὐτὸ καθησήσωμεν, ὡς διὰ ΣΕ καὶ τὴν ΣΗΝ Προσασίαν πάντως δὴ καὶ

καὶ ἀνεπηρέασον ἐσόμενον. Τὸν μὲν ἓν Ἀελὸν ὁ μῦθος ἐν αὐτῷ ποιεῖ τῷ Ζηνὸς κόλπῳ ἀποληθέμενον τὰς γονὰς, καὶ ὐδ' ὅτω τὸν ἐπιβελεύοντα ἀλευόμενον. Ἐμοὶ δὲ τόδε ΣΟΙ τὸ τέκος προσάγοντι καὶ παραληθεμένῳ, ὐδὲν δέος ὑποχεῖται, τᾷ μὴ ἐν ἀσφαλεῖ καὶ βεβαίῳ αὐτόμοι κείσεθαι. Οἶδα γὰρ ὡς ὐδὲ πρὸς τοῖς ἐχάτοις βάθροις τᾷ Σᾷ Θρόνᾳ πελάζειν θέμις τοῖς τηλικύτοις ζωϋφίοις, ὧν τὸ γενναῖον ὁ βόμβος, καὶ ὐδέν μᾶλλον ἀναχελᾶ τὰ γεννήματα. Ἀλλ' ἐγὼ μὲν, ὡς ἄρισάμοι ἔδοξεν ἔχειν καὶ ἀσφαλέσαλα, τοιαύτην πρόνοιαν ἐποιησάμην τᾶδεμᾳ τᾷ Φιλοπονήματος. ΣΥ δὲ ΥΨΗΛΟΤΑΤΕ, ΕΥΣΕΒΕΣΤΑΤΕ, ΘΕΟΦΡΟΥΡΗΤΕ ΑΥΘΕΝΤΑ, εἴης τὸν αἰῶνα τὸν ἅπανλα, ἥνπερ ἔλαχες παρὰ ΘΕΟΥ Ἡγεμονίαν ἀμέμπλως ὅτω διακυβερνῶν,

νῶν, καὶ διεξάγων καὶ εὐηλπρίαν ὧν ἄρχειν τέταξαι· Αὐτοῖς τε τούτοις, καὶ τῷ Γένει πανλὶ, καὶ μοὶ πρὸ πάντων εὔχος τε καὶ σέμνωμα καὶ ἀγλάϊσμα καὶ ὢν, καὶ ἐσόμενος.

ΤΗΣ
ΥΜΕΤΕΡΑΣ ΘΕΟΣΕΒΕΣΤΑΤΗΣ
ΥΨΗΛΟΤΗΤΟΣ.

Ἐν Λειψίᾳ ᾳψξς'.
Μαΐῳ κή.

ὑποκλινέστατος ἱλάχιστος δοῦλος

ΕΥΓΕΝΙΟΣ ὁ ΔΙΑΚΟΝΟΣ
ὁ ΒΟΥΛΓΑΡΙΣ.

ΤΩ ΑΝΑ-

ΤΩ ΑΝΑΓΙΝΩΣΚΟΝΤΙ.

Ἆρ' ἔχειτι τὸ χρειῶδες, ἢν σὺ χερσὶ φέρεις, ἡ Βίβλος; Ἆρ' ἔσι μοὶ, ὃν ἐξ αὐτῆς κομίσαιο καρπὸν; οἷατε δὲ τὰ σὺ αὐτῇ τιλῶ γᾶν τῷ χρόνῳ Σοι δαπάνιλω ἀντισηκῶσαι, καὶ ὃν ἐπὶ τῷ ἀναλέξασθαι καταβαλεῖς πόνον, κἄν ἐκ τῆ μετρίᾳ ἀμείψασθαι; Ἀλλὰ τότε δὴ αὐτὸς (ὦ φίλτατε Ἀναγνῶσα) ἐκ ἂν ἐγώ σοι γενοίμιλω ἐχέγγυος. Τῆς γὰρ ἀπὸ παντὸς Συγγράμματος ἐπικαρπίας, τῇ μὲν, ἀναλόγως τῇ τῆ μετιόντος ἀσθῇτε καὶ δεξιότητι προερχομένης, τῇ δὲ, καὶ τοῖς σὺ τῷ συγγράμματι καλοῖς συμμέτρως· καὶ κατὰ λόγον προβαινέσης (ὡς ἂν ἀναλο-

γικὸς Ἀνὴρ εἶποι) τὸν ἐξ ἀμφοῖν τούτων συγκείμενον· ἐκεῖνο μὲν, σὸν δήπου ἂν εἴη, καὶ παρὰ σοὶ ὄν, ὅπως-τε τυγχάνεις ἔχων περὶ τὰς φιλοσόφους μελέτας εἰδέναι, καὶ ὅσῳ πάρεσιν ἐλπίσαι τῳ ἐξ αὐτῶν ὄνησιν ἐντεῦθεν τεκμαίρεσθαι. Τοῦτο δὲ, ἐκ ἐμοῦ λέγειν, ἐδ' ἐμοὶ προσῆκον ἐγγυᾶσθαι. Οὐ γὰρ δηλονότι· εἰμὶ γὰ ἐπαινεῖν γελοίως ἑαυτὸν μέλλοιμι, ὥσπερ Ἀσυδάμας ἐκεῖνος. Ἄλλως-τε δὲ, ἐδὲ πιστὸν οἱ νόμοι τίθενται τὸ αὐτέγγυον· Οὐδαμῶ μοὶ, ἐδοὶ δὲ μᾶλλον περὶ τὲς λόγες, καὶ τὰς ἐκ τούτων γονάς. Ἐνταῦθα γὰρ τὸν ἰδια, φασὶ, γεννῶντα φαυλότερον ἑτέρων γίνεσθαι δικαιοῦ. Ἐγὼ δ' ἂν προθείμω, ὅτι καὶ τῶν ἰδίων φαυλότατον.

Τί ἦν; ἐρεῖς· Εἰ μακρᾷτε ἔτω καὶ ἐπιπόνῳ τῇ μελέτῃ ἑαυτὸν δείσει φέροντα παραβαλεῖν, καὶ ἐπ' ἀδήλοις ταῖς ἐλπίσι τοσῶτον εἰκῆ ἀναδέξασθαι ἔργον; Μὴ σύγε ὦ βέλτισε· Οὐδὲ γὰρ ἐφέσηκέσοιτις, ἐργοδιώκτης οἷον δεινόστε καὶ βίαιος, βαρὺς ἐμπίπτων, τραχὺς ἐμβοῶν, καίπε μεταξὺ καὶ μάσιγα, ἢ ῥάβδον ἐπανατείνωντε καὶ ἐπισείων, ἐκ παντόστε τρόπε τόσοι ἐπιταχθοὶ, ἑκόντι ἄκοντι εἰς πέρας ἄγειν ἐγκελεύόμενος. Ἀλλ' οἶσθα ὅπως ποιήσεις; Ἀρξη μοὶ τῆς ἀναγνώσεως ἀπόπειράντινα τὸ πρῶτον λαμβάνειν, τὲς ἀσειοτέρες οἰ τοῖς συμποσίοις μιμέμενος. Κἄν μοὶ ἀπογεύσάμενος βραχὺ ὅσον, μὴ πάνυ ἀηδῶς διατεθῇς ἐκ τῦ ἀπογεύματος, μηδὲ προσοχθίσῃς τῇ πανδαισίᾳ, παρέσαι

σαι δὴ τῷ λοιπῷ ἐπισιτιζόμενον θαμὰ πρὸς τιὼ χρείαν, ὅσα ἂν καὶ βέλοιο, ἐκ τῶν παρόντων προσφέρεσθαι.

„Καίγ' ἐπ' ὀνείαθ' ἑτοῖμα, προκείμενα, χεῖρας
„ἰάλλειν.
„Εἰς ὅ μηκέτι θυμός σοι δοῦοιτο δαιτὸς ἔϊσης.

Εἰ δ' ἦν· Ἀλλ' ἀηδές σοι προσέσοι τὸ ἀπογεύσαι, ὥσε καὶ ναυτίαν, εἰ τύχοι, ὑποκινῆσαι. τί λοιπόν; ἢ καὶ τὸ βραχὺ τῆς πρώτης ἀθέσεως, ἔτι περὶ τοῖς ὀδοῦσιν ὄν, ταχὺ ἀποπτύσαι; Κἂν δέη δὲ, καὶ ἀνακογχυλιάσαι ὕδωρ ἐν σόματι, μὴ καὶ ἔμετος ἐπιγένοιτο ἐκ τῆς μοχθηρᾶς τῷ χυμῷ διαθέσεως. Ἐπὶ δὲ τῷ ἐμέτῳ ἀνορεξίατε καὶ ἀποσιτία ἀναγνωσμάτων καὶ λόγων, ὅθεν τῷ θεωρητικῷ βίῳ ἡ νέκρωσις. Συμβαίνειν γὰρ εἰκὸς, καὶ τοῖς περίτι εἶδος μελέτης δυσορέκτως ἔχεσι καὶ κακοσίτως, ὅ καὶ τοῖς περὶ τὰ βρώματα. Πρὸς τῷ μηδὲν ὄφελος, ἔτι καὶ ζημίαν ἐ τιὼ τυχεῖσαν ἐκ τῆς πρὸς βίαν σιτήσεως ἀποφέρεσθαι. Ὡς τῆς ἀηδίας καὶ τέτοις τιὼ ἀσιτίαν ἐπισυρομένης· τῆς δὲ, τιὼ ἀτροφίαν· τῆς δὲ, τὸ ὑπὸ λιμῷ τέως ἀπόλλυσθαι. Εἶεν.

Ἀλλ' ἐκεῖνό σε λανθάνειν ἐκ ἂν βελοίμιω. Τὸ ποῖον; ὅτι τόδε σοι παρ' ἡμῶν ἐ πάνυ σφόδρα ἐκέσιον νυτρέπισαι τὸ δυώχημα. Οὐ γὰρ ἄνετόντινα ταύτιω τρά-

πεζαν ἐξ ἀρχῆς προηρήμεθα παραθέσθαι, ἐδὲ παντὶ τῷ βϐλομένῳ παρελθεῖν καὶ ἀνακλιθῆναι ἐπ' ἀδείας προκεισομένῳ. Ἦ τὶς γὰρ ἂν ἡμῖν ἡ τοσαύτη εἴη Φιλοτιμία; καὶ πόθεν; Καθάπερ γὰρ τὸ τὰς τοιαύτας χορηγεῖν δημοθοινίας, ἐ τῶν ταπεινῶν ἐσὶ τὰς τύχας, τῶν δὲ μάλιστα εὐθηνούντων καὶ ϐρυόντων τοῖς πράγμασιν·

„Ἦ ῥάτ' οἱ ἀφνειῷ ἀνδρὸς μέγα δυναμένοιο,
„Ἦ γάμῳ, ἢ ἐράνῳ, ἢ εἰλαπίνῃ τεθαλείῃ.

τάς δε τελεμένας τὰς ἐπιδείξεις πάρεσι καθορᾶν· Οὕτωτοι καὶ τὰς διὰ λόγων τε καὶ μαθημάτων θεωρίατε καὶ ἐπισήμη ἀρτυομένων, ταύτας ϐωχίας, ἐχὶ τῶν ϐύτελῶν ἐσὶ, καὶ πτωχϐούντων καθ' ἡμᾶς, λαμπρῶς ἅτω Φιλοτιμεῖσθαι, καὶ δημοτελῶς ἐπιδαψιλεύεσθαι. Ὑψηλῆς γάρ τινος τωόντι, καὶ ὑπερϐαλλούσης τῆτο Σοφίας, καὶ σφόδρα ἑαυτῆς τῇ δυνάμει πεποιθείας, τὸ μετὰ ὑψηλῆ τῆ κηρύγματος παῤῥησιάζεσθαι ἐπὶ κρατῆρα συγκαλέσαν τὸν ἑαυτῆς ἅπαντας. Καὶ δεῖν γὰρ ἄρα πολλὰ μὲν αὐτὶω ἔχειν καὶ καλὰ τὰ ῥήματα σφάξαι ἀκόμεν, ἀφθόνως δὲ καὶ ἀφειδῶς τὸν οἶνον κεράσαθαι, καὶ περιέσιόντινα ὅλως τὴν ξενίαν παρασκευάσαι, πᾶσιν ἀγαθοῖς βρίθεσαν. Πολὺ δὲ πρότερον, καὶ οἶκον ἑαυτῇ οἰκοδομήσαι ἐπάναγκες ὂν, ἵν' ἢ τῷ πλήθει τῶν συνανακεισομένων σύμμετρον τὸ ἀνάκτορον· καὶ ϛύλοις πολλοῖς ὑπερείσαιτε αὐτὸν

τὸν καὶ ὑποσηρίξαι, ὡς ἂν ἀσαλδύτως ἔχων τῷ θιάσῳ ἀδεῆ παρέχοιτο τὴν ἀσφάλειαν. Πολλοὶ γὰρ, ἢ πάλαι μὲν ὡς ἔοικεν, ἀταὶρ καὶ καθ' ἡμᾶς ἐδὲ ὀλίγιστοι εἰσὶν, οἱ, παρὰ τὸ ἀπότροφοι τέτων, ἢ ἄλλως ἀνόρεκτοι εἶναι, τὰς τοιάσδε ἀπολαύσεις τοῖς ἄλλοις ἐπιβαλδύοντες· Οἵ βέλοιντο μὲν ἂν ἐκ βάθρων, εἴπερ ἰῷ, σὺν αὐτοῖς δαιτυμόσι καὶ τὸ ἑσιατόριον καθελεῖντε καὶ ἀνατρέψαι· Εἰ δὲ μὴ, ἀλλ' ἐκεῖνο γᾶν δοκᾶσι γενναῖοντι ἢ νεανικὸν διαπράξεθαι, εἴπως, κἂν διασεῖσαι καὶ ὑποσαλεῦσαι φθάσαντες, συνταράξειαν τὴν ἑσίασιν· ἵνα δὴ μὴ πάνυ, οἶμαι, οἱ αὐτῆς ἀπολαύοντες χαίρειν χολάζοιεν. Ἀλλ' ἡμῖν τοῖς τέτων ἰσχυρῶς ἀπορεμένοις, λιτὸν ἄγαν, καὶ ἀφελὲς, καὶ πενιχρὸν ἐπιεικῶς παρεσκδασο τετὶ τὸ δειπνάριον, ὡς ἔτοι κοινὸν, ἰδιωτικὸν δὲ, καὶ ὀλίγοις, καὶ τέτοις ὀλιγαρκέσιν ἐσόμενον φιλοτήσιον. Παραθέθαι γὰρ προήχθημεν αὐτὸ ἐ τοῖς τρυφῶσι, τοῖς δὲ φαγεῖντι δεομένοις ἐκ τῶν ἐνόντων ἀποχρεδιάσαντες. Οἵ πρὸς ἡμᾶς ποτὲ, τὲς τὴν ἐπίπονον μὲν, ἐκ δύτυχῆ δὲ, ἐδ' ἀνεπιρέασον ἐκείνην χολαρχίαν ἐγκεχειρισμένες προσιόντες, ἐδὲν μὲν τῶν πολυτελῶν ἐδὲ περιττῶν, δύχερῆ δέτινα καὶ δύπόρισα, καὶ ἀκόλες ὡς εἰπεῖν τὲς Ὁμηρικὲς αἰτίζειν ἐδόκεν· καὶ ἔτω σφᾶς δύγνώμονας καὶ μετρίες παρέχειν ἔφασκον, ὡς μηδὲ τρύφος μάζης, ἔτω φᾶναι, ὑπερφρονεῖν, ἐδέτι ἐδὲ τὸ τυχὸν, ὅπερ ἂν αὐτοῖς ἐπιδῆναι ἔχοιμεν διαμασήσαθαι φιλοσοφικῆς εἰσηγήσεως, δυχεραίνειν

ραίνειν. Τοιῶτοι γὰρ ἀτεχνῶς οἱ λίαν εἰσὶ πεινῶντες. Κἂν μὴ πρέα σφίσι παρῇ, ἔκεν ἐδὲ τὸ τάριχος ἀποσέργεσι. Καὶ νηδία ἐδὲ βαλανοφαγεῖν παραιτήσονται ἐπικειμένε τῦ λιμῦ καὶ πιέζοντος. Ἀλλὰ καὶ δρῦν τιὼ πρώτιω ἀπαντήσασαν βαλανίζεσιν. Ἔν δὴ τῦτο σκοπῦντες, ὅπως τῇ γαστρὶ ἐπαρκέσεσιν· ἐξ ὧν δὲ, καὶ ὅθεν, μὴ πάνυ φροντίζοντες. Ὡς ἐκ ἔστι τῶν ἀναγκαίων ἀμοιρῦντας πολυπραγμονεῖν τὰ περιττά· μηδὲ τρυφῆς μεμνῆσθαι, τροφῆς σανίζοντας. Τοιγαρῦν τοῖς ὧδε διακειμένοις, ἔτωπως ἡμῖν ἐχεδίασε τιὼ ἀρχιὼ ἥδε ἡ πραγματεία, καὶ ἕτερ' ἄττα δὲ πρὸς αὐτῇ Φιλοπονήματα (περὶ ὧν νῦν ἐδὲν δεῖ λέγειν) τῆς αὐτῆς ἰδέας ἐχόμενα. Συνεγέγραπτο γὰρ μόνοις τοῖς ἡμῶν ἀπὸ σώματος φιλοσοφέντων ἀκροωμένοις, οἷα τινὰ ἀποσημειώματα· ἵνα ὧν διὰ ζώσης ἀκέσειαν τῆς φωνῆς αὐτοῖς ἀναπτυσσομένων, τέτων ἀνάγραπτα φέροντες τὰ ἴχνη ἐν τοῖς αὐτῶν σχεδαρίοις, ἅμα τε τῶν ἀκροαμάτων ἔχοιεν αὐτὰ ἀπομνημονεύματα, καὶ τῆς καθ' ἑαυτὸς μελέτης καὶ θεωρίας, ὡς ἔτω φᾶναι, ἐναύσματα. Ἀλλὰ γὰρ ἐκ ἔμελλε διὰ τέλες εἰς τῦτο μένειν αὐτὰ καταξάσεως· Ἔδει δὲ ἄρα ἐπὶ τῆς σκηνῆς τέως ὀφθῆναι, καὶ διὰ τυπογραφίας ἐκδημοσιωθέντα ἐν χερσὶ γενέσθαι τοῖς βολομένοις προκείμενα. Ὅπως δὲ εἰς τῦτο προελήλυθεν, ἵκωσι καὶ τῦτο ἐρῶν.

Ὅσοι

Ὅσοι ποτὲ κατὰ Φιλοσοφίαν ἡμῖν, (ἀλλαχῆτε πρότερον, καὶν τῇ δι' ὅλης ἔπειτα πενταετίας ἢ πρὸς, συσάσῃ δὴ καὶ σασιασάσῃ κατὰ τὸν Ἄθῳ Σχολῇ, ναμιλῶ καὶ ἐν Κωνσαντινοπόλει μετ' ἐκεῖνο, τὰς διατριβὰς ποισμένοις) ἐγένοντο προσωμιληκότες, ἅπαντες τὰ εἰρημένα σχέδια ἀναγράψαι ἐδαμῶς ὠκνήκεσαν. Οἱ δ' ἐξ αὐτῶν καὶ διδάσκειν ἑτέρους ἐπαγγελλόμενοι, τῶν αὐτῶν καὶ τούτοις μετεδίδοσαν. Ἄλλοι δὲ πάλιν, καὶ τῶν πρὸς ἡμᾶς ἄλλως διαφερομένων, καλοῖτε καὶγαθοὶ Ἄνδρες, καὶτοι καὶ παρ' ἑαυτῶν, καὶ πολλῷ τούτων οἶμαι βελτίονα ἀντεισενεγκεῖν ἔχοντες, τοῖς αὐτοῖς ὅμως καὶ ἔτοι ἐν ταῖς ἰδίαις προσχρήσαθαι διδασκαλικαῖς εἰσηγήσεσιν ἠκ ἀπηξίωσαν· Εἴτε δὴ πρὸς ἄλλοις κρείττοσι τὸν νῶν ἔχοντες καὶ ὑψηλοτέροις, εἴτε καὶ τῶν μαθητιώντων σφίσιν, ὡς ἐλέγετο, ἐγκειμένων, καὶ διὰ τῶν αὐτῶν ἀχθῆναι ἀκροαμάτων ἐκλιπαρούντων, ἐξ ὧν ἔτοιγε μεμπτιῶ τὲς πρὸ αὐτῶν ἐώρων, ὡς ἐδόκεν, καρπωσαμένες τιῶ ὄνησιν. Ἐντεῦθεν ἓν τῶν Ἀντιγράφων οἷα εἰκὸς, εἰς ἑκατοντάδας αὐτὸς ὀλίγε πληθυνομένων, καὶ τῷ ἀριθμῷ ἔτι τῷ χρόνῳ προϊόντος ἐπὶ τὸ μᾶλλον καὶ αὔξοντος, κατὰ βραχὺ ἐλάθομεν περισάντες εἰς ὅπερ ἐξ ἀρχῆς παρητέμεθα. Ἀμέλειτοι, εἰς τὸ δημῶδη τῷ λοιπῷ ἡμῖν καταξῆναι, τὰ ἰδιάζειν ταχθέντα, καὶ ἐκδοθῆναι ἤδη, ἃ μὴ ἐπὶ ἐκδόσει τὸ πρῶτον συγγέγραπται. Οὐδὲν γὰρ αὐτοῖς ἀπέδει τῷ μὴ ἀνέκδοτα λέγεσθαι, πλιῶ τῆς ἐκ τῶν τύπων

καλλιγραφίας. Τὰ δ' ἄλλα καὶ πᾶσι μονονυχὶ ἐν χερσὶ φερόμενα ἦν, καὶ ὑπὸ πάντων πρὸς ἡμᾶς ἀνήγετο. Καὶ παρῆν ἄρα τὸς πατέρας ἡμᾶς, ἐπ' αὐτοῖς ἔτω κυλιομένοις ἐχ ὅπως ἀθυμεῖν καὶ ἀσχάλλειν, ἀλλὰ νηδία ἢ ἐπαισχύνεθαι. Οὐδὲ γὰρ (τὸ τῦ Ἡρακλείτυ ἐκεῖνο) καὶ ἐντεμενίσαιπτ αὐτὰ, ὡς ἱερὰ ἄντικρυς ἀναπεισόμενα διενοήμιν, καὶ βωμῦ ἀξιῶσαι καὶ νεώ. Οὐχ ἔτως ἐγὼ κόρυζαν πάσχω· Οὐδ' ἐ μὴ κατισχύσειέποτε τῆς Φρενὸς τῆς ἡμετέρας εἰς τοσῦτον ἡ οἴησις. Ἀλλ' ἦν τὸ δεινὸν, ὅτι προκύπτειν ἐτόλμα, καὶ εἰς τὸ μέσον παριέναι, τοιαῦτα ὄντα, καὶ ἔτως ἔχοντα. Καὶ γάρτοι,

„Πᾶσαν ἀληθείαν μυθήσομαι, ἐδέσε κρύψω.

Ἀκοσμάτε κομιδῇ καὶ ἀκατέργασα ἰῶ ἐκεῖνα, καὶ τῷ παντὶ τῆς δεήσης ἀκριβείας ἀπολειπόμενα· ἢ τί ἄλλ' ἢ ἐκμελῆ τινα καὶ ἀδιάρθρωτα, ἄμορφάτε καὶ ἀειδῆ, καὶ ὡς ἔπος εἰπεῖν, ἡμιτελῆ ἐξαμβλώματα; Πολλὰ γὰρ τῶν αὐ αὐτοῖς περιττῶς παραπεφύκει ὀχθώδη οἷον περισαρκώματα, ὧν ἐπάναγκες ἰῶ, ὥσπερ τὰς ἄρκτες ἐπὶ τῶν σκύμνων φασὶν, ἀποξέσαιτε καὶ ἀπολεᾶναι τῇ γλώσῃ τὸς ὄχθος, συνεχῶς ἀναλείχοντας· πολλὰ δὲ τὸ ἀνάπαλιν ἐλλιπῶς τε καὶ ἐνδεῶς εἶχεν, ἃ προθεῖναι ἔδει καὶ εἰσκομίσαι, τὸ κεχλιῶδς ἀναπλησθέντας, καὶ τὸ ἄρτιον καὶ ὁλομελὲς αὐτοῖς πρυτανεύοντας. Καὶ μὰ δὴ, καὶ τὰ μὰ ψυχρῶς πε παρέρ-

ῥέῤῥιπτο, οἷα εἰκὸς ἰῶ ἐκ τᾶ παρὰ χρῆμα τὰ ἐπιόντα εἰσφέροντι, καὶ ὡς εἴρηται αὐτοσχεδιάζοντι. Τὰ δὲ τὸ χείρισον, (ὀκνήσω δὲ ἐδὲ τόδε εἰπεῖν, ἐδὲν αἰδέμενος.) καὶ ψοδδῶς καὶ διημαρτημένως· ἃ τότε μὲν ὑπὸ ἀκρισίας τε καὶ ἀμαθίας, καὶ τῶν μὴ Φαύλων εἶναι ἐμοὶ γᾶν ἐδόκει, ὕσερον δὲ διὰ χρόνε ἐπιθεωρᾶντι, καὶ δευτέραις αὐτὰ ἀνασκοπεμένω Φροντίσιν, οἷα τῷ ὄντι ἰῶ κατεΦαίνετο. Καὶ ταῦτα μὲν ὡς ἐκ τᾶ γεγεννηκότος· Ὑπὸ δὲ τῶν περιποιησαμένων, ὅσα ἐν ἐπιθήκης μοίρᾳ αὐτοῖς προσεγένετο, τί χρὴ καὶ λέγειν; Ἄλλος γὰρ παρ' ἄλλε παραλαμβάνοντες, καὶ τῇ μὲν, ταῖς ἐκ τᾶς ἐπαλλήλε ἀντιγραΦᾶς διαμαρτίαις προσδιαΦθείροντες, τῇ δὲ, καὶ ταῖς ἥπερ ἄν ἑκάσῳ καλῶς ἔχειν δόξειεν, ἐπιδιορθώσεσιν, ἐπεξηγήσεσι, παρασημειώσεσιν ἐξαλλοιῶντες καὶ παραμορΦάζοντες, πρὸς τῷ ἀπὸ γενετᾶς ἕτω Φᾶναι, περιόντι, καὶ αἶσχος ἄλλο ἐπακτὸν αὐτοῖς περιάπτοντες, ἔτι αἰσχίονα ἐναπέδειξαν. Παρῆν ἕν ἐπὶ τέτοις, ὡς ἔΦλω, ἢ ἀθυμεῖν καὶ αἰσχύνεθαι· ἢ εἶμοι ἦν, πάντα ἂν συλλέξας τὰ γεγραμμένα, καὶ ἐκ μέσε ἄρας.

„Τῆλε μάλ' ἦχι βύθισον ὑπὸ χθονὸς ἐσὶ βέρεθρον,

ἡδέως ἐποιησάμιω ἄν· ἢ τᾶ Φωτὸς ἀποσερήσων Φλοξὶ παρέδωκα. Ἐπεὶ δὲ ἐχ ὅπως λόγον πάλιν ἐκ ἂν ἀνέλοιτό τις ῥαδίως, ὃν ἂν ἐκρίψειεν, ἀλλ' ἐδὲ γράμμα τὸ ὑπὸ τοσέτων ἀντιγραΦὲν, ἐδὲν ἰῶ λοιπὸν ἀλλ' ἢ ἐπὶ

τὸ τυπογραφεῖον καταφυγεῖν, καὶ ἀπεναντίας τοῦ κακοῦ ὡς οἷοντ' ἰέναι, τὴν διὰ τύπων ἔκδοσιν αὐτῶν συγχωρήσαντα, δι' ὧν αὐτὰ εἰ μηδὲν ἄλλο, ἧττον γοῦν ἐλλιπῆτε καὶ διημαρτημένα προκύψειν ἔμελλε. Τοῦτογέτοι καὶ διὰ τοσαύτης ἐλάσαι ἀνέπεισε, καὶ ὁδὸν ςειλάμενον μακράντε οὕτω καὶ δαπανηρὰν καὶ ἐπίπονον, ἐπὶ ξένης ὑπερόριον ἀλιτεῖν ἐποίησεν· ἔνθα,

„Λευκάγε φῦλα νέμονται ἀρειμανέων Γερμανῶν,
„Ἐρκυνίου δρυμοῖο παραθρώσκοντες ὀρόγκους.

Καίπερ οὐδ' ἐνταῦθα γενόμενος, ἤδη εὐθὺς ἅψασθαι καὶ τοῦ ἔργου τεθάῤῥηκα. Οὕτως ἐγώσοι δειλὸς ὦ φίλτατε τὰ τοιαῦτα. Οὕτως ἄτολμος. Θέλωντε, καὶ ἅμα ὀκνῶν. Ἐνδιδούςτε δὴ, καὶ πάλιν ἀναδυόμενος. Σπεύδων μὲν ὡς ἤδη καὶ ποιήσων, καὶ οὐδὲν τὶ ἧττον διαμέλλων αὖθις, καὶ τῆς ὑποκεχυμένης ἀτολμίας πρόφασιν ἀεὶ τὴν ἐπὶ τὸ κρεῖττον ἀναβολὴν ποιούμενος.

Ἀλλὰ γὰρ ταύτης ἡμῶν τῆς μεμπτῆς, πῶς εἴπω; ἢ ἐπαινουμένης δειλίας, ἡ τῶν ἡμῖν εὐνοούντων ἀξίωσίςτε καὶ παρόρμησις τέως κατίσχυσεν. Οἱ μὲν γὰρ καὶ πόῤῥωθεν διὰ γραμμάτων συχνοὶ ἐπικείμενοι, οὔμενουν αἰτεῖν περαιτέρω ἐδόκουν, ἀπαιτεῖν δὲ τὴν ἔκδοσιν διετείνοντο ὡς ὀφειλὴν ἀπαραίτητον. Ὡς καὶ ἄντικρυ κατονειδίζειν ἡμῖν, καὶ διαμέμφεσθαι ἐοικέναι τὴν ὑπὲρ τὸ δέον διατριβὴν, μονονουχὶ καὶ προσεγκαλοῦντες, ὡς

ἔξω

ἔξω τῶν ὑπεσχημένων γινομένοις, καὶ τιὼ ἔκτισιν, ὡς δῆθεν καὶ χρέος τινὸς, ὑπεκκλίνεσιν. Οἱ δὲ καὶ ἐγγύθεν ἐμπίπτοντες, πυκνότερόντε καὶ φορτικώτερον ὡς ἐκ τῦ προσεχῦς ἐπενέβαινον, καὶ ὡς βαρεῖς ἀπαιτηταὶ ἐπίεζόντε καὶ ἦγχον, ἐδ' ἀνήσειν ἔφασκον, εἰμὴ τὸ ἔργον πληρώσομεν. Τότων ἑνὸς ἐ θέμις μὴ ἀνταῦθα μνησθῆναι καὶ ἐξ ὀνόματος. Ὁ Ἐλόγιμος, καὶ πάντα ἄριστος Θωμᾶς ἔτος ἰῶ ὁ Μανδακάσης, ὁ ἀπὸ τῆς ἀν Μακεδονίᾳ Κασορίας ὁρμώμενος, ἐν δὲ τῇ Γερμανίᾳ ἐκ πολλῦ διατρίβων. Παιδείας τε τῆς ἄλλης, καὶ φιλοσόφων μαθημάτων εὖ ἤκων, πρὸ πάντων δὲ τῆς τῶν Ἀσκληπιαδῶν ἱερᾶς τέχνης ἀμφιλαφῶς ἐχόμενος, ἦν καὶνταῦθα ἐν Λειψίᾳ τῆς Σαξονίας μετιέναντε καὶ ἀσκεῖν, ἀδείᾳ δήπε καὶ συναινέσει τῶν Ἀκαδημαϊκῶν, ἐπιτέτραπται. Ἀρίγνωτος ὁ Ἀνὴρ, καὶ τοῖς ἐνθάδε εἰς ἐμπορίαν παρεπιδημῆσι τῶν ἡμετέρων, ἐδέντι μᾶλλον, ἢ τοῖς αὐτόχθοσι καὶ ἰθαγενέσι τῶν Γερμανῶν διὰ τιμῆς ἁπάσης ἀγόμενος. Οὗτος αὐτῷ τιὼ βίβλον ὑποθετηθῆναι ποθήσας, καὶ μάλα λιπαρῶς αἰτησάμενος, δαπάναις ἰδίαις αὐτιὼ ἐκδῆναι προθυμότατα ἐφιλοτιμήσατο. Καὶ ἔχεις ἄρα ἀντεῦθεν τόδε τὸ ασέβασμα ὦ φίλτατε Ἀναγνῶσα τὸ ὑπ' ἐμῦ φιλοπονηθὲν, ὑπὸ τῦ πάντα Ἀρίσυ Μανδακάσυ σοὶ ἐκδιδόμενον. Ἐν ᾧ δὴ, ἃ μὲν ἂν ἐλλιπῶς τε ἔχοντα εὕροις, καὶ φαύλως, καὶ ἐ πάνυ πολλῦ λόγυ τυγχάνοντα, ἐκείνων εἰκὸς καὶ τιὼ δυθύνιω ἐμοὶ μόνῳ ἐπιβάλλειν,

εἰ

εἰ μὴ συγγνώμην παρασχεῖν νοῦσειας. Οἷς δ' ἂν ἐντύχοις ὠφελείας τινὸς ἐχομένοις, καὶ οὐδέντι ἥκιστα καὶ σπουδῆς ἀξίοις, τούτων εἰ μὲν κἀμοί τινα γνοίης χάριν τῷ πεφιλοπονηκότι εὖ ἂν ποιήσαις. Ἀλλὰ τόν γε δὴ τὴν ἔκδοσιν εἰς πέρας ἀγαγεῖν φιλοτιμηθέντα, δίκαιος ἂν εἰης τῆς προαιρέσεως ἀποδέξασθαίτε καὶ ἐπαινέσαι. Οὐ γὰρ ἂν ἄλλως ἀνδρὸς τρόπον ἐνδείξαιο ἀγαθοῦ καὶ εὐγνώμονος. Ἔρρωσο.

Ἐν Λειψιᾳ ἀψξϛ'.
Μαΐου κή.

ΠΙΝΑΞ.

ΠΙΝΑΞ
ΚΕΦΑΛΑΙΩΔΗΣ
τῆς ὅλης πραγματείας.

ΑΦΗΓΗΣΙΣ ΠΡΟΕΙΣΟΔΙΩΔΗΣ

Περὶ Ἀρχῆς καὶ προόδε τῆς κατὰ τὶω Φιλοσοφίαν Ἐνστάσεως. Καὶ περὶ τῶν ἐν Φιλοσοσοφίᾳ γενομένων Αἱρέσεων, καὶ τῶν κατ' αὐτὰς μάλιστα δοκιμηκότων. Σελ. 1

ΠΡΟΔΙΑΤΡΙΒΑΙ ΦΙΛΟΣΟΦΙΚΑΙ
εἰς ἅπασαν ἐν Γένει τὶω Φιλοσοφίαν.

Προδοίκησις. 46

ΠΡΟΔ. Α.

Ὅπως τε παρεσκδασμένον ἥκειν χρεὼν εἰς Φιλοσοφίαν, καὶ πῶς αὐτὶω μετιτέον. 48

ΠΡΟΔ. Β.

Τῶν νοσοποιῶν τῇ τῦ Γνωστικῦ δυνάμει αἰτίων τὰ μᾶλλον κεφαλαιώδη, καὶ τέτων ἡ ἑκάστῳ ἐπιβάλλουσα προφυλακήτε καὶ θεραπεία. 68

ΠΡΟΔ. Γ.

Περὶ τῶν ἐν ἡμῖν Γνωστικῶν Δυνάμεων· Καὶ τῶν κατ' αὐτὰς Ἐνεργειῶν· Καὶ περὶ Ἕξεων. 112

ΠΡΟΔ. Δ.

Ἥτις ποτὲ ἐστὶν ἡ Φιλοσοφία. Καὶ ὅσα αὐτῆς τὰ Μέρη. Ἥτε τάξις τῆς περὶ αὐτὶω πραγματείας, καὶ ἡ ἐξ αὐτῆς ὄνησις. 126

ΤΑ

ΠΙΝΑΞ ΚΕΦΑΛΑΙΩΔΗΣ.

ΤΑ ΠΡΟ ΤΗΣ ΛΟΓΙΚΗΣ.

Εἰωθότα προλέγεσθαι,

ἤτοι

Ἀρχὴ, Φύσις, Κλῆσις, Χρῆσις, Διαίρεσις τῆς Λογικῆς. Σελ. 135

ΤΗΣ ΛΟΓΙΚΗΣ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

περὶ τῆς πρώτης Ἐννοίας.

ΚΕΦ. Α.

Τίσποτε ἐστὶν ἡ πρώτη Ἔννοια· Καὶ ὅπως ἄρα ἐγγίνεται τῇ ψυχῇ. 145

ΚΕΦ. Β.

Περὶ Ἐννοιῶν εἰδῶντε διαφορᾶς καὶ τρόπων παντοίων. 167

ΚΕΦ. Γ.

Διαφοραὶ ἄλλαι Ἐννοιῶν Συγκεκριμένων καὶ Ἀφῃρημένων. 185

ΚΕΦ. Δ.

Περὶ Ἐννοιῶν βάθος τε καὶ πλάτος. Ἤτοι· περὶ ἐννοιῶν τῶν ἐπὶ μέρος, καὶ Καθόλε· Ἔνθα καὶ περὶ τῶν πέντε Καθόλε Ἐννοιῶν ἐκ τῆς πορφυρίε Εἰσαγωγῆς. 194
Περὶ τῶν Ε. Καθόλε Ἐννοιῶν. 200

ΚΕΦ. Ε.

Περὶ Ἀναπτύξεως τῶν Ἐννοιῶν. Ἔνθα περὶ Ὁρισμῦ καὶ Διαιρέσεως. 206
Περὶ Ὁρισμῦ. 207
Περὶ Διαιρέσεως. 220

ΚΕΦ. ς'.

Περὶ τόπων τῶν Ἐννοιῶν· Ἤτοι περὶ τῆς τέτων εἴς τινα Γένη Ἀναγωγῆς. Ἔνθα περὶ τῶν Κατηγοριῶν. 225
Αἱ κατ' Ἀριστοτέλιν Κατηγορίαι. 228

ΚΕΦ.

ΚΕΦ. Ζ.
Περὶ Σημείων Ἐννοιῶν. Ἤτοι περὶ ὅρων διωάμεως. Σελ. 240

ΤΗΣ ΛΟΓΙΚΗΣ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

περὶ Σκέψεως.

ΚΕΦ. Α.
Τὶ δήποτε ἡ Σκέψις ἐςὶ, καὶ ἐφ' οἷς, καὶ ὅπως αὐτῇ προχρηςέον. 256

ΚΕΦ. Β.
Περὶ Ἀληθείας καὶ ψεύδες. Καὶ περὶ τε Βεβαίε, καὶ τε Πιθανε, καὶ περὶ Ἀπάτης. 267

ΚΕΦ. Γ.
Περὶ διαφόρων βαθμῶν Πιθανολογίας, καὶ τῆς τέτων αὐτῶν Ἀνακρίσεως. 276

ΚΕΦ. Δ.
Περὶ ἐπικρίσεως τε πιθανε ἐπὶ διαφόρων ὑποκειμένων. Ἤτοι περὶ Εἰδῶν τῆς Κριτικῆς. 284

ΚΕΦ. Ε.
Ὅπως τὸ πιθανὸν θηρατέον τοῖς τὸν νᾶν τῶν ἄλλων διερμηνεύσι. 294

ΚΕΦ. ς'.
Ὅπως τὸ πιθανὸν παραδεκτέον ἐν τοῖς ὑπὸ τῶν ἄλλων, ἢ διὰ λόγε μαρτυρεμένοις, ἢ ἐν Συγγράμμασιν ἱςορεμένοις. 307

ΚΕΦ. Ζ.
Ὅπως τῶν παρ' ἑκάσοις Ἐθῶντε καὶ Ἠθῶν, Ῥοπῶντε ψυχῆς καὶ Ἐπικλίσεων τιὼ διώαμιν πιθανῶς ἐπικριτέον. 313

ΚΕΦ. Η.
Ὅπως ἐξ ὧν πάρεσιν ἰδεῖν φαινομένων, ἔσιν ἃ τῶν εἴτε κατὰ Φύσιν, εἴτε κατὰ τὰς ἀνθρωπίνας πράξεις ἀποβησομένων προεικάζειν πιθανῶς ἐςί. 322

ΚΕΦ.

ΚΕΦ. Θ.

Ὅπως τῶν ἐν τοῖς ἔσι φαινομένων τὰς αἰτίας πιθανῶς θηρώμεθα. Σελ. 329

ΤΗΣ ΛΟΓΙΚΗΣ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ Κρίσεως.

ΚΕΦ. Α.

Ὁποίατις ἡ κατὰ τὴν Κρίσιν τῦ Γνωστικῦ τῆς ψυχῆς ἐνέργεια ἐστὶ; 337

ΚΕΦ. Β.

Περὶ Σημείων Κρίσεως. Ἦτοι περὶ Ἑρμηνείας, καὶ τῦ Ἀποφαντικῦ λόγυ. 341

ΚΕΦ. Γ.

Περὶ Εἰδῶν παντοίων Προτάσεων. 348

ΚΕΦ. Δ.

Περὶ τῆς ἐν ταῖς Ἀποφάνσεσι διπλόης, καὶ τῶν κατὰ ταύτην Εἰδῶν. 356

ΚΕΦ. Ε.

Περὶ τῆς ἐν ταῖς Προτάσεσιν Ἀντιθέσεως. 365

ΚΕΦ. ς'.

Περὶ τῆς τῶν Προτάσεων Ἰσοδυναμίας. 373

ΚΕΦ. Ζ.

Περὶ Ἀντιστροφῆς τῶν Προτάσεων. 377

ΚΕΦ. Η.

Περὶ τῆς τῶν Προτάσεων Ἀκολουθίας. 386

ΤΗΣ

ΠΙΝΑΞ ΚΕΦΑΛΑΙΩΔΗΣ.

ΤΗΣ ΛΟΓΙΚΗΣ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περὶ Διανοίας.

ΚΕΦ. Α.

Τί ἐστὶ Διάνοια· καὶ τίνι κεῖται αὐτῆς ἡ Φύσις. Σελ. 302

ΚΕΦ. Β.

Περὶ λόγε Ἑρμηνευτικῆ τῆς Διανοίας, καὶ τῶν εἰδῶν αὐτῆ. 403
Περὶ Συλλογισμῆ. 405
Περὶ Ἐπαγωγῆς. 410
Περὶ παραδείγματος. 412

ΚΕΦ. Γ.

Περὶ Συλλογισμῶν Στοιχειωδῶν. 416

ΚΕΦ. Δ.

Περὶ Συλλογισμῶν Μεθοδικῶν. Ἤτοι περὶ Σχημάτων Συλλογισμῆ, καὶ Τρόπων ποικίλων. 422
Στοιχεῖα τῆς Συλλογιστικῆς τέχνης Γεωμετρικῇ Μεθόδῳ κατασκευαζόμενα. 425
Τὰ κατὰ Γένος παντὶ Συλλογισμῷ ἐπιθεωρέμενα. 427
Περὶ τῶν ἰδίᾳ ἑνὶ ἑκάστῳ Συλλογιστικῷ Σχήματι προσανηκόντων Θεωρήματα. 442

ΚΕΦ. Ε.

Περὶ Συλλογισμῶν Ἀμεθόδωντε καὶ Ἀνωμάλων. 461
Περὶ, Ἐνθυμήματος. 465
Περὶ Σωρείτε. 469

ΚΕΦ. ς'.

Περὶ Συλλογισμῶν Συνθέτων.
Περὶ Συλλογισμῆ Συμπλεκτικῆ 473
Περὶ Συλλογισμῆ Αἰτιολογικῆ. 474
Περὶ Συλλογισμῆ Διαζευκτικῆ. 475
Περὶ Συλλογισμῆ Ὑποθετικῆ. 478

Περὶ Διλήμματος. Σελ. 481
Περὶ Συλλογισμῶν ἄλλων Σωθέτων τοῖς ἤδη καταλεχθεῖσι προσεοικότων. 484

ΚΕΦ. Ζ.

Περὶ Συλλογισμῶν Ἀναγωγῆς καὶ τῆς τούτων Ἀπαγωγῆς εἰς ἀδύνατον. 486

ΚΕΦ. Η.

Περὶ Συλλογισμοῦ Ἐπιστημονικοῦ, ἢ περὶ Ἀποδείξεως. 493

ΚΕΦ. Θ.

Περὶ Συλλογισμοῦ Ἐνδόξου· Καὶ περὶ τῆς τοῦ Μέσου εὑρέσεως. 503

ΚΕΦ. Ι.

Περὶ τῶν ψευδωνύμων Συλλογισμῶν. Ἤτοι περὶ Σοφιστικῶν Ἐλέγχων. 513

ΤΗΣ ΛΟΓΙΚΗΣ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Περὶ Μεθόδου.

ΚΕΦ. Α.

Ὁποίατις, καὶ ποσαπλῆ ἡ Μέθοδος ἐστί. 526

ΚΕΦ. Β.

Περὶ Μεθόδων τινῶν Ἁπλουστέρων, ὧν ἐπίσημος κατὰ τὰς λογικὰς ἐνεργείας ἡ χρῆσις.
Μέθοδος Ὁρισμῶν. 528
Μέθοδος Διαιρέσεων. 530
Μέθοδ. τοῦ τὰς Προτάσεις μερικεύειν, ἢ καθολικεύειν. 531
Μέθοδος Ἀξιωμάτων. 533
Μέθοδος Αἰτημάτων. 537

Μέθο-

Μέθοδος Θεωρημάτων, καὶ Προβλημάτων, καὶ τῶν ἐξ αὐτῶν ἐπιφερομένων Πορισμάτων, καὶ τῶν περὶ αὐτὰ Σχολιασμάτων, 538
Μέθοδος τῶν Ἀποδεικτικῶν Ἐφόδων. 544

ΚΕΦ. Γ.

Περὶ τῆς ἐν ταῖς Μελέταις Μεθόδε· ἔνθα περὶ Μεθόδε Ἀναλύσεως, καὶ Εὑρέσεως. 550

ΚΕΦ. Δ.

Περὶ τῆς κατὰ Σιώθεσιν Μεθόδε, ἥτις Μέθοδος ἐπιλέγεται Ἐκθέσεως καὶ Διδασκαλίας. 562

ΚΕΦ. Ε.

Περὶ Μεθόδε τῆς κατ' Ἀντίθεσιν ἤτοι Προσδιαλεκτικῆς. 573

„Τὰ παλαιὰ τιμᾶσθαι θέμις, ἰδίᾳ καὶ τῷ
„ἀληθείαν ἔχει ἐπανθοῦσαν τῷ χρόνῳ. . . . . Οὐ
„τοίνυν ἡμῖν μελήσει τοῦ χρόνου, ἕως ἂν τὸ ψεῦδος
„παρενοχλῇ, καὶ μηδαμοῦ τὰ καλὰ παιδικὰ, ὅ,τε λό-
„γος καὶ ἡ ἀλήθεια φαίνεται.

Ζαχαρ. Σχολαστ. τοῦ μετὰ ταῦτα Ἐπισκόπ. Μυτιλ. Διάλ. ὅτι ὁ σωκράτιος τῷ ΘΕΩ ὁ Κόσμος.

ΑΦΗΓΗ-

ΑΦΗΓΗΣΙΣ
ΠΡΟΕΙΣΟΔΙΩΔΗΣ

Περὶ Ἀρχῆς καὶ προόδε τῆς κατὰ τὶω Φιλοσοφίαν ἐνσάσεως. Καὶ περὶ τῶν ἐν Φιλοσοφίᾳ γενομένων Αἱρέσεων, καὶ τῶν κατ' αὐτὰς μάλισα εὐδοκιμησάντων.

§. α'.

Τὰ περὶ τῆς παρ' ἀνθρώποις Φιλοσοφίας χρονολογοῦντες οἱ πλεῖσοι, καὶ ταύτης οἷον ἀναδιφῶντες καὶ ἀνερυόσοντες τὰς πρωτίσας καταβολὰς, ὅθεντε, καὶ ὑφ' ὅτε δὴ, καὶ ὅτε πρῶτον, καὶ ὅπως, ἡ τῶν ὄντων, καὶ τῶν ἐν αὐτοῖς αἰτίων ἐπισήμη διὰ σπουδῆς ἤρξατο γίνεσθαι, ἔσγ' ἐπ' αὐτὶω προϊόντες ἀνατρέχεσι τῇ γένες τὶω καταρχὶω, καὶ πρώτας οἷον ἀπαρχάστε καὶ ἀκροθίνια τῆς ἀνθρώπων φίσεως ἅμα καὶ παιδείας γεγονέναι ὑπειλήφασι τὰς αὐτές (1). Αὐτίκα μὲν γὰρ ἐκ ἀμυδρῶς ἐν Ἱεραῖς, φασὶ, καὶ ἀποῤῥήτοις μυθέσθαι εἰσηγήσεσι, θεόσδοτόν τινα τὶω σοφίαν εἰληφέναι τὸν τῇ Γένες ἐξάρξαντα, ψυχῆς ἐχ ἧττον κατηγλαϊσμένον κάλλεσιν ἀκηράτοις, ἢ σώματος ὑπερφυέσι πλεονεκτήμασι καλλυνόμενον, ἄγαλμα τωόντι θεότευκτον, καὶ εἰκόνα θεόγραφον, πασῶν χαρίτων ἀνάπλεων (2). Δῆλον δὲ, κἂν εἰ μηδαμόθεν ἄλλοθεν, ἐκ γᾶν τῆς

(1) Εὐσέβ. Εὐαγγελ. Προπαρασ. Βιβ. ιά'. Κ. γ. Σειδ. ἐν λέξ. Ἀδὰμ, καὶ ποῖοι τῶν ὕσερον.

(2) Ἐκκλησιασ. Κεφαλ. ζ'. Καὶ Σειράχ Κεφ. ιζ'.

τῆς προσφυῶστε καὶ καταλλήλως τοῖς ζώοις ἐπιτεθείσης ὀνομασίας (1). Οὐδὲ γὰρ σμικρόν τινα τὸν ἔλεγχον εἶναι τῶ τὰς φύσεις ἐκείνων καὶ τὰς δυνάμεις ἀκριβῶς ἁπάντων προειληφέναι, ὧν ὀνομάσειεν, ὁπότε καὶ τὸ ὀνόματα καλεῖν, εἰς ἔμφασιν τῆς περιόσης τῷ ὀνοματοθετοῦντι γνώσεως, ἡ Ἱερά πε λέξις (2) ἐξείληφεν, ἐκ ἀσαφῶς κἀντεῦθεν τὸ ὑπέρσοφον τῶ Δημιεργῶ ἐξυμνήσασα. Τῶ δὲ Γενάρχε, καὶ Φιλοσοφάρχε πως ἔτως εἰπεῖν ἐκ τῶν εἰρημένων ἀναδειχθέντος, διαδέξαθαι τὰς ἐξ αὐτῶ σὺν αὐτῷ τῷ γένει, καὶ τιὼ τῶ ἀνθρωπίνε παντὸς Σχολαρχίαν. Καὶ Σῆθον μὲν, καὶ τὰς ἀπὸ Σήθ περὶ τιὼ Ἀστρονομίαν ἀσχοληθέντας, σηλογραφῆσαι, ἅ, τε παρὰ τῶ πατρὸς παρειλήφεσαν, καὶ ὅσα καὶ αὐτοὶ τῶν ἀρχαίων ἔφθησαν παρατετηρηκότες (3) ἀφορμιὼ τοῖς ἔπειτα εἰς ἐπιςήμιω ἐσόμενα. Τὰς δὲ ἀμφὶ τὸν Καΐν, ὧν ἄλλως ἐκ ἄδηλον καὶ τὸ περὶ τὰ βιωτικὰ καὶ γεώδη χαμερπὲς καὶ χαμαίζηλον, περὶ τὸ Ἀρχιτεκτονικὸν Εἶδος μάλισα πεδάσαι, καὶ παντοίας τέχνας ἐπινοῆσαι, αἳ τῆς Φιλοσοφίας καὶ αὐταὶ ὥσπερ παραφυάδες εἰσὶ καὶ ἀποβλαςήματα. Ἀλλ' οἱ μὲν ἔτως.

§. β'. Οἱ δὲ τάτοις, καίτοι μὴ πάντη ἔξω τῶ πιθανῶ λεγομένοις, ἃ πάνυτι ἀξιῶσι προσίθεσθαι, ὅτι δὴ πέρα τῶ δέοντος, φασὶ, τὸ τῆς Φιλοσοφίας χρῆμα ἀπαρχαίζεται. Τὸ μὲν γὰρ Ἄνδρας προφητικὰς ἐκείνες γεγονέναι, καὶ θείας τινὸς μοίρας ἠξιῶσθαι νομίζειν, εἰκός τε καὶ δίκαιον. Καὶ μάλισα τὸν Γενάρχλω, ὃς οἷα Κεφαλή τις, καὶ πατὴρ, καὶ Καθηγεμὼν τοῖς ἐξ αὐτῶ ἔμελλεν ἔσεσθαι. Οὕτω δέτοι Φιλοσοφῆσαι καὶ αὐτὰς

(1) Γενέσ. Κεφ. β'.

(2) „ Ὁ Ἀριθμῶν πλήθη" Ἄστρων, „καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν „Ψαλμ. ρμς'. (ὀνόματα, γνῶσις.) „Τατέσι διαφορὰς, καὶ τὴν τάτων θέ„σιντε καὶ διάταξιν, καὶ τὴν πρὸς ἄλ„ληλα σχέσιν. Οὐ γὰρ ὀνόματι κε„χρημένος ὁ Θεὸς τὰς ἀστέρας καλεῖ, „ἄψυχα γὰρ ταῦτα, καὶ λόγε ἐσερη„μένα. Σείδ. ἐν λέξ.

(3) Σοφίαν τε γὰρ οἱ ἀπὸ Σήθ „τὴν περὶ τὰ ἀράνια καὶ τὴν τάτων „διακόσμησιν ἐπενόησαν· ὑπὲρ δὲ τῶ „μὴ διαφυγεῖν τὰς ἀνθρώπες τὰ εὐ„ρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν „φθαρῆναι, προειρηκότος ἀφανισμὸν „Ἀδάμε τῶν ὅλων ἔσεσθαι, τὸν μὲν „κατ' ἰσχὺν πυρὸς, τὸν ἕτερον δὲ κα„τὰ πλῆθος καὶ βίαν ὕδατος, σήλας „δύο ποιησάμενοι, τὴν μὲν ἐκ πλίνθε, „τὴν δ' ἑτέραν ἐκ λίθων, ἀμφοτέραις „ἐνέγραψαν τὰ εὑρημένα, ἵνα καὶ τῆς „πλινθίνης ἀφανισθείσης ὑπὸ τῆς ἐπομ„βρίας, ἡ λιθίνη μένασα παράσχῃ μα„θεῖν τοῖς ἀνθρώποις τὰ ἐγγεγραμμέ„να δηλόσα ... Μένει δ' ἄχρι τῶ „δεῦρο κατὰ τὴν Συριάδα. Ἰώσηπ. Ἀρχαιολ. λέγ. Α. Κ. γ.

τȣ̀ς ἡγεῖσθαι, οἷον ἐκ πυκνῆς μὲν μελέτης καὶ συγγυμνασίας, καὶ συνασκήσεως, ἐξ ἀμφιλαφȣ̃ς δὲ πείρας τε καὶ παρατηρήσεως, διὰ δὲ μακρᾶς καὶ χοινοτενεςέρας πολλάκις ἐφόδȣ Συλλογισμῶν, τȣ̀ς κρυφιωτέρȣς λόγȣς τῶν ὄντων καὶ γινομένων θηράσασθαι, τȣ̃το δὲ ἑκόντες ȣ̓κ ἄνποτε ὁμολογήσειν αὐτοὶ φασίν (1). Ἔνθεντοι καὶ τὰς θρυλλȣμένας ςήλας, ὡς λῆρον ἄντικρυ καταγελῶσι τȣ̃ Ἀρχαιολόγȣ εἰσάγοντος, ὃν ἴσασιν ἄλλως φιλογενῆ ἐκτόπως τυγχάνοντα, καὶ τῷ οἰκείῳ αὐτȣ̃ Ἔθνει τὰ πρεσβεῖα ἐκ παντὸς τρόπȣ περιποιῆσαι ἀγωνιζόμενον, (2). Καὶ τῷ Σήθῳ ȣ̃τω, τὰς τῷ Σώθῳ τυχὸν, ἤτισι δοκεῖ (3), τῷ Αἰγυπτίῳ ἐποφειλομένας Στήλας ἀφοσιȣ́μενον. Ἐφ' οἷς, καὶ τὸ ȣ̓χὶ καθάπαξ, κατὰ βραχὺ δὲ, καὶ κατὰ μίαν, τοῖς πρὸ τȣ̃ Κατακλυσμȣ̃ Πατράσιν ἐπινοηθῆναι τὰς τέχνας· Καὶ ȣ̓δὲ πάσας, ȣ̓δὲ τὰς περιττὰς, τὰς δὲ τῶν ἀναγκαιοτάτων, ἄλλȣ ἄλλῃ προχειρισαμένȣ τῷ βίῳ, καὶ ἐπιτηδεύσαντος, τȣ̃ ἐξ ἐπιδόσεως, καὶ διὰ βαθμῶν, οἷα καὶ τ' ἄλλα, καὶ τῇ φιλοσοφίαν αὐτῇ προελθεῖν εἰς μέγεθος, καὶ ἀκμάσαι, μέγιςον τεκμήριον κρίνεται.

§. γ'. Ἀλλὰ γὰρ ȣ̓ δυχερὲς ἴσως τῇ περὶ τȣ́τȣ ςῆσαι διαφωνίαν, τὸ μέσον κἀνταῦθα προελομένȣς, καὶ τῶν δοξασμάτων ἑκατέρȣ τῇ ἀμετρίαν ἐξίσȣ φεύγοντας. Ἐπειδὴ γὰρ φιλοσοφίαν κυρίως μὲν καὶ ἰδιαίτατα καλεῖν εἰώθαμεν τῶν ἐπιςημῶν τὸ ὁλικὸν καὶ τέλεον σύςημα, τῶν λόγοις τε καὶ ἀποδείξεσιν ἀκριβέσι, καὶ ἀδιαπτώτοις ςηριζομένων, καταχρηςικώτερον δὲ καὶ τῇ τȣ̃ ἀληθȣ̃ς ἔφεσιν, τῇ ἥκιςα μὲν πεφυκεῖαν ἀργεῖν, εἰς δὲ θήραν τȣ̃ ἀγνοȣμένȣ διηνεκῶς ἀνατεινομένην· (ὧν ἡ μὲν τελεωτέρα τις, εἰ ȣ̃τω θέμις εἰπεῖν, καὶ ἤδη ἱκανῶς ἂν εἴη συγκεκροτημένη φιλοσοφία, ἡ δὲ ἀτελεςέρα, καὶ ὡς ἄντις φαίη ἐν τῷ γίνεσθαι)· Τῇ μὲν καθ' ἡμᾶς ταύτῃ Συςηματικῇ φιλοσοφίαν καὶ πληρεςέραν, τῇ ἀπλέτοις ἱδρῶσι τε καὶ καμάτοις, καὶ ὑπὸ πολλῶν, καὶ διὰ πολλȣ̃ τέως τȣ̃ χρόνȣ, καὶ μόλις ποτὲ συναυξηθεῖσαν τῷ βίῳ καὶ συνακμάσασαν, τοῖς πρώτοις τῶν ἀνθρώπων ἀπονέμειν παραιτησόμεθα· τῇ δὲ ἐκ ῥοπῆς ἐμφύτȣ μὲν ἅπασι, δραςηρίȣ δὲ καὶ ἐνεργȣ̃ τοῖς τῇ διάνοιαν

(1) Βρȣκκέρ. περὶ τῆς τῶν βαρβάρων φιλοσοφίας Κεφ. β'. §. γ'.

(2) Αὐτ. αὐτ.

(3) Φαβρίκ. ἐν Κώδ. ψευδεπιγρ. τῆς παλ. Διαθήκ. Τόμ. Α'. Σελ. 160. κξ'.

νοιαν ὀξυτέροις πρὸς ἔρευνάν τε καὶ κατανόησιν τῶν ὄντων παρεσκεύασε καὶ ἐπιμέλειαν, καὶ, ὡς ἔπος εἰπεῖν, τὴν φιλοσοφίαν ἐν ὠδῖσιν ἦσαν ψυχῆς, ἢ τὸ πλέον ἐν παραγάνοις ἔτι ἢ γάλαξιν, ἐξ αὐτῆς τῆς ἀρχαιοτάτης πάμπαν ἀποσερήσομεν. Μᾶλλον δὲ καὶ πολλῷ τῷ μέτρῳ τῇ ἐρεύνῃ ταύτῃ ἐκείνης διενεγκεῖν ἀξιώσομεν, ὅσῳ καὶ φύσεως ἀκμῇ, καὶ περισσίᾳ φρενῶν, καὶ τῇ διὰ τὸ μακρόβιον πολυπειρίᾳ τε καὶ ἀμφιλαφεῖ πείρᾳ, προθυμοτέρας γενέσθαι εἰκὸς, καὶ τάχα δὲ καὶ εὐτοχωτέρας τῶν ὕστερον εἰς ἀληθείας ἀνεύρεσιν. Ὀργᾷ γάρπως τὸ ὀξύνειν καὶ φρενῆρες πρὸς ἐπιστήμην. Καὶ τοῦτο βέλεσθαί μοι δοκεῖ καὶ ὁ μῦθος, τῷ νοῒ τὰς τέχνας εἰσάγων ὁμοχρόνους παρ' ἡμῖν καὶ ὁμήλικας, ἐν οἷς πλάττει:

„Πάσας τέχνας βροτοῖσιν ἐκ Προμηθέως,„
Ὅστις
„Σφᾶς νηπίους ὄντας τὸ πρὶν,
„Ἔννους ἔθηκε, καὶ φρενῶν ἐπηβόλους (1).

§. δ'. Ἀνάγει τοίνυν ἐπὶ τοῦς τῷ Γένους καταρξαντας τὰ τῆς φιλοσοφίας Προοίμια, ὁ φύσει ἅπασιν ἀνθρώποις ἐγκείμενος εἰς τὸ φιλοσοφεῖν ἔρως. Τὸ γὰρ φίλαυτον ἔμφυτον. Διὰ ἐκεῖνο δὲ, πᾶς τις διώκει τὸ εὐδαιμον. Εὐδαιμονία δὲ ἀνθρώπῳ καὶ μάλα προσήκουσα, τὸ, πλέον ἢ τ' ἄλλα, διαφέρειν ταῖς εἰδήσεσι· „Διὸ καὶ τὸ ἕκαστον τοῦ εἰδέναι φύσει ὀρέγεσθαι,„ ἔτω πως ἐκ τῶν προτέρων, (τοῦτέστιν ἐκ τοῦ αἰτίου) ὀρθῶς ἂν συναπτοιτο, ὅπερ ἐκ τῆς τῶν αἰσθήσεων ἀγαπήσεως,„ Ἀριστοτέλης (2) ὑστερολογῶν ἐτεκμαίρετο. Εἰ γὰρ ἔτως ἐφέσεως πεφυκὸς ἐγένετο ἀεὶ τὸ ἀνθρώπειον, εὔδηλον ὡς ἀνέκαθεν εὐθὺς τῆς Σοφίας τῷ πόθῳ ἑάλω· Καὶ τῶν πολλῶν, οἳ δήπου ἧττον ἀνθρωπίνως τοῦ τιμιωτάτου, καὶ θειοτάτου παρημέλησαν χρήματος, εἰκὸς καὶ κομμάτι ἐν μέρει ἀφοριαθὲν διαιρεθῆναι, οἷς ὁ τῆς γνώσεως πλοῦτος πρὸ παντὸς ἄλλου τετίμηται (3).

§. ε'. Πείθει δὲ τοῦτ' αὐτὸ, καὶ ἡ ἐν ἔξιν ὅτῳ μὴ ἐνορωμένη πολυπραγμοσύνη, καθ' ἣν περὶ τὰ ἀδηλότερα, καὶ ὧν τὰ αἴτια ὡς πορρωτάτω αἰσθήσεως ἵδρυται ἐπέχων ὁ Νοῦς καὶ σφαδάζων,

(1) Αἰσχύλ. Προμηθ. Δεσμώτ.
(2) Ἀριστ. Α. Μεταφυσ. Κ. ά.
(3) „Εἰ διὰ τὸ φεύγειν τὴν ἄγνοι-„αν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ „τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον. Αὐτ „Κεφ. β'.

δάζων, ȣ̓ πρὶν ἐφηρεμεῖ τοῖς φαινομένοις, ἢ τȣ́των τȣ̀ς λόγȣς ἐκπαιδευθείῃ „Ὅπȣ γὰρ ὁ τῆς αἰτίας ἐπιλείπει λόγος, ἐκεῖ„θεν ἄρχεται τὸ ἀπορεῖν, τȣτέςι τὸ φιλοσοφεῖν „(1). Οὐρανῶν ȣ̓ν καὶ τῶν ἐν ἐκείνοις φώτων ἀριθμὸν, καὶ μέγεθος, καὶ θέσιν, καὶ κίνησιν· Στοιχείωντε ἀντιφυΐας ἅμα καὶ συμφυΐας, εἰς φθορὰν ὑπȣργȣ́σας καὶ γένεσιν· Μικτῶν τε τῶν ἐξ ἐκείνων φύσεις τε καὶ δυνάμεις, καὶ χρήσεις, καὶ ὠφελείας, καὶ ὅλως τὸν ἐν τῷ παντὶ, καὶ ἐφ' ἑκάςῳ μέρει κόσμον θεασαμένȣς, εἰκὸς ἦν ἀγαμένȣς τε καὶ τεθηπότας τȣ̀ς Ἀρχαιοτάτȣς ἐκείνȣς ἐπαπορῆσαι τῇ θέᾳ· Πολλȣ̀ς δὲ ἐξ αὐτῶν ὡρμημένȣς ἐξ ἀπορίας δικαιοτάτης, καὶ ἐπὶ τὴν ἔρευναν ἐπιςραφῆναι τῶν ἀγνοȣμένων. (2) Τῶν τε μᾶλλον πρȣ́πτων ἐγκρατεῖς ὀφθέντας, ἐντεῦθεν κἀπὶ τὰ ἐνδότερα χωρῆσαι, καὶ ἀφορμὴν ȣ̓τω τοῖς ὕςερον θεωρίας ȣ̓ φαύλην καταλιπεῖν καὶ μαθήσεως. Ὁδὸς γέτοι ἀεὶ τὸ ἀπορεῖν, καὶ ἐπὶ τὴν εὐπορίαν παρόρμησις ἔδοξέ τε καὶ λέλεκται.

§. ϛ'. Διαμιλλᾶται τοίνυν ȣ̓τω νοȣμένη ἡ φιλοσοφία τῷ ἀνθρωπίνῳ ἐπ' ἀρχαιότητι, ȣ̓δὲ πάνυ ὑςερογενὴς εἶναι βȣ́λεται. Καὶ εἰκότα δήπȣ ἐν ȣ̓κ εἰκόσι Διογένης ἐτόπαζεν ὁ Λαέρτιος, ἐν οἷς φησὶν, ὅτι „ἀπὸ τῶν Ἑλλήνων, μὴ ὅτιγε φιλοσοφία, ἀλ„λὰ καὶ γένος ἀνθρώπων ἦρξε. (3).„ Τὸ μὲν γὰρ ἀπὸ τῶν αὐτῶν καὶ τȣ̃ γένȣς καὶ τῆς φιλοσοφίας ἕλκειν βȣ́λεσθαι τὰ προοίμια, εὐλόγως ἐςὶν ἀποφαινομένȣ, μὴ παρὰ πολὺ ἐν ἀνθρώποις ἀργῆσαι τὴν περὶ τὰ μαθήματα ἔφεσιν· ἅμα δὲ ὑφεςῶτας τῷ λόγῳ χρήσασθαι εἰς πορισμὸν γνώσεως, συνεωσμένȣς εἰς τȣ̃το δηλονότι ὑπὸ τῆς Ἱερᾶς φύσεως, καὶ ῥοπῇ τῇ πρὸς εὐδαιμονίαν, καὶ τῇ ἐκ τȣ̃ ἀπορεῖν ἐκπλήξει κινηθέντας, ἐμφύτοις ὡς μύοψι. Τὸ δὲ τὰς ἀπαρχὰς καὶ αὐτῆς τῆς φύσεως, μὴ ὅτιγε τῆς παιδείας μόνης, ἀπὸ τῶν Ἑλλήνων δρέπεσθαι ἐπιχειρεῖν, ἀνδρὸς ἐςὶν ἐπιεικῶς φιλογενȣ̃ς ἐκ τόπως καὶ φιλοπάτριδος.

(1) Πλȣ́ταρχ. Συμποσιακ. Βιβ. Ε'. Προβλ. ζ'.

(2) „Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄν„θρωποι, καὶ νῦν, καὶ τὸ πρῶτον ἤρ„ξαντο φιλοσοφεῖν. Ἐξ ἀρχῆς μὲν τὰ „πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, „εἶτα κατὰ μικρὸν ȣ̓τω προϊόντες, καὶ „περὶ τῶν μειζόνων ȣ̓τω διαπορήσαντες· „οἷον περὶ τῶν τῆς Σελήνης παθημά„των, καὶ τῶν περὶ τὸν Ἥλιον, καὶ „ἄςρα, καὶ περὶ τῆς τȣ̃ παντὸς γενέ„σεως, κτ'. Ἀριςοτ. Μεταφυσ. Μεῖζον. Α'. Κεφ. β'.

(3) Ἐν τῷ Προιμ. Εἰς τȣ̀ς βίȣς.

τριδος. Κινδυνεύει δὲ λαθεῖν αὐτὸν τὰ βαρβάρων κατορθώματα, ὅπερ ἐκεῖνος ἐπιμέμφεται Ἀριστοτέλει, καὶ Σωτίωνι, καὶ Ξάνθῳ τῷ λυδῷ, καὶ ἄλλοις, „λανθάνειν (εἰπὼν) τὰ Ἑλλήνων κατορθώματα τοῖς βαρβάροις προσάπτοντες„. (1) Ἄλλοθεν γὰρ καὶ μάλα καταφανές ἐστι, πολὺ τῶν Ἑλλήνων δυνεγκεῖν ἐπ᾽ ἀρχαιότητι Γένη βαρβάρων, καὶ ταῦτα τέχναις εὐδοκιμῆσαι, καὶ λόγοις. Οἷον Ἀσυρίους τε τοὺς πάλαι, καὶ Χαλδαίους, περιπύστους περὶ τὴν Ἀστρονομίαν γεγονέναι, δεδειῶς αὐτοῖς ἐχέσης εἰς τοῦτο τῆς χώρας, ὡς ἐπιπέδου τε ὄσης, καὶ ἐξανεφέλου τε καὶ διαύγους τοῦ περιέχοντος, ἀκώλυτον τὴν θέαν τῶν ἀρανίων διακόσμου παρεχομένης. Ἀπὸ δὲ τούτων παιδευθέντας, καὶ τῷ ἴσῳ ζήλῳ διεγηγερμένους μηδὲν χείρους ἐπὶ σοφίᾳ ὀφθῆναι τοὺς Αἰγυπτίους· Τούτους γὰρ ὀνομαστοτάτους γενομένους περὶ τὰ μαθήματα, καὶ τὰς τέχνας οἱ πάντες θρυλλοῦσι, τὰ μὲν παρὰ τῶν Χαλδαίων δι᾽ Ἀβραάμου (ὡς τῷ Ἰωσήπῳ Ἰσόρηται (2), στοιχειωθέντας, καὶ τὸν Ἀβραάμου ἔπειτα ἀπόγονον Μωσῆν στοιχειώσαντας, ὡς Φίλωνι διηγεμένῳ (3) προσιθέντα καὶ τῶν παρ᾽ ἡμῖν Πατέρων οἱ ἀρχαιότατοι (4). Τὰ δὲ καὶ παρ᾽ ἑαυτῶν, ἀνδρώντας τὰ πλεῖστα, ὅπερ οἱ τῶν Ἑλλήνων ἄριστοι αὐτοῖς ἐπιμαρτυροῦσιν (5). Οὐ γὰρ μήποτε Αἰγυπτίους τῆς κατὰ τὴν Γεωμετρίαν Ἐπιστήμης τὴν εὕρεσιν, ἀδεὴς ἀφαιρήσεται χρόνος. Οὐ μόνον γὰρ τοῖς παρ᾽ αὐτοῖς Ἱερεῦσι τὸ κατὰ Σχολὴν τὸν βίον διάγειν εἰς εὕρεσιν τῶν Μαθημα-

μα

(1) Αὐτ. αὐτ.

(2) „Διῆρε γὰρ πρὸς αὐτὰς (τὰς Αἰ-„γυπτίας Ἀβραάμης) τῆστε ἀφθονίας „τῆς ἐκείνων μεθέξων, καὶ τῶν Ἱερέ-„ων ἀκροατὴς ἐσόμενος ... Φαραώθης δὲ „ὁ βασιλεὺς, (ὃ καὶ Νεχαὼς λεγόμε-„νος) δωρεῖται τε αὐτὸν πολλοῖς χρή-„μασι, καὶ συνεῖναι Αἰγυπτίων τοῖς „λογιωτάτοις ἐπιτρέπει ... οἷς τήν τε „Ἀριθμητικὴν (Ἀβραάμης) χαρίζε-„ται, καὶ τὰ περὶ Ἀστρονομίαν παρα-„δίδωσι. Πρὸ γὰρ τῆς Ἀβραάμου „παρουσίας εἰς Αἴγυπτον, οἱ Αἰγύπτιοι „τούτων ἦσαν ἀμαθεῖς. Ἐκ Χαλδαίων „γὰρ ταῦτα ἐπεφοίτησεν εἰς Αἴγυπτον, „ὅθεν ἀνῆλθε καὶ εἰς τοὺς Ἕλληνας. Ἰώ-„σηπ. περὶ Ἰουδαϊκ. Ἀρχαιολ. Λογ. Α. „Κ. Θ.

(3) Φίλων ὁ Ἰουδ. ἐν τῷ περὶ Ἀβραάμου. Σελ. 360.

(4) Αὐτ. περὶ βίου Μωσέως. Σελ. 604. Κλήμ. Ἀλεξ. Στρωμ. Βιβλ. Α΄. Ἰωσῆν. Φιλόσοφ. καὶ Μάρτ. Ζητήμ. κέ. πρὸς τοὺς ὀρθοδ. Ὠριγέν. κατὰ Κέλσου Βιβ. Α΄.

(5) Πλάτωνα ἐν Φαίδρῳ. Καὶ Στράβ. Βιβλ. ιζ΄. καὶ ις΄. Καὶ Ἀχιλ. Τατ. εἰς τὰ Ἀράτου Φαινόμ. Καὶ Ἰάμβλ. εἰς βίον Πυθαγόρου.

ματικῶν τεχνῶν συνεβάλετο (1). Ἀλλὰ καὶ Ἀνάγκη γὰρ αὐτὸς ἐνῆγεν εἰς τὸ Γεωμετρεῖν κατεπείγουσα, ἵν' ὁμαρῶς διακρίνειν ἔχοιεν, τὰς τῶν ἀγρῶν αὐτοῖς συγχεομένας ὄρας, ὑπὸ τῆς ἐτησίας τοῦ ποταμοῦ ἐπικλύσεως (2). Γέγονε δὲ ἄρα καὶ τὸ τῆς ἀνάγκης πολλῶν εὑρέσεως ἐπισημῶν καὶ τεχνῶν ἀφορμή. Καὶ τοῦτ' ἐπέσαι πρὸς τοῖς λοιποῖς ἐπιλογιοῦναι, τῆς ἀρχαιότητος ἐκείνων ἐκ ὀλιγωρητέον τεκμήριον.

§. ζ'. Πολλῶν ἔν καὶ ἀξιολόγων Ἀνδρῶν τοῖς Βαρβάροις ἀνατιθεμένων τὴν Φιλοσοφίας ἀνεύρεσιν, ὤφειλε δήπε, ἤτοι ὧν εἰς μέσον παρήγαγεν αἰδεσθῆναι τὰς πίστεις, ἢ δι' ἃς αἰτίας ἀλόγως ἀνατρέψαι τὴν δόξαν ἐπειρᾶτο, παραθέσθαι ἡμῖν ὁ Λαέρτιος. Τῷ δὲ ὁ Θρᾷξ Ὀρφεὺς, ὡς ἄρα πᾶν ἀνθρώπειον πάθος τοῖς Θεοῖς ἀφειδήσας προσρίψαι, καὶ διὰ τοῦτο ἐνδίκως ὑπὸ γυναικῶν ἀπολεσθεὶς κατὰ τὸς μύθους, ἢ ἄλλως κεραυνωθεὶς κατὰ τὸ Ἐπιτύμβιον,

„Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι κεραυνῷ.

ἐκ ἄξιος ὤφθη τοῦ φιλοσόφου ὀνόματος· Καὶ τῆς κατὰ τὴν Φιλοσοφίαν ἀρχαιότητος διὰ τὸν ἡχρολογηκότα Φιλόσοφον, τὸ Θρακῶν γένος ἐκπέπτωκε, τῆς ἐνὸς ἀδικίας ὅλε παραπολαύσαντος τοῦ Ἔθνες. Ἀλλὰ καὶ „τὸ ὄνομα αὐτὸ τὴν βάρβαρον „ἀπέσραπται προσηγορίαν,„ φησὶν ἐκεῖνος (3), τοῖς λεξιδίοις προσατταλοῦν τὰ πράγματα, καὶ μὴ τούτων τὰς φωνὰς, ὡς ἔοικεν, ἡγέμενος ὑπηρέτιδας. Καίτοι „ἀχὶ τὰ ὀνόματα πί„σις τῶν πραγμάτων εἰσὶ, τὰ δὲ πράγματα τῶν ὀνομάτων (4). Ὑπὲρ γὰρ δὴ τῶν Βαρβάρων, Ἀνάχαρσις Σκύθης ὤν, καὶ τῷ Ἔθνει βάρβαρος, ἀρκέντως ἀπολελόγηται. „Ἕλλυες σοφοὶ „Ἄνδρες, ἀδέν γε σοφώτεροι Βαρβάρων. Τὸ γὰρ ἐπίσασθαι καλὸν εἰδέναι ἐκ ὠφέλουτο Θεοὶ Βαρβάρων (5).

§. ή. Δίκαιον ἔν τοῖς ἀρχαιοτάτοις τῶν Ἐθνῶν μὴ παντελῆ προσονειδίζειν ἄγνοιαν τῶν πραγμάτων, ἀλ' ἐκ ἀλόγως πολλοῖς πειθομένες προσμαρτυρῶσιν, ἀπονέμειν μὲν καὶ αὐτοῖς τὴν περὶ τὰ καλὰ τῶν παιδευμάτων φιλοτιμίαν, συντίθεσθαι δὲ

(1) „Διὸ περὶ Αἴγυπτον αἱ Μαθη„ματικαὶ πρῶτον τέχναι συνέστησαν· „ἐκεῖ γὰρ ἠφείθη χαλάζειν τὸ τῶν „Ἱερέων Ἔθνος. Ἀρισ. Μεταφ. Μεῖζ. Α'. Κεφ. α'.

(2) Ἡρόδοτ. Βιβ. β'. Διόδωρ. ὁ Σικελιώτ. Βιβ. Α'.

(3) Λαέρτ. ἐν τῷ Προοιμ. τῶν βίων.

(4) Δίων. ὁ Χρυσόστ. πρὸς Νικομηδ.

(5) Ἀνάχαρσις ἐπισ. Σόλωνι.

δὲ παρὰ μὲν Πέρσαις γεγενῆθαι τὰς Μάγους, Ἄνδρας παιδείας ἐπιμελεμένους, παρὰ δὲ Βαβυλωνίοις, ἢ Ἀσυρίοις τὰς Χαλδαίους, ἀφ' ὧν καὶ ὅλον ἔπειτα γένος τιὼ προσηγορίαν διεσεμύνετο. Ἐξῆς τε ἀπὸ τούτων τὰς παρ' Ἑβραίοις Ραββὶ ἀνθῆσαι. Καὶ Βραχμάνας δέ τινας γενέθαι παρὰ τοῖς Ἰνδοῖς, οἵ Γυμνοσοφισαὶ ὕστερον ἐξελληνιζόμενοι ἤκουσαν. Παράτε Κελτοῖς, καὶ Γαλάταις τὰς καλεμένας Δρυΐδας τε καὶ Σεμνοθέας. Καὶ παρ' Αἰγυπτίοις τὰς Ἱεροφάντας. Καὶ Φοινίξι δὲ Γένει ἐχ ἧττον Ἐπισήμω πάλαι παραπλήσιόν τι κόμμα συζῆναι τῇ μαθήσει ἔκδοτον, ἀφ' ὧν Γένος Ἑλλήνων ἐκ ὀλίγα εἰς εὐδησιν ἀπωέγκατο. Ἐξῆς τε ἀπὸ Ἑλλήνων τὸ Ῥωμαίων ἄρξαθαι Φιλοσοφεῖν. Ὡς οὕτω τιὼ Φιλοσοφίαν τὰ ἐπισημότερα τῶν Ἐθνῶν οἷον ἐκπεριελθεῖσαν, καὶ ἄλλη ἄλλοτε καὶ παρ' ἄλλοις χρησαμένιω τύχη, ἐπ' αὐτὸν δὴ τελεύταιον καθ' ἡμᾶς ἀρθῆναι τὸν κολοφῶνα, παρὰ τοῖς ἀκλεεςάτοις τῶν νῦν οἰκέντων τιὼ Εὐρώπιω ἀνθρώπων, ἐφ' οὗ ἔποτε, καὶ παρ' ἀδέσι πρότερον. Παρῆν ἐν Πέρσαις καὶ Χαλδαίοις αὐχεῖν ἐπὶ Ζωροάςρῳ· Λίβυσι δ' ἐπὶ Ἄτλαντι· Αἰγυπτίοις δὲ ἐπὶ Ἡφαίςῳ τῷ Νείλε γεγονότι ὑῶ, καὶ Ἑρμῇ τᾷ Τρισμεγίςῳ. Καὶ Φοινίκων μὲν Γένος Ὤχον (1) πρεβάλλετο εἰς σεμνότητα, Θρακῶν δὲ, Ζάμολξιν. Καὶ Σκύθαι Ἀνάχαρσιν· Καὶ Σινῶν δὲ, ἢ Σηρῶν Ἔθνη τῶν Ἀνατολικωτάτων, ἐπὶ Κομφικίω ἔς γε καὶ ἤδη ἀγάλλονται, ὃν σύγχρονον γεγονότα τῷ Πυθαγόρα (2) ὡς Κορυφαῖον τῆς παρ' αὐτοῖς σοφίας, καὶ μέχρι τε νιῶ ἐξυμνέσι, καὶ τιμαῖς θειοτέραις γεραίρεσιν.

§. ϑ'. Ἦγε μιὼ Ἑλὰς τοσάτες ἤνεγκε τὲς ἐπὶ φρενῶν ὀξύτητι, καὶ φύσεως ἀξιαγάςῳ τάχει τῶν πολλῶν διοίσαντας, ὰς ἐπὶ τῇ ἀκληρίᾳ, τῶν ἀνὰ πᾶσαν τιὼ γῆν ἐθνῶν (Νεμέσεως δὲ μὴ βάλῃ βέλος ἄλλο, εἴτι καὶ λείπεται) φέρειν τὰ πρῶτα, καὶ μήτης καὶ τροφὸς ἀκέειν τῆς ἐν τοῖς λόγοις δυνάμεως, παντοίας ἐπισήμης ἰδέαν, πάσης δὲ τέχνης διελθεῖσα τε ἐπιμελῶς, καὶ προαγαγεῖσα δαιμονίως. Ἃ γὰρ ἐξ Ἐθνῶν τῶν ἀρχαιοτέρων

(1) Ὃν Ὤχον Ἀελέρτιος ἐν Προοιμ. καὶ Σκίϑ. ἐν Λέξ. καλᾶσι, Μῶχον παρὰ Στράβωνι, καὶ Ἰωσήπῳ, καὶ Σέξτῳ τῷ Ἐμπειρικῷ, καὶ ἄλλοις, ἂν εὕροις ὀνομαζόμενον. Παράτισι δὲ καὶ Μόχος καλεῖται, καὶ πρῶτος ἀτομολογῆσαι λέγεται.

(2) Γεννηθεὶς ἰσορεῖται Κομφύκιος. Ἔτ. πρὸ Χριςᾶ Φυά. τελευτήσας δὲ Ἔτος ἄγων ογ'. Ὁ δὲ τῷ Πυθαγόρᾳ χρόνος ἀδηλότερος.

ρῶν παρέλαβον Ἕλλωες, ἀκμὴν ἠκρίβωσαν, καὶ τὰ τυχόντα μεγάλα ἀνέδειξαν· ὁπόσα τε ἐδὲ ὄναρ τοῖς πρὸ αὐτῶν ἐπῆλθε φανταθῆναι, ὀξέως τε καὶ δυσόχως συνεωρακασι, περί τε τὰ ἀρχαῖα ἐσπουδακοτες, καὶ τέτοις συγκαταμασσόσαντες τὰ νεώτερα· τόσέτω δὴ τῶν Φιλεπισημόνων Ἐθνῶν διενεγκόντες, ὅσῳ πλέον ἐκεῖνα τῶν ἄλλων ἔχε, παρ' οἷς, ἐδεὶς ἐδέποτε λόγος τῆ θειοτάτε τῆς Σοφίας ὑπῆρξε χρήματος. Ἐφ' ᾧ γὰρ τ' ἄλλα παρελθεῖν, κἂν τῆτο τῆς ἐν Ἕλλησι, καὶ τοῖς ἐπὶ Σοφίᾳ μέγα βρενθυομένοις Αἰγυπτίοις (παρ' οἷς Ἕλλωες παῖδες ἦσαν (1), διαφορᾶς δεῖγμα ἀναποχρήσειαν, ὅτι καὶ Διδασκάλοις ἐκείνοις χρησάμενοι, αὐτοὶ ὅμως τὸ ἐνδέον τῆς Διδασκαλίας ἀνεπλήρεν, καὶ τὸν κολοφῶνα προσεπετίθεντο. Πυθαγόρας μὲν γὰρ, κατὰ πόθον μαθήσεως, καθάπε καὶ συχνοὶ ἄλλοι (2) εἰς Αἴγυπτον κατῆρε· Καὶ Θαλῆς δὲ παρ' Αἰγυπτίᾳς ὡσαύτως φοιτήσας Γεωμετρεῖν ἐδιδάσκετο· Ἀλλ' ὁ μὲν ἐξεῦρε τλὼ ὑποτείνεσαν τῇ ἐν τριγώνοις ὀρθογωνίᾳ, ἴσα δυϊαθαγταῖς περιεχέσαις τλὼ ὀρθὼ γωνίαν πλόραις, καὶ Ἑκατόμβιω ἔθυσεν ἐπὶ τῷ εὑρήματι, ὡς δηλοῖ καὶ τ' ἐπίγραμμα:

» Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὗρατο γράμμα,
» Κεῖν' ἐφ' ὅτῳ κλεινλὼ ἤγαγε Βεθυσίλω (3).

Ὁ δὲ Θαλῆς πρῶτος καταγράψαι λέγεται κύκλε τὸ τρίγωνον, καὶ θύσαι βῶν (4). Τὸ γῶν ἐκ τέτων συμβαῖνον ῥάδιον συνιδεῖν· Ἤτοι γὰρ ἀλλοτρίας δόξης αὐτὲς φῶρας ὑπολιπτέον, τὰ τῶν ἄλλων σφίσιν ἀναθεμένες ἐπινοήματα (ὃ περὶ τηλικέτων Ἀνδρῶν ἐ θέμις ὑπονοεῖν), ἢ μὴ μέγατι πρὸ τῶν Ἑλλώνων ἐπιδεδωκέναι τὰ τῶν μαθημάτων ἡγητέον παρ' Αἰγυπτίοις, ὁπότε τῶν Στοιχειωδεσάτων τέτων ἀπείρως εἶχον, ἐφ' οἷς ὡς θεμελίοις ἐποικοδομεῖται τὰ κράτιστα τῆς Μαθήσεως.

§. ί. Ἑλλήνων μὲν ἓν ἀρχαιότατοι ἐπὶ Σοφίᾳ γεραίρονται, παρὰ μὲν Ἀθηναίοις, Μυσαῖος ὁ Εὐμόλπε, ἀφ' ἓ καὶ οἱ Εὐμολπίδαι

(1) Πλάτων ἐν Τιμαίῳ, ἅτω τὸν Αἰγύπτιον ἱεροφάντην εἰσάγει λέγοντα. „Ὦ Σόλων Σόλων, Ἕλληνες ὑμεῖς ἀεὶ „παῖδες ἐτέ. Γέρων δὲ Ἕλλην ἐδεὶς· „ἃ γὰρ ἔχετε μάθημα νέον πολιόν.

(2) Μαρτυροῦσι δὲ καὶ τῶν Ἑλλήνων οἱ Σοφώτατοι, Σόλων, Θαλῆς, Πλάτων, Εὔδοξος, Πυθαγόρας (ὡς δ' ἔνιοι φασι, καὶ Λυκοῦργος) εἰς Αἴγυπτον ἀφικόμενοι, καὶ συγγενόμενοι τοῖς ἱερεῦσι. Πλάτ. περὶ Ἴσιδ. καὶ Ὀσίριδος.

(3) Παρὰ Λαερτ. ἐν βίῳ Πυθαγ.

(4) Αὐτ. ἐν βίῳ Θαλ.

δαι ἐπώνυμον· παρὰ δὲ Θηβαίοις τοῖς ὁμόροις, Λῖνος ὁ Ἑρμῆ, καὶ Μέσης Οὐρανίας, οἱ πρὸ τῶν Τρωϊκῶν ἀκμάσαντες· Ἐκ δὲ τέτων Ἡρακλῆς, καὶ Ὀρφεὺς ὁ Πατὴρ τῆς ποιήσεως. Ἐπὶ τέτοις Ὅμηρος, καὶ Ἡσίοδος, ἔτη γεγονότες ἑκατὸν περίπε πρὸ τῆς τῶν Ὀλυμπιάδων καταμετρήσεως. Ἐς δ' ἐπ' ἐκεῖνο τῦ χρόνε ἐμμέτρως ἡ φιλοσοφία ἐφθέγγετο, καὶ τοῖσγε μύθοις, ὡς παραπετάσμασι σκεπομένη, τοῖς πλείοσιν ἀπέκειτο κάλλος ἄποπτον καὶ ἀπρόσιτον.

§. ια'. Περὶ δὲ τλὺ ν'. Ὀλυμπιάδα, φορὰν Ἀνδρῶν τῶν ἐπὶ Σοφίᾳ θαυμαζομένων, κατ' ἐκλειψιν τῆς Ἑλλάδος, ὁ τότε ἤνεγκε χρόνος· Κατ' ἐκεῖνο γὰρ ὁ Ἱερὸς τῆς ἑπταδικῆς τῶν Σοφῶν χορείας συνίστατο ἀριθμός. Καίτοι καὶ ἕτος παρ' ἄλλοις ἄλλως μετακινέμενος, καὶ παντοίως μεθαρμοζόμενος, ὡς ἰδεῖν ἐστὶ παρὰ Λαερτίῳ (1), παρ' ᾧ καταγραφὴ φέρεται ἡ πρὸ τῶν ἄλλων ἐγκρινομένη αὕτη.

Α'. Θαλῆς Ἰθαγενὴς Μιλήσιος, ἢ πολιτογραφεὶς κατ' ἄλλες. Φὺς μὲν κατὰ τὸ α'. Ἔτος τῆς λε'. Ὀλυμπ. τελευτήσας δὲ ἐπὶ τῆς νη'.

Β'. Σόλων ὁ Ἐξηκεστίδε Σαλαμίνιος, ὁ νομοθετήσας Ἀθηναίοις. ἤκμασε δὲ περὶ τλὺ κς'. Ὀλυμπ.

Γ'. Χείλων Δαμαγήτε Λακεδαιμόνιος, Ἔφορος χρηματίσας, κατὰ τλὺ νς'. Ὀλυμπ.

Δ'. Πιττακὸς Ὑρράδιε Μιτυληναῖος. Ἤκμαζε περὶ τλὺ μβ'. Ὀλυμπ.

Ε'. Βίας Τευτάμε ὁ Πριηνεύς.

ς'. Κλεόβελος Εὐαγόρε Λίνδιος.

Ζ'. Περίανδρος Κυψέλε Κορίνθιος, ὃς ἤκμαζε περὶ τλὺ λή. Ὀλυμπιάδα.

Τέτοις συγκατέταξαν καὶ Ἀνάχαρσιν, ὑὸν μὲν Γνύρε, ἀδελφὸν δὲ Καδείδε τῦ Σκυθῶν βασιλεύοντος, μητρὸς δὲ Ἑλληνίδος. Καὶ Μύσωνα δὲ Στρύμωνος, τὸ Γένος Χιωέα, ἀπὸ Κώμης Οἰταικῆς, ἢ Λακωνικῆς. Καὶ Ἐπιμενίδιν τὸν Κρῆτα. Καὶ Λεόφαντον τὸν Ἐφέσιον. Οἱ δὲ καὶ Φερεκύδιν τὸν Σύριον, καὶ Πεισίστρατον, καὶ ἄλλες, ὥστε μέχρι τῶν ἑπτὰ ἐπὶ δέκα Ἑρμίππου ἀριθμεῖν. Ἀφ' ὧν καὶ τὲς ἑπτὰ ἄλλοις ἄλλως

(1) Εἰς τὸν βίον Θαλῆ.

ἄλλως ἠρῆθαι εἴρηται (1). Τέτες ἓν σωετέστινας, καὶ νομοθετικὲς Ἄνδρας γεγονέναι, μὴ σοφὲς, μηδὲ Φιλοσόφες Δικαίαρχος ὑπείληφεν (2). Ἀλλὰ γὰρ σοφὲς ὀνομάζεθαι, εἰμήγε τέτες, τίνας ποτ' ἂν ἄλλες δικαιότερον ἀξιώσαιμεν, ὑφ' ὧν καὶ οἶκοι, καὶ πόλεις, καὶ ὅλα Γένη ἐπὶ τὸ κρεῖττον διεκοσμήθησαν; Καιμὶν εἰ καὶ τῶν πάντων ἀφέλοιτό τις τὸ τῆς Φιλοσοφίας σεμνὸν, ἀλλὰ Θάλεώτε καὶ Φερεκύδε, ἐδεὶς ἂν ἔχοι. Πῶς γάρ; ἀφ' ὧν αἱ πᾶσαι Αἱρέσεις τῆς Φιλοσοφίας ἐρρύησαν; Ἀπὸ μὲν γὰρ Θάλεω τῦ Ἴωνος, ἡ Ἰωνικὴ σιωέστη Αἵρεσις. Ἀπὸ δὲ Πυθαγόρε τῦ ἀκροασαμένε Φερεκύδε, ἡ Ἰταλική. Ὅτι Πυθαγόρας πλεῖσον κατὰ τὶν Ἰταλίαν διετέλεσε διατρίψας (3). Ἀπὸ δὲ τέτων αἱ ἄλλαι ὅσαι γεγόνασιν ὕστερον, ἂς διεξελθεῖν ἐπιτεμόντας προσήκει, ἀρξαμένες ἀπὸ τῆς Ἰταλιώτιδος.

§. ιβ'. Ταύτης ὡς εἴρηται ἡγήσατο Πυθαγόρας ὁ Σάμιος. Οὗτος Ἀκροατὴς γεγονὼς Φερεκύδε τῦ Σύρε, ἔπλα Ἑρμοδάμαντος ἐν Σάμῳ τῇ πατρίδι. Ἐξῆστε ἐντεῦθεν παράτε Αἰγυπτίες, καὶ Χαλδαίες ἐπιδημήσας, καὶ κτέτων πολλὰ μυηθεὶς. Καὶ σιὼ Ἐπιμενίδῃ δὲ εἰς τὸ Ἰδαῖον Ἄντρον τὸ ἐν Κρήτῃ κατελθών. Τέως δὲ ἐπεὶ κατειληφὼς Ἦν τὶν πατρίδα ὑπὸ Πολυκράτες τυραννεμένην, εἰς Κρότωνα τῆς Ἰταλίας (ἣ δὴ Καλαβρία μὲν ἐφ' ἡμῶν ἀκέει, τὸ δὲ πάλαι μεγάλη Ἑλλὰς ἐκαλεῖτο.) ἀπᾶρας, ἐνταῦθα διὰ χρόνε τὰς Φιλοσό-

(1) Διογ. Λαέρτ. ἐς βίον Θάλητος.

(2) Ἀυτ. ἀυτ.

(3) Ὁ μὲν Λαέρτ. ἐν τῷ προοιμ. δύο τῆς Φιλοσοφίας ἰσορᾶ γεγονέναι τὰς διαδοχάς. Κλήμ. δὲ ὁ Ἀλεξανδρ. τῇ ἀπὸ Πυθαγόρε Ἰταλικῇ, καὶ τῇ ἀπὸ Θαλῆ Ἰωνικῇ, προσέθησι καὶ τρίτην τὴν ἀπὸ Ξενοφάνες Ἐλεατικήν. (Στρωμ. Α'.) ὁ δὲ Θεμίστιος τὰς τῶν Φιλοσόφων ἐνστάσεις τριχῇ, ἢ τέτραχα (εἰ γνήσιον τὸ Τέτραχα καὶ μὴ ὑποβολιμαῖον, ὥστισι δοκεῖ) διεσπασμένας ἔσας, ὑπὸ Σωκράτες ἢ Πλάτωνος εἰς ἓν φησὶ συναχθῆναι, κατὰ τὸν ὑπὸ Θησέως τῶν Ἀθηναίων συνοικισμόν. (Θεμίσ. λόγ. ιε'.) Ἔτι δὲ καὶ ὀνόματα τῶν Αἱρέσεων ἐπετέθη, ἀπὸ τῦ ἐξάρχοντος τῆς Αἱρέσεως. Οἷον Πυθαγορικοὶ, Πλατωνικοὶ· Ἀπὸ τῆς πόλεως, οἷον Κυρηναϊκοὶ, Μεγαρικοὶ· Ἀπὸ τόπε καθ' ὃν αἱ διατριβαὶ, Στωϊκοὶ, Ἀκαδημαϊκοὶ· Ἀπὸ Συμπτώματος, ἢ Συμβεβηκότος, Περιπατητικοὶ· Ἀπὸ διαθέσεως, οἷον Εὐδαιμονικοὶ, Ἡδονικοὶ· Ἀπὸ σκωμμάτων, οἷον Κυνικοὶ· Ἀπὸ οἰήσεως, οἷον οἱ Φιλαλήθεις· Ἀπὸ τῆς πραγματείας, οἷον οἱ Φυσικοί. (Ὅρα Λαέρτ. ἐν Προοιμ. Καὶ Σιμπλίκ. καὶ Ἀμμών. ἐς τὰς Κατηγορίας.

σόφȣς ἐποιεῖτο διατριβάς. Τριακοσίοις δέπȣ περιπολȣ́μενος μαθηταῖς (1), πολλȣ̀ς μὲν τῶν ἐπὶ δόξης καὶ δυναςείας προσηγάγετο τῇ φιλοσοφίᾳ, πολλὰς δὲ δι' αὐτῶν ἐλευθέραςτε καὶ αὐτονόμȣς τῶν Ἰταλιωτίδων κατέςησε πόλεων, καὶ νόμοις συνεκρότησε τοῖς σωςικωτάτοις. Ὁ δὲ δὴ, καὶ πρῶτος ȣ̃τω φέρεται τὴν φιλοσοφίαν μετονομάσας, καὶ ἑαυτὸν φιλόσοφον, ἐρωτηθεὶς ὑπὸ Λέοντος τȣ̃ Σικυωνίων, ἢ φλιασίων Τυράννȣ, τὶς εἴη; Ἀμέλειτοι τῷ Θεῷ τὸ ὑψηλὸν τῆς κατὰ τὴν Σοφίαν προσηγορίας ἐπαναθέμενος (2). Οὗτος ἐγένετο κατὰ τὴν μγ'. ἢ μη'. ἢ νγ'. Ὀλυμπ. κατέλυσε δὲ τὸν βίον, ὡς μέντινες, ἐν ἔτει δ'. τῆς ο'. Ὀλυμπ. ὡς δ' ἄλλοι, ἄλλως (3).

§. ιγ'. Διεδέξατο δὲ Πυθαγόραν Ἀριςαῖος ὁ Κροτωνιάτης, ὁ συνακμάσας μὲν ἐκείνῳ, σχολαρχήσας δὲ μετ' ἐκεῖνον ἔτεσιν ἐννέα ἐπὶ τριάκοντα. Ἀριςαῖον δὲ διεδεξάσθην Μνήσαρχος, καὶ Τηλαυγὴς τῶ Πυθαγόρȣ υἱέε. Μετὰ δὲ τὸν Τηλαυγῆ προέςη τῆς Αἱρέσεως Βȣλαγόρας, ἐφ' ȣ̃ καὶ ἡ Κρότων κατέσκαπται. Μετὰ δὲ Βȣλαγόραν Τύδας, ἢ Γορτύδας ὁ Κροτωνιάτης, ὃς ἐπὶ τῇ συμφορᾷ ȣ̓δ' ἐπιβιῶναι ἀνεχόμενος τῇ πατρίδι, τὸ ζῆν κατέςρεψεν. Οὐ πάνυ οἶμαι ἐμφιλοσόφως διανοηθεὶς, ȣ̓δὲ διατεθείς. Τȣ̃ γὰρ σοφȣ̃ πᾶσα μὲν ἡ Γῆ πατρὶς, πόλις δ' ὁ Κόσμος. Χρόνȣ δὲ διαλιπȣ́σης ȣ̓ πάνυ συχνȣ̃ τῆς σχολαρχίας, ἀνεδέξατο τὴν ἐπιμέλειαν Ἀρεσᾶς ὁ Λευκανός. Ὄγδωος δὲ τῇ διαδοχῇ ἀπὸ Πυθαγόρȣ καταλέγεται Ἀρχύτας ὁ Ταραντινὸς, ȣ̃ καὶ Πλάτων διακȣ̃σαι Ἱςόρηται.

§. ιδ'. Πυθαγόρȣ μὲν ȣ̃ν τῶν Ὁμιλητῶν, οἱ μὲν φιλοσοφȣ̃ντος ἐν πανδήμοις διατριβαῖς ἠκροῶντο, οἱ δὲ ἤδη τῶν λοιπῶν ἐγκρινόμενοι, καὶ εἰς συνήθειαν αὐτῷ, καὶ βίȣ κοινωνίαν προσελαμβάνοντο, παρ' ὃ καὶ Κοινόβιοι ἤκȣον. Τῶν δ' αὖ, οἱ μὲν Ἐξωτερικοὶ, οἱ ὑπὸ Συμβόλοις τῶν Δογμάτων ἐπακροώμενοι, οἱ δὲ Ἐσωτερικοὶ, οἱ τρανῶς καὶ ἀπερικαλύπτως. Καὶ τοῖς μὲν ἐχεμυ-

(1) Παρὰ Λαερτ. εἰς τὸν βίον. Παρὰ δὲ Σȣΐδᾳ ἐν Λέξ. λέγεται ὁ Πυθαγόρας πλείȣς ἢ πεντακοσίȣς ἐσχηκέναι γνωρίμȣς.

(2) „Μηδένα γὰρ εἶναι Σοφὸν ἀνθρώπων, ἀλλ' ἢ Θεόν. Θᾶττον δὲ ἐκαλεῖτο „Σοφία, καὶ Σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος.„ Φιλόσοφος δὲ ὁ Σοφίαν ἀσπαζόμενος. Λαέρτ. ἐν τῷ Προοιμ. τῶν βίων.

(3) „Ἀλλὰ νυκτὶ ῥάδιον τὴν ἡμέραν συνάψαι, ἢ τȣ̀ς τὰ Πυθαγόρȣ „χρονολογȣ̃ντας συμβιβάσαι.„ Βρȣκ. Περὶ Αἱρ. Πυθαγ.

ἐχεμυθεῖν πενταετίαν, ἢ τριετίαν, ἢ διετίαν ἐπεβάλλετο, τοῖς δὲ καὶ διαπιωθάνεσθαι ἐφεῖτο, καὶ εἰς τὸ μέσον παράγειν τὰ δόξαντα. Βαθμηδὸν δὲ ἐξ ἐκείνων ἐπὶ τάτες ἡ πρόοδος ἐπετρέπετο, προαγομένων δηλονότι ἐπὶ τὰ μείζω καὶ τελεώτερα, οἷς ἂν εὖ ἔχειν ἐδόκει καὶ ἱκανῶς τὰ τῆς προασκήσεως. Ἐφ' οἷς, καὶ οἱ μὲν περὶ θεωρίαν καταγινόμενοι ἐκαλοῦντο Σεβαζικοὶ· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, Πολιτικοὶ· οἱ δὲ περὶ τὰ Γεωμετρικὰ καὶ Ἀστρονομικά, Μαθηματικοί. Καὶ οἱ μὲν τῷ Πυθαγόρᾳ αὐτῷ συγγινόμενοι Πυθαγορικοὶ· οἱ δὲ τέτων μαθηταὶ Πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξοθεν Ζηλωταὶ, Πυθαγορισταί (1).

§. ιέ. Θρυλλῆνται δὲ τῶν περὶ Πυθαγόραν Ἀλκμαίωντε ὁ Κροτωνιάτης, καὶ Ἐπίχαρμος ὁ Κῶος, καὶ Χαρώνδας ὁ ἐκ Κατάνης, καὶ Ζάλευκος ὁ Λοκρὸς, καὶ Ἵππασος ὁ Κροτωνιάτης, ἢ Μεταποντινὸς, ἢ Συβαρίτης, ὃ καὶ ἰδιάζεσαν Σχολιὼ συσησάμενος. Καὶ Εὔδοξος δὲ ὁ Κνίδιος, ὁ περὶ Ἀστρονομίαν καὶ Ἰατρικιὼ δόκιμήσας, καὶ πρὸς δὴ τέτοις καὶ τὸ Νομοθετικὸν ἐνσησάμενος.

§. ις'. Ἀπὸ τοίνιω Τηλαυγὲς τῦ Πυθαγόρε, διὰ Ξενοφάνες τῦ Κολοφωνίε, τῦ ἀντιδοξάσαι λεγομένε Πυθαγόρᾳ καὶ Θάλητι, ἡ Ἐλεατικὴ σάσις προῆλθε. Ξενοφάνες μὲν γὰρ Παρμενίδης διήκεσεν ὁ Ἐλεάτης, ᾧ Πλάτων ἀναγέγραφε τὸν Διάλογον, Παρμενίδιω, ἢ περὶ Ἰδεῶν ἐπιγράψας. Παρμενίνίδε δὲ τῇ δόξῃ προσέθετο Μέλισσος ὁ Σάμιος, καὶ Ζιώων ὁ Ἐλεάτης, ὃς καὶ μαθητοθῆναι, καὶ ὑοθετηθῆναι τῷ Παρμενίδῃ Ἰσόρηται, ἢ ἀρετὴς γενέθαι τῆς Διαλεκτικῆς ἄθετα. (2) Ἀλλ' εἰς τόδε μὲν ἄχρι Ζιώνος περὶ τιὼ Μεταφυσικιὼ ἠγάλλετο Μεταρσιολογίαν ἡ Ἐλεατικὴ Αἵρεσις, ἔξῆς δὲ διὰ Λεύκιππε καὶ Δημοκρίτε, καὶ τῶν ἄλλων, ἐπὶ τὸ Φυσικώτερον ἐτράπη, ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ ὕλα καὶ σωματικὰ ἀποκλίναται. (3).

§. ιζ'. Λεύκιππος γὰρ ὁ Ἐλεάτης ἀρχὰς ἀτόμες πρῶτος εἰσαγαγεῖν λέγεται, καὶ Κόσμων ἀπειρίαν δοξάσαι, καὶ τῷ πλήρει τὸ κενὸν ἀντιπαρατάξαι. Λευκίππῳ δὲ παρέβαλε Δημό-

(1) Σεῖδ. ἐν Λεξ. Φώτ. Κώδ. σμθ'. Λογικ. Κ. β'.
(2) Ἀριστοτέλ. παρὰ Λαερτ. εἰς βίον Ζήν. Καὶ Γασσένδ. περὶ Ἀρχ. τῆς Αἰρέσεως Κεφαλ. ιά. §. ιβ'.
(3) Βρυκίρος περὶ τῆς Ἐλεατικῆς

Δημόκριτος ὁ Ἀβδηρίτης, ὁ κατὰ τὴν π'. ἢ. ος'. Ὀλυμπ. ἀκμάσας· Ὃς καὶ παρὰ τοὺς Σοφωτάτους τῶν Βαρβάρων ἀπῆρε Σοφίαν ἐμπορευόμενος (1). Εἰσποιησάμενός δὲ τὴν Λευκίππε δόξαν, περὶ τὴν ἔρευναν τῆς Φύσεως ὅλος ἐγένετο, ὡς καὶ κατ' ἐξοχὴν ἐν τοῖς πάλαι ὁ Φυσικὸς ὀνομάζεσθαι· ἐπονομάζεσθαι δὲ καὶ Σοφία (2). Οὗτος δὲ καὶ Γελασῖνος προσείρηται, ὅτι πολὺ τῆς τῶν ἀνθρώπων κενοσπουδίας διετέλει καταχέων τὸν γέλωτα, (3) ἀντιπεπονθὼς Ἡρακλείτῳ, ὃς ἐπὶ τοῖς αὐτοῖς θρηνωδεῖν ἀνεβάλλετο. Ἐξ ὧν ἅπαντις καὶ λαβεῖν ἔχοι δεῖγμα σαφὲς τῆς ἐν ἀνθρώποις περιττὰ αὐτὰ ἀντιγνωμίας, καὶ ἐκ τῶν αὐτῶν ἀντιδιαθέσεως (4).

§. ιή. Θαυμάζονται δὲ τῶν ἐκ Δημοκρίτε πεφιλοσοφηκότων Πρωταγόρας τε ὁ Ἀβδηρίτης, καὶ Διαγόρας ὁ Μήλιος, οἱ περὶ τὰς Θεὰς ἀσεβήσαντες, καὶ παρὰ τῶν Ἀθηναίων, τότε γε ἕνεκα, ἀειφυγίαν καταψηφισθέντες. Καὶ Ἀνάξαρχος ἐπὶ τούτοις ὁ Ἀβδηρίτης, ὁ παρὰ Μητροδώρῳ τῆς Δημοκρίτε Αἱρέσεως

(1) „Τάδε λέγα Δημόκριτος ... „Ἐγὼ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων γῆν „πλείστην ἐπεπλανησάμην, Ἱστορέων τὰ „μήκιστα. Καὶ ἀέρας τε καὶ γαίας πλεί„στας εἶδον· Καὶ λογίων ἀνθρώπων „πλείστων ἐσήκουσα. Καὶ γραμμέων „συνθέσιος μετὰ ἀποδείξιος, ἐδείκνυ„με παρήλλαξεν, οὐδ' οἱ Αἰγυπτίων „καλεόμενοι Ἁρπεδονάπται. Σὺν τοῖς „δ' ἐπὶ πᾶσιν, ἐπ' ἔτεων ὀγδώκοντα „ἐπὶ ξένης ἐγενήθην.„ Παρὰ Κλήμεντ. Στρωμ. Βιβλ. Α'. Ἐπῆλθε γὰρ Βαβυλῶνατε καὶ Περσίδα, καὶ Αἴγυπτον, τοῖστε Μάγοις, καὶ τοῖς Ἱερεῦσι μαθητεύων.

(2) „Δημόκριτος δὲ ἐκ τῆς τῶν „Μεταρσίων παρατηρήσεως πολλὰ προ„λέγων, Σοφίᾳ ἐπωνομάσθη.„ Κλήμ. Στρωμ. Βιβλ. ε'. Οἱ δὲ, ὅτι Πρωταγόρας ἔτως ἐκαλεῖτο· ὡς φησὶ Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. Παρὰ Λαερτ. εἰς βίον Πρωταγ.

(3) Σκίδ. ἐν λέξ.

(4) Ἐπὶ τούτων ἡμῖν ποτε τὸ ἑξῆς πέπαικται Ἐπίγραμμα,

Πολλάσιοι Ἡράκλειτε ἔχει βίος, οἷς γελάσειας.
Ὅσσα τύχης αὔραις ἡδυτέραις πνέεται.
Πολλὰ δὲ Δημόκριτος λυγρὰ, οἷς ὀρθῶς δακρύσειας·
Ὅσσα τύχης τρέφεται λαίλαπι ἀργαλέῳ.
Καί σε μὲν, εἰγ' ἦρα κλαιτὸς βίος, ἐκ ἂν ἔθρήνεις·
Γήθες τ' ἂν τάτῳ παίξενα, ἐκ ὀδύνης.
Καὶ σὺ δὲ δεινοῖς Δῆμος ὅσοις τοναχεῖγ' ἐπικρίνων,
Οὐκ' ἂν ἐκάγχαζες τοῖς δ' ἐπὶ λευγαλέοις.
Ἄπλετα δὴ βιότοιο γέλωτος, κἄπλετα θρήνων·
Μίην δ' ἐξ αὐτῶν Δημοκριθηράκλειτες.

σεως σπάσας τὰ νάματα, καὶ παρὰ μὲν τῷ Μακεδόνι εὐδοκιμήσας, ὑπὸ δὲ Νικοκρέοντος ἐν Ὄλμῳ σιδηροῖς ὑπέροις ἀπηνῶς συνθλασθείς· ὅτε καὶ τὸ διαβόητον ἐκεῖνο ἐν τῷ πτίσσεσθαι ἀνεφθέγξατο, οὗ τὴν μνήμην, οὐδ' ἂν ὁ πᾶς Αἰὼν ἐξαλείψειεν (1).

§. ιθ'. Τῷ τοίνυν Ἀναξάρχῳ Πύῤῥων παρέβαλεν ὁ Ἐλεάτης· Ὃς καὶ τῆς Ἐλεατικῆς Ἐπαγγελίας ἀποστατήσας, Αἵρεσιν ἰδίαν συστῆσαι ἠγωνίσατο. Εἴγε καὶ Αἵρεσιν ἀποκαλεῖν δεῖ, τὴν ἁπάσης τῆς φιλοσοφίας ἀναίρεσιν. Οἱ γὰρ ἀπὸ τούτου Ζητητικοὶ μὲν ἐπεκλήθησαν, ἀπὸ τοῦ δῆθεν ζητεῖν τὴν ἀλήθειαν, ἣν εὑρήσειν οὔποτε ἔμελλον. Σκεπτικοὶ δὲ, ἀπὸ τοῦ Σκέπτεσθαι ἀεὶ σκέψιν τὴν οὔποτε λήγουσαν. Ἐφεκτικοὶ δὲ, ἀπὸ τοῦ, μετὰ τὴν οὐδὲν αὐτοῖς συνοίσουσαν ζήτησιν, πάθους. Ἡ γὰρ μάτην αὐτοῖς γινομένη Σκέψις, καὶ Ζήτησις, μηδὲν εἰς εὕρεσιν τοῦ προκειμένου συντελοῦσα, ἀπορεῖν τε λοιπὸν, καὶ ἐπέχειν αὐτοὺς κατηνάγκαζε. Καὶ Ἀπορητικοὶ δὲ δι' αὐτὸ τοῦτο, καὶ Ἀκαταληψίαν τὴν παντελῆ νοσοῦντες, καὶ τὰ ὅμοια. (2) Περὶ ὧν ἄντις εἰκότως καὶ ἀπορήσειεν, εἰ τῷ ὄντι ἀποροῦντες ἦσαν περὶ τῶν προδηλοτάτων, καὶ σπουδάζοντες τὴν ἀπορίαν, ἀλλὰ μὴ παίζοντες. Τῷ γὰρ ὄντι γενέσθαι τοὺς περὶ πάνθ' ἁπαξαπλῶς τὴν ἀπάτην ὑφεωραμένους, καὶ μηδὲν ὅλως ἡγεῖσθαι δεῖν ἀσφαλὲς, οὐδὲ βέβαιον ἐγνωκότας, οὐκ ἂν αὐτὸς πεισθῆναι δυναίμην, οὐδὲ ἢν πείσαιεν.

§. κ'. Πύῤῥωνι δὲ παρηκολουθηκότες φέρονται Φίλων Ἀθηναῖος, καὶ Ἑκαταῖος Ἀβδηρίτης, καὶ Εὐρύλοχος· Τίμων τε ὁ Φλιάσιος, καὶ Ναυσιφάνης ὁ Τήϊος, καὶ ὁ τούτῳ μαθητεύσας Ἐπίκουρος, ὁ καὶ πρὸς Αἵρεσιν ἰδίαν ὕστερον ἀποκλίνας. Ἐνταῦθα δὲ μικρὸν ἡ Πυῤῥώνειος ἀγωγὴ διαλιποῦσα (3) ἀνεισήχθη πάλιν ὑπὸ Πτολεμαίου τοῦ Κυρηναίου, καὶ δι' Εὐφράνορος τοῦ Σελευκιέως, καὶ Εὐβούλου τοῦ Ἀλεξανδρέως, καὶ Πτολεμαίου, καὶ Ἡρακλείδου, καὶ Αἰνησιδήμου τοῦ Κνωσσίου, καὶ Ζευξίππου τοῦ Πολίτου, καὶ Ζεύξιδος τοῦ Γωνιόποδος, καὶ Ἀντιόχου τοῦ Λαοδικέως,

(1) „Πτίσσε τὸν Ἀναξάρχου Θύ„λακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις. Λαέρτ. Εἰς βίον.

(2) Λαέρτ. ἐν τῷ Προοιμ. Καὶ Σουΐδ. ἐν Λέξ.

(3) Λαέρτ. Βιβ. θ'. εἰς βίον Τίμωνος.

δικέως, καὶ Μιλησοδότε τῦ Νικομηδέως, καὶ Ἡροδότε τῦ Ταρσέως, ἐκ διαδοχῆς παρετάθη, ἕως ἐπὶ Σέξτον τὸν Ἐμπειρικὸν, τὸν ἐπὶ Ἀντωνίνε Καίσαρος ἀκμάσαντα, ὃν αἱ συγγραφεῖσαι βίβλοι, καὶ ἄχρις ἡμῶν περισωθεῖσαι, ἱκανὰ χεῖρον τὰ τῶν Δογματικῶν εἰδότα, καθ' ἃν, ἢ τὰ τῶν Σκεπτικῶν, ὑπὲρ ὧν ἐξεπονήθησαν ἀριδήλως ἐλέγχεσι. Σέξτε δὲ διήκεσε Σατορνῖνος ὁ Κυθηνᾶς, Ἐμπειρικὸς καὶ αὐτός. Τέτοις δὲ καὶ τὸν Σαμωσατέα Λεκιανὸν εἰσὶν οἱ ἐπικαταλέγεσιν, ὃν ἐπὶ Μάρκε Αὐρηλίε, καὶ Κομμόδε γεγονότα εἰς τιὰ τῶν Ἐπικρείων Ἀγέλιω ἄλλοι εἰσάγεσιν.

§. κά. Ὁ δὲ δὴ Ἀθιναῖος Ἐπίκερος, ὁ τὸν δῆμον Γαργήττειος, τῆς Πυθαγορείε ἐνστάσεως τὸ ἔνθεντε καὶ φανητιῶδες, ἱκανὸν ἧττον ἢ τῆς Πυῤῥωνείε ἀγωγῆς τὸ παράλογον καὶ ἄτοπον ἀποκλίνας, τὸ τῶν Ἀτομικῶν ἀνθείλετο δόγμα, ἐφ' ᾧ ὡς θεμελίῳ τιὰ Ἐπικρείον ἐξ αὐτῦ κληθεῖσαν ἐπωκοδόμησεν Αἵρεσιν, τιὰ ὑπὲρ πᾶσαν μὲν ἄλλιν ἐκφαυλισθεῖσαν, ὑπὲρ πᾶσαν δὲ χεδὸν καὶ τῷ τε χρόνε μήκει ἐλάσασαν (1). Τῦ γὰρ Ἐπικέρε κατὰ τὸ β'. τῆς ρκζ'. Ὀλυμπ. τὸ ζῆν καταφρέψαντος, ὁ παδοὶ γενέθαι φέροντας τῶν πολλῶν οἱ σφόδρα ἐλλόγιμοι Μητρόδωρος, καὶ Ἀθιναῖος, καὶ Σάνδης Λαμψακιωός (2). Ἡ δὲ διαδοχὴ ἀπὸ Ἑρμάχε, διὰ δεκατεσσάρων ἕξης ἄχρι τῶν χρόνων Καίσαρος τε πρώτε παρέτεινεν, ἔτη σλζ'. διαρκέσασα. (3). Ἀλλ' αἵδε μὲν, οἷον παραφυάδες αἱ πᾶσαι ἀπὸ τῆς Πυθαγόρε ῥίζης ἀπέβλασον, Καίτοιγε καὶ τὰ παῤ ἑαυτῆς ἑκάση, εἰς ἑτεροειδῶν τε καὶ ἐκφύλων γένεσιν καρπῶν σπερεγκεντρίσαι σπέρματα φιλοτιμησάμεναι.

§. κβ'. Ἡ δὲ Ἰωνικὴ Αἵρεσις ἡ ἀπὸ Θάλεω τε γενομένε μὲν κατὰ τιὰ λέ'. Ὀλυμπ. κατὰ δὲ τιὰ νή. τὸ ζῆν ἐκμετρήσαντος, ἔτως ἐπέδωκε. Θαλῆν μὲν διεδέξατο Ἀναξίμανδρος ὁ Μιλήσιος· Τὸν δὲ, Ἀναξιμένης, καὶ αὐτὸς Μιλήσιος· Τὸν δὲ, Ἀναξαγόρας ὁ Κλαζομένιος· Τὸν δὲ, Ἀρχέλαος ὁ Μιλήσιος, ἐξ ἧ δὴ καὶ τὰ Φυσικὰ Ἀθιώαζε ἐξ Ἰωνίας μετωχετεύθη, τε καὶ Φυσικῆ διὰ τῦτο ἐπικληθέντος· ἢ ὅτι αὐτῷ ἡ Φυσικὴ φιλοσοφία διέλιπε καταλήξασα, τῆς Ἠθικῆς ἀνεισενεχθείσης. (4). Σωκράτης μὲν γὰρ Ἀναξαγόρε μὲν πρῶτον, ἔπα Ἀρχελάε τε Φυσι-

(1) Λαέρτ. Βιβ. ί'. (2) Αὐτ.
(3) Σεῖδ. ἐν Αἰξ. (4) Λαέρτ. εἰς βίον Θαλῆ.

Φυσικῆ διακηκοέναι λεγόμενος (1), καὶ δαιμονίως ἐπιδεδωκὼς ἐν φιλοσοφίᾳ, ὅσον μὲν αὐτῆς τὸ περὶ τὸν φυσικὸν τεῖνον ἦν θεωρίαν, ὡς μηδὲν ὂν πρὸς ἀνθρώπους, παρέλιπε, περὶ δὲ τὸ κατὰ τὸν Ἠθικὸν Ἰδέαν διαφερόντως ἐσπούδασε· Καταγελῶν Μεταρσιολογίας, καὶ Φυσικῆς, Θεολογίας δὲ ὡς ἁλήπτου πάντη ἀπεχόμενος (2).

§. κγ'. Γέγονε δὲ Σωκράτης υἱὸς Σωφρονίσκου λιθουργοῦ, καὶ Φαιναρέτης μαίας, μαρτυρηθεὶς πρὸς τῆς Πυθίας,

„Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος (*).

Ἐγεννήθη δὲ ἐν Ἔτει δ'. τῆς οζ' Ὀλυμπ. ἐτελεύτησε δὲ τῷ ά. τῆς ρέ. Πρῶτος φιλοσόφων τὸν ἐπὶ θανάτῳ κριθεὶς, καὶ κατακριθείς. Τέτε πολλοὶ μὲν ἐξιωθήκεσαν διὰ τὴν Σοφίαν θρυλλέμενοι· Καὶ γὰρ, καὶ Ξενοφῶν, καὶ Αἰσχίνης, καὶ Εὐκλείδης, καὶ Φαίδων, καὶ ἄλλοι. Οἷς δὲ Αἱρέσεις συνέστησαν ἴδιαι, τρεῖς οἱ Κορυφαιότατοι φέρονται· Πλάτων, Ἀρίστιππος, καὶ Ἀντισθένης.

§. κδ'. Τέτων Ἀντισθένης Αἵρεσιν εἰσήγαγεν ἁπασῶν ἐπαχθεσάτην, τὴν Κυνικὴν καλεμένην (3). Ἢ ὅτι κατὰ τὸ Κυνόσαργες (ἦν δὲ τὸ Κυνόσαργες Ἡρακλέες Ἱερὸν (4) λόγῳ Κυνὸς ἐπάνυμον) οἱ ἐξ αὐτῆς τὰς διατριβὰς ἐτύγχανον ἔχοντες· ἢ παρὰ τὸ ὑλακτικόντε καὶ δηκτικὸν, τῶν ἀμέτρῳ παῤῥησίᾳ τὰ τῶν ἄλλων ἀφειδῶς ἐλέμματα ἐπισκωπτοντων καὶ περιδακνόντων· ἢ ὅτι ἀναιδῶς (ἢ φασίτινες) ἐπιτελεῖν εἰώθεσαν οἱ Κυνικοὶ πάντων ὁρώντων, ἅττα κρύπτειν καλὸν, καὶ περικαλύπτειν. Ἐπὶ δὴ ταύτης τῆς Αἱρέσεως Ἀντισθένην, τὸν ἐκ τῆς ἀτιμελοῦς τῆς περιβολῆς, καὶ παρὰ τὸ ἀπέριττον τῆς διαίτης, ναίμλιν, καὶ ἐκ τῆς ἐν τῷ Κυνοσάργει διατριβῆς, Ἁπλοκύωνα ὀνομαθέντα, Διογένης διεδέξατο ὁ Σινωπεὺς, Ἔτει γεγονὼς τῷ γ'. τῆς ρά. Ὀλυμπ. τελευτήσας δὲ τῆς ριδ'. τῷ ά. ος Κύων καὶ αὐτὸς ἐκαλεῖτο, καὶ ἡμερόβιος, οὗτος Πιθάκνης, ἥπερ ἰσόρηται, οἰκεῖν ἠρημένος, καὶ τριβωνίῳ μὲν, καὶ πήρᾳ, καὶ βακτηρίᾳ πλετῶν, τῶν δὲ λοιπῶν παρὰ ταῦτα, ὡς περιττῶν ὀλιγώρως ἔχων (5). Διογένει δὲ ὁπαδὸς γενέσθαι ἠξίωσε Κράτης

(1) Λαέρτ. ἐν βίον Σωκρ. Καὶ Σκίδ. ἐν Λέξ.
(2) Ξενοφ. ἐν Ἀπομνημ. Σέξτ. Ἐμπειρ. κατὰ τῶν Μαθημ. Βιβλ. ζ'.
(*) Λαέρτ. ἐν βίον.
(3) Λαέρτ. ἐν βίον Ἀντισθέν.
(4) Παυσανί. Βιβλ. Α'. Κ. λθ'.
(5) Λαέρτ. ἐν βίον.

της ὁ Θηβαῖος, ὁ τῆς ȣ̓σίας ἧς εἶχε τῇ πατρίδι πάσης παραχωρήσας, ἐπειπὼν τὸ τεθρυλλημένον „Κράτης Κράτητα ἐλευ„θεροῖ (1). Εἰς δὲ ζῆλον τῆς Κυνικῆς ἀγωγῆς ἐτράπη καὶ Μόνιμος ὁ Συρακȣ́σιος, καὶ Ὀνησίκριτος ὁ Αἰγινίτης, καὶ ὁ ἐκ Μαρωνείας τȣ̃ Θρακικȣ̃ πολίσματος Μητροκλῆς· Ἔτι δὲ καὶ Ἱππαρχία ἀδελφὴ μὲν Μητροκλέȣς, Γαμετὴ δὲ Κράτητος. Καὶ Ζήνων ἐπι τȣ́τοις ὁ Κιττιεὺς, καὶ Θεόμβροτος, καὶ Κλεομένης, ἀκȣσταὶ Μητροκλέȣς. Ἐχεκλῆς τε ὁ Ἐφέσιος, καὶ Κολώτης ὁ Λαμψακηνὸς, καὶ Μενέδημος ὁ Κολώτȣ ἀκροασάμενος, καὶ Δημήτριος Ἀλεξανδρεὺς, καὶ Μένιππος ὁ Γαδαρεὺς (2).

§. κέ. Παραφυὰς δέτις τῆς Κυνικῆς ἀνέφυ, ἡ Αἵρεσις ἡ τῶν Στωϊκῶν, ὑπὸ Ζήνωνος καταβληθεῖσα τȣ̃ Κιττιέως· Οὗτος γὰρ διακȣ́σας πρῶτον τȣ̃ Κράτητος (3), εἶτ' ἐπαχθεσθεὶς ὡς εἰκὸς, καὶ ἐπιναυτιάσας τῇ Κυνικῇ ἰδέᾳ τȣ̃ βίȣ, μετεφοίτησε παρὰ Ξενοφάνην τὸν ἀκροασάμενον Πλάτωνος· καὶ Στίλπωνος δὲ, καὶ Διοδώρȣ τȣ̃ Κρόνȣ, καὶ Πολέμωνος τῆς συνȣσίας ἔτυχε (4). Καὶ τέως αἵρεσιν ἰδίαν εἰσηγήσατο, τῇ μὲν τȣ̃ Κυνισμȣ̃ δριμύτητι, τὸ εὐσταθὲς συνανακεκρακὼς, καὶ ἐμβριθὲς, καὶ σεμνὸν τȣ̃ τρόπȣ, καὶ ἀνεπίληπτον· τὸ δὲ ἀτάραχον, καὶ καρτερικὸν ἐν τοῖς πάθεσι, μᾶλλον δὲ, καὶ τὸ ὑπὲρ αὐτὰ γίνεσθαι ὅλως τὰ πάθη, καὶ ἐν ἀκροτάτῃ μένειν, καὶ στρεβλȣ́μενον ἤδη καὶ θανατȣ́μενον, τῇ ἀπαθείᾳ, ὅρον εὐδαιμονίας στήσας ἀπρόσιτον τῷ ὄντι, καὶ ȣ̓ κατὰ ἄνθρωπον. Ἤσκησε δὲ τȣ̀ς ἀμφ' αὐτὸν, καὶ περὶ Φυσιολογίαν, καὶ Διαλεκτικὴν, ὧν οἱ Κυνικοὶ ὀλιγώρως εἶχον· ἐκ δὲ τῆς ποικίλης Ἀθήνῃσι Στοᾶς, καθ' ἣν εἰώθει τὰς συνȣσίας ποιεῖσθαι, Στωϊκὴν παρέχον ἀποκαλεῖσθαι τὴν Αἵρεσιν, καὶ Στωϊκȣ̀ς, τȣ̀ς Ζηνωνείȣς λεγομένȣς ἐξ' αὐτȣ̃ πρότερον (5).

§. κϛ'. Διέπρεψαν ȣ̃ν ἐν τῇ Στοᾷ ποικίλως καὶ τοῖς λόγοις ταύτην καλλύναντες, καὶ Περσαῖος ὁ Κιττιεὺς, ὃν καὶ δȣ̃λον τῷ Ζήνωνι γενέσθαι λέγȣσι· καὶ Ἀρίστων ὁ Χῖος (Διακριτέος δὲ τȣ̃ Κείȣ Ἀρίστωνος) ὁ ἐπικληθεὶς Σειρὴν διὰ τὴν εὐφράδειαν· καὶ Ἡριλ-

(1) Αὐτ. εἰς βίον τὸν τȣ́τȣ.

(2) Περὶ τȣ́των ἑκάστȣ ὅρα ἐν τοῖς βίοις τὸν Λαέρτ.

(3) Λαέρτ. εἰς βίον Μενεδήμȣ. Καὶ Σȣϊδ. ἐν Λέξ.

(4) Λαέρτ. εἰς βίον Ζήνωνος.

(5) Λαέρτ. Αυτ.

Ἤριλλος ὁ Καρχηδόνιος, καὶ Σφαῖρος ὁ Βορυσθενίτης, καὶ Κλεάνθης ὁ Λύκειος, ὁ τὴν σχολὴν διαδεξάμενος μετὰ Ζήνωνα, καὶ Φρεάντλης (1) ἐπονομαζόμενος, ὅτι νυκτὸς ὕδωρ ἤντλει μισθῷ, ἵν' ἐντεῦθεν τὰ τῆς τροφῆς ἐκποριζόμενος, ἡμέρας ἔχοι ἐπ' ἀδείας σχολάζειν τοῖς θεωρήμασι. Καὶ Χρύσιππος ὁ Σολεὺς, ὁ μετὰ Κλεάνθην σχολαρχήσας, Ἀνὴρ πολυγραφώτατός τε γεγονὼς, καὶ περὶ τὰς Διαλεκτικὰς τῶν λόγων πλεκτάνας σοφιστικώτατος (2). Τοῦτον ὄνου τὰ σῦκα φαγόντος αὐτῷ, εἰπόντα τῇ Γραΐ, ἐπιδοῦναι ἄκρατον ἐπιῤῥοφῆσαι τῷ ὄνῳ, καὶ ὑπερκαγχάσαντα ἐπὶ τῷ λόγῳ τελευτῆσαι, φασὶν, Ὀλυμπ. ρμγ'. (3). Μετὰ δὲ Χρύσιππον τὴν Στωὰν διεσέμνυνε Ζήνων ὁ Ταρσεύς· Μεθ' ὃν Διογένης ὁ Βαβυλώνιος· Μεθ' ὃν Ἀντίπατρος ὁ Ταρσεύς· Μεθ' ὃν Παναίτιος, ὁ τὴν Στωϊκὴν ἀπάθειαν ὑπεριδὼν, ὡς ἀνθρώποις κατὰ τὴν παροῦσαν λῆξιν ἥκιστα ἐφικτήν. Μεθ' ὃν τέως Ποσειδώνιος ὁ Σύρος, ὁ ἐν Ῥόδῳ χρόνον τινὰ φιλοσοφήσας, ὃν ἀκουσόμενος, καὶ Πομπήϊος ἐπίτηδες τοῦ πλοῦ παρακλίναι ἱστόρηται (4). Ποσειδωνίου δὲ τὴν ἐν Ῥόδῳ σχολὴν διαδεξάμενος φέρεται Ἰάσων ὁ Ἀνεψιός. Ἀλλ' ἐν τούτοις μὲν ἡ τῶν Στωϊκῶν Αἵρεσις μετὰ τὴν Κυνικήν.

§. κζ'. Ἀρίστιππος δὲ τῶν Σωκρατικῶν, Αἱρέσεως ἐξῆρξε τῆς (ἀπόγε τῆς πατρίδος) κληθείσης Κυρηναϊκῆς. Ἤκουσε δὲ κακῶς ἡ Αἵρεσις αὕτη, ὡς ἄφετον τὴν ὁρμὴν τῷ βουλομένῳ, περὶ παντοῖον εἶδος ἡδονῆς ἐπιτρέπουσα, καὶ τῷ φιληδόνῳ καὶ κτηνώδει βίῳ, τ' ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ὁριζομένη· τοῦ ἐξάρχοντος δηλονότι, ἁβρότερον ἢ κατὰ τοὺς τότε φιλοσοφοῦντας πολιτευομένου, καὶ τὴν ἐν ἀπολαύσει καὶ τρυφῇ διαγωγὴν προδήλως ἀνθελομένου τῆς τῶν ἄλλων σεμνότητος (5). Τού-

(1) Αὐτ. εἰς βίον Κλεάνθους.

(2) Οὕτω δὲ ἐπίδοξον ἐν τοῖς Διαλεκτικοῖς γενέσθαι φησὶν ὁ Λαέρτ. (ἐν βίῳ Χρυσίπ.) „ὥστε δοκεῖν τοὺς πλείους, „ὅτι εἰ παρὰ θεοῖς ἦν ἡ Διαλεκτικὴ „οὐκ ἂν ἦν ἄλλη, ἢ ἡ χρυσίππειος„. Ἐκθειάζει δὲ καὶ Τζέτζης ἐν χιλιάσιν, αὐτὸν ὡς Διαλεκτικώτατον. Οὐμὴν τοιοῦτον παρίστησιν ἡμῖν τὰ ἐπὶ τῷ ὀνόματι αὐτοῦ σωζόμενα Σοφισμάτια. Ἀλλὰ λήρους μὲν τὰ ἐκείνου δείκνυσι πολλαχοῦ καὶ Πλούταρχος (ὅρα Πλουτ. τὰ περὶ τῶν Στωϊκ. Ἐναντιωμ. καὶ τὰ περὶ τῶν κοινῶν ἐννοιῶν). Ψυχρότητα δὲ αὐτῶν καταγελᾶ, καὶ ὁ παρὰ Λουκιανῷ Ζεύς. (Ἐν Ἱκαρομενιπ).

(3) Λαέρτ. ἐν βίῳ Χρυσίπ.

(4) Βρουκέρ. περὶ Μαθητ. καὶ Διαδόχ. Ζήνων. ἐν τῇ Στοᾷ.

(5) Λαέρτ. εἰς βίον Ἀριστίπ.

Τότε καὶ θυγάτηρ Ἀρήτη καλεμένη (1) τῇ Αἱρέσει κατακολουθήσασα, ὀ μικρὸν ἔσχε κλέος, καὶ Ἀρίσιππος ὁ ταύτης ὑὸς τε καὶ μαθητής. Οὗ δὴ παρὰ τοῦτο καὶ Μητροδιδάκτε κληθέντος (2), εἰκὸς κἀκείνῳ Πατροδίδακτον ὀνομάζεσθαι. Ἐπὶ τούτοις φέρονται τῇ Αἱρέσει στοιχήσαντες, καὶ Θεόδωρος ὁ Κυρηναῖος, καὶ Βίων ὁ Βορυσθενίτης, καὶ Ἐπιτιμήδης ὁ Κυρηναῖος, καὶ Παραιβάτης, καὶ Ἡγησίας ὁ Πεισιθάνατος προσαγορευθεὶς, ὅτι διὰ τὸ συνταχθέντος αὐτῷ βιβλίε, ἐν ᾧ τὰς συμφορὰς ἐξετραγώδει τὰς παροπηδώσας τῷ βίῳ, πολλοῖς θανεῖν ἐλέσθαι, ἢ ζῆν ὑπομεῖναι ὤφθη παραίτιος (3). Ἐπὶ πᾶσι δὲ καὶ Ἀννίκεριος ὁ Κυρηναῖος.

§. κή. Τῆς δὲ ἀνελευθέρε ταύτης καὶ ἀνδραποδώδες Αἱρέσεως, ἐδὲν ἀμείνονα τὰ ἀποβλαστήματα· οὔτε παρωνύμως ἀπὸ Ἡγησίε Ἡγησιακοὶ, οἱ τὸ εὐδαιμονεῖν ἀνέφικτον ὅλως εἶναι τιθέμενοι διὰ τὰ συγκυρεῖντα τῇ ἡδυπαθείᾳ κακά· καὶ οἱ Ἀννικέρειοι, οἱ μὴ πάντι τῶν Ἡγησιακῶν διαφέροντες, ἢ ὅσον φιλίαντε τιμᾶν, καὶ χάριν εἰδέναι, καὶ γονέας αἰδεῖσθαι, καὶ τὰ τοιαῦτα δεῖν τῶν Καθηκόντων τῷ βίῳ ἐπεισάγειν ἐνόμιζον, ἐκείνων καὶ ταῦτα ἀθετέντων. Καὶ οἱ Θεοδώρειοι ἐπ' αὐτοῖς, οἱ ἀπὸ Θεοδώρε τε ἀθέε προσονομαθέντος (4). Ὃν ἐχὶ περὶ τὰς Θεὰς ἀσεβέντα, ἀλλὰ πᾶν εἴτι κατὰ τὸν βίον καλόντε καὶ ὅσιον κρίνεται, ἀνασκοπάζοντα καὶ ἀνατρέποντα, ἐδὲ τῷ ἀνθρώπῳ ἁπλῶς, μὴ ὅτιγε τῷ φιλοσόφῳ ὀνόματος θείου ἄξιον.

§. κθ'. Τῶν δὲ Σωκράτει προσωμιληκότων ὁ Πλάτων Αἱρέσεως πάνυ διαβεβοημένης τῆς τῶν Ἀκαδημαϊκῶν Κορυφαῖος ἐγένετο. Ἦν δὲ Ἀρίσωνος γεγονὰς καὶ Περικτιόνης, ἢ Ποτώνης, Ἀθηναῖος τὸ μὲν πατρίδα, τὸ γένος ἀναφέρων εἰς Σόλωνα· Ἀρισοκλῆς μὲν πρότερον ἀπὸ τε πάππε καλέμενος, Πλάτων δὲ ὕστερον, ἤτοι παρὰ τὸ εὐεξίαν, ἢ διὰ τὸ Πλατὺ καὶ εὖρυ τῆς ἐν τῷ λέγειν ἑρμηνείας, ἢ ὅτι Πλατὺς ἦν τὸ μέτωπον, προσειρημένος. Γέγονε δὲ κατὰ τὸ πή. Ὀλυμπ. ἐτελεύτησε δὲ τῷ ά. ἔτει τῆς ὀγδώης καὶ ἑκατοστῆς (5). Διεδέξατο δὲ ἄρα τὸ Σω-

κράτες

(1) Αὐτ. αὐτ. Καὶ Σείδ. ἐν Λέξ. Ὁ δὲ Αἰλιανὸς Βιβλ. γ'. περὶ ζώων Κεφ. μ'. ἀδελφὴν Ἀρισίππε τὴν Ἀρήτην, (ἣν Ἀρίσην ὀνομάζω) γενέσθαι ὑπέλαβε.

(2) Λαέρτ. Αὐτόθι.

(3) Κικέρ. Τσκυλ. ά. Καὶ Οὐαλέρι. Μάξ. η'.

(4) Λαέρτ. ἐν βίον Ἀρισίππε.

(5) Αὐτ. ἐν τὸν βίον.

κράτης ἔτος Διδασκαλίαν, ἐν Ἀκαδημίᾳ σήσας τὰς διατριβὰς, ὅθεν καὶ τὸ ἐπώνυμον τῇ ὅλῃ προῆλθεν Αἱρέσει, Ἀκαδημαϊκῷ λέγεσθαι. Ἦν δὲ ἡ Ἀκαδημία γυμνάσιον προάστειον ἀλσῶδες, ἀπότινος ἥρωος Ἀκαδήμου παρωνύμως ἔτω καλέμενον (1).

§. λ'. Ἡ τοίνυν Ἀκαδημία κατὰ τέτταρας περικοπὰς ἐπιδῦσα, καὶ μεταβαλλομένη, εἰς Ἀρχαίαν, καὶ Μέσην, καὶ Νέαν, καὶ δὴ καὶ Ἐχάτην διήρηται. Καὶ ἡ μὲν πρώτη, ἡ ἐπ' Ἀρχηγῶ σεμνυνομένη τῷ Πλάτωνι, μέχρι Κράντορος προῆλθε τῦ Σολέως. Πλάτωνα μὲν γὰρ διεδέξατο Σπεύσιππος Ἀθηναῖος· τὸν δὲ Ξενοκράτης ὁ Χαλκηδόνιος· τὸν δὲ Πολέμων Ἀθηναῖος· Πολέμωνα δὲ Κράτης, καὶ ἔτος Ἀθηναῖος· Κράντωρ δὲ Κράτητα. Καὶ ὧδε μὲν ἡ ἀρχαία Ἀκαδημία (2).

§. λα'. Τῆς δὲ δὴ Μέσης ἡγήσατο Ἀρκεσίλαος (3) ὁ Πιταναῖος ἐξ Αἰολίδος, ὁ τὴν Ἀκαταληψίαν εἰσαγαγὼν, καὶ μηδὲν εἶναι βέβαιον διατεινόμενος, ἢ τῦτο μόνον· ἐφ' ᾗ ἀνάγεται καὶ Λακύδης ὁ Κυρηναῖος (4), καὶ Εὔανδρος, καὶ Τηλεκλῆς ὁ Φωκαεύς, καὶ Ἡγησῖνος ὁ Περγαμηνός.

§. λβ'. Τῆς δὲ Νέας Ἀκαδημίας κατῆρξε Καρνεάδης ὁ Κυρηναῖος (5), ὃς καὶ ἄλλο ἄλλῳ μᾶλλον πιθανὸν εἶναι ἐτίθει, μὴ πάντα ἐπίσης, ὡς Ἀρκεσιλάῳ ἐδόκει, ἐπισφαλῆ τυγχάνειν ἡγέμενος· Περὶ ἓ καὶ τελευτῶντος φασὶν ἔκλειψιν γενέσθαι Σελήνης· σωαχθομένης, ὡς ἂν εἰποιτις, ἐπὶ τῇ τῦ Ἀνδρὸς τελευτῇ, τῦ μεθ' ἥλιον καλλίστα τῶν Ἄστρων (6). Ἀναγράφεται δ' ἐν αὐτῇ καὶ Κλειτόμαχος ὁ Καρχηδόνιος, καὶ Φίλων ὁ Λαριταῖος.

§. λγ'. Τετάρτῃ δὲ καὶ ἐχάτῃ ἐπικαταλέγεσι (7) τὴν ἐν Ῥώμῃ συστᾶσαν ὑπὸ Φίλωνος, ὃς Κλειτομάχῳ παραβαλὼν, αὐτῦ καὶ τὴν σχολὴν διεδέξατο, ἐν Ὀλυμπ. ρό. Φίλωνος δὲ καὶ Κικέρων τῆς διδασκαλίας ἀπήλαυσε, καὶ Χαρμίδας ὁ τῇ ἐπικτήτῳ τῦ μνημονικῦ δυνάμει πάλαι θρυλλέμενος, σύσκηνός τε γενόμενος αὐτῷ Φίλωνι, καὶ ὁμοδίαιτος. Τῦ δ' αὐτῦ καὶ Ἀντίο-

(1) Πλάταρχ. εἰς Κίμωνα.
(2) Λαέρτ. ἐν προοιμ.
(3) Αὐτ. εἰς βίον Ἀρκεσιλάου.
(4) Τῦτον τῆς Νέας Ἀκαδημίας κατάρξαι φησὶν ὁ Λαέρτιος, εἰς βίον αὐτῦ.
(5) Οὕτως οἱ πλείους, (μὴ συνάδοντες τῷ Λαερτίῳ), διὰ τὸ περὶ τὰ δόγματα τὸν Καρνεάδην καινοτομῆσαι. Βρκν. περὶ τῆς Νέ. Ἀκαδ.
(6) Λαέρτ. εἰς βίον Καρνεάδ.
(7) Βρκν. περὶ τῆς Νέ. Ἀκαδ. §. ς'. ζ'

χος ἠκροάσατο ὁ Ἀσκαλωνίτης, ὁ τὴν Ἀρχαίαν Ἀκαδημίαν ἀνασυσῆσαι σπεδάσας, καὶ πεπτωκυῖαν ἤδη ἀνεγεῖραι. Ἐξ ἧς καὶ πέμπτη Ἀκαδημία ἡ ὑπ' αὐτῷ συσᾶσα ὠνόμασαι ἀπὸ ὅλου, τῆς πρώτης ἔσα οἷον ἀποκατάσασις. Τῆς δὲ τῷ Ἀντιόχῳ Σειρῆνος, καὶ Κικέρων ὁ Ῥήτωρ ἀλῶναι λέγεται, καὶ Λούκιος Λούκουλλος, καὶ Μάρκος Οὐάρρων οἱ Ῥωμαῖοι.

§. λδ'. Ἡ μὲν ἐν ἀρχαίᾳ καὶ Πρώτη Ἀκαδημία, ἅπασαν τὴν δι' ἀιθήσεως προειλημμένην γνῶσιν τῶν δοξαστῶν εἶναι εἰσηγημένη, διὰ μόνων τῶν κατὰ ψυχὴν ἐννοιῶντε καὶ λόγων, τὸ ἀδιάπτωτον τῆς ἐπιστήμης καὶ βέβαιον ληπτὸν τυγχάνειν ἐπρέσβευεν. Ἡ δὲ Μέση, καὶ Δευτέρα μηδὲν ὅλως ἡγεῖτο Ἐπιστήμην ληπτὸν παρὰ τὴν τῶν πραγμάτων ἀσάφειαν. Κατὰ δὲ τὴν Νέαν, καὶ ἀριθμῷ Τρίτην, ἐνυπάρχειν μὲν τοῖς πράγμασί τ' ἀληθὲς ὁ Καρνεάδης διωμολόγει, ἐμὴν δὲ καὶ δυνάμεως ἡμᾶς μὴ μοιρεῖν ἠξίᾳ πρὸς τὴν ἐκείνα ἀποχρώσης ἐπίκρισιν. Ἡ δὲ Τετάρτη τέως, τὰ μὲν ἐδίδα πιθανῶστε καὶ κατὰ δόξαν, ἔστι δ' ἅττα καὶ βεβαίως, καὶ κατ' ἐπιστήμην συνεχώρει γιγνώσκεσθαι.

§. λε. Παρὰ δὲ ταύτας τὰς ὑπὸ τῶν Σωκρατικῶν συσταθείσας ἐπισημοτάτας Αἱρέσεις, καὶ ἄλλαι ἀνεφάνησαν ἧττον ἐπίσημοι. Οἷον ἡ Ἠλειακὴ, ἧς Φαίδων ὁ Ἠλεῖος προέστη, ἢ Πλειστάνης ἐπεμελήθη, ἢ Μενέδημος ὁ Ἐρετριεύς, καὶ Ἀσκληπιάδης ὁ Φλιάσιος. Ἥδετοι Αἵρεσις, Νῷ μόνῳ, καὶ τῇ κατ' αὐτὸν πρὸς ἐπίκρισιν τῶν ἀληθῶς ὀξύτητι, τ' ἀγαθὸν κεῖθαι ἀφωρίζον (1).

§. λϛ'. Ἡ Μεγαρικὴ, ἡ ἀπὸ Εὐκλείδου τοῦ Μεγαρέως, ἧς ἦν καὶ Εὐβουλίδης ὁ Μιλήσιος, καὶ Ἀλεξῖνος ὁ Ἠλεῖος, καὶ Ἀπολλώνιος ὁ Κρόνος, καὶ Διόδωρος ὁ Κρόνος Ἰασεύς, καὶ Εὔφαντος ὁ Ὀλιώθιος, καὶ Στίλπων ὁ Μεγαρεύς· Ἧς ἐπώνυμον Ἐριστικὴ, παρὰ τὴν περὶ τὰς διαλέξεις δριμύτητα (2).

§. λζ'. Ἀλλὰ καὶ Ἐρετριακὴ ἦκεν ἡ ἀπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ἀπὸ τῆς Ἠλειακῆς ὡς ἔοικε, πρὸς ἣν ἐκεῖνος, ἀποκριθεῖσα (3). Καὶ Διαλεκτικὴ, ἣν Κλειτόμαχος ἐνεχήσατο ὁ Καρχηδόνιος (4).

§. λη'

(1) Ακάδ. εἰς βίον Φαίδ.
(2) Αὐτ. εἰς βίον Εὐκλείδ.
(3) Αὐτ. εἰς βίον Μενεδ.
(4) Αὐτ. ἐν τῷ προοιμ.

§. λή. Ὥσπερ οὖν ἡ τῆς Στοᾶς ἀπὸ τῆς Κυνικῆς ἀγωγῆς συνέστη μεθαρμοσθεῖσα ὡς εἴρηται, καὶ εἰς ἦθος τε καὶ τρόπον ἕτερον ἀπενεχθεῖσα, οὕτωτοι καὶ τῆς Ἀκαδημίας ἡ Περιπατητικὴ καλουμένη ἐξέφυ Αἵρεσις, γενναῖοντι ἀποβλάστημα· Ταύτης δὲ Καθηγεμὼν ὁ πολὺς τὸ κλέος Ἀριστοτέλης, ὁ ἐκ Σταγείρων τῆς Μακεδονίας, Ὀλυμπ. υθ'. τῷ α'. ἐκ Νικομάχουτε καὶ Φαιστίδος τεχθείς (1). Οὗτος Πλάτωνι τὸ πρῶτον φιλοσοφίας ἕνεκα ἑαυτὸν ἀναθέμενος, ἐπελάκτισεν ὕστερον τῷ Καθηγησαμένῳ οὐκ ἐπ' ὀλίγων ἀντιδοξάσας (2). Τ' ἀληθὲς ἀμέλει καὶ Σωκράτους αὐτοῦ καὶ Πλάτωνος ἡγησάμενος πρότερον. Τοιγαροῦν τὸ Λύκειον (ἦν δὲ χωρίον τοῦτο Ἀθήνησι κάλλιστον, ἀπὸ Λυκίου ἔχον τοὔνομα τοῦ Πανδίωνος, Ἀπόλλωνος δὲ Ἱερὸν) (3), τῇ Ἀκαδημίᾳ ἀντιπαρατάξας, ἐν αὐτῷ ἐποιεῖτο τὰς διατριβάς (4)· τὰ μὲν ἐξωτερικὰ τῶν παιδευμάτων, οἷον Ῥητορικὴν, Ποιητικὴν, Πολιτικὴν, τὰ τοιαῦτα, ἀπὸ μεσημβρίας ὑποτιθέμενος τοῖς προσφοιτῶσι, τὰ δὲ Ἐσωτερικὰ καὶ Ἀκροαματικὰ, οἷον Φυσικὴν, καὶ Μεταφυσικὴν, καὶ ὅσα τῆς βαθυτέρας ἦν θεωρίας ἐχόμενα, πρωΐας φιλοσοφῶν (5), καὶ Ἀκροατῶν συχνῷ πλήθει περιστοιχούμενος. Ὡς δὲ δὴ περιπάτω χρῆσθαι εἰώθει μεταξὺ τοῖς συνοῦσι διαλεγόμενος, ἐντεῦθεν καὶ τῇ Αἱρέσει παρέσχε Περιπατητικὴν ὀνομάζεσθαι. (6).

§. λθ'. Ἐγένοντο δὲ τῶν Ἀριστοτέλους Ὁμιλητῶν καὶ γνωρίμων οἱ γνησιώτατοι Ἀλέξανδρος ὁ Μακεδὼν, καὶ Εὔδημος ὁ Ῥόδιος, καὶ Κλέαρχος ὁ Σολεὺς, καὶ Ἀριστόξενος ὁ Ταραντινὸς, καὶ Καλλισθένης ὁ Ὀλυνθίος, καὶ Κάλλιππος ὁ Κυζικηνὸς, καὶ Ἡρακλείδης ὁ Ποντικὸς, καὶ Δικαίαρχος ὁ Μεσσηνίος.

§. μ. Οἱ δὲ δὴ τὴν Αἵρεσιν προαγαγόντες ἐκ διαδοχῆς οἵδε. Ἀριστοτέλην μὲν ἐν τῷ Λυκείῳ διεδέξατο Θεόφραστος ὁ Ἐρέσιος,

(1) Αὐτ. εἰς βίον. Ἀριστοτέλ.

(2) Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε φησὶν (Πλάτων) καθάπερ τὰ πωλάρια τὴν μητέρα. (Αὐτ. αὐτ.). Ὅρα καὶ Αἰλιαν. ποικ. Ἱστορ. Βιβ. Γ'. Κ. ιθ'.

(3) Παυσαν. Βιβ. Α. Κεφ. ιθ'.

(4) Ὁ δὲ τὰ Ἀριστοτέλους βιογραφῶν, (εἴτε Ἀμμώνιος οὗτος, εἴτε καὶ ὁ Φιλόπονος ἐστὶν), οὐδαμῶς ἔτι ζῶντος τοῦ Πλάτωνος τὸν Ἀριστ. ἀντωκοδομῆσαι αὐτῷ τὸ Λύκειον ἱστορεῖ προφανῶς ἀντιλέγων τῷ Λαερτίῳ, καὶ τῷ Αἰλιανῷ.

(5) Ἐντεῦθεν τινὲς καὶ τοὺς μαθητὰς καὶ τὰ συγγράμματα εἰς τὰ Ἐξωτερικὰ καὶ Ἀκροαματικὰ ἀντιδιαστεῖλαι δεῖν ἔκριναν. Βρουκ. περὶ τῆς περιπατ. Αἱρέσ. §. γ'.

(6) Λαέρτ. εἰς τὸν βίον, καὶ Ἀμμών. καὶ Σιμπλίκ. ἐν τοῖς ὑπομν. εἰς τὰς Ἀριστ. Κατηγορ.

ὅς διχιλίους ἅμα ἠρίθμει ἀκροωμένους αὐτοῦ· Ἐν οἷς ἦν καὶ Δημήτριος ὁ Φαληρεὺς, καὶ Νικόμαχος ὁ τοῦ Ἀριστοτέλους, καὶ Ἐρασίστρατος ὁ Ἰατρός. Θεόφραστον δὲ διεδέξατο Στράτων ὁ Λαμψακηνὸς· Στράτωνα δὲ Λύκων ὁ Τρωαδεὺς· Λύκωνα δὲ Ἀρίστων ὁ Κεῖος· Ἀρίστωνα δὲ Κριτώλαος ὁ ἐκ Φασήλιδος· Κριτώλαον δὲ Διόδωρος. (1).

§. μα. Ἀλλ' εἰς τόδε μὲν τὰς καταλεχθείσας Αἱρέσεις γεννήσασά τε ἡ Ἑλλὰς καὶ ἐκθρέψασα, καὶ ταῖς διαδοχαῖς τοῦ χρόνου προϊούσας περιποιησαμένη καὶ περιθάλψασα, φιλοσοφίας μήτηρ, καὶ τροφὸς ἀναδέδεικται, καὶ ἑστία, καὶ οἰκητήριον. Ἐν τούτοις δὲ τῶν μὲν Ἑλληνικῶν στασιασάντων, καὶ μέτριον οὐδὲν πεπονθότων, τῶν δὲ Ῥωμαϊκῶν εἰς ἀκμὴν καὶ μέγεθος, θαυμαστὸν ὅσον ἐπιδεδωκότων, εἴς τε Μοναρχίαν ἤδη τούτοις τῆς Ἀριστοκρατίας ἀποκλινούσης, καὶ τὴν φιλοσοφίαν συνέβη ἐν Ῥώμῃ ἐπιδημήσασαν ἐπιξενωθῆναι, ἐπὶ Σύλλα μάλιστα καὶ Λευκούλλου κρατιστευόντων, ὡς ἄρα τῇ βασιλείᾳ συνεῖναι χαίρουσαν. Αὐτίκα γὰρ περὶ μὲν τὰ Πυθαγορικὰ τῶν δογμάτων, οὐ φαύλην τινὰ τὴν σπουδὴν ἔδοξαν καταθέσθαι Ἔννιός τε καὶ Κάτων ὁ Κηνσορῖνος ὑπὸ Νεάρχου τοῦ Πυθαγορικοῦ διδαχθεὶς, καὶ Νιγίδιος ὁ Φιγοῦλος. Πλάτωνι δὲ καὶ τῇ Ἀκαδημίᾳ προσετέθησαν Μ. Ὁ Βροῦτος, καὶ Μ. Τερέντιος ὁ Οὐάῤῥων, καὶ Μ. ὁ Κικέρων ὁ ἐκ τῆς Ῥητορείας θρυλλούμενος. Ζηνῶνι δὲ, καὶ τῇ Στοᾷ προσανεγράφησαν Κόϊντος Λυκίλλιος ὁ Βάλβος, καὶ Κάτων ὁ ἐξ Ὑτίκης παρώνυμος. Τῷ δὲ Λυκείῳ, καὶ Ἀριστοτέλει σφᾶς ἀνέθεντο, (Ἀνδρονίκου τοῦ Ῥοδίου τὰ τοῦ Φιλοσόφου Συγγράμματα ἤδη ἐκδεδωκότος, καὶ ἀφανῶς που ἐν τῇ τοῦ Σύλλα Βιβλιοθήκῃ ἀποκείμενα δημοσιεύσαντος,) ἄλλοι τε, καὶ Κάτων ὁ τῆς τοῦ Περιπατητικοῦ Δημητρίου συνουσίας ἐφ' ἱκανὸν ἀπολαύσας, καὶ Κράσσος ὁ Ἀλεξάνδρῳ τῷ Ἀντιοχεῖ Καθηγεμόνι χρησάμενος, καὶ Πίσων ὁ διακούσας Στασίου, καὶ ὁ τοῦ Κικέρωνος, ὃς Ἀθηνάζε ἐπιδημήσας τῶν Περιπατητικῶν ναμάτων ὑπὸ Κρατίππου εἰς κόρον ἐσπάσατο. Ἐφ' οἷς οὐδὲ τῆς Ἐπικούρου διδασκαλίας, καίτοι λίαν παρ' αὐτοῖς προδιαβληθείσης, ἀμελῶς ἔσχον Ῥωμαῖοι, ἀλλ' ἐν πολλοῖς καὶ Τ. Πομπόνιος, καὶ Γ. Κάσσιος ἐπικουρίσαντες φέρονται, καὶ Λουκρήτιος ὁ Κάῤῥος. (2).

§. μβ'.

(1) Λαέρτ. εἰς τοὺς βίους. Καὶ Βρουκ. Αὐτ.

(2) Ἐκ τῶν Βρουκ. Φιλοσοφ. Ἱστορ. Περιόδ. β'. Βιβ. α'.

§. μβ'. Καὶ ἐπὶ τῶν Καισάρων δὲ αἱ αὐταὶ Αἱρέσεις αὖθις ἀνθήσασαι ὤφθησαν (1). Τῶν μὲν γὰρ τοῖς Πυθαγόρᾳ παρηκολουθηκότων θεσμοῖς, Ἀναξίλαός τε ὁ Λαρισσαῖος ἐγένετο, ὃν Αὔγεστος ἐπὶ Γοητείας διαβολῇ τῆς Ῥώμης αὐτῆς, καὶ τῆς ὅλης Ἰταλίας ἐξήλασε, καὶ Σέξτιος τῶν Ἐυπατριδῶν Ῥωμαῖος, καὶ Σωτίων ὁ τὸ Σενέκα καθηγησάμενος· Μοδεράτος τε ὁ Γαδιτανὸς ἐπὶ Νέρωνος, καὶ Ἀπολλάνιος ὁ Γόης, καὶ τερατοποιὸς, ὁ ἀπὸ Τυάνων τῆς Καππαδοκίας, ὁ ὑπὸ Δομιτιανῷ διωχθείς· Καὶ Σεκοῦνδος Ἀθηναῖος, ὁ ἐπὶ Ἀδριανῷ ἀκμάσας. Τούτοις προσκαταλέγεσι καὶ Νικόμαχον τὸν Γερασηνὸν, ὃ τὸ περὶ τῶν Θεολογουμένων Ἀριθμῶν Σύνταγμα ποτνιᾶται μὲν ὅτι μὴ σώζεται ὁ νεώτερος Βρυκέρος (2), ἔργον δὲ λογισμῶν κενεμβατέντων καὶ ματαιοχόλων ἔκρινεν ὁ Φώτιος (3).

§. μγ'. Τῶν δὲ δὴ τοῖς Πλάτωνος δόγμασι προσεθεμένων ἀριθμοῦνται Θρασύλλος μὲν ὁ Ἀστρολογικὸς ἐπὶ Αὐγούστῳ καὶ Τιβερίῳ, ὑφ' ὃ καὶ ἀνήρηται· καὶ Θέων ὁ Σμυρναῖος, ὁ κατὰ τὸν Μαθηματικὸν Ἰδέαν ἑρμηνεύσας ἐπιχειρήσας τὰ Πλάτωνος, Καὶ Ἀλκίνοος ὁ τὸν Εἰσαγωγικὸν ἡμῖν εἰς τὰ Πλάτωνος Φιλοσοφίαν συγγράψας. Καὶ ὁ Φαβωρῖνος δὲ ἐπὶ Τραϊανῷ καὶ Ἀδριανῷ, ὁ Ῥητορεύσας μὲν παρὰ τῷ Πρυσαεῖ Δίωνι, Φιλοσοφήσας δὲ παρὰ τῷ Στωϊκῷ Ἐπικτήτῳ, τὰ γεμὴν Πλατωνικὰ δόγματα προ τῶν Στωϊκῶν ἐπανηρημένος. Ἐπὶ δὲ Ἀντωνίνῳ τῷ Πίῳ Ταῦρος διέπρεπεν ὁ Βηρύτειος, ἔπερ Ἀκεσὴς ὑπῆρξεν Αὖλος ὁ Γέλλιος. Ἐπὶ δὲ Μάρκῳ τῷ Αὐρηλίῳ Ἀττικὸς, ὃ τὰς βίβλους διὰ Θαύματος ἄγων ὁ Πλατωνικὸς Πλωτῖνος, ἐκ ἀπηξίᾳ ἀναγινώσκειν τοῖς ἀκροωμένοις αὐτῷ. Καὶ Νεμήνιος δὲ ὁ τὸν Πλάτωνα ἀποκαλέσας Μωσῆν Ἀττικίζοντα. Καὶ Μάξιμος ὁ Τύριος, ὁ ἐπὶ Αὐρηλίῳ, καὶ Ἀντωνίνῳ, καὶ Κομμώδῳ Φιλοσοφικῶς σοφιζόμενος. Ἐφ' οἷς δὴ καὶ Πλόταρχον τὸν Χαιρωνέα τὸν ἐπὶ Τραϊανῷ, τοῖς ἐπὶ τῶν Καισάρων Πλατωνίσασι προσαριθμῶσι, καὶ Γαλλιῶν τὸν ἐκ Περγάμου, τὸν ἐπὶ Μ. Αὐ-

 ρηλίῳ,

(1) Ταπανότερον ἀλλ' ἓν τῶν ἄλλων Αἱρέσεων ἡ Πυθαγόρειος ἐπὶ τῶν Καισάρων διετέλεσε πράττουσα, ὡς ἐπὶ γοητείᾳ διαβεβλημένη. Ψηφίσματι γὰρ Ἀντωνίνου τῷ Πίῳ μόνας τὰς τέτταρας Αἱρέσεις θέμις ἦν ἐπαγγέλεσθαι· Τὴν Πλατωνικὴν δηλαδὴ, τὴν Στωϊκὴν, τὴν Ἐπικούρειον, καὶ τὴν Περιπατητικήν. Φραγ. Βαδδέος Ἱστ. Φιλοσοφ. Κεφ. Ε'. §. β'.

(2) Τῆς Φιλοσ. Ἱστ. ἐν Περιοδ. β'. Τμήμ. β'. Περὶ Πυθαγόρ. §. ιδ'.

(3) Μυριοβ. Κώδ. ρπζ'.

ρηλίε, καὶ Λεκίε Βήρε, ἐχ ἧττον τῇ Φιλοσοφίᾳ, ἢ τῇ τῶν Ἀσκληπιαδῶν Ἐπιστήμῃ μεγαλυνόμενον. (1).

§. μδ'. Τῶν δὲ Κυνίζειν ἐπαγγελλομένων, οὐδὲ κατ' ἐκείνες τὲς χρόνες τὸ κόμμα ἐξέλιπεν. Εὐκλεέστατοι γὰρ ἰσορῦνται Μεσσώνιός τε ὁ Βαβυλάνιος, ὁ μετὰ τὸν Τυανέα τὸ κατὰ τὸν Κυνισμὸν κλέος πρωτόσας (2), καὶ Δημήτριος ὁ Κυνικὸς ὁ τῷ Οὐεσπασιανῷ (ὥσπερ καὶ ὁ ἀνωτέρω τῷ Νέρωνι προσκεκρεκὼς ἦν) προσκρέσας, ὑπὸ δὲ Ἀπολλωνίε Τίτω τῷ Οὐεσπασιανῷ συσαθεὶς, καὶ ὑπὸ Δομιτιανῷ τὸ δεύτερον ἐξοριθείς. (3). Καὶ Δημώναξ ὁ Δημητρίε διακέσας, καὶ Ἐπικτήτε, ὃν ἐπίσης καὶ Ἑλλὰς πᾶσα, καὶ ἡ Ῥωμαίων ἠγάσατο. (4). Καὶ Κρήσκης δ' ἐπὶ τέτοις ὁ τίτω γασέρα, καὶ τὰ ὑπ' αὐτίω, πολλῷ πρὸ τῇ Κυνισμῇ τιθέμενος, ἡδονῆς τε ἀνδραπόδου παντοίας γεγενημένος· ἃ ἀγώνισμα μέγιστον ἡ κατὰ τῇ Φιλοσόφε καὶ μάρτυρος Ἰσσίνε δολορραφεῖσα κατηγορία. (5). Καὶ Περεγρῖνος δὲ, ὁ ἐκ τῆς πυρᾶς τεθρυλλημένος. (6). Καὶ ἐπὶ πᾶσι Σαλέστιος ὁ Ἐμεσίνος, ὁ κατὰ τίτω ς'. γενέθαι ἀπὸ Χρισῇ ἑκατονταετηρίδα ἀρχομένιω ἤδη φερόμενος. (7).

§. μέ. Οὐμιὼ ἀλλὰ καὶ τῇ Στωϊκῇ Αἱρέσει ἐγκατηρίθμιωται κατ' ἐκεῖνο παρηκολεθηκότες τῇ χρόνε, Θεόδωρος ὁ Ταρσεὺς ἐπὶ Αὐγέσε, καὶ Κορνῆτος ὁ Λεύκιος, ὁ παῤῥησιασάμενος ἐπὶ Νέρωνος, καὶ ἐξορίαν κατακριθείς. Γάϊός τε Μεσσώνιος ὁ Ῥεῦφος, ὁ ταὐτὰ ὑπὸ τῇ αὐτῇ τῷ Κορνήτῳ παθὼν, ὑπὸ δὲ τῇ Οὐεσπασιανῷ ὕστερον μετακληθείς. Καὶ Χαιρήμων ὁ Αἰγύπτιος, καὶ Σενέκας ὁ ἐξ Ἱσπανῶν Ῥωμαῖος, ὃς καλὰ τῷ Νέρωνι ἀπέχων τὰ διδακτρα, Στωϊκῶς ἐτελεύτα. Καὶ Δίων ὁ Πρυσαεὺς, ὁ διὰ τὸ δοφραδὲς τῇ λόγε ἀκέσας Χρυσόστομος. Καὶ Εὐφράτης ὁ Ἀλεξανδρεὺς, ὁ ἐπὶ Ἀδριανῷ ἐπαιδιάσας τῷ γήρᾳ, καὶ ἑκὼν τῇ βίε ἑαυτὸν ὑπεξαγαγών. Καὶ Ἐπίκτητος ὁ Φρὺξ, ἃ ἀκέσας Ἰένιος ὁ Ῥωμικὸς, καὶ Φαβωρῖνος, καὶ Ἀρριανὸς, ὁ ἐκ τῶν ἀπὸ σόματος τῇ Καθηγεμόνος ὑποθηκῶν, τὸ καλὸν ἡμῖν ἀναλεξάμενος Ἐγχειρίδιον. (8). Καὶ Σέξτος δὲ ὁ Χαιρωνεὺς εἰς

(1) Βρκκ. Αὐτ. Τιμ. γ'.
(2) Φιλόστρ. ἐν βίῳ Ἀπολλων.
(3) Φιλόστρ. αὐτ.
(4) Λεκκιαν εἰς βίον Δημώνακτ.
(5) Ἰσσίν. Ἀπολογ. Α'. Καὶ Εὐσεβ. Ἐκκλ. Ἱστορ. βιβ. δ'.
(6) Λεκκιαν. εἰς Περεγρῖν.
(7) Σεῖδ. ἐν Λέξ. καὶ Μυριοβ. Φωτ. Κώδ. σμδ'.
(8) Η'. μὲν Βιβλία τῶν Ἐπικτήτε Διατριβῶν, ιβ'. δὲ τῶν τῇ αὐτῇ ὁμιλιῶν συνέταξεν Ἀρριανὸς (παρὰ Φωτ.

εἰς ἃ παιδείας χάριν ἐφοίτα Μ. Αὐρήλιος ὁ Ἀντωνῖνος, καὶ Καίσαρ ἤδη προσεσημασμένος. Ἐφ' οἷς δὴ καὶ Μ. Αὐρήλιος αὐτὸς συγκαταλεκτέος, δι' ἃ ἡ κατὰ τὰς Στωϊκὰς Φιλοσοφία, ἀντὶ Στοᾶς αὐτῇ ἀνοιχθέντων τῶν Ἀνακτόρων, ἐπὶ τῷ Μοναρχικῷ θρόνῳ ἀρθεῖσα καθίδρυται. (1).

§. μς'. Κατὰ δὲ τοῦτο τὸ χρόνο, ἐδ' ἡ τῶν Ἐπικουρείων ἀφανὴς ἦν λανθάνουσα Αἵρεσις. Καίτοι γὰρ, καὶ μεταξύπω ἐπηρεαθῆναι ταύτῃ συνέβη, τῶν ἐκ τῆς Ἐπικούρε Ἀγέλης, δόγματι βελῆς κοινῷ τῆς Ῥώμης, ἀπελαθέντων· Καὶ Μεσήνιοι δὲ ἐν Ἀρκαδίᾳ, τὰς ἐκ τῆς αὐτῆς φάτνης ἐδηδωκότας ἐξήλασαν· Οἵτε Λύκτιοι ὁμοίως τὸν Κρήτῃ νόμον γεγράφασι, τὰς τιὰ θήλειαν, καὶ ἀγεννῆ, καὶ αἰσχρὰν ἐπινοήσαντας Σοφίαν, καὶ μέντοι καὶ τοῖς Θεοῖς πολεμίας, ἐκκηρύκτως εἶναι τῆς Λύκτε (2), ἐμοὶ μὲν ἐδ' ἔτως ἡ τῷ χρόνῳ ἐπήρεια κατίσχυσε τῆς Αἱρέσεως, ὥσε πάντη ποιῆσαι ἐξίτηλον. Καιγάρ τοι καὶ Φαῖδρος ὁ τῷ Κικέρωνι σωήθης τιὰ ἀγωγιὰ ἠρετίσατο, καὶ Λεκρήτιος Ῥωμαῖος Ἀνὴρ, μετὰ Κικέρωνα γεγονὼς ἔτη ιβ'. ἐκ τῶν αὐτῶν πηγῶν εἰς κόρον ἐγδύσατο, ὁ καὶ τὰ τῆς Αἱρέσεως ἡμῖν ἀποταμιδύσας ἐν ἐμμέτρῳ Συγγράμματι. Καὶ Κέλσον δὲ ὕσερον Ἐπικούρειον ἴσμεν, ὃν Ὠριγένης γενναίως ἐξήλεγξε (3) καὶ Πλίνιον ὡσαύτως τὸν δεύτερον, τὸν ἐπὶ Οὐεσπασιανῷ ἀκμάσαντα· Ὃν καὶ τῷ Βεσβίῳ, Φιλοσόφῳ χάριν περιεργίας ὑπὲρ τὸ δέον πελάσαντα, ὑπὸ τῆς ἐκ τῶν κρατήρων ἀναδιδομένης ἀτμίδος, λόγος ἔχει ἀποπνιγῆναι. (4). Προσαναγράφουσι δ' ἔτι τῇ Αἱρέσει καὶ Λεκιανὸν τὸν Σαμωσατέα, τὸν ἐπὶ Κομμώδε εἰς γῆρας ἔχατον ἑλληνακότα Σοφιστιὰ, ἢ Φιλόσοφον. Καὶ Διογένιν δὲ αὐτόν τινες τὸν Λαέρτιον, διὰ τὸ πλατύτερον ἡμῖν ἐν ταῖς τῶν βίων ἀναγραφαῖς τὰ τῆ Ἐπικούρε ἐκθέσθαι, ἢ τὰ τῶν ἄλλων, ἐπικρίσαι τοπάζουσιν (5), καίπερ ὑπεναντίως ἢ τῷ Ἐπικούρῳ σωήθες ἦν, ἐκ ἀμφισβητησίμως δ' ἀμυδρῶς τιὰ τῶν Θεῶν εἰσάγοντα πρόνοιαν. (6).

§. μζ'.

Φωτ. ἐν βιβλιοθ. Κώδ'. νη'.) ἐξ ὧν τέτταρα μόνα, τὰ ἐν τῷ Ἐγχειριδίῳ, ὡς ἡμᾶς ὁ χρόνος παρέπεμψεν.

(1) Βρκκ. Περιόδ. Β'. Μέρ. Α. Βιβ. Α'. Κ. β'. Τμήμ. ζ'.

(2) Σκίθ. ἐν Λέξ. καὶ Ἀθήν. ὁ Δειπνοσ. Βιβλ. ιβ'.

(3) Συγγράμ. κατὰ Κέλσε.

(4) Πλίνι. ὁ Νεώτ. Βιβλ. γ'. κ ς'.

(5) Ὅρα Βρκκ. Περ. Α'. Μέρ. Α. Βιβ. Α'. Κεφ. β'. τμ. η'.

(6) Μέτιθι γᾶν τὰ Λαερτίε ἐς Βίωνα τὸν Βορυσθενίτην Ἀνακρεόντειον Βιβλ. δ'. ἐς Βίωνα.

§. μζ'. Τῆς δὲ Περιπατητικῆς Φιλοσοφίας ὁπαδοὶ γενόμενοι κατ' αὐτὲς ἐκείνες τὲς χρόνες φέρονται οἱ ἑξῆς. Σωσιγένης Αἰγύπτιος, ὁ τὸν Καίσαρα Ἰέλιον, τὸ παρὰ Ρωμαίοις ἔσγ' ἐπ' ἐκεῖνο κρατῆν Καλανδάριον ἐπανορθώσασθαι ἀναπείσας. (1). Βόηθος ὁ Σιδώνιος, ὁ ἐκ τῆς Ἀνδρονίκε Σχολῆς ὡρμημένος, ᾧ καὶ Στράβων ὁ Γεωγράφος συνεμαθήτευσε. (*). Νικόλαος ὁ Δαμασκηνὸς, ὁ τῆς Αὐγέστε φιλίας καταξιωθεὶς, καὶ τὲς πλακῆντας αὐτῷ φιλικῶς διαπέμπων, ἓς Νικολάες ἐξ αὐτῆ ὁ Καίσαρ ὠνόμαζε. (2). Ξέναρχός τε, καὶ Ἀθήναιες οἱ ἐκ Σελευκείας, ὧν ὁ μὲν τῆς Αὐγέστε ὄνοίας διαφερόντως ἀπήλαυσεν, ὁ δὲ εἰς ὑπόνοιαν ἐμπεσὼν δυσμενῆς ἐπειράθη τὸ πρῶτον, εἶτ' ἀπολογηθεὶς αἰτίας οἵασῆν ἀπελύθη. Καὶ Ἀλέξανδρος ὁ Αἰγαῖος, ὁ τῆ Νέρωνος καθηγησάμενος· Ὃν καὶ τῆς τῆ Τυράννε διαφροφῆς ἠτιάσαντο. (3). Καὶ Ἀμμώνιος ὁ τῆ Πλειάρχε χρηματίσας Διδάσκαλος, (ἄλλος ἔτος παρὰ τὸν μετὰ ὅλιν ἑκατονταετηρίδα ἠνθηκότα, ᾧ Σακκᾶς ἐπώνυμον, (4),) ἐξ' ὧν μάλισα καὶ ὁ τῆς φιλοσοφίας κυκεὼν προπίνεθαι ἤρξατο, τοῖς Ἀριστοτελικοῖς τὰ Πλατωνικὰ συναναχρωννύειν ἐπικειρηκότων, καὶ εἰς τέρας οἷον, τὸ καλὸν τῆς φιλοσοφίας ἄγαλμα παραμορφωσάντων ἐκ εὐχημον· Ἐντεῦθεν γὰρ οἱ θιασῶται τῆ Πλάτωνος Ἀριστοτελίζειν ἠκέοντο, Ταῦρος ἐκεῖνος, καὶ Ἀττικὸς, καὶ οἱ ἄλλοι, ὧν ἐν τοῖς Πλατωνικοῖς μικρὸν ἀνωτέρω ἐμνήθημεν· Καὶ πάντες μονονεχὶ (πλὴ εἴτις Ἀδραστόντινα ἐξέλοι, καὶ Ἀριστοκλῆν τὸν Μεσσηνίον, καὶ Ἀλέξανδρον τὸν ἐξ Ἀφροδισιάδος, (ἓ μεγίστε μετὰ τὸν ἐκ Σταγειρῶν προσάτε τὸ Λύκειον ἐπειράσατο) ἓν τῆτο ἀγώνισμα ἐποιῆντο, τῆ παντὸς ὡς ὤοντο ἄξιον, εἴτις ὡς ἄρισα τὸν ἀπολελακτικότα τῷ λακτιθέντι ἐν ὁμοποδῆντι ῥυθμῷ συμβιβάσειε, καὶ τὸν μαθητὴ ἀποδείξειεν ὁμοφρονῆντα τῷ Διδασκάλῳ (5), καὶ ἐφ' οἷς ἔχ ἥκισα ἀσυμβάτως ἀλλήλοιν τὸ Ἀνδρε ἔχετον.

§. μή.

(1) Πλίνι. Βιβλ. ιή'. Κ. κέ.

(*) Στράβ. Βιβλ. ιϛ'.

(2) Φώτ. Μυρι. Κώδ. ρπθ'.

(3) Στράβ. Βιβλ. ιδ'. Σεῖδ. ἐν Λέξ.

(4) Σεῖδ. ἐν Λέξ.

(5) Οἷον ὡς ἐν τύπῳ λαβεῖν συναναγκάζε τὲς Φιλοσόφες ὁμοφρονεῖν καὶ μὴ θέλοντας Ἀμμώνιος ἐν τῷ εἰς τὰς Ἀριστοτ. Κατηγορ. ὑπομνήμ. εὐθὺς κατ' ἀρχὰς τῆ Συγγράμματος. Καὶ Ἱεροκλῆς παρὰ Φωτίῳ (ἐν τῇ βιβλιοθήκῃ). Ὅτι σύμφωνος ἐν τοῖς Δόγμασι Πλάτων καὶ Ἀριστοτέλης

§. μή. Ἀλλ' αὕτη μὲν ἡ ἁπασῶν ἐχάτη προκύψαι δοκοῦσα Αἵρεσις, ἡ τῶν Ἐκλεκτικῶν καλεμένη, εἰ μόνον εἴσω τῶν τῆς Ἐπαγγελίας ὅρων τυγχάνοι μένουσα, πρωτίστη ἂν ὡς εἰκὸς τῶν ἄλλων ταχθείη καὶ χρόνῳ, καὶ τιμιότητι. Ταύτῃτε γὰρ παρηκολουθηκότες ὑπῆρξαν Πλάτωνές τε, καὶ Ἀριστοτέλεις οἱ δαιμόνιοι, καὶ Ζιλώνες, καὶ οἱ ἀμφὶ Δημόκριτον, καὶ Ἐπίκουρον, καὶ πάντες, ὡς ἁπλῶς εἰπεῖν, τῶν πώποτε γενομένων Αἱρέσεων, οἱ Κορυφαιότατοι. Καὶ τῆγε δὴ τῶν φερομένων φιλοσοφικῶν δοξασμάτων ἐκ παντὸς τὸ ἄριστον καὶ χρυσᾶ, καὶ γένες, καὶ Ἀνδρὸς ἀναλέγεσθαι, καὶ τὸ μᾶλλον τῷ λόγῳ σύμφωνον, ἐδεῖ πρεσβύτερον τοῖς νῦ μετέχουσι γένοιτ' ἂν ἀτεχνῶς, ἐδὲ τιμιώτερον. Ἦγε μὴν καταχρησις, ὡς ἐπὶ καὶ ἄλλων συχνῶν, τὸ σεμνὸν καὶ τίμιον καὶ ταῦθα τῆ πράγματος διεφαύλισε. Τῶν γὰρ Ἐκλεκτικῶν οἱ πλεῖστοι Συναρμοσαίτινες καὶ Συμβιβασαὶ θᾶττον ὤφθησαν, καὶ τῶν ἀσυγκλώστων συγκλώσαι. Οὐδὲν γὰρ αὐτοῖς ἐναντιοφανὲς ἔτω παρέξη ἀκρόαμα, ὃ μὴ θέμις ἔδοξεν ἐκβιάσασθαι, καὶ τῷ προκειμένῳ σφίσιν ἁρμονικῶς ἀναδεῖξαι φθεγγόμενον. Ἐνθεντοι τοῖς μὲν Χαλδαικοῖς συναναφύραντες τὰ Αἰγύπτια· Καὶ τούτοις δὲ, ὅσα Πυθαγορικὰ, ὅσα Πλατωνικὰ, ὅσα Ἀριστοτελικὰ, πᾶν ἁπλῶς Ἑλληνικὸν ἐγκαταμίξαντες φιλοσόφημα· Τὸ δὲ δὴ τέως παραλογώτατον, ἐπὶ τοῖς δε πᾶσι, καὶ τῶν Χρισιανικῶν δογμάτων πολλὰ συνεπιφορήσαντες, ἐξ ἁπάντων τούτων τὸν Ἀλεξανδρινὸν Κρατῆρα συγκεκεράκασιν, ἔ τὸν Κυκεῶνα πολλῇ τῆς ἀτοπίας τλῇ τρύγα ἐπιφερόμενον, ἀνθοσμίᾳ δίκῃ, ἵνα μὴ νέκταρος εἴπω, τοῖς τῷ δίψει τῆς Σοφίας συνεχομένοις προέπιον.

§. μθ'. Λέγεται δῆτα, τῆδε τῆ τῶν Ἐκλεκτικῶν μὲν καλεμένων, Συλλεκτικῶν δὲ μᾶλλον ἀπελεγχθέντων κόμματος, πρῶτος κατάρξαι Ποτάμων ὁ Ἀλεξανδρεύς (1), ὃν οἱ μὲν ἐπὶ τῶν Αὐγύστε χρόνων ἀναβιβάζουσιν (2), οἱ δὲ ἐπὶ τῶν Πλωτίνε κατάγουσι (3) τῆ φιλοσόφε. Μετάγε μὴν τὸν Ποτάμωνα, μάλισα πάντων καὶ θερμότατα ἐπὶ τῇ συμφωνίᾳ τῶν διαφωνουσῶν Αἱρέσεων ἀγωνισθῆναι Ἀμμώνιον τὸν Ἀλεξανδρέα, τὸν ἐπί-

λης ἐπεβάλετο δεῖξαι. Καὶ Πορφύριος (παρὰ Σκίδα) συνέγραψε περὶ τῆ μιᾶναι τὴν Πλάτωνος καὶ Ἀριστοτέλες Αἵρεσιν.

(1) Λαέρτ. ἐν τῷ προοιμ. κατ'. αὐ. τὸ τὸ τέλος.

(2) Σκίδ. ἐν Λέξ. Αἵρεσις, καὶ Ποτάμων.

(3) Πορφύρ. ἐν βίον Πλωτίνε.

ἐπίκλιν (ὡς εἴρηται) (§. μζ'.). Σακκᾶν, ἀπολιγέσης μὲν ἤδη τῆς β'. τῶν Ἐκκλησιαστικῶν ἑκατονταετηρίδων, ἀρχομένης δὲ τῆς γ'. ἀναμφισβητήτως τοῖς πᾶσιν ἐστὶν ὁμόλογον. Καὶ ἀπαντήσαι μὲν τῇ Φορᾷ τῆς Αἰγυπτιακῆς τῆς δὲ μισαγγείας τε καὶ Συρροίας, ἐγένετο καὶ μεταξὺ ὥπερ ἐμέλησεν, Ἀνατόλιος ὁ Ἀλεξανδρεὺς, ὁ τῇ Περιπατητικῇ δόξῃ οἷον ἔρεισμα ὑποθέσθαι, τὸ παρ' αὐτῷ κατὰ τὴν Ἀλεξάνδρειαν ἀνοιχθὲν Λύκειον ἀγωνισάμενος, κατὰ τὴν Γ'. Ἑκατονταετηρικὴν τῆς Ἐκκλησίας περίοδον, ἀλλὰ τὸ κακὸν ἐξενίκα· τό, τε Ἀμμωνιακὸν κόμμα προῖὸν τῷ χρόνῳ ἐῤῥώννυτο, καὶ κατίσχυε, καὶ Ἀνδράσι τοῖς ἐπὶ Σοφίᾳ τὰ πρῶτα ἀπενεγκαμένοις διεκοσμεῖτο καὶ ἐλαμπρύνετο. Αὐτίκα γὰρ τῶν Ἀμμωνίου Ἀκροασαμένων οἱ ὑπὲρ τὰς ἄλλας θρυλλέμενοι, Διονύσιος Λογγῖνος, (ὃν Φιλάρχαιόντε καὶ ἔμβιόντινα Βιβλιοθήκην παρέδωκαν ὀνομάζεσθαι (1), τὸν ὑπὸ Αὐρηλιανῷ ἀναιρεθέντα). Καὶ Ὠριγένης, (ἐχ ὁ καθ' ἡμᾶς δηλονότι, ἐλλιμίζων δὲ τὴν θρησκείαν ἔτος). Ὁ τὰ τῆς Αἱρέσεως ἔκπυστα πεποιηκέναι τολμήσας, τέως σιγῇ τιμώμενα· Καὶ Πλωτῖνος, Στύλος ἕτερος καὶ αὐτὸς τῆς τοιαύτης ἐκλεκτικῆς ἰδέας γενόμενος (2), ὃν καὶ Γαλιῆνος ὁ Καῖσαρ εἰς τοσοῦτον ἠγάσατο, ὡς καὶ ἐπιτρέψαι ἂν αὐτῷ, τὴν λόγῳ μόνῳ χεδιασθεῖσαν ὑπὸ Πλάτωνος πολιτείαν εἰς ἔργον ἀγαγεῖν, εἰμὴ τοῖς περὶ αὐτὸν μετεπέπεισο, τῶν ἥκιστα διωατῶν εἶναι τὸ ἐγχείρημα διατεινομένοις, καὶ λῆρον ἄντικρυς ἀποδεδειχόσι τὸ πρᾶγμα, ἔργῳ ἀσύστατον.

§. ν'. Τῶν ἐκ τῆς Πλωτίνε Σχολῆς, τῆς ἐπὶ πολὺ κατὰ τὴν Ἀλεξανδρέων πόλιν παρατεινάσης, προεληλυθότων Ἀνδρῶν (ὧν τὸ σῖφος ἱερὰ γενεὰ προσειρηται). Εὐκλείστατοι ὑπῆρξαν Ἀμήλιος, ὁ τῆς ἐκείνε οἰκειότητος διαφερόντως ἀπολαύσας (3), καὶ Πορφύριος, (ὃς Μάλχος τὸ πρὶν ἀκέων, ὑπὸ Λογγίνε εἰς τοῦτο μετωνομάσθη). Ἀνὴρ μανικὸς τὴν ἕξιν, καὶ τὰς φρένας ἔμπληκτος· ὃς καὶν τῷ ζῆν ἑαυτὸν ὑπεξήγαγε μελαγχολήσας ποτὲ, μὴ τῷ Πλωτίνε διακωλύσαντος. Οὗτος πολλὰ καὶ τῆς τῶν Χριστιανῶν θρασύτητος καθυλάκτισε πίστεως· (4). Πορφυρίῳ δὲ Ἰάμβλιχος διήκουσεν ὁ Χαλκηδών, ὁ θαυμάσιος μὲν τοῖς περὶ αὐτὸν

(1) Σχόλ. ἐν Λέξ. Πορφύρ. ἐν βίῳ Πλωτίνε. Εὐνάπιος ἐν βίοις Σοφιστ.

(2) Πορφύρ. ἐν Εὐνάπ. ἐν βί. Πλωτ.

(3) Σχόλ. ἐν Λέξ.

(4) Εὐνάπ. ἐν τῷ βίῳ. Σχόλ. ἐν Λέξ.

αὐτὸν προσαγορευθείς (1), ἐδοὺ δὲ τῷ Φανητιασμῷ, καὶ τὰ κατὰ τῶν Χριστιανῶν ἔχθει τῆ διδασκάλε ἐλάσσων γεγονώς. Ἰαμβλίχε δὲ ἀκεσαὶ οἱ μᾶλλον διαβόητοι Σώπατρος, ὃν Κωνσαντῖνος ὁ Μέγας ἀνεῖλε, καὶ Αἰδέσιος, καὶ Εὐσάθιος.

§. νά. Ἰαμβλίχε δὲ λῆξιν ἀμείψαντος ἡ Σχολὴ ἐπὶ μὲν τῆ Μεγάλε Κωνσαντίνε ἀπλώθει, καὶ ἐμαραίνετο· Ἰβλιανῆ δὲ τιὼ Αὐτοκράτορα Ἀρχλὼ ἀναδησαμένε, καὶ τὰ Χριστιανῶν μηχαναῖς ἁπάσαις ἀνατρέψαι πεδάζοντος, ἀνεδίδε πάλιν καὶ ἤκμαζε, τὰς ἀθεμιτεργίας αὐτῶν (ἃς Θεεργίας ἐκάλεν) τῶν Ἰαμβλιχείων ἀναφανδὸν τῆ λοιπῆ καὶ ἀπερικαλύπτως, κατὰ πᾶσαν Αἴγυπτον, καὶ Συρίαν, καὶ Ἀσίαν τιὼ καλεμένιω Ἑλάσσονα ἐπιτελέντων· Ἐν οἷς διαπρέποντες ἐτύγχανον Αἰδέσιός τε καὶ Εὐσάθιος οἱ εἰρημένοι, καὶ ἡ τότε γαμετὴ Σωσιπάτρα, καὶ Εὐσέβιος ὁ Μιῶδιος, καὶ Πρῖσκος, καὶ Μάξιμος ὁ Ἐφέσιος, καὶ Χρυσάνθιος. Περὶ ὧν τὰ ἱστορέμενα ἐκ τῆς Εὐναπίε Συγγραφῆς ἐστὶν ἀναλέξαθαι τῷ βελομένῳ. Περιεσκεμμένως μέντοι, καὶ ἐκ ἄνδο λόγε τῆς ὑπονοίας, πολλῶν ἐν αὐτῷ τῷ Συγγράμματι ἐκ ἀληθῶς λεγομένων, ὡς ἄρισα ἡμῖν ὁ Βρυκέρος παρήνεσεν, ἐν τῷ περὶ τῆς τῶν Φιλοσοφησάντων Ἱστορίας αὐτῆ Βιβλίῳ (2). Ἐξ ἃ τὰ πλείσα τῶν ἐνταῦθα εἰρημένων ἡμᾶς ἀωτεῦσαι, ἐκ ἄπρεπές ἐδ' ὅσιον, ἐδὲ πρὸς τρόπε ἄλλως τῆ ἡμετέρᾳ τυγχάνον, σιγῇ παρελθεῖν ἡγέμεθα.

§. νβ'. Τῆς δ' Ἕκτης ἤδη ἀπὸ Χριστῆ τῆ Σωτῆρος ἡμῶν καὶ Θεῆ Ἑκατονταετηρίδος διατρεχέσης, Ἱεροκλῆς τιὼ ἐν Ἀλεξανδρείᾳ τῆ Πλωτίνε καθέδραν ἐκόσμει, τῆς Πλάτωνος καὶ Ἀριστοτέλες ὁμοδοξίας προσάτης ὢν διαπρύσιος. (3). Ἀλλὰ καὶ Ἀθιώησι πρὸ τῆ Ἱεροκλέες ἔτι, τῆς αὐτῆς Αἱρέσεως προϊσάμενος ὤφθη Πλέταρχος ὁ Νεσορίε, ὁ ἐν ταῖς Ἰαμβλίχε Θεεργικαῖς τελεταῖς, πολλές τε ἄλλες Μύσας εἰληχὼς, καὶ Ἴριον τὸν ὑὸν, καὶ Ἀσκληπιγένειαν τιὼ θυγατέρα, καὶ Ἀρχιάδιν τὸν ἐπιγαμβρεύσαντα αὐτῷ. Τῆ δὲ Πλεταρχε τότε καὶ Συριανὸς διήκεσε, καὶ τιὼ Σχολιὼ διεδέξατο. Συριανῆ δὲ Πρόκλος ὁ Λύκιος, ὁ κατὰ τὸ ὑπέ. τελευτήσας (4). Πρόκλε δὲ Μαρῖνος ὁ Παλαισινός· Μαρίνε δὲ Ἀγάπιός τε καὶ Ἰσίδωρος· ὧν

(1) Εὐνάπ. ἐν βίῳ.
(2) Περιοδ. Β. Μέρ. Α'. Βίβλ. Α'. Κ. β'. τμ. δ'.
(3) Φώτιος ἐν Κώδ. σιδ'. Καὶ Σοῖδ. ἐν Λέξ.
(4) Μαρῖνος ἐν βίῳ Πρόκλε.

ὧν ὁ μὲν ἐν Βυζαντίῳ ὕστερον φιλοσοφῶν διέτριψεν, ὁ δὲ τὴν Ἀθήνησι Σχολὴν, οὐ πάνυ τι ἑκὼν διαδεδεγμένος, μετ' οὐ πολὺ τῷ Ζηνοδότῳ ἡδέως παρέλιπε. Ζηνοδότου δὲ τὴν Διδασκαλίαν ἐκ διαδοχῆς ἀνείληφε Δαμάσκιος ὁ Σῦρος, ὁ καὶ τῶν Μαρίνου, καὶ Ἀμμωνίου, καὶ Θέωνος συνουσιῶν ἀπονάμενος (1), Μετὰ δὲ τὸν Δαμάσκιον ἔσχατος τῆς Ἀθήνησι Πλατωνικῆς καθέδρας ἐπιβεβηκέναι φέρεται Σιμπλίκιος ὁ Κίλιξ, ὁ καὶ παρὰ τῷ Δαμασκίῳ αὐτῷ, καὶ Ἀμμωνίῳ τῷ Ἑρμείου μαθητεύσας.

§, νγ'. Παρὰ γεμὴν τοὺς καταλεχθέντας, καὶ ἄλλους οὐκ ὀλίγους, κατὰ τὴν Ἐκλεκτικὴν τήνδε τοῦ φιλοσοφεῖν ἰδέαν, ὁ χρόνος ἤνεγκε διαπρέψαντας, οὓς ἔξω τῆς ἐν τῇ διαδοχῇ γενομένους τάξεως ὁ λόγος παρέδραμε. Τοιοῦτος ὁ Θεμίστιος, οὗ καὶ Λιβάνιος μαθητὴς ὑπῆρξε, τὸν ἐν τῇ Βυζαντίδι φιλοσοφικὸν θρόνον λαμπρύνοντος· καὶ ὁ τῆς Ναζιανζοῦ φωστὴρ Γρηγόριος ἠκροάσατο. Θεμίστιον δὲ, καὶ οἱ κατ' ἐκεῖνον Αὐταρχοῦντες πάντες ὑπερηγάσαντο, καὶ διὰ τιμῆς ἔσχον. Κωνσταντιος γὰρ ὁ Αὐτοκράτωρ, Συγκλητικῷ διασεμνύνας αὐτὸν ἀξιώματι, καὶ χαλκῇ Εἰκόνι τετίμηκεν. Ἰουλιανὸς δὲ ὕστερον καὶ τῆς Κωνσταντίνου ἀνέδειξεν Ὕπαρχον. Ὁ δὲ Μέγας Θεοδόσιος καὶ τὸν υἱὸν Ἀρκάδιον παιδείας χάριν οἱ καθυπέβαλεν, Ἐπὶ τούτῳ καὶ Ὀλυμπιόδωρον ὁ λόγος ὑπερέθετο τὸν Ἐκλεκτικὸν οὐδὲν ἧττον, καίτοι τὴν Ἀνατολίου ἐν Ἀλεξανδρείᾳ Σχολὴν διεξάγειν λαχόντα, τὴν ἐπ' ὀνόματι τοῦ Περιπάτου ἱδρυθεῖσαν, καθάπερ εἴρηται. (§. μθ'.) Καὶ Ὑπατίαν δὲ τὴν φιλόσοφον, τὴν Θέωνος τοῦ Ἀλεξανδρέως· ἧς τὸ σαρκίον ἀπηνῶς πάνυ καὶ ἀπανθρώπως παρὰ τῶν Ἀλεξανδρέων διασπασθὲν, καὶ εἰς κόρον ἐνυβρισθὲν, Αἰγυπτιακῆς ὠμότητος, καὶ Θεοστυγοῦς δεισιδαιμονίας, κατὰ πᾶσαν τὴν πόλιν, μᾶλλον δὲ τὴν οἰκουμένην πᾶσαν, διεσπάρη μαρτύριον. (2). Καὶ ἄλλους.

§. νδ'. Ἀλλ' ὧδε μὲν τὴν φιλοσοφίαν διὰ μακροῦ συνοῦσαν τοῖς θύραθεν κατιδόντες, οὐκ ἂν ἔξω τείνειν τοῦ σκοποῦ δόξαιμεν, εἰ καὶ τῆς Αὐλῆς εἴσω εἰσαγομένῃ κατ' ἴχνια βαίνοντες, καταμάθοιμεν, τίνες κἂν τοῖς τὸν Χριστὸν Σεβομένοις οἱ πεφιλοσοφηκότες γεγόνασι. Κατὰ γοῦν τὴν προτεθεῖσαν ἡμῖν ἰδέαν συντόμως, καὶ ὡς ἐν καταλόγῳ τὴν ἀπογραφὴν ποιουμένοις, Ἰουστῖνος πρῶτος ἀπαντᾷ ὁ ἐν μάρτυσι φιλόσοφος, ὃν Κρήσκης, ὡς εἴρη-

(1) Φώτ. Μυριοβ. Κώδ. ρπά. (2) Σουΐδ. ἐν Λέξ.

εἴρηται (§. μδ'.) ὁ Κυνικὸς ἀθείας γράψας, τῷ Θεῷ λατρείαν προσφέρειν ἔδοξε. Τούτου μαθητὴς οὐδὲν ὅμοιος ὑπῆρξε Τατιανὸς ὁ Σύρος, ὁ μετὰ τὴν τοῦ Μάρτυρος ἀναίρεσιν ἐπὶ τὸν βόθρον τῶν Γνωστικῶν καλουμένων Αἱρετικῶν, σχετλίως τε καὶ ἀνοήτως κατενεχθείς. Ἐφ' οἷς Θεόφιλος ὁ Ἀντιοχεὺς, καὶ Ἀθηναγόρας, οἱ ὑπὲρ τῆς εὐαγοῦς ἡμῶν πίστεως ἄριστα διὰ Συγγραφῆς ἀπολογησάμενοι. Καὶ Εἰρηναῖος ὁ Λουγδούνων Ἐπισκοπήσας, Πάνταινός τε, καὶ ὁ Ἀλεξανδρεὺς Κλήμης, ὁ τούτου ἀκροασάμενος. Καὶ Ὠριγένης ὁ θαυμάσιος, ὁ ἐκ τῆς Σακκᾶ σχολῆς προεληλυθὼς, οἱ τὴν Κατήχησιν τῶν εἰς τὴν πίστιν εἰσαγομένων ἐγκεχειρισμένοι. Καὶ Δίδυμος δὲ ὁ Ἀλεξανδρεὺς, ὁ διακηκοὼς Ὠριγένους, καὶ τὰ τῆς Φιλοσοφίας, καὶ τῆς Γεωμετρίας, καίτοι τυφλὸς τυγχάνων, ἄδυτα διοπτεύσας. Κατ' ἐκεῖνο δὲ καὶ Χαλκίδιος ἀκμάσαι ἱστόρηται, οὗ τὸ περιφερόμενον εἰς τὴν Πλάτωνος Τιμαιολογίαν ὑπόμνημα· Καὶ Ἀρνόβιος, καὶ Λακτάντιος ἐν τοῖς Δυτικοῖς, καὶ παρ' ἡμῖν αὖθις ὁ τοῦ Παμφίλου ἐπικληθεὶς Εὐσέβιος, οἱ τοῖς Ἐκκλησιαστικοῖς ἐξίσου, καὶ τοῖς Φιλοσόφοις μαθήμασιν ἐνεδοκιμήσαντες· ὧν οἱ πλείους καὶ εἰς ἀτόπους παρηνέχθησαν ὑπολήψεις, ᾗ παρὰ τοῖς τὰ Ἐκκλησιαστικὰ ἐξιστορηκόσιν ἐπέσται μαθεῖν.

§. νέ. Καὶ οὗτοι μὲν δὴ σχεδὸν οἱ ἄχρι τῆς δ'. Ἑκατονταετηρίδος ἀρχομένης. Ταύτης δὲ ληγούσης ἤδη, κἀπὶ τὴν Ε'. μετακυκλουμένης, Αὐγουστῖνος ἤκμαζεν ὁ τῆς ἐν Ἀφρικῇ Ἱππῶνος ἐπισκοπήσας· Καὶ Συνέσιος μετ' ἐκεῖνον, ὁ ἀπὸ τῆς κατ' Αἴγυπτον Κυρήνης· ὃς ἐκ τῶν συνουσιῶν Θέωνος, καὶ Ἥρωνος, καὶ Πάππου τῶν Ἀλεξανδρέων, τὰ Μαθηματικὰ ἐκπαιδευθεὶς, ἐπὶ τῶν Φιλοσοφουμένων τὴν εἰρημένην Ὑπατίαν, (§. νγ'.). ἔσχε Διδάσκαλον. Πρὸς οἷς, κἂν τῇ πρὸς ἥλιον τετραμμένῃ δυόμενον, τοῦ φωτὸς τῆς Φιλοσοφίας διὰ τὰς τῶν βαρβάρων ἐφόδους μονονουχὶ τέλεον ἐκλελοιπότος, ὡς ἐν σκοτίᾳ πυκνῇ Κλαυδιανὸς διήυγαζεν ὁ Μάμερτος, καὶ Βοήθιος ὕπατος Ῥωμαῖος, οὗ τὸ περὶ παραμυθίας τῆς Φιλοσοφίας φέρεται συγγραμμάτιον.

§. νϛ'. Μετὰ τούτους, κατὰ τὴν ϛ'. τῶν ἀπὸ τῆς τοῦ σωτῆρος γεννήσεως Ἑκατονταετηρικῶν περιόδων, ἐν τοῖς Ἀνατολικοῖς αὖθις ἀνέλαμπεν Αἰνείας ὁ Γαζαῖος, καὶ Ζαχαρίας ὁ Σχολαστικὸς, καὶ ὁ Φιλόπονος Ἰωάννης, ὁ τοῖς Τριθείταις συνασεβήσας. Ὁ πολλὰ μὲν τῶν Ἀριστοτέλους διερμηνεῦσαι ἐσπουδακὼς, οὐχ ἥκιστα δὲ τοῖς Πλατωνικοῖς ἐπιχαίρων, καὶ τούτοις τὰ τοῦ

Σταγειρίτȣ, ὅπῃ παρείκοι, διαλλάσσειν ἀγωνιζόμενος. Πάντες γὰρ ὡς εἰπεῖν τὰ τȣ̃ Πλάτωνος πρὸ τῶν λοιπῶν τιθέναι ἐφιλονείκȣν, ὡς ἧττον ἄρα τȣ̃ χριστιανισμȣ̃ τὴν κατ' ἐκεῖνον φιλοσοφίαν ἀπέχȣσαν κρίνοντες.

§. νζ'. Ἐντεῦθεν τῆς Ζ'. ἤδη ἑκατοστύος τῶν ἀπὸ Χριστȣ̃ σωτηρίων ἐνιαυτῶν περιοδεȣ́ȣσης, ἡ ἐφ' ἱκανȣ̃ Αἰγυπτιάσασα τȣ̃ Πλάτωνος φιλοσοφία, διὰ τὸ ἐπιπολάσαν τηνικάδε μάλιστα τῶν Ὠριγενειαστῶν κόμμα κακῶς παρὰ τοῖς ὀρθοδοξεῖν αἱρȣμένοις ἀκȣ́ȣσα, τῇ τȣ̃ σταγειρίτȣ ἐξ ἀμοιβῆς καθυπεχώρει· κἀκείνης ȣ̃τω καταργȣμένης, ταύτην ὁ θεῖος Δαμασκηνὸς ἀντικαθιστᾷν ἐπειρᾶτο, κατὰ τῶν ἄρτι μαινομένων Αἱρεσιωτῶν ὑπȣργὸν τῇ Ἐκκλησίᾳ ἐσομένην, ὡς ἐδόκει, ȣ̓κ ἄχρηστον. Ἔνθεντοι διηνοίγετο μὲν αὖθις τὸ Λύκειον, αἱ δὲ τῆς Ἀκαδημίας πύλαι συνεζυγȣ̃ντο. Ἥγε μὴν φιλοσοφία, ȣ̓δ' ἐκ τῆς τοιᾶς δε τῶν πραγμάτων μεταβολῆς πολύχȣν τινὰ τὸν καρπὸν ἀπενεγκαμένη ἐφαίνετο. Ἀλλ' ἔνθεν μὲν τὰ τῆς βασιλείας τῶν Σαρακηνῶν ἀγόντων τε καὶ φερόντων, ἔνθεν δὲ τῶν Εἰκονομάχων τὰ τῆς Ἐκκλησίας μεστὰ πάντα ταραχῆς τε καὶ στάσεως ποιȣμένων· Καὶ τȣ̃ φερωνύμȣ δὲ ἐν τȣ́τοις Λέοντος, τῶν ἐν ταῖς Εἰκόσι σεπτῶν τυπωμάτων, ȣ̓δὲν ἔλαττον τὰς ἐν ταῖς ψυχαῖς τῶν μαθημάτων ἀνατυπώσεις ἐκτρίψαι φιλονεικȣ̃ντος, ἐντεῦθεν καὶ τὰ τῆς φιλοσοφίας ὡς εἰκὸς ὑπεστέλλετο, καὶ διέφθινεν, εἰς ὃ κατὰ τὴν Θ'. ὕστερον ἑκατοντάδα ἀναζωπυρεῖσθαι ἤρξατο, καὶ ἀκμάζειν ἐθέλειν καὶ αὖθις ἐδόκει, ἐπὶ Μιχαήλȣ καὶ Βάρδα τῶν τότε Αὐτοκρατορȣ́ντων, ἔς γε καὶ ἐπὶ τὴν ἐφεξῆς Ι'. Κωνσταντίνȣ ἤδη τȣ̃ Πορφυρογεννήτȣ τὰ τῆς βασιλείας σκῆπτρα διέποντος· Τάχα μέν πῃ τῷ πρὸς τȣ̀ς Σαρακηνȣ̀ς ζήλῳ τῶν ἡμετέρων εἰς τȣ̃το ὑποκνιζομένων; παρ' οἷς Ἀριστοτέλης Ἀῤῥαβιστὶ ἤδη ἐφιλοσόφει φθεγγόμενος, τάχα δέπȣ καὶ τȣ̃ Μεγάλȣ Φωτίȣ, ȣ̓ μικρὸν ὑπὲρ τῆς φιλοσοφίας ἀγωνισαμένȣ ὥστε συστῆσαι, καὶ ἐκ πολλȣ̃ ὑπερορωμένην τῆς πρώτης ἀξιῶσαι ἐπιμελείας σπȣδάσαντος. Φωτίῳ μὲν ȣ̃ν τῷ πάνυ παρέβαλε καὶ τῶν Ψελλῶν ὁ Πρεσβύτερος, ȣ̓χ ȣ̃τω παιδείας καὶ λόγων δεόμενος, οἷσπερ ἐκ πολλȣ̃ ἐνεȣδοκιμῶν ἐθρυλλεῖτο, ὡς τὴν αὐτῷ προστριβομένην ἐπὶ φρονημάτων Ἑλληνισμῷ (ἦν γὰρ ἐκ τόπως καὶ ȣ̃τος ταῖς τῶν ἐν Ἀλεξανδρείᾳ πεφιλοσοφηκότων δόξαις προσκείμενος) διαβολὴν ἀπονίψασθαι χρήζων, κἀπὶ τȣ̃ εȣ̓παγȣ̃ς καὶ στεῤῥȣ̃ τῆς τȣ̃ Διδάσκοντος εȣ̓κλείας, τὴν περὶ αὐτȣ̃ τῶν ἄλλων

σαλεȣ-

σαλευομένην πῆξαι ὑπόληψιν. Τοῦ δὲ Ψελλοῦ τοῦδε Ἀκουστὴς ὑπῆρξε Λέων ἐπίκλην φιλόσοφος, ὁ παρὰ Θεοφίλου τοῦ βασιλεύοντος δημοσίᾳ διδάσκειν ταχθεὶς, ὑπὸ δὲ Βάρδα ὕστερον καὶ τῶν διδάσκειν ἐπαγγελλομένων ἁπάντων, οἱονεὶ ἔφορος εἶναι προτεταγμένος. Τῆς δὲ τοῦ Λέοντος τοῦδε σχολῆς, καὶ ἑξῆς προεληλύθασι Νικήτης ὁ Δαυὶδ, καὶ Μιχαὴλ ὁ Ἐφέσιος, ἐν τοῖς τὰ Ἀριστοτέλους διερμηνευκόσιν οὐκ ἄσημος. Μαγεντῖνος τε, καὶ Εὐστράτιος, οἱ περὶ τὴν Ἑρμηνείαν τῶν Ἀριστοτελείων οὐκ ἀκλεῶς οὐδ' αὐτοὶ ἐκπονήσαντες· Ἐφ' οἷς καταλεγέσθωσαν, καὶ Νικηφόρος ὁ Βλεμμίδης, καὶ Γεώργιος ὁ Παχυμέρης, καὶ Νικηφόρος ὁ Γρηγορᾶς, καὶ Γεώργιος ὁ Κύπριος, καὶ Γεώργιος ὁ Λαπίθας.

§. νή. Οὐ μὴν δὲ, ἀλλ' οὐθ' ἡ Πλάτωνος Ἑστία, τέλεον ἐν τούτοις ἠρήμωται· Οὐ δὲ γὰρ ἐπὶ τοσοῦτον ἡ Αἵρεσις ἤργησεν, ὡς μηδὲ ἕνα τινὰ τῶν κατ' αὐτὴν δογμάτων ἐχόμενον ἀποδοῦναι. Προήνεγκε δὲ πολλῶν ἀντάξιον ἄλλων Μιχαὴλ τὸν Ψελλὸν τὸν Νεώτερον, τὸν παρὰ μὲν τῷ Δούκα Μιχαὴλ μεγαλυνόμενον, ὕστερον δὲ ὑπὸ τοῦ τὰ σκῆπτρα διαδεξαμένου Νικηφόρου τοῦ Βοτανιάτου ἀποβληθέντα, καὶ διὰ τοῦ Μοναχικοῦ σχήματος ἐπὶ τὴν ὄντως φιλοσοφίαν ἀναδραμόντα. Ἀλλ' ἐνθένδε τοῦ λοιποῦ τῶν πραγμάτων ἐπὶ τὸ χεῖρον ὁσημέραι μεταβαλλομένων, καὶ τῆς Βασιλείας κατὰ βραχὺ εἰς ὄλεθρον ἀποκλινούσης, καὶ αὐτὸ τὸ τῆς παιδείας καλὸν ὑπελαττούμενον ὅσαι ὧραι, οἷα συμβαίνει, καθεωρᾶτο καὶ ὑποφθῖνον, μηκέτι τῆς φιλοσοφίας ὡς τὸ πρὶν πολιτευομένης, ἀλλ', εἴτις καὶ ὑπολέλειπτο, τῶν Μοναστηρίων ἐντὸς ἑαυτὴν ὑποστειλάσης, καὶ ὡς εἰπεῖν μοναζούσης τὸ πλέον, καὶ οἰκουρούσης ἄχρις αὐτῆς Ἁλώσεως.

§. νθ'. Ἀλλὰ γὰρ μικρὸν ἐπιστρέψασιν, εἴτις ἐπιφυλλὶς παρώφθη φιλοσοφίας, τοῦ λόγου μεταξὺ σπεύδοντος, καὶ ταύτην ἀναλεκτέον. Κατὰ μὲν οὖν τὸ Ω'. που ἀπὸ τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἔτος (1), καὶ τὸ Ἀράβων Ἔθνος, τοῖς ὅπλοις θαυ-

 μαστῶς

(1) Περὶ τὸ σ'. Ἔτος τῆς κατὰ Μωάμεθ Ἐγείρας Ἀλμαμώνιος ὁ δέκατος καὶ ὄγδωος Καλλιφεύσας, ἀπὸ τοῦ τῶν Ἀββασιδῶν γένους, φιλόσοφός τε ὢν καθ' ὑπερβολὴν καὶ φιλαστρονόμος, Ἐπιστήμης ἁπάσης, καὶ παντὸς λόγου ἰδέας ἀνέωξε φροντιστήρια. Κατ' ἐκεῖνο δὲ, καὶ ἑξῆς, πολλὰ τῶν Ἑλληνικῶν βιβλίων Ἀῤῥαβιστὶ διηρμήνευτο, καὶ πρὸ τῶν ἄλλων τὰ Ἀριστοτέλους, ἃ καὶ παρὰ Βοηθίου πρότερον λατινιστὶ μετεπέφραστο. Βουδδ. Ἐν Ἱστορ. Φιλοσ, Κ. Ε. §. γ'.

μασῶς διδοκιμηκότες, καὶ πολλὰ μὲν τῶν πρὸς ἀνίσχοντα ἥλιον ὑπαγαγόντες ἐθνῶν, πᾶσαν δὲ ἑξῆς Λιβύλιν, καὶ πᾶσαν μονονεχὶ τὴν Ἰβήρων τῶν πρὸς δυόμενον ἥλιον ὑφ' ἑαυτὲς ποιησάμενοι, φιλοσοφεῖν καὶ αὐτοὶ ἀνεβάλοντο. Προσάτης δὲ τῆς κατ' αὐτὲς φιλοσοφίας εἰσιωέχθη Ἀριστοτέλης, βαρβαρίζων μὲν τῇ φωνῇ (Ἀρραβισὶ γὰρ διεμιλεῖτο) πάνυ δὲ λεπτῶς τὸν νῶν ὑπομνηματιζόμενος, καὶ τὸ φίλερι τετί γένος τῆς χολασικῆς λογομαχίας κατὰ μικρὸν παρεισάγων. Διαπρέψαντες δῆτα τῶν Ἀριστοτελιζόντων Ἀράβων ὑπὲρ τὲς λοιπὲς μάλιστα φέρονται Ἀβικέννας ὁ ἀπὸ Βοχάρων τῆς Περσίδος κατὰ τὴν ια'. τῶν Ἑκατοντ. ἀπὸ Χριστὲ ἀκμάσας, καὶ Ἀβερρόης ὁ κατὰ τὴν ιβ'. ἀπὸ Κορδέβης, ἄμφω ἐπὶ τῇ φιλοσοφίᾳ, καὶ τῆς Ἰατρικῆς ἐ παρέργως ἠμμένω, ὧν ὁ δεύτερος καὶ ὡς Θεόντινα τῆς σοφίας ἔφορον ἐπὶ γῆς ὀφθέντα, ἀπάτης οἱασῶν κρείττονα δηλονότι, τὸν σαγειρίτην ὑπερεκθεάζων, πρὸς τὸν ἀντίθετον νῶν, ὅσον ἐκ ἐπὶ πᾶσι, τῶν Ἀβικεννείων ἀντιπεριῆγε διερμηνεύσεων. Ἐκ δὴ τέτων ἡ τῶ Ἀριστοτέλες φιλοσοφία κατὰ τὴν Ἰσπανῶν χώραν ἐπιμελῶς γεωργεμένη, ἀντεῦθεν καὶπὶ τὴν ὅμορον Γαλλίαν μετεφυτεύετο, καὶ τὰ λοιπὰ τῆς Εὐρώπης ἐφεξῆς κατελάμβανεν, ἅθα αἱ τῶν χολασικῶν Φατρίαι ἀνθήσασαι μέχρι πόρρω διήνεγκαν.

§. ξ'. Περὶ γὰρ τὴν ιβ'. τῶν Ἑκατονταετηρίδων ἀρχομένην ἤδη, Λάμφρανκόστις ἤκμαζε Καντεβρίας Ἐπίσκοπος Ἀνὴρ Διαλεκτικώτατος. Λαμφράνκω δὲ συνήκμαζε Πέτρος ὁ Ἀβηλάρδος. Ἑξῆς δὲ μετὰ τέτον Πέτρος ὁ Λομβάρδος, ὃν τὸ ἐκ τῶν Πατέρων συναρμοδὲν τέτταρσιν αἰ Τάξεσι Θεολογικὸν σιώταγμα, Διδάσκαλον ἔδωκε καλεῖθαι τῶν Ἀποφάνσεων. Καὶ αὕτη δὴ τῆς Σχολασικῆς Φιλοσοφίας ἰσόρηται πρώτη οἷον περιοχὴ (1), ἡ ἔσχ' ἐπὶ τὴν ΙΓ'. Ἑκατονταετ. μεσᾶσαν παρατείνασα. Μετὰ δὲ τέτες Ἄλβερτος ἤνθει ὁ Μέγας ἐπικληθεὶς, Γερμανὸς μὲν τῷ Γένει, ἐν Παρισίοις δὲ παρὰ Γάλλοις ἐφ' ἱκανῆ διδάξας, καὶ Ῥατισβόνης ὕστερον ἐπισκοπήσας· Ἀνὴρ πολυΐστωρ, καὶ πολυγραφώτατος γεγονὼς τῶν κατ' αὐτὸν, ἔ καὶ Ἀλέξανδρος δίηκσεν ὁ δὲ Ἄλες, ὁ ἐκ τῆς εἰς τὰ Πέτρε τῆ Λομβάρδε ὑπομνηματογραφίας μέγα τὸ κλέος ἀράμενος. Ἀλλὰ καὶ Θωμᾶς ὁ Ἀκυινάτης ἠκροάσατο τῆ αὐτῆ, ὁ Ἰταλὸς, ὁ τῆς

(1) Βαδ. ἐν Ἱστ. φιλοσ. Κ. Ε'. §. ς'.

τῆς τῶν Θωμιστῶν ἐξ αὐτῦ καλουμένων Φατρίας Ταξίαρχος. Τούτοις συναριθμεῖται καὶ Δερένδος ὁ νεανικῶς τῷ Ἀκινάτῃ ἀντιπαραταξάμενος, εἰς ὃν καὶ ἡ δευτέρα τῶν Σχολαστικῶν Περιοχὴ τῦ ιδ'. ἤδη ἀρχομένῃ Ἐκκλησιαστικῦ αἰῶνος, ἀποτελοῦσα. Αὐτίκα δὲ ἄρα τῆς Τρίτης περιοχῆς συνάμα τῇ ιδ'. Ἑκατονταετηρίδι ἀρχομένης, Ἰωάννης Δένς ὁ Σκότος διέλαμπεν, ὁ τῆς τῶν Σκοτιστῶν συμμορίας Καθηγεμών, καὶ ἐπὶ Φρενῶν λεπτότητι κλειζόμενος· ἔ Γυλιέλμος Ὄχαμος ὁμιλητὴς χρηματίσας, ἐκ εἰς τέλος καὶ τῶν Δογμάτων ὀπαδὸς εἶναι ἠξίε, ἀλλὰ τὸν Διδάσκαλον καὶ ἔτος ἀπολακτίσας, τῆς τῶν Ὀνοματικῶν εἰρημένων προέδρε Αἱρέσεως. Καὶ ἔτοι μὲν τῶν τῆς σχολαστικῆς Φιλοσοφίας Πατέρων οἱ ἐνδοξότατοι, οἱ τὸν Περίπατον ταδιόντι ἀναδείξαντες ἐναγώνιον, καὶ τῆς Περιπατητικῆς Αἱρέσεως τὸν Ἰσὸν πολυχεδῶς διαρρήξαντες. Περίεισι δὲ καὶ μέχρι τῦδε τὰ παρὰ Λατίνοις τῶν Μοναζόντων τάγματα παρωνύμως τοῖς Προσάταις αὐτῶν γνωριζόμενα, καὶ τὰ μὲν τῶν Θωμιστῶν, τὰ δὲ τῶν Σκοτιστῶν, τὰ δὲ τῶν Ὀχαμιτῶν, τὰ δ' ἄλλων, ὡς ἀπὸ τῦ Κορυφαίε ἔλαχεν ἕκαστον, περισοβῆντα ταῖς ἐπικλήσεσι.

§. ξά. Φορὰν τοιγαροῦν φιλοσόφων μακαρίαν τινὰ καὶ εὐδαίμονα, εἰποιτις ἂν κατ' ἐκεῖνο γεγενῆθαι τὸ χρόνε, ὁπότε καθ' ἵλαστε καὶ ῥᾳτιὰς, ἐν παρασήμοις διαφόροις, ὡς ἐκ παρατάξεως ἀλλήλαις συμπλεκομένας, τὸ τῆς διαγνώσεως τῆς ἀληθείας ἀπὸ τῦ ψεύδες ἀγώνισμα, τλιὺ Εὐρώπλιν ἅπασαν ἡ Φιλοσοφία διέτρεχε, καὶ θορύβων διαλεκτικῶν ἐπλήρου. Ἀλλ' ἦσαν ἄρα, τὸ τῦ λόγε, πολλοὶ μὲν Ναρθηκοφόροι παῦροι δὲ βάκχοι. Ἐν δὲ πλήθει τοσῶδε φιλοσοφέντων, δεινήτις τῆς γνησιωτέρας Φιλοσοφίας τὰ πάντα κατεῖχε σκάνις καὶ ἔνδεια. Αἴτια δὲ, τὸ μάντι, ἡ τῦ Φιλοσοφεῖν κρατῦσα τλιωικαῦτα τάξις καὶ μέθοδος, Ἐριστικήτις ἔσα, καὶ πειρασικὴ, καὶ τῦ σφίσι δοκοῦντος ἑκάστω συσατικὴ, καὶ κατασκευασικὴ μᾶλλον, ἢ τῦ ἀληθῦς ἐρευνητικὴ καὶ σοχασική. Τὸ δὲ, καὶ ἡ τῶν Ἀριστοτέλες βιβλίων εἰς ἑτέρας γλώσσας μεταφορὰ, καὶ ἐξ ἑτερογλώσσων εἰς ἑτερόγλωσσα αὖθις ἑρμηνεύματα μετακύλισις· ὡς ἂν ὑδάτων εἰπεῖν, ἐξ ἀκαθάρτων πηγῶν, διὰ μὴ καθαρῶν σωλήνων μετοχέτευσις, ἢ μεταγωγισμός. Τῦ γὰρ Ἑλλιυος λόγε, ὅπερ ἐστὶ, τῆς φωνῆς τῦ φιλοσόφε ἀδαεῖς ὄντες, καὶ πάντῃ ἀπαιδεύτως ἔχοντες, ἐν αἷς ἐκ τῶν Ἀραβικῶν εἶχον,

ἐπὶ τὴν σφίσι πάτριον φωνὴν διερμηνεύσεσι καὶ μεταφράσεσι, καὶ ὑπομνηματισμοῖς τε καὶ Σχολιασμοῖς τὰ πολλὰ, τὸν νοῦν ἐκείνου θηρᾶσθαι τηνάλλως ἠπείγοντο. Διὸ καὶ τοῦ τῆς ἐννοίας ἀκριβοῦς ἐπὶ τῶν πλειόνων ἀτευκτοῦντες, τὰς ἰδίας ἑαυτῶν ἐπινοίας, ᾗ καλῶς ἔχειν αὐτοῖς ἐδόκει, ἀντὶ τῶν γνησίων καὶ ἀληθῶν ἀνθυπέβαλλον, Ἀκυνάτεῖ ἄττα, καὶ Σκότια γεννήματα, ἀντὶ τῶν Ἀριστοτελείων διὰ μακροῦ προϊσχόμενοι.

§. ξβ'. Τοιγαροῦν οὕτω τὴν Ἀριστοτέλους φιλοσοφίαν εἰς ὑπολήψεις ἐκφύλους, καὶ δόξας ἀλλοτρίας, παρὰ Λατίνοις ἐκδεδιῃτημένην, εὐκαίρως πάλιν ἡ Ἑλλὰς χεῖρα ὀρέξασα, εἰς ἦθος τὸ ἴδιον μετῆγεν αὖθις καὶ μετερρύθμιζε. Τῶν γὰρ βαρβάρων ἰσχυρῶς ἤδη καὶ ἀνυποστάτως τοῖς ἡμετέροις ἐπικειμένων, καὶ τῆς Βασιλίδος τῶν Πόλεων, ὅσον οὐδέπω, εἰς γόνυ πιπτούσης, πολλῶν τε δὴ ἐπὶ τὴν Ἰταλῶν χώραν μεταναστευόντων ἐξ αὐτῶν, ὅσοι τῶν ἐν λόγοις γνωρίμων ἐτύγχανον, ἐντεῦθεν τοῦ λοιποῦ τὸν Λόγιον Ἑρμῆν καὶ ἐμπολαῖον ἀτεχνῶς ἀποφαίνοντες, τὰ πρὸς τὸ ζῆν ἐπορίζοντο, τῶν Ἑλληνικῶν ἐπιστημῶν τε καὶ λόγων ὤνια τὰ σπέρματα προβαλλόμενοι. Καὶ γέγονεν ἐπιεικῶς τῆς παρὰ τοῖς Δυτικοῖς τῶν Μαθημάτων διαστροφῆς ἐπανόρθωσίς τε καὶ θεραπεία, ἡ τῶν Ἀνατολικῶν πραγμάτων καταστροφή. Εἰσὶν οὖν οἱ τὰ τῶν λόγων ἀγώγιμα ἐξ Ἑλλάδος εἰς Ἰταλίαν καὶ τὴν ἄλλην Εὐρώπην τὸ τηνικαῦτα διαπορθμεύσαντες, οἱ ἐφεξῆς.

§. ξγ'. Μανουῆλος Χρυσολωρᾶς ὁ Βυζάντιος· ὃς ἐν Ἔτει ᾳτλζ'. παρὰ Ἰωάννου τοῦ Παλαιολόγου ἐπὶ συμμαχίας ἀντιλήψει πρὸς τοὺς ἀν' Εὐρώπην δυναστεύοντας διαπρεσβευσάμενος, τὴν Ἰταλίαν ἔπειτα μετὰ τὴν πρεσβείαν εἰς μονὴν ἑαυτῷ ᾑρετίσατο, κἀν ταῖς ἐπισημοτάταις τῶν πόλεων, Ἐνετίῃσίτε, καὶ Φλορεντίᾳ, κἀν αὐτῇ τῇ Ῥώμῃ, λόγων ἠνέωξεν Ἑλληνικῶν φροντιστήρια. Μετὰ τοῦτον, ὅλης Ἑκατονταετηρίδος παρελασάσης, Γεώργιος Γεμιστὸς Πλήθων ὁ Βυζάντιος ἤνθει, ὁ Μιχαὴλ τῷ Παλαιολόγῳ σφόδρα κεχαρισμένος, καὶ ἐπὶ τοῦ Φλορεντινοῦ ἔπειτα Συλλόγου τῶν Λογάδων εἷς καὶ αὐτὸς ἀριθμούμενος. Ὃς καὶ πρῶτον μὲν τὰ τῆς ἑνώσεως ἀποστέργων, λατινοφρονήσας ἐλήλεγκται ὕστερον. Οὗτος δεινὸς ἦν τῶν Πλατωνικῶν Δογμάτων κατὰ τῶν τοῦ Ἀριστοτέλους προασπιστής. Τούτου Μαθητὴς ἐγένετο Βησσαρίων ὁ Τραπεζούντιος, ὁ τῆς ἀποστασίας ὤνιον τὴν Καρδιναλικὴν ἀξίαν ἀπενεγκά-

νεγκάμενος. (1). Κατὰ τὸν αὐτὸν δὲ χρόνον τὴν Ἰταλίαν ἐκόσμου καὶ Θεόδωρος ὁ Γαζῆς, καὶ Γεώργιος ὁ Τραπεζούντιος ὁ Κρὴς, ὧν ὁ μὲν πρὸ τῶν Πλατωνικῶν τὰ Ἀριστοτέλους ἐνέκρινεν, ὁ δὲ Γεώργιος ἐκτόπως ἦν ἑαλωκὼς τοῖς τοῦ Πλάτωνος, ὥστε καὶ τὰ ἐξ ἀμάξης κατὰ τοῦ Θεοδώρου γράψαι, καὶ τὸν ὑπὸ τοῦ ἀπὸ Νικαίας Καρδινάλεως διατοῦτο ἔλεγχον ὑποστῆναι, τοῦ τὴν ἐξαφθεῖσαν ἔριν ἀποσβέσαι σπουδάσαντος. Ἄμφω μὲν οὖν τῶν πάλαι φιλοσοφησάντων πολλὰς ἐκλατινίσαντες βίβλους, οὐκ ἀξιοχρέους ἔδοξαν κομίσασθαι τῶν φιλοπονηθέντων τὰς ἀντιδόσεις. (2). Ἐπὶ δὲ τούτοις ἀριθμείσθωσαν καὶ Ἰωάννης Ἀργυρόπουλος, ὁ τῶν Υἱῶν Κοσμᾶ τοῦ ἀπὸ τῶν Μεδίκων Δουκὸς, διδάσκαλος εἶναι ταχθεὶς, Καὶ Μιχαῆλος ὁ Ἀποστόλης, καὶ Ἀνδρόνικος ὁ Κάλλιστος, καὶ Κωνσταντῖνος ὁ Λάσκαρις, οἱ πάντες Βυζάντιοι. Καὶ Δημήτριος δὲ Χαλκοκονδύλης Ἀθηναῖος, καὶ Γεώργιος Ἑρμώνυμος ὁ Σπαρτιάτης, Ἰάνος τε Λάσκαρις ὁ Ῥυνδακηνὸς, καὶ Μάρκος Μουσοῦρος ὁ Κρής. Οὗτοι μὲν οὖν εἰσὶν οἱ ἐξ Ἑλλάδος, περὶ τὴν τῆς Βασιλευούσης ἅλωσιν, μετα-

(1) Τοῦτον παρὰ Καρόλῳ ποτὲ φασὶ τῷ ΙΑ'. βασιλεῖ τῶν Γάλλων, καὶ τῷ τῶν Βουργουνδίων ἔτι Δουκὶ, ὡς ἐκ τοῦ Ῥώμης Σίξτου τοῦ Δ. πρεσβεύοντα, ἐφ' ᾧ διαφερομένους συγκαταλλάξαιτε καὶ εἰρηνικὰ φρονεῖν ἀναπεῖσαι, ἐπειδὴ πρῶτον τῷ Δουκὶ παρέβαλεν, οὐκ εὐμενοῦς ἔπειτα τοῦ Βασιλεύοντος πειραθῆναι. Μόλις τε γὰρ εἰς τρίτον διατρίψαντα μῆνα, ἐλθεῖν εἰς πρόσωπον ἐκείνῳ ἐπιτραπῆναι, καὶ οὐδ' αὐτῆς φιλανθρώπου πάνυ παραστάντα ἀπολαῦσαι τῆς συντυχίας. Τὸν γὰρ βασιλέα χειρὶ δραξάμενον τοῦ πώγωνος, καὶ κατασείσαντα, ὑπᾷσαιτε τὸ ἔπος αὐτῷ,

Græca per Ausonios fines sine Lege vagantur,

καὶ μετ' αἰσχύνης ἀπολύσαι. Ἐκ τούτου τοιγαροῦν καὶ τὸν Καρδινάλιον οὐ μετρίως οἴσαντα, ἀθυμίᾳ μετ' οὐ πολὺ καταστρέψαι τὸν βίον ἐν Ῥαβέννῃ τῇ πόλει. Κἀντεῦθεν ἔπειτα εἰς Ῥώμην τὸν αὐτοῦ νεκρὸν μετακομισθέντα, τῷ παρ' αὐτοῦ προηυτρεπισμένῳ μνήματι ἀποτεθεῖναι, ἐν ᾧ καὶ Ἐπιτύμβιον ὑπ' αὐτοῦ φθάσαν ποιηθῆναι, ἀναγινώσκεσθαι.

„Τοῦτ' ἔτι Βησσαρίων ζῶν ἤνυσα σώματι σῆμα.
„Πνεῦμα δὲ φευξεῖται εἰς Θεὸν Ἀθάνατον.

(2) Τὸν μὲν γὰρ Τραπεζούντιον φασὶ, τοὺς ἐπιδοθέντας αὐτῷ ἑκατὸν χρυσοῦς, ἀπὸ τῆς Αἰλίου Γεφύρας ἐπὶ τὸν Θύμβριν ἀποῤῥίψαι ἐπειπόντα: Periere Labores, pereat et eorum ingrata merces. Τὸν δὲ Γαζῆν δυσαναχετήσαντα καὶ αὐτὸν ἐπὶ τῇ τοῦ Ποντίφικος (Σίξτος δὲ ὁ Δ. ἦν) ἀγνωμοσύνῃ καὶ ἀγροικίᾳ, καὶ τῆς Ῥώμης αὐτῆς ἀπελθεῖν: effugere hinc lubet, λέξαντα, postquam optime segetes in olfactu prepinguibus asinis sordescunt.

ναςάντες, καὶ τὴν Ἰταλῶν χώραν, δι' ὧν συνεκομίσαντο παιδείας καὶ λόγων, καταπλετίσαντες. Ἐφ' οἷς ἐδὲ τὸν Σχολάριον παρελθεῖν ἄξιον· Ἦν γὰρ τῶν ἐν Φιλοσοφίᾳ κατ' ἐκεῖνο θρυλλεμένων καὶ ἕτος· Παρῆν δὲ καὶν τῷ Φλορεντινῷ Συλλόγῳ, τῶν τῇ ἑνώσει μὴ ἐπδοξοκηκότων εἷς· Ἐφ' ᾧ καὶ προσκρέσαι λέγεται Κωνσαντίνῳ τῷ Αὐτοκράτορι, καὶ τῆς πόλεως ἀναχωρῆσαι, τὸν μοναδικὸν βίον ἐπανηρημένος, καθ' ὃν καὶ Γενναδίος μετωνόμασαι διὰ τὸ Ἱερὸν Σχήματος ὁ πρώην Γεώργιος. Κατὰ δὲ τὴν περὶ τῶν Φιλοσόφων κινεμένην τότε λογομαχίαν, ἐδ' αὐτὸς ἔξω μένειν τὸ ςαδὶν ἀξιῶν, ἠγωνίσατο ὑπὲρ Ἀριστοτέλες κατὰ τὸ Πλάτωνος. Οὗ χάριν καὶ τὸ τὸ Πλήθωνος ὑπὲρ Πλάτωνος βιβλίον, Πατριαρχεύσας ἤδη, ἐπὶ Μωάμεθ τὸ τῆς Βασιλίδος τῶν πόλεων κατάρξαντος, πυρὶ παναθήμῳ παραδοθῆναι ἐκέλευσε.

§. ξδ'. Τὰ μὲν ἓν ἔστ' ἐπ' αὐτῇ τῇ τὸ γένες κάκωσιν, ὅσον γ' εἰς Φιλοσοφίαν ἥκει, καὶ τῇ περὶ τὰς Ἐπιςήμας ἐπίδοσιν, χεδόντι ταῦτα. Τὰ δ' ἀπ' ἐκείνε, θῆνες ἄνυδροι καὶ θηριώδεις· Ὅθεν ἂν ἐδεὶς εὖ φρονῶν, μὴ ὅτι γε καρπῶν ἰδεῖν εὐφορίαν τῶν κατὰ τὰς λόγες, ἀλλ' ἐδὲ τὴν τυχεῖσαν βλάςην ἐλπίσειε. Φύσει γάρ πως ὑπὸ τῆς χρείας ἄγεσθαι φιλεῖ τὸ ἀνθρώπειον· Ἐνδέον δὲ τῶν ἀναγκαιοτέρων, μόλις ἂν ἐπισραφείη τῶν περιττῶν, καὶ ὧν τὴν χρῆσιν ὑπερθέσθαι ἔχειν ὑπέληφεν. Ὡς εἴπερ αὐ τοσέτῳ κακῶν, ἐγένοντο καὶ μεταξύ, οἷς λόγων τε καὶ παιδείας ἐμέλησεν, ἐοικέναμοι δοκεῖσιν ἕτοι τοῖς κατηπειγμένοις τῶν ὁπωρῶν, ἃς τῆς τέχνης ἐκβιαζομένης εἰ ἀήθεσι τοῖς κλίμασιν, ἢ εἰ καιροῖς μηδαμῶς συμπράττεσιν, ἀλλὰ καὶ πρόσισαμένοις, τοῖς τρυφῶσιν ἡ Φύσις ἐχ ἑκεῖσα προβάλλεται. Τέτων γὰρ ἡδὺ μὲν τὸ ἀπάνιον, ἀγαςὸν δὲ τὸ ξένον, τό, τε κάλλος, κἂν εἰς ακμὴν μὴ φθάνον, θαυμάσιον. Τοιάτες δήτινας Φιλοσοφίας καρπὲς, ἀθλίως καίτοι ἀπὸ τῆς ἀλώσεως ἐκβαρβαρωθεῖσα, ἐκ διαλειμμάτων ἡ Ἑλλὰς ὤφθη φέρεσα. Ἐφ' ὧν μηδεὶς ἡμῖν τῶν Ἀλλογενῶν νεμεσήσειεν ἐπικαυχωμένοις. Οὐδὲ γὰρ ὥς τινες τῶν ἀρτιπλέτων ἀγροίκως τοῖς παρεῖσιν ἡμεῖς ἐπιδεικτιῶμεν, ἀλλ' ὡς ἐκ πλετέντων ἤδη πενόμενοι, τοῖς περιλειφθεῖσιν ἐπαγαλλόμεθα, ἅμα μὲν τῆς πάλαι ἀφθονίας τῇ μνήμῃ φέροντες, ἅμα δὲ καὶπὶ τῷ πρώτῳ ἐπανελθέσθαι ἐκ ἀπελπίζοντες ἑτηρίαν, εἴποτε τοῖς καθ' ἡμᾶς δύμενῶς ἡ πρόνοια ἐπιβλέψειεν.

§. ξέ.

§. ξέ. Τῆς τοίνυν ς'. ἐπὶ τῇ Ι'. ἀπὸ Χριστῦ ἑκατοσύος λη-γέσης Γαβριὴλ ἤκμαζεν ὁ Σεβῆρος, ὁ τῆς Ἐνετίησι παροικέ-σης τῶν Ἀνατολικῶν Ἐκκλησίας τλὺ ποιμαντορίαν πεπισθμέ-νος· Ἀνὴρ παιδείας τε ἢ λόγων εὖ ἤκων, ὡς ἐμφαίνει τὰ παρ' αὐ-τῦ συνταγμάτια. Μελέτιος δὲ ὁ Πηγᾶς τὸν Ἀλεξανδρέων Πατριαρχικὸν ἐκάλλυνε θρόνον, ἔ τὸ περὶ τλὺ ἔσω καὶ ἔξω μά-θησιν κλέος, ἐχ ὅπως τὸ καθ' ἡμᾶς, ἀλλὰ τῶν ἀν Εὐρώπλω Ἐθνῶν καὶ τὰ πορρωτάτω διῆλθε διαπεφοιτηκός. Καὶ Μά-ξιμος ἐπὶ τέτοις ὁ Μαργένιος Κυθήρων Ἐπίσκοπος, ὁ τῶν φι-λοσοφικῶν καὶ θεολογικῶν μαθημάτων εἰς ἄκρον ἑλληλακὼς, ἢ τὸν Ἕλλινα λόγον ἐπιτηδεύσας τῶν παλαιῶν ἐ πάνυτι ἀ-ποδέοντα.

§. ξς'. Κατὰ δὲ τλὺ Ζ'. ἐξῆς ἐπὶ τῇ Ι'. Κύριλλος ὁ Λέκα-καρις, παιδείας ἄλλως ἀνὴρ ἐκ ἀγθυσος, ἐπὶ τῦ Πατριαρχι-κῦ θρόνῳ τῆς Κωνσαντίνα, Αἱρετικῆς φρενοβλαβείας, καθ' ἑαυτῦ παρεῖχεν ὑπόνοιαν· Καὶ Μελέτιος ὁ Συρίγα Κρὴς τλὺ πατρίδα, ἐ μετρίως αὐ τοῖς κατὰ τὸ Πατάβιον θρυλλμένοις Παιδοτηρίοις ἑαυτὸν ἀνασκήσας, ἐκ ἀγαννῶς ὑπὲρ τῆς Ἐκκλη-σίας αὐ ταῖς τότε κατηγωνίζετο ςάσεσι. Καὶ Θεόφιλος Κορυ-δαλλεύς ὁ ἐξ Ἀθλιῶν, ὅς αὐ Ῥώμῃ μὲν τὰ ἐγκύκλια τῶν παι-δθμάτων ἐκδιδαχθεὶς, αὐ Πατα βίῳ δὲ ὑπὸ Κρεμονίνα τὰ φι-λόσοφα παραλαβὼν, ἐκ ἀμυδρὸν ἄςρον φιλοσοφίας ἐν τοῖς ἡ-μετέροις ἀπέφηλβε. Τότε μὲν γὰρ τῆς ἐν λόγοις ἀρετῆς, πολλὰ μὲν τὰ αὐ Συγγραφαῖς περιφερόμενα δείγματα, πολλὰ δὲ καὶ αὐ τοῖς αὐτῷ προσωμιληκόσι τὰ μαρτύρια, ὧν ἄλλοτε πολλοὶ γε-νέσθαι λέγονται, καὶ Διονύσιος ὁ Μητροπολίτης χρηματίσας Ναυπλίε, ὅ, τε πολὺς τὰ κατὰ τῶν παπιζόντων Ἀγωνίσμα-τα Νεκτάριος, ὁ τῶν Ἱεροσολύμων Πατριαρχθσας, καὶ Ἰω-άννης Καρυοφύλλης ὁ Βυζάντιος, καὶ Γερμανὸς ὁ Αἰτωλὸς, ὁ ὕσερον Νύσης Ἐπισκοπήσας, εἰς ἀκρότητα παιδείας οἱ πάντες βλέποντες. Κατ' ἐκεῖνο δὲ τῦ χρόνε, καὶ Γεώργιος ἤνθει ὁ Κορέσιος, ὁ τλὺ πατρίδα Χῖος, Ἀνὴρ ἐπὶ τοῖς Ἰατρικοῖς, καὶ Φιλοσοφίας, καὶ θεολογίας μελέτλω ἐκ ἀγεννῆ πεποιημένος. Καὶ ὁ τὸν Οἰκθμενικὸν ἰθιώσας θρόνον Ἀθανάσιος ὁ Πατελλάριος, καὶ ὁ τὸν Ἀλεξανδρέων μετὰ Λέκαριν Γεράσιμος, ἐκ Κρήτης ἄμφω, οἱ πρὸς τοῖς ἱεροῖς μαθήμασιν, ἐδὲ τῶν κατὰ Φιλοσοφίαν δογμάτων ἀμελῶς ἐχηκότες. Ἐπὶ τέτοις ἡ Κρήτη καὶ Γεράσιμον ἄλλον ἐδίδε τὸν Βλάχον, Ἄνδρα περὶ Φιλοσοφίαν καὶ

θεολογίαν ἐν πολλοῖς διαπρέψαντα, καὶ Καλούδιω ἔτι ἀκουστὼ ἐκείνου, τοὺς τὸ Ἐνετίῃσι παροικοῦν γένος διακοσμήσαντας. Ἤνεγκε δὲ ὁ αὐτὸς χρόνος καὶ τοὺς ἐκ Χίου εὐδοκιμηκότας ἐν Φιλοσοφίᾳ, Παΐσιόν τε τὸν Λειγαρίδιω, τὸν ἐν Γιασίῳ τῆς Μολδαβίας Σχολαρχήσαντα, καὶ Ἀντώνιον Κοραιὼ τὸν Ἰατροφιλόσοφον. Καὶ Ἰωάννιω δὲ τὸν ἐκ Βερροίας, τοὐπίκλιω Κοττούνιον, ὃς μεσούσης που τῆς ιζ. ἑκατοστύος τῶν Σωτηρίων ἐνιαυτῶν, ἐν τῇ κατὰ τὸ Πατάβιον Ἀκαδημίᾳ τὴν Φιλοσοφίας Καθέδραν μετὰ κλέους πληρῶν, τὸ ἐκεῖσε ὑπὲρ τῶν ὁμογενῶν συνίστη Ἑλληνικὸν Φροντιστήριον. Καὶ Ἰλαρίωνα Κιγάλαν τὸν ἐκ Κύπρου, τὸν προχειρισθέντα ταύτης ὕστερον καὶ Ἀρχιεπίσκοπον. Σεβαστόντε τὸν Τραπεζούντιον, τὸν ἐν Κωνσταντινουπόλει μὲν τὸ πρῶτον, ἑξῆς δὲ καὶ ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας Διδάξαντα. Καὶ Εὐγένιον τὸν ἐξ Ἀκαρνανίας, παρ' ᾧ Γόρδιος ἐμαθήτευσε· Καὶ Χρύσανθον τὸν Ἠπειρώτιω τὸν τῆς ἐν Μοσχοπόλει πρῶτον, εἶτα τῆς ἐν Ἄρτῃ Σχολῆς ἡγησάμενον. Οὗπερ ἀκουστὴς, εἶτα διάδοχος, ὁ ἐξ Ἄρτης Ἀθανάσιος. Καὶ Γεράσιμον τὸν Ἀκαρνᾶνα, τὸν τῆς ἐν Κωνσταντινουπόλει Σχολαρχίας ἠξιωμένον. Τούτοις ἅπασι συγκαταλεχθήτω καὶ Παναγιωτάκης ὁ παρὰ τοῖς Ὀθωμανοῖς τὰ τοῦ Μεγάλου Ἑρμηνέως τελῶν, καὶ ἐν τῇ πρὸς Βανλῆτινα Ἐφένδιω συστάσει διαλέξει, ἐπὶ παρουσίᾳ τοῦ τότε Ὑπατεύοντος, ἴσον τῷ πολιτικῷ φρονήματι τόφιλόσοφον ἐνδειξάμενος· Ἐν δὲ τῇ πρὸς Ἀθανάσιον Κιρκέρον Ἐπιστολῇ, τῇ περὶ τοῦ ἐν Κωνσταντινουπόλει Ὀβελίσκου, τὸν περιόντα οἱ τῆς Ἐπιστήμης καὶ πολυμαθείας πλοῦτον στήσας κατάδηλον.

§. ξζ. Ἀρχομένης δὲ τέως τῆς καθ' ἡμᾶς ταύτης ιή. ἑκατονταετηρικῆς Περιόδου, παρὰ τὸν ἐξ Ἀκαρνανίας ἐπὶ Σοφίᾳ οὐδὲν ἧττον, ἢ βίου ὁσιότητι κλεϊζόμενον Γόρδιον, ἐν Ἔτει ᾳψζ. τὸν Ἱεροσολύμων Πατριαρχικὸν θρόνον ὑπὸ Δοσιθέου μετὰ Νεκτάριον λαμπρυνόμενον, Χρύσανθος διεδέχετο ὁ Νοταρᾶς ὁ Πελοποννήσιος, ὁ διὰ πάσης ἐλθὼν Ἰδέας λόγων, καὶ περὶ τὸ Μαθηματικὸν εἶδος ἐξόχως σπουδάσας. Ἐν τούτῳ δὲ καὶ Ἀλέξανδρος ὁ Μαυροκορδάτος τὸ φθαρτὸν ἀπετίθετο σκῆνος, κατὰ τὸ ᾳψθ'. μεταλλάξας τὸν βίον. Ἀνὴρ δαιμόνιος, καὶ πολλὰ μὲν ἐκ στόματος διδάξας, πολλὰ δὲ, καὶ παντοίας Ἰδέας Συγγράμματα καταλιπών. Περὶ οὗ, τὸ μέντι, διὰ τὸ περιὸν οἱ τῆς γνώσεως ὕψος, τὴν Φιλόσοφον Καθέδραν ἐν

Κων-

Κωνσαντινοπόλει κοσμῆσαι λαχόντος, τὸ δὲ, καὶ διὰ βάθος φρονήσεως πολιτικῆς, τιμύτε τῶ Μεγάλε Ἑρμωνέως λειτουργίαν ἐν τοῖς Βασιλείοις ἀναδεδεγμένε, ἔξης δὲ καὶ τιμῶ ἐξ Ἀποῤῥήτων τάξιν ὑπὸ τῶν Ὀθωμανῶν πισθωθέντος, ἔργον ἂν εἴη κρίναι, πότερόν τις ἆρα ἐπ' αὐτῶ, τὸν ἐν τοῖς φιλοσοφῶσιν ἅτω πολιτθσάμενον, ἢ γᾶν τὸν ἅτως ἐν τοῖς πολιτθομένοις φιλοσοφήσαντα, τάξειε πρότερον; Τέτε γὸς ἀτεχνῶς ἀνεφάνη πατρώζων ὁ τῶν Δακῶν ἡγεμονεύσας Νικόλαος, ὁ τιμῶ φιλοσοφίαν ἐχθκὼς διὰ βίε ἐπὶ τῶ Θρόνε συμπάρεδρον. Ἐκ δὲ τῶν Ἀλεξάνδρε πηγῶν τὰ τῶν Ἐπισημῶν ἐς κόρον πολλοὶ ἐσπάσαντο νάματα, καὶ Βησαρίων ὁ Μακρῆς ὁ ἐξ Ἰωαννίνων, καὶ Ἰάκωβος Μάνος ὁ Ἀργεῖος, ὁ τῶν φιλοσόφων Ὕπατος, ἐκ τῆς ἐν Κωνσαντινοπόλει Σχολαρχίας, προσειρημένος. Ἤδη δὲ καὶ Ἱερόθεος ὁ Βυζάντιος, ὁ Δρυΐρας Μητροπολίτης, καὶ Διονύσιος Μαντθκας ὁ Κασορίας, καὶ Μελέτιος ὁ Ἀθλιῶν, καὶ ὁ Ἡρακλείας Καλλίνικος, ὁ ἐκ Νήσε Ναξίας, τιμῶ Ἀρχιερωσύνῳ διὰ τῆς φιλοσοφίας ὑπερπεσέραν ἰδεῖν παρεῖχον καὶ σεμνοτέραν. Καὶ ἐν Ἱερεῦσι δὲ Ἱερεμίας ὁ Κακαβέλας· Καὶ Ἀβραάμιος, οἱ ἐκ Κρήτης. Καὶ Μιλιάτης (ὁ Ἐπισκοπήσας ὕσερον) ἐκ Κεφαλλωίας, καὶ Ἀνασάσιος ὁ ἐξ Ἰωαννίνων, ἐπὶ τῆ διανομῆ τῶ λόγε διέπρεπον ἀπ' Ὀκρίβαντος, ὀδὸ ἔλαττον καὶ τὸν ἀπὸ τῆς φιλοσοφίας πλῶτον ἀμφιλαφῶς κομῶντες. Ἐφ' οἷς καταλεγέσθω καὶ ὁ πελοποννήσιος Καισάριος, ὁ τῆς Μεγάλης Ἐκκλησίας Πρωτοσύγκελλος, ὃς καὶ τὸ Μαθηματικὸν εἶδος ἐφ' ἱκανὸν ἤσκητο.

§. ξή. Ἀλλὰ τὲς λοιπὲς παρελθῶσι, καὶ τὲς ἀπὸ Σχολαρχίας μάλισα κλεϊζομένες ἀναγράφεσι καταλεκτέον, ἐν μὲν τῆ κατὰ τιμῶ Βυζαντίδα Πατριαρχικῆ Σχολῆ, Ἀντώνιόντε καὶ Χερμέζιον τὲς Αὐταδέλφες Βυζαντίες διαπρέψαντας. Καὶ Σπανδωνῆν καὶ αὐτὸν Βυζάντιον, καὶ τὸν ἐκ Μιτυλιώης Δωρόθεον. Κατὰ δὲ τιμῶ ἐν τῶ Παταβίῳ Ἀκαδημίαν Νικόλαόντε Καλλιάκλιν, καὶ Θωμᾶν Κατάνλιν, καὶ Νικόλαον Κομνληὸν τὸν Παπαδόπελον, τὲς ἐκ Κρήτης, καὶ Ἀντώνιον Στρατηγὸν τὸν Κερκυραῖον. Ἐν δὲ τῶ Ἐνετίῃσι Φλαγγινιανῶ καλεμένῳ Φροντισηρίῳ, τόντε Μοχοπολίτιν Χαλκέα, καὶ τὲς ἐξ Ἀθλιῶν Πατέσας, Ἰωάννιντε καὶ Γεώργιον, καὶ Ἀντώνιον Κατήφορον τὸν ἐκ Ζακυνθε, τὸν ἐπὶ παντοδαπῆ λόγων ἰδέᾳ, ἐ τὸ τυχὸν κλέος ἀράμενον. Ἐν δὲ Πάτμῳ

μῳ τῃ Νήσῳ, Μακάριόν τε τὸν ἀοίδιμον, καὶ Γεράσιμον τὸν ἐκείνȣ ὁμιλητὴν, καὶ διάδοχον. Ἐν δὲ τῇ κατὰ Ἰωάννινα Σχολῇ, Σȣγδȣρῆντε, καὶ Μεθόδιον, καὶ Μπαλάνον· Ἐν δὲ τῇ κατὰ τὸ Βȣκȣρέςιον Μάρκοντε τὸν Κύπριον, καὶ Γεώργιον τὸν Τραπεζοῦντιον, καὶ Ἀλέξανδρον τὸν ἐκ Τυρνάβȣ (1).

§. ξθ'. Οἱ μὲν ȣ̃ν ȣ̓κ ἀφυῶς εἰς τόδε τῇ φιλοσοφίᾳ σχολάσαντες ἐκ τῶν ἡμετέρων, ȣ̃τοι σχεδὸν εἰσίν. Οἱ πάντες (ἤν ἕνα τυχὸν, καὶ δεύτερον ἐξέλοις)· τὴν αἵρεσιν Περιπατητικοὶ, καὶ τῆς Ἀριςοτέλȣς ἑνὸς φωνῆς ἠρτημένοι, ȣ̓δὲν δὲ, ὃ μὴ τῆς ἐκείνȣ φρενὸς εἴρηται ἐπιγέννημα, ȣ̓δὲ τὸ τυχὸν προσιέμενοι ἐν τῷ φιλοσοφεῖν, ȣ̓τε παλαιὸν, ȣ̓τε νεώτερον. Ἐξ ȣ̃ δὴ καὶ τῆς παρ' ἡμῖν φιλοσοφίας τὴν ἀφορίαν βλέπων ȣ̓κ ἄντις θαυμάσειεν. Ἐντὸς γὰρ μένειν τῶν ὅρων τȣ̃ Λυκείȣ ἅπαξ προθέμενοι, ȣ̓δὲ τὸ παράπαν προκύψαι, ȣ̓δ' εἴτι καὶ γένοιτο, θέμις εἶναι σφίσιν ἡγȣ́μενοι, καὶ τȣ̀ς τῶν ἄλλων λειμῶνας ἐκπεριελθεῖν, ἐντεῦθεν ὥσπερ Νάρκῃ χαλεπωτάτῃ συνεσχέθησαν τὰς ψυχὰς, καὶ περιπατητικοὶ τινὲς ἀναδειχθέντες ἔλαθον ἀπερίπατοι, βραχύτι, (ἵνα μηδόλως εἴπω) διὰ τὸ ἀκίνητον τȣ̃ κρίνοντος, ἀπωνάμενοι τῆς φιλοσοφίας, κἂν περὶ αὐτὴν διετέλεσαν σπȣδὴν καταβαλόντες, διὰ παντὸς τȣ̃ βίȣ, ȣ̓τι μεμπτήν. Ἀλλ' ȣ̓χ ȣ̃τως οἱ ἐκ τῶν κατὰ τὴν Εὐρώπην ἄλλων Ἐθνῶν, παρ' οἷς τὰ τῆς φιλοσοφίας καθ' ἡμᾶς εἰς θαῦμα ἐπέδωκεν· Ἀλλὰ τὸ ἐξ Αἱρέσεως ȣ̃τοι φιλοσοφεῖν, ὡς ἀσυντελὲς ὂν καὶ φρȣ̃δον παραιτησάμενοι, τȣ̀ς τῶν Σχολαςικῶν Συλλόγȣς, τȣ̀ς ὑφ' ἑνός τινος οἷον ςρατηγȣμένȣς χαίρειντε εἴασαν, καὶ συμπλέκεσθαι ἐπέτρεψαν ἀλλήλοις μέχρις ἂν δόξειε, τῆς Ἔριδος αὐτοῖς ἠχȣ́σης τὸν Ἐνυάλιον, καὶ διαπληκτίζεσθαι ἐπ' ἀδείας, καὶ κοινῇ, καὶ ἰδίᾳ, περὶ ὀνομάτων τὰ πολλὰ καὶ λεξιδίων κενῶν ἀγωνιζομένȣς, ὧν ἡ ἐξακρίβωσις τέως ȣ̓δὲ τὸ πολλοςὸν ἂν τῆς τȣ̃ χρόνȣ δαπάνης ἀντισηκώσειεν. Αὐτοὶ δὲ εὖ ποιȣ̃ντες ἐπὶ τὸ Ἐκλεκτικὸν τȣ̃ φιλοσοφεῖν Εἶδος ἐτράποντο, ἐκεῖνο δὴ καὶ μόνον τῷ φιλεπιςήμονι ἀποδεκτέον εἶναι ἡγȣ́μενοι, ὃ ἂν ὁ ὀρθὸς λόγος ἐγκρίνας, σαφῶς τε καὶ εἰλικρινῶς δοκιμάσειεν.

§. ό.

(1) Τῶν καταλεχθέντων τὰ πλεῖςα ἐλήφθη ἐκ τȣ̃ Σχεδιάσματος Δημητρίȣ Προκοπ. Μοσχιπολίτȣ. Ἔτ. αψκά. Παρὰ Φαβρικίῳ ἐν τῇ Βιβλιοθ. τῇ Ἑλλην. Τεύχ. ια.

§. ό. Τοιγαρȣ̃ν οἱ πρῶτοι τὴν κατὰ τῶν περιπατητικῶν ςάσιν, ἀπὸ τῆς ΙΔ΄. ἤδη Ἑκατοντ. ὠδίναντες Ἱςόρηνται, Ῥαϋμȣ̃νδος Λȣ̃λλος ὁ Ἱσπανὸς, καὶ ἀπ᾽ ἐκείνȣ ἐφεξῆς, Πέτρος Ῥάμος ὁ Γάλλος, καὶ Ἱερώνυμος Καρδάνος ὁ ἐκ Μεδιολάνων, καὶ Βάκων Βερȣλάμιος ὁ Ἄγγλος, καὶ Θωμᾶς Καμπανέλλας ὁ Καλαβρὸς, καὶ ἄλλοι. Πρῶτοι γὰρ αὐτοὶ σοφῶς τε ἅμα καὶ συνετῶς τȣ̃το διανοηθέντες, τὴν ἐκ πολλȣ̃ καθεςῶσαν παρακινῆσαι τέτολμήκασι φιλοσοφίαν, σφᾶς αὐτȣ̀ς παραχόντες καὶ τοῖς ἄλλοις ὑπόδειγμα, τȣ̃ καθ᾽ ἑαυτȣ̀ς χρῆναι τὰς περὶ τῶν ὄντων θεωρίας ποιεῖσθαι, οἴκοθέντε πληροφορȣμένȣς περὶ τῶν ὑποκειμένων κρίνειν, ἐλευθέρως τε τὸ παριςάμενον ἀποφαίνεσθαι, καὶ τῶν ἀλλοτρίων δογμάτων ȣ̀κ ἀπραγμόνως, ȣ̀δ᾽ ἀπερισκέπτως, ȣ̀δ᾽ ἀκρίτως ἔχεσθαι, ἀλλ᾽, εἴπη παρείκοι, καὶ τὴν ἰδίαν ἑαυτῶν πρὸ τῆς τῶν ἐνδοξοτάτων ψήφȣ τιθέναι, μηδὲν τὸ ὑπερέχον τῆς ἐκείνων δυσωπȣμένȣς εὐκλείας, ȣ̀δ᾽ ἀφορμὴν ἀπάτης ποιȣμένȣς τὸ σεμνὸν χρῆμα τῆς Ἀρχαιότητος. Οὐδὲ γὰρ εἶναι τȣ̃το καινοτομεῖν, ἀλλ᾽ ἀρχαϊκῶς μάλιςα βαίνειν· τȣ̃ γὰρ ἀληθȣ̃ς ἀρχαιότερον ȣ̀δέν. Τȣ́τοις δὴ ἔντε διαλέξεσι, καὶ Συγγραφαῖς τὰ τοιαῦτα διαμαρτυρȣμένοις, πολλοὶ συνέδραμον συναινέσαντες καὶ τὸ ἐλευθέρως τȣ̃ λοιπȣ̃ χρῆναι φιλοσοφεῖν, ὅρον ἕκαςος εἰσῆγε φιλοσοφίας εὐλογώτατον· Θωμιςαῖς μὲν, καὶ Σκοτιςαῖς, καὶ ταῖς ἄλλαις, τῶν ἐν τοῖς Μοναςηρίοις Περιπατητικῶν παρὰ Λατίνοις ἀγέλαις, ȣ̀ πάνυτι μέχρι τινὸς ἐγκρινόμενον, πᾶσι δὲ τέως τοῖς ὀρθὰ φρονȣ̃σιν ἤδη ἐγκεκριμένον, καὶ τοῖς μεθ᾽ ἡμᾶς ἀναμφισβητήτως ἐγκριθησόμενον, ὡς ἐκ τῆς ἐγγενομένης ἐπιδόσεως καὶ ἀκμῆς ταῖς Ἐπιςήμαις ȣ̃τω πραγματευομέναις, εἰκάζειν ἔπεςιν. Ἐξ ἐκείνȣ γὰρ ἡμῖν Γασσένδοι τε ὤφθησαν, καὶ Καρτέσιοι, καὶ Γαλλιλαῖοι, Νεύτωνές τε, καὶ Λεϊβνίτιοι, καὶ Οὐόλφιοι, καὶ οἱ ἄλλοι, δι᾽ ȣ̃ς ἡ φιλοσοφία καθ᾽ ἡμᾶς, εἴπερ ἄλλοτέποτε εἰς ἀκμὴν προαχθεῖσα, καὶ ἐκ δυνάμεως πορευομένη εἰς δύναμιν, πολλαῖς τε, καὶ καλαῖς εἰδήσεσι, καὶ ἐπινοίαις, καὶ τέχναις τὸν ἀνθρώπων κατεπλȣ́τι σε βίον, ἅς ὁ πᾶς αἰὼν μέχρι τȣ̃δε ἠγνόησεν.

ΠΡΟ-

ΠΡΟΔΙΑΤΡΙΒΑΙ ΕΙΣΑΓΩΓΙΚΑΙ

εἰς ἅπασαν ἐν Γένει τὴν Φιλοσοφίαν.

ΠΡΟΔΙΟΙΚΗΣΙΣ.

§. α'.

Τὴν Λογικὴν, οἱ μὲν ὡς τρόπον Ἐπιστήμης προληπτέαν εἶναι ἠξίωσαν, οὗ χωρὶς δηλονότι Ἐπιστήμην ὅλως καὶ ζητεῖν ἄτοπον, καὶ λαβεῖν ἀμήχανον. (1). Οἱ δὲ, ὡς θεραπείαν οἵαν τινὰ (2), ἧς περ ἡ ψυχὴ μὴ πρότερον τυχεῖν φθάσασα, διὰ τὴν περιοῦσαν οἱ ἐκ φύσεως καχεξίαν, οὐδὲν ἂν ὑγιὲς τῇ Φιλοσοφίᾳ νυμφευθεῖσα προβάλοιτο ἀποκύημα. Καὶ συμφώνως ἄρα τῆς κατὰ τὴν Λογικὴν Ἕξιν ἐμπειρίας τὸ ἀναγκαῖον, καίτοι ὑπὸ διαφόροις τοῖς ὀνόμασι παραδηλοῦντες, οἱ πάντες ἔγνωσαν. Καὶ γὰρ καὶ οἱ τὴν φυσικὴν τοῦ λόγου δύναμιν πρὸς Ἐπιστήμης ἀνάληψιν ἑαυτῇ ἀρκέσειν ὑπειληφότες, τὴν ὀρθῶς δήπου τὰς καθ' ἑαυτὴν περαίνειν ἐνεργείας προεθισθεῖσαν ἐνόησαν. Ἔστι δὲ οὐδὲν ἄλλο ἡ Ἕξις, ἢ τῶν ὀρθῶς τελεῖσθαι ἐκ πυκνῆς παρατηρήσεως σημειωθέντων ἐνεργημάτων προσεθισμός· Ἃ ἐν κεφαλαίοις, καὶ ὅροις τισὶν ἀναγόμενα, τῇ ψυχῇ μάλιστα δέον ἐναποκεῖσθαι τοῦ ἔχοντος, καὶ γραφῇ ἐκράτησε παραδίδοσθαι, λήθης μὲν ἄκος, μνήμης δ' ἐπιβοήθημα.

§. β'. Ἐπεὶ δὲ καὶ ἡ Λογικὴ αὐτὴ Ἐπιστήμητις ἀναμφισβητήτως οὖσα (3), καὶ Φιλοσοφίας μέρος οὐ φαῦλον κρίνεται (4), ἐπέλθοι ἂν καὶ περὶ αὐτῆς ζητεῖν οὐκ ἀλόγως ἴσως, εἰ μὴ καὶ ταύ-

(1) Ἀριστ. Μεταφ. Ἔλατ. Α'. Κ. γ'.

(2) Τσχιρνχαϋσήνιος ὁ Γερμανὸς, οὕτω τὴν κατ' αὐτὸν Λογικὴν ἐπέγραψε, καί τινες ἄλλοι τῶν Νεωτέρων.

(3) Οὐκέτι γὰρ καθ' ἡμᾶς, οὐδὲ θέμις περὶ τούτου ζητεῖν, τῶν πάντων ἤδη ὁμολογούντων.

(4) Διό τινες οὐκ ἀμούσως τὴν Λογικὴν τῇ χειρὶ, καὶ μέρος τοῦ σώματος οὔσῃ, καὶ ὄργανον παρεικάζουσι.

ταύτης εἰς ὁρισμὸν Λογικήτις ἄλλη προσαπαιτεῖται, καὶ τρόπος ἕτερος; Εἰ μὲν γὰρ, τίς ποτε ἄρα ἐκείνη ἔσαι; καὶ τὸ εἰς ἄπειρον τῆς προόδε ἄφυκτον. Εἰ δὲ μὴ, ὁ τῆς Ἐπιςήμης τρόπος, καὶ ἡ θρυλλεμένη θεραπεία ἐκ ἀπαραίτητος. Ἀλλ' ἐπισαμένως διακρίνεσι τὸν τῦ ἐπίσαθαι τρόπον, τῆς κατὰ τὴν ψυχὴν θεραπείας, σαφῶς διττήτις οἷον ἀναφανήσεται καὶ ἡ Λογική. Ὧν ἑκατέρα μὲν πρὸ τῶν ἄλλων Ἐπιςημῶν προληπτέα, ἡ ἑτέρα δὲ, καὶ πρὸ τῆς ἑτέρας. Ὁ μὲν γὰρ τῦ Ἐπίσαθαι τρόπος, ἡ τῶν ὀρθῶς περαινομένων ἐνεργειῶν τῆς Γνωσικῆς δυνάμεως ἐσὶν ἔκθεσις· ἡ δὲ τῆς ψυχῆς θεραπεία, ὁ τῶν ἐπισκηπτόντων παντοίων τῇ ψυχῇ παθημάτων ἰδιαίτερον ἂν εἴη ἔλεγχος, ὑφ' ὧν ὁ Νῦς χετλίως ἐπισκοτεῖται, καὶ τῦ ὀρθῦ λόγυ (κἂν ἄρισα ἄλλως διὰ τῶν Κανόνων πρὸς εὐθύτητα τύχοι μεμορφωμένος) παράγεται.

§. γ'. Ἑκατέρας τοιγαρῦν πρὸς ἀνάληψιν οἱασῦν Ἐπιςημονικῆς γνώσεως χρεία· Τῆς μὲν, κατὰ τὸ δέον ταῖς ἐννοίαις χρῆσαι ἐκπαιδευόσης, τῆς δὲ, καὶ τὰ ἐμποδὼν ἰσάμενα, καὶ οἷον ἀντιφράττονται τῷ λογισικῷ, ὡς μὴ καθαρῶς ἔχειν τ' ἀληθὲς ἐλαμφθῆναι, πόρρω ποιεμένης. Τέτων ἡ μὲν Λογικὴ εἰρήσθω Κανονική, εἰ ἔτω δόξειεν. (1). Ἡ δὲ Προδιαθετικήτις, ἢ Προφυλακτική, καὶ Θεραπευτική.

§. δ'. Ἡ μὲν ἓν Κανονική, δῆλον ὅτι Κανονικῆς ἐ χρήζει ἄλλης προτέρας, ὡς ἐδὲ ὁ Κανὼν Κανόνος ἐπιδεὴς εἰς εὐθύτητα, ἐδὲ φωτὸς εἰς ὅρασιν τὸ φῶς. Ἐν γὰρ τῇ κατ' αὐτὴν ἐκθέσει τῶν τῦ νοεῖν τρόπων, ὁ Νῦς ἐκείνοις ἅμα προχρήσεται. Ἡ δὲ Προδιαθετική, καὶ πρὸ ἐκείνης ἂν εἴη ἐπωφελὴς ἐχ ὅπως, ἀλλὰ καὶ ἀναγκαία. Εἰ μὴ γὰρ διάγωγόντε, καὶ εὖ διακειμένῃ πρὸς Διδασκαλίαν τὴν ψυχὴν παράχοι, χολῇ γ' ἄντις, καὶ τῶν ὑπ' ἐκείνης διδασκομένων παραγγελμάτων ἀπόναιτο.

§. ε. Προκείθω τοίνυν περὶ ταύτης πρῶτον βραχέα διελθεῖν· Ὅπως τε ἥκειν παρεσκδασμένον χρεὼν εἰς Φιλοσοφίαν τὸν Μαθητιῶντα· Ἅτε φθόγειν ὡς κῆρας τῆς εἰλικρινῦς καὶ γνησίας γνώσεως, καὶ ἃ διώκειντε καὶ τηρεῖν· Καὶ ὅπως τας μελέ-

(1) Οὕτω Κανονική ἐπιγέγραπται, καὶ ἡ παρ' Ἐπικούρῳ Διαλεκτική· Καὶ τὸ περιέχον τὰς ἐπὶ „τὴν πραγματέαν ἐφόδες Βιβλίον, Κανών. Παρὰ Λαέρτ. Βιβλ. Ι'.

μελέτας καθιςᾶν ȣ̓κ ἀκάρπȣς· Καὶ ἅττα δέον ἐκ τῶν κατὰ Γένος φιλοσοφȣμένων προειληφότα εἰδέναι, ἐν ταῖς ἐφεξῆς Προδιατριβαῖς προϋποθεμένȣς Εἰσαγωγικῶς· Καὶ Λογικὴν ȣ̓τω τὴν προδιαθετικὴν εἰρημένην προδιαλαβόντας, ȣ̓κ ἀλυσιτελῆ ἴσως πρὸς τὰ ἑπόμενα, ȣ̓δ ἀνόνητον ἐσομένην προπαίδειαν. (1).

ΠΡΟΔΙΑΤΡΙΒΗ ΠΡΩΤΗ.

Ὅπως τε παρεσκευασμένον ἥκειν χρὴ εἰς φιλοσοφίαν, καὶ πῶς αὐτὴν μετιτέον.

§. α.

Τὸ τῆς Φιλοσοφίας καλὸν, αἱρȣ̃νται μὲν πολλοὶ, εὐεπηβόλως δὲ καὶ εὐτυχῶς εἰς τέλος διεξάγοντες εἰσὶ, καὶ πάνυ ὀλίγοι. Σκοπȣ̃ντι δὲ, ὡς ȣ̓τ' ἐξ ἀφυΐας οἱ πάντες, ȣ̓τε δι' ὀλιγωρίαν ἐοίκασι τȣ̃ τέλȣς ἐξαμαρτάνειν, ὁπότε καὶ τινὲς ἐξ αὐτῶν, ȣ̓ φαύλως σφᾶς συντεταγμένȣς ἰδεῖν παρέσχον πρὸς τὴν ἄλλην Ἐγκύκλιον πάιδευσιν, πρόδηλον οἶμαι, ὅτι τὸ παρὰ τὸ δέον ἐγχειρεῖν, ἀσυντελῆ αὐτοῖς καὶ ἀνήνυτον τὴν περὶ τὸ πρᾶγμα σπȣδὴν ἀπεργάζεται. Συμβαίνει γὰρ, ἐπὶ παντὸς μὲν ὡς εἰπεῖν καὶ λόγȣ, καὶ πράξεως, μὴ ὀρθῶς πραγματευομένοις, ȣ̓δὲν περαίνειν ἐξηκριβωμένον, ȣ̓δ' ἄρτιον· Ἐπὶ δὲ τῆς Φιλοσοφίας αὐτῆς, καὶ πλέον· ὅσον καὶ τὸ βραχὺ τȣ̃ σκοπȣμένȣ παρενεχθῆναι, εἰς αὐτὸ ἐκ διαμέτρȣ ἀντιπεριςῆναι ἐςὶ τὸ ἀντίθετον. Διὸ δὴ καὶ τὸ μηδὲ τὴν ἀρχὴν τῆς θεωρίας ἅψασθαι τῶν ὄντων, τȣ̃ μὴ κατὰ λόγον ἐπιβαλέσθαι, βέλτιον ἴσως, ὅσῳ καὶ τῆς παντελȣ̃ς ἀγνοίας ἡ γνῶσις χείρων ἐςὶν ἡ ψευδώνυμος. Ἵνα γȣ̃ν μὴ ȣ̓χὶ τηνάλλως μόνον, ἀλλὰ καὶ σφίσιν ἐπιβλαβῶς τȣ̃ λοιπȣ̃ πονοῖεν, περὶ τὸ φιλοσοφεῖν οἱ πλεῖςοι κατατριβόμενοι, τὰς ἑξῆς αὐτοῖς ὑποθήκας, οἷον ὅρȣς τινὰς, καὶ προ-

(1) „Ἀγὼν γὰρ καὶ ὁ προαγὼν, καὶ μυςήρια τὰ πρὸ τῶν μυςηρίων. „Στρωματ. Λόγ. Α'.

προδιατυπώσεις, κατ' αὐτάμοι ἔδοξε τὰ τῆς Φιλοσοφίας προαύλια, πρέργα ἂν ἔσεσθαι προδιαγορεῦσαι.

§. β'. Πρὸ πάντων τοιγαρῆν μὴ κομιδῇ ξένον ὄντα, καὶ ἀδαῆ τᾶ Ἑλλιος λόγε, ἥκειν ἀξιῶ τὸν Φιλοσοφήσοντα· Ἀλλ' ἐκ τῆς Γραμματικῆς, καὶ τῆς ἄλλης Ἐγκυκλίε τῶν μαθημάτων τριβῆς, ἱκανῶς συγκεκροτημένον. Τὸ δὲ ἱκανῶς, τὸ, ἐξ ἑαυτᾶ, τλὺ ὡς ἀπὸ τῆς λέξεως δυχέρειαν, περιελέσθαι ἐσὶ δυνάμενον. Οὔτε γὰρ τὲς περιττῶς πάνυ τοῖς λεκτικοῖς τῶν τεχνυδρίων ἀπαίζομαι ἐγκαταγηράσκοντας, ὡς ἐν αὐτοῖς ἐκείνοις ἐδὲ τῆς Φιλοσοφίας τέως κομιδῇ ἀγῶσες ἀπαλλαχθήσεθαι οἰομένες (1)· Οὐδὲ τἐναντίον πάλιν, τὲς ἐκ τῆς ἑτέρας μερίδος ὅλως προσίεμαι, οἵ καὶ πρὶν ἐκφύσαι ὀδόντας, περὶ τλω σερροτέραν τῶν Φιλοσοφικῶν θεωρημάτων τροφλὼ καταλιχνοδόμενοι, ἐν αὐτῷ τῷ Φιλοσοφεῖν, καὶ τᾶ Ἑλλιος ἐχ ἥκισα λόγε ἐγκρατεῖς ποτὲ πεποιθασιν ἔσεσθαι. Τέτων γὰρ οἱ μὲν τὸν Πίθον ἐν τῇ Κεραμίᾳ, οἱ δ' ἐν τῷ Πίθῳ τλὺ Κεραμίαν μαθήσεθ' ἐλπίζεσιν· Ἑκάτεροί τε τῆς ἐλπίδος ψεύδονται. Καὶ οἱ μὲν θατέρε σέρονται πάντως, οἱ δὲ καὶ ἑκατέρε. Διὸ καὶ χείρονες εἰσὶν, ὡς δι' ὅλε ἀποτυγχάνοντες, καὶ τὸ δοκεῖν πρὸ τᾶ εἶναι αἱρέμενοι. Τοῖς γὰρ ἐν ὕφει χυδαίῳ παρενυφασμένοις ἐγκομβέμενοι φιλοσοφικοῖς λεξιδίοις, αὐτᾶ μονονχὶ τᾶ τῆς γνώσεως ὕψε τῇ κεφαλῇ ψαύειν ἐοίκασι, καὶ φιλοσοφέντες ἀπαιδεύτως, ἀνοηταίνεσι νεανικῶς. (2). Ἐκσυρικτέον ἄρα τὰ χυδαϊσὶ φιλοσοφεῖν ἐπαγγελόμενα βιβλιδάρια, τῆς Ἑλλάδος φωνῆς ὡς οἱοντε ἐπιμελεμένες, ἧς ἄνδ, ἐδὲ τῶν πάλαι πεφιλοσοφηκότων ἐσὶν ἀπόναθαι. Ὡς ἔγωγε, καὶ τῆς Λατινίδος ἂν αὐτῆς ἔμπειρον βελοίμιν εἶναι καθ' ἡμᾶς τὸν φιλοσοφίας

(1) „Ἤδη γάρτινες τοῖς φίλτροις τῶν Θεραπαινίδων δελεασθέντες, ὠλιγώρησαν τῆς Δεσποίνης Φιλοσοφίας, καὶ κατεγήρασαν, οἱ μὲν αὐτῶν ἐν „Μεσικῇ, οἱ δὲ ἐν Γεωμετρίᾳ, ἄλλοι „δὲ ἐν Γραμματικῇ, οἱ πλεῖσοι δὲ ἐν „Ῥητορικῇ. Ἀλλ' ὡς τὰ ἐγκύκλια „μαθήματα συμβάλλεται πρὸς Φιλο„σοφίαν, ἕτω καὶ Φιλοσοφία αὐτὴ „πρὸς Σοφίας κτῆσιν συνεργῶ. Κλήμ. Ἀλεξ. Στρωμ. Λόγ. ά.

(2) „Ἐπάτοι συγγεγονὼς ἐγώτισιν „οἶδα, καὶ πάλαι μὲν, ἀτάρτοι καὶ „ἔναγχος ἀνθρώποις· Οἳ διὰ τὸ προ„άλως ἀκηκοέναι ῥημάτιων σεμνοτέρων, „ἠπίστησαν ἑαυτοῖς, ὅπερ ἦσαν, ἰδιώ„ταις εἶναι. Καὶ φύσης ἐμπλήσθέν„τες, ἐμόλυναν θεσπέσια δόγματα, „μεταποιήσει Διδασκαλίας, ὧν ἐκ εὐ„τύχησαν μάθησιν„. Συνές. Ἐπισ. Ἐρκλιανῷ.

φίας ἁπτόμενον, ἢ τῆς Ἰταλίδος γῆν, ἢ τῆς Γαλλικῆς, (τῆς γὰρ κατ' Ἄγγλας ἐκ ἂν εἰπεῖν ἔχοιμι, δυσπαρακολουθήτατε ἡμῖν ἔσης, καὶ ἐδὲν πρὸς τὰς εἰρημένας ἐχέσης ὅμοιον). Πολλὰ γὰρ καὶ τῶ παντὸς ἄξια ὑπάρχει καὶ δι' αὐτῶν ἀναλέξασθαι, Νεωτέρας ὄντα φρενὸς γεννήματα· ὧν εἴτις ἀγνοοίη τάγε ἐπισημότερα, χολῇ γ' ἂν παρ' ἐμοὶ ὁ τοιῶτος δικαίως εἴη, τῷ τῆς φιλοσοφίας ὀνόματι σεμνυνόμενος.

§. γ'. Ὑπομνήσεος δὲ ὁ φιλοσοφεῖν μέλλων ἅθὺς ἐξ ἀρχῆς, καὶ τῆς ἰδίας προθέσεως. Πρόθεσις δὲ αὐτῷ εἰς θήραν ἐξιέναι τιὼ μὲν τῶ ἀληθῶς διὰ θεωρίας, τιὼ δὲ τῶ ἀγαθῶ διὰ πράξεως· Καὶ πρὸς τιὼ ἐξ ἀμφοῖν περιγινομένῳ τελειότητα, ὡς δυνατὸν ἀνθρώπῳ, διὰ βίε παντὸς ἀνατείνεσθαι, οἷον ἐπὶ νύσταν αὐτῷ ταχθεῖσαν ἐξ αὐτῆς βαλβίδος ἅθὺ σαδιάοντα, μηδενός τε ὅλως ἐπισρεφόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, τῶν ὅσα τιὼ τῆς φορᾶς συνέχειαν ὑποσέλλειν πέφυκε καὶ διακόπτειν, τῆς ῥοπῆς τὸ σιῶτονον ὑποχαλῶντα καὶ ὑπεκλύοντα. Τοιγαρῶν συντεταμένως, καὶ ἀνεπισρόφως ἀεὶ προσήκει χωρεῖν ἐπὶ τὰ πρόσω, καὶ ἐπεκτείνεσθαι. Ὁ γὰρ τιὼ Σοφίαν εἰλικρινῶς καὶ ἁπλάσως ἑαυτῷ μνησάμενος, ἀδιάζυκτόν τινα τὸν μετ' αὐτῆς ἐπαγγέλλεται γάμον (1)· Καὶ ὅρκον οἷον Ἱερὸν καὶ ἀπαρεγχείρητον ἔοικεν ἐπομνύειν, ἢ μιὼ μηθέποθ' ἑαυτῶ διασήσειν, ἣν νυμφεύσασθαι ἠρετίσατο. Ἀτὰρ καὶ παρανομίας δίκιω φεύξεῖται τιὼ προαίρεσιν ἀθετήσας· Ἦτε τίσις, τῶ μηδαμῶς τῆς Σοφίας γενέσθαι ἄξιον. (2). Παρ' ὃ δὴ καὶ γέλωτα ὀφλήσει τὸν δικαιότατον, ὅμοιόν τι ποιεῖν δοκῶν, ὡς εἰ καὶ εἰς Βαλανεῖον εἰσίοι λεσόμενος, ἵν' ἐντεῦθεν ἐξιὼν ποτὲ τῷ βορβόρῳ ἐγκαλινδήσηται· τοσῶτον τῆς προτέρας ἀποκερδάνας καθαριότητος, ὅσον ὡς ἀπὸ λετῆρος φαίνεσθαι ῥυπαρώτερος.

§. δ'. Καλὸν δὲ κατ' αὐτὰ ἅθὺς ἀναστρεφόμενον τὰ προαύλια, καὶ τῶν ἐκ ἅθὺβόλως, ἀτὰρ ἐδ' ἐπιτυχῶς δηλονότι ἀψαμένων τῶ κατὰ φιλοσοφίαν λόγῳ ἐπιμνηθῆναι· Ὡς πολλιὼ τοῖς εὖ φρονῶσι παρὸν, καὶ τῆς τῶν ἄλλων παρανοίας, καρπῶσθαι τιὼ ὄνησιν, καὶ τῆς ἀπάτης ἀποκερδαίνειν, ἀφ' ἧς ἐκεῖνοι καὶ μόνης ἐκ ἅθλεῶς ἔλαχον διαμνημονύεσθαι. Τῶν γὰρ ὁπῶς ποτε φιλοσοφεῖν ἐπιβαλλομένων, ἐγένετο τὺ τοῖς ἄλλοις

(1) „Καὶ ἐζήτησα νύμφην ἀγαγέ„σθαι ἐμαυτῷ„. Σοφ. Σολομ. Κεφ. ή.

(2) „Ὅτι τὰς ἀξίας αὐτῆς αὐτὴ „περιέρχεται ζητῶσα. Αὐτ. Κεφ. ς'.

λοις καὶ κόμματα δύο, τοῖς μὲν μετριώτερον πεφρονηκόσιν ἀδὲ συμβαίνοντα, ἀλλήλοις δὲ, καὶ ἐξ ὅλης, φασὶ, διαμέτρου ἀντίθετα. Ἔστι δὲ ταῦτα, τῶν τε ἀκρατῶς Δογματικῶν λεγομένων, καὶ τὸ τῶν ἀκράτως Σκεπτικῶν. Ὧν οἱ μὲν, τότε τῆς γῆς νέρθεν, καὶ τὰ ὑπερθεν τῦ ὐρανῦ κατὰ Πίνδαρον ἐπισκοπῦντες, πᾶσαν ἠνεῴχθαι θύραν εἰς Φιλοσοφίαν σφίσιν ἐνόμισαν, μηδὲν εἶναι τὸ ὑπεραῖρον αὐτῶν τιλὺ δύναμιν ἐπαγγελλόμενοι. Οἱ δὲ, μηδὲ θυρίον γᾶν αὐτοῖς διεσάλθαι ἔφασαν, μηδ' ὁπλὺ ὅλως, ἐξ ἧς καὶ διοπτεῦσαι εἰς τὰ τῆς γνώσεως ἄδυτα, πολλύ τινα τῆς Φύσεως βασκανίαν καταμεμφόμενοι, ὅτι τὸ διανοεῖσθαι παραχῦσα, τὸ κατανοῆσαι ἐφθόνησε. Καὶ φαίης γε τὰς μὲν τότων, ὅτως εἰπεῖν, πανοφθάλμυς τινὰς δόξας, τὰς δ' ἀνοφθάλμυς πάμπαν. Ἐπίσης τε τὰς μὲν, ὡς ὰν ἁπλέτῳ φωτὶ, τὰς δ' ὡς ἐν ζόφῳ ἀκριβεστάτῳ, γενέσθαι τυφλώττοντας. Ὅτι μὲν ἕν ἑκάτεροι ὅτως ἐγνωκότες εἰς τιλὺ Φιλοσοφίαν ἠδίκευ περιφανῶς, ἐκ ἀδήλου. Οἱ μὲν γὰρ προσάπτοντες αὐτῇ ὃ μὴ δυνάται φέρειν, καὶ τὸ δυνατὸν αὐτῆς ἀπολλῦτες ἦσαν, καὶ τῷ ἀλλοτρίῳ τὸ οἰκεῖον προσδιαφθείροντες. Οἱ δὲ τὸν ἕτερον προέμενοι τῶν λόγων, ὅτε εὑρεῖαν ἄλλιλω, ὅτε λεπτιλὺ τῇ Φιλοσοφίᾳ παρεισελθεῖν εἴσοδον ἀπολελοίπασι. Διὸ καὶ ζητήσειέ τις εἰκότως, πότεροι τότων τιλὺ ἀτοπίαν ἐτύγχανον ὑπερβάλλοντες. Δοκῦσι δὲ οἱ πρῶτοι, ἐμοὶ γᾶν, ἀτοπώτεροι. Κατὰ λόγον γὰρ τῶν ἡμῖν ἀγνοεμένων, πρὸς ἃ γιγνώσκειν πεφύκαμεν, πολλῷ τοι μεῖζον διαμαρτεῖν ἐκείνυς φανερὸν, ἢ τότες, ὡς κατὰ πλείω καὶ ψελλομένες. Ἀλλ' εἰ καὶ ἀτοπώτεροι διὰ θράσος ἐκεῖνοι, ἐπιβλαβέστεροι δήπε ὅτοι διὰ μικροψυχίαν ἑαυτοῖς γενέσθαι ἐοίκασι. Τῷ γὰρ ἅπασιν ἐπιχειρῦντι, κἂν περὶ τὰ πλεῖσα σφάλοιτο, ἐλπὶς ὅμως καὶ ἐπιτυχεῖν τινός, τὸν δὲ πρὸς μηδὲν θαῤῥῦντα, καὶ τὰ δυνατὰ διεκπίπτειν, καὶ διαφθύγειν, οἷον ἐθελοκακῦντα περὶ τιλὺ ἔρδυναν, καὶ τῦ παντὸς στερόμενον, ἐκ τῦ δυσανασχετεῖν περὶ τιλὺ ἐν μέρει στέρησιν· Καθάπερ ἂν καὶ εἴτις ὐ ζόφῳ ἀμυδρὸν λυχνάριον ἀποσβέσειε δυσπετήσας, ὅτι μὴ ἡλιακῷ τῷ Σέλᾳ περιαυγάζεται. Τὸ μὲν ἕν ἐπὶ τὰς ἀμετρίας ταύτας γεγονέναι τὰς ἐκπεσόντας· καὶ τὰς μὲν, πλέον ἢ κατὰ ἄνθρωπον Φρονῆσαι, ὡς ἅπαντα μονονεχὶ ἁλωτὰ αὐτοῖς ὑπειληφέναι ὧν ἂν τιλὺ γνῶσιν θηράσοιντο, τὰς δὲ καὶ ἧττον, ὡς καὶ αὐτῶν τῶν προδηλοτάτων μεμψιμοιρῆσαι τιλὺ ἄγνοιαν,

συχνοὶ τῇ ἱστορίᾳ παρέδωκαν. Δόξειε δ' ἂν ἐπιεικῶς μηδένα ἂν ποτὲ τοιοῦτον ὑπολαβεῖν, ἕως ἂν αὐτῷ τὸ φρονοῦν παρείῃ, καὶ ὁμολογεῖν ἐθέλοι τῷ λόγῳ, ἅττα ὁ κρυπτὸς αὐτῷ παθαίνεται ἄνθρωπος. Τὶς γὰρ τὸν νοῦν ὑγιαίνων, οὐκέτι φημὶ τῶν πάντων, ἀλλ' οὐδὲ τῶν πλειόνων, ἀλλ' οὐδ' ἑνὸς γοῦν τοῦ τυχόντος, κατὰ πάνθ' ὅσα αὐτῷ περίεστιν, ἀκριβῆ τὴν γνῶσιν ἔχειν ἐπικομπάσειε; τὶς δὲ τ' οὔμπαλιν, μηθὲν εἰδέναι λέγειν ἂν ἔχοι μηδόλως, οὐδ' αὐτὸ τοῦτο τὸ μὴ εἰδέναι, ὅ διατείνεται; Εἰ δὲ καὶ γεγόνασιν οἱ παίζοντες μὲν οὐδαμῶς, κατὰ σπουδὴν δὲ ταῦτα καὶ φρονοῦντες, καὶ λέγοντες, οὐδὲν λοιπὸν, ἢ κἀκτούτου τὸ τοῖς πεφιλοσοφηκόσιν ἐπιτοξευθὲν προσεμπεδοῦσθαι σκῶμμα, ὡς οὐκ ἔστιν ἀτοπία, ἣν μὴ ποτέτις τῶν φιλοσοφεῖν ἐπαγγελλομένων παρεφθέγξατο. Ἀλλὰ γὰρ ἡμῖν ἀφισταμένοις τῶν ἀκροτήτων, τῆς μεσότητος ἁπανταχοῦ μὲν, οὐχ ἥκιστα δὲ κἀν ταῦθα ἑκτέον. Καὶ οὔτε ἁπλῶς Δογματικὸν, ἢ Δογματιστὴν τὸν φιλοσοφοῦντα ἀποδεκτέον, οὔθ' ὡς ἐπίπαν ἐν ἀκαταληψίᾳ παντελεῖ ἠλάσκοντα· Ἀμφότερον δὲ, ἐκ θατέρου δηλονότι τὴν κατὰ θάτερον ἀμετρίαν κολούοντα. Δογματίζοντα μὲν, ὡς ἀπὸ τοῦ σκέψασθαι, διασκεπτόμενον δὲ, ἐφ' ᾧ δογματίσαι. Μήθ' ὑπὲρ τὸ δέον θαῤῥαλέον ἥκοντα, ὡς παντὶ, τῷ τυχόντι μετ' ἐπιτυχίας ἐλπίζειν ἐπιχειρεῖν, οὐδ' ἀπαντήσειν ποτὲ καὶ χαλεπῷ ὀφθῆναι, καὶ διανοηθῆναι τῷ σκέμματι, μηδ' αὖ ἀθύμως ἔχοντα, καὶ δειλῶς καθ' ὑπερβολὴν, ὥστε καὶ τὴν παντὸς κατάληψιν ἀπογινώσκειν. Ἀλλ' οὕτως εἰδότα καὶ πεπεισμένον, ὡς εἰς ἀπειρίαν μικροῦ τῶν ἐν τοῖς οὖσιν ἐξηκόντων θεωρημάτων, μόνου ἂν εἴη ἐφικέσθαι τῶν πάντων, οὗ ἴσα τῇ δυνάμει, καὶ ἡ γνῶσις ἄπειρος· Ἀνθρώποις δὲ, τάχα μὲν, καὶ διὰ τὴν ἐπὶ τῶν πραγμάτων ἀσάφειαν, τάχα δὲ, καὶ πλέον, διὰ τὴν περιοῦσαν αὐτοῖς τοῦ γνωστικοῦ ἀμβλύτητα καὶ ἀσθένειαν (1), οὐδὲ τοῦ πολλοστοῦ ληπτὸν ἂν γένοιτο τὸ πολλοστημόριον, ἔχεσθαι μὲν ἐῤῥωμένως τῆς ἐρεύνης, καὶ ἀνακρίσεως τῶν δυνατῶν, ἀπέχεσθαι δὲ τῶν ἀδυνάτων· (ταῦτα δ' ἂν εἴη, ὅσα πολ-

(1) „Ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο τρόπους, οὐκ ἐν „τοῖς πράγμασιν, ἀλλ' ἐν ἡμῖν τὸ „αἴτιον αὐτῆς. Ὥσπερ γὰρ καὶ τὰ „τῶν νυκτερίδων ὄμματα πρὸς τὸ „φέγγος ἔχει τὸ μεθ' ἡμέραν, οὕτω „καὶ τῆς ἡμετέρας ψυχῆς ὁ Νοῦς πρὸς „τὰ τῇ φύσει φανερώτατα πάντων. Ἀριστ. Μεταφ. Βιβ. Β'. Κεφ. α'.

πολλάς τε καὶ πολλάκις θηρασαμένας, μάτιν πονέντας ἐξήλεγξε, καὶ ἐφ' οἷς ἐδ' ἴχνος γᾶν τινὶ ἀρχινὶ ὑποφαινόμενον δυνατινὶ τινὶ εὕρεσιν ἐπαγγέλλεται). Καὶ μήτε τὰ δῆλα καὶ γνώριμα χετλίως ἀθετεῖν, μήτ' αὖ τὰ ἀδηλότερα καὶ ἀγνοούμενα, εἰκῇ τε καὶ κόφως οἴεσθαι κατέχειν, κατὰ τὸν ἐν τοῖς μύθοις Ἰξίονα, τὸν τὴν εἰδωλοποιηθεῖσαν αὐτῷ Νεφέλιν, ὡς ἄρα τινὶ θεὸν αὐτινί, περιβάλλοντα.

§. έ. Ὅτι μὲν ἔν εἰς ἐ πάνυ δυχερῆ τὸν ἆθλον ὁ τῆς Φιλοσοφίας ἡμῖν ἀποδύεται διασώτης, αὐτόθεν ἐκ τῆς τῶ πράγματος φύσεως, ὥπερ ἐγχειρεῖν ἐθίεται, δυνήσεται προιδεῖν, ὅσος μὲν ὁ βυθὸς, ἐν ᾧ λανθάνει τ' ἀληθὲς κατὰ Δημόκριτον ἐννοήσας (1), ὅσοντε ἔργον ἀναμοχλεῦσαι τῶτο, ἰὴ εἰς φῶς τέως ἐξαγαγεῖν ὑπὸ μυχοῖς τηλικώτοις κρυπτόμενον. Οὐμὶν δὲ παρὰ τῶτο εἰς τοσῶτον ἥξει, εὖ φρονῶν ἐδεὶς, ἔτ' ἀνοίας, ὡς τὰ χαλεπά πως ὄντα, καὶ δυσεπιχείρητα, δι' αὐτό γε τῶτο κρίνειν καὶ ἄληπτα, ἔτ' ἀτολμίας τε καὶ δειλίας, ὡς ἐκείνων ἑαυτὸν ἀπελπίζειν τῆς θήρας, ὧν ἄλλος ἤδη, καὶ ἐδὲ ὀλιγαρίθμος τότος, ἐγκρατεῖς γενομένος σαφῶς ἐπίσταται. Καίτοιγε τῶν ἐν φιλοσοφίᾳ, καὶ πάλαι μὲν, ἀτὰρ καὶ καθ' ἡμᾶς, ἐδὲν ἧττον ἐπιπολαζόντων αἱρέσεων ἡ πληθὺς, καὶ τὸ περὶ τῶ αὐτῶ πολλάκις πολυδοξόντε, καὶ ἀντίδοξον, τὸς μὲν, εἰς διαβολινὶ τῆς προαιρέσεως ῥαδίως ἐκίνησε, τὸς δὲ καὶ εἰς ἀθυμίαν ἐνέβαλε, μηδὲν ἐλπίσαντας πέρας δρήσειν τῆς πολυπόνω ἐπιχειρήσεως. Ἀλλ' ἦν ἄρα εὐγνωμον οἶμαι, μὴ τὰς ἀπαντώσας μόνον δυχερείας ἀναλογιζομένης, τινὶ παραπόδας βαίνεσαν τοῖς ἐπιμόνως προσκαρτερεῦσιν δμάρειάντε καὶ ἐπίδοσιν ἀλογεῖν· Μηδ' ἅ μὲν ἐν πολλοῖς ἐρίζεσι πρὸς ἀλλήλες οἱ φιλοσοφοῦντες, ταῦτα ἀνασκοπεῖν, ἃ δὲ ἐπ' ἐκ ἐλαχόνων, σύμφωνα ἀποφαίνονται, τότων μηδένα λόγον ἔχειν. Οὐδὲ τελδταῖον, ὧν μὲν ἐκεῖνοι ἀποτυγχάνεσιν, ἢ ἐκ ἐξικνῦνται, μεμνῆθαι τότων, οἷς δὲ κατὰ σκοπὸν βάλλεσι, πολλὰ μὲν, τῶν ἐν τῇ φύσει τὸ πρὶν ἠγνοημένων δυσόχως διασαφῆντες, πολλὰ δὲ καὶ τῶν πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ φερόντων δτυχῶς ἀνευρίσκοντες, ταῦτα σιγῇ παρατρέχειν. Ἔπειτα δὲ, ἐδ' ἐκεῖνο εὔλογον, ἐδὲ σωτὸν ὅλως εἶναιμοι δοκεῖ, εἴτις περὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων, διὰ δέος τῆς ἐν μέρει ἀποτυχίας,

(1) „Αἰτίη ἐδὲν ἴδμεν· Ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.

ἕλοιτο ἀπρακτεῖν. (1). Παρόντε διὰ πολλῶν ὠφεληθῆναι, ὅτι μὴ διὰ πάντων ἔνι, ἐθελοκακῶν ἀποῤῥαθυμοίῃ· ὡς γὰρ σφόδρα ἀτεχνῶς ἂν ἀφιλόκαλος εἴῃ, ὁ διὰ τὰς προπιπτούσας ἀκάνθας τῆς ῥοδωνιᾶς ἐγνωκὼς ἀπέχεσθαι, καὶ ὅτι πλείῳ τῶν ἀνθέων τὰ κέντρα ἡ φύσις ἐνέφυσε τῷ φυτῷ, διὰ τὸ βραχὺ τῆς ἐκ τούτων λύπης, τὸ πολὺ τῆς παρ' ἐκείνων χάριτος ἀποστέρεσθαι. Ἀλλὰ γὰρ χαιρόντων μὲν οἱ οὕτως ἐκτόπως τὸ τῆς φιλοσοφίας χρῆμα, ἤτοι διασύροντες, ἢ κατολιγωροῦντες. Αὐτοῖς δὲ σφίσιν εὐθύμως μάλα σπουδαστέον περὶ αὐτὴν, καὶ συντόνως ἀγωνιστέον, καὶ χωρητέον ἀνεπιστρόφως, τῷ καλῷ, καὶ ἀνθρώπῳ πρέποντι τοῦ εἰδέναι ἔρωτι μυωπιζομένοις, καὶ τοὺς εἰς ἄκρον παιδείας καὶ ἐπιστήμης ἐληλακότας, νύσσης δίκην, πρὸ ὀφθαλμῶν ἀείποτε ἔχουσιν. Οὐ γὰρ ἐστὶν, οὐκ ἔστιν, εἰμὴ τοὺς ἀγεννῶς φρονεῖν ᾑρημένους, ἀνάλωτα ἡγεῖσθαι, τὰ τοῖς ἄλλοις ἁλώσιμα. Ὁ δὲ γενναῖος ἀληθῶς, καὶ τὸ φρονεῖν διῃρμένος, τοὺς εὐτυχῶς ἐπιστήμην ἐμπορευσαμένους, καὶ τοῖς ἐκ ταύτης ἀγαθοῖς καταπλουτισθέντας, παράδειγμα εἰς ζῆλον ἑαυτῷ προστησάμενος, εὐθὺ τοῦ δρόμου ἀναβαλεῖται χωρεῖν, κατ' ἴχνη τὰ αὐτῶν βαίνων, καίγε τοῦ ἐφετοῦ καθίξεσθαι ἐλπίζων, δι' ὧν ἐκεῖνοι εὐδοκιμήσαντες ὤφθησαν. Τίνα δὲ ἐστὶν ἃ ἐκείνοις, εἰς ἐπιβολὴν τοῦ τέλους συνέδραμεν; ἢ τρία μάλιστα ταῦτα, ἃ καὶ παρὰ πᾶσι τεθρύλληται. (2). Τό τε τῆς φύσεως δεξιὸν, καὶ τὸ τῆς διδασκαλίας ἐμμελὲς, καὶ εὐμέθοδον. Καὶ τρίτον, τὸ τῆς ἀσκήσεως διηνεκές τε καὶ ἀδιάλειπτον· ὧν τὸ μὲν, οἷον θεμέλιος προκαταβεβλημένος ὑποκείσεται, τὸ δὲ τὴν οἰκοδομὴν προάξει, τὸ δὲ τὴν κορωνίδα ἐπιθήσει. Καὶ δεῖ μὲν τὴν φύσιν καθ' ἑαυτὴν τὸ γενναῖον πλουτεῖν, πρός τε ἀνάληψιν τῶν διδασκομένων, καὶ τὴν τούτων, ἀνειλημμένων ἤδη, διακατοχήν. Ἀκόνη δὲ τῆς φύσεως ἡ διὰ τὴν φιλομάθειαν φερεπονία. Δεῖ δὲ τὴν διδασκαλίαν τὴν ἀρίστην εἶναι, καὶ παρὰ τῶν Ἀρίστων, εὐμε-

(1) „Ἄτοπος δὲ καὶ ἀγεννὴς ὁ τῷ „φόβῳ τῆς ἀποβολῆς τὴν κτῆσιν ὧν „χρὴ προϊέμενος· Οὕτω γὰρ ἄντις οὐ„πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπή„σειε παραγενομένην δεδιὼς στέρεσθαι„. Πλούτ εἰς βίον Σόλων.

(2) „Καθόλου μὲν εἰπεῖν, ὃ κατὰ „τῶν τεχνῶν καὶ τῶν Ἐπιστημῶν λέ„γειν εἰώθαμεν ... τρία δεῖ συνδρα„μεῖν, φύσιν, καὶ λόγον, καὶ ἔθος. Καλῶ δὲ „λόγον μὲν τὴν μάθησιν, ἔθος δὲ τὴν „ἄσκησιν. Εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ τῆς „μαθήσεως· Αἱ δὲ χρήσεις τῆς μελέ„της· Αἱ δὲ ἀκρότητες πάντων„. Πλούτ. περὶ παίδ. ἀγωγ.

εὐμεθόδως ἀπὸ τῶν προηγουμένων ἀεὶ προβαίνουσαν ἐπὶ τὰ ἑπόμενα. Δεῖ δὲ τέως καὶ τὴν ἄσκησιν διὰ παντὸς ἀκμαῖον παρέχεσθαι τὸ ἐσπουδασμένον τε, καὶ ἐπίμονον. Καὶ ἡ μὲν φύσις τὴν δύναμιν χορηγεῖ· Ἡ δὲ διδασκαλία τὴν διάθεσιν ἐπιφέρει· Ἡ δὲ ἄσκησις τὴν ἐκ τῆς διδασκαλίας μόρφωσιν τελειοῖ, καὶ ἀνεξάλειπτον ἐν τῇ ψυχῇ διασώζει. Αὕτη γὰρ ἐστὶν ἡ τὴν κατ' Ἐπιστήμην ἕξιν ἀποῦσαν τε ἐμποιοῦσα, καὶ παροῦσαν συνέχουσα. (1).

§. ϛ'. Ἀλλὰ τίνι γὰρ Αἱρέσει ποτὲ ὁ Φιλόσοφος ἡμῖν νυμφευθήσεται; ἢ δῆλον, ὅτι μόνῃ τῇ ἀπλανῶς μὲν τοῦ ἀληθοῦς στοχαζομένῃ, ἀσφαλῶς δὲ τὴν ἐπὶ τὸ ἀγαθὸν ἐμποιούσῃ ῥοπήν. Εἰ μὲν οὖν ἡ τοῦ Ἀριστοτέλους αὕτη ἐστὶ, βαδιεῖται δήπου ἐπὶ τὸ Λύκειον. Εἰ δ' ἡ τοῦ Πλάτωνος, ἢ τυχὸν ἡ κατὰ Ζήνωνα, ἢ τὸν Ἐπίκουρον, ἢ ὅντιναοῦν ἕτερον, ἐπὶ τὴν Ἀκαδημίαν θαμίσει, ἢ συνεχῶς ὄψεται τὴν Στοὰν, ἢ κατὰ τοὺς κήπους τοῖς Ἐπικουρείοις συναγελασθήσεται, ἢ μεθ' ἑτέρων ἀλλαχοῦ ποιήσεται τὰς

 δια-

(1) „Μὴ καταπληττέτωσε τὸ πλη-„θος τῶν διαφωνησάντων ... φιλοσό-„φων. Εἰ μὲν γὰρ ἐξ ὧν χρὴ γνῶναι „τ' ἀληθὲς ἅπασιν ὑπῆρξεν, εἶτ' οὐχ „εὗρον, εὔλογον ἦν ἀπογνῶναι τῆς εὑ-„ρέσεως. Εἰ δὲ τινὰ μὲν οὐδόλως ἔ-„σχον, ὥσπερ οὖν ὁμολογοῦσι καὶ αὐ-„τοί· τινὰ δ' ἄδηλον εἰ ἔσχον, ἡμεῖς δὲ „σύνισμεν αὐτοῖς ἔχουσιν ἅπαντα, θαῤ-„ῥούντως χρὴ προσιέναι τῇ ζητήσει. „Τίνα τόινυν ἐστὶν ἃ χρὴ συνελθεῖν, ἵνα „ζητῶν, ὁτιοῦντις ἤτοι γνῶ τ' ἀληθὲς, „ἢ μὴ γνοὺς, οὐκ ἀπογνῶ τῆς εὑρέσεως; „ἑπτὰ δηλονότι. Α'. μὲν ὀξεῖα φύ-„σις ὅπερ ἂν ἐκδιδάσκηται μάθημα „λογικὸν ἑτοίμως ἕπεσθαι. Β'. δὲ ἡ ἐκ „τῆς παιδικῆς ἡλικίας ἀγωγήτε, καὶ „ἄσκησις, ὡς ἐν τοῖς πρώτοις γενέσθαι „μαθήμασι· Μάλιστα δ' αὐτὸν ἐν Ἀ-„ριθμητικῇτε καὶ Γεωμετρίᾳ γυμνά-„σασθαι δεῖ, καθάπερ καὶ Πλάτων „συμβουλεύει. Γ'. ἐπὶ τούτοις ἅπασιν „ὑποσχεῖν τὰ ὦτα, τοῖς κατὰ τὸν ἑαυ-„τοῦ χρόνον ἀρίστοις εἶναι δοκοῦσιν. Εἶ-„τα Δ'. αὐτὸν εἶναι φιλοπονώτατον, „ὡς μηδὲν μήθ' ἡμέρας, μήτε νυκτὸς „ἐκμελετᾷν ἄλλο, πλὴν τῶν μαθη-„μάτων. Εἶτα Ε'. ὅπερ ὀλιγίστοις ὑ-„πῆρξεν, ἀληθείας ὀρεχθῆναι, καὶ „τοῦτο σπουδάσαι μόνον ἐν ἅπαντι τῷ „βίῳ καταφρονήσαντα τῶν ἄλλων ἁ-„πάντων, ἃ τοῖς πολλοῖς διεσπούδασται. „Πρὸς τούτοις ϛ'. ἐκμαθεῖν τινα μέθο-„δον, ᾗ διακρίνεται τὸ ἀληθέστε, καὶ „τὸ ψεῦδος. Οὐ γὰρ δὴ ἀποχρήσειγε „μόνον εἰς τὴν εὕρεσιν ὧν ζητοῦμεν, ἐ-„πιθυμῆσαι τῆς ἀληθείας, ἀλλὰ χρὴ „καὶ δύναμίν τινα τῆς εὑρέσεως πορί-„σασθαι. Ζ'. Ἐπὶ τούτοις ἅπασιν ἀσκῆ-„σαι τὴν μέθοδον, ὡς μὴ γιγνώσκειν „μόνον, ἀλλὰ καὶ χρῆσθαι δύνασθαι... „Εἰ μὲν οὖν ἕντι τῶν εἰρημένων ἐνδέοι „τῷ καθηγουμένῳ τῆς ἐπὶ τὴν ἀλή-„θειαν ὁδοῦ, δίκαιον ἐστὶ μὴ πάνυτι „τυχεῖν ἐλπίζειν ὧν ἐφίεται. Εἰ δὲ ἅ-„παντα ὑπάρχει, τὶ κωλύει ζητεῖν τὸ „ἀληθὲς ἐπ' ἐλπίσιν ἀγαθαῖς; . Γα-ληνοῦ πρὸς Πατρόφιλον περὶ Συστάσ. Ἰατρικῆς.

διατριβὰς, παρ' οἷς ἂν γνοίη συμφοιτήσειν αὐτῷ τινὶ φιλοσοφίαν, ἥπερ ἠγάπησεν. Ἐπεὶ δὲ τούτοις πρὸς ἀλλήλους τοῖς αἱρεσιάρχαις, περὶ πάνυ πολλὰ διαφερομένοις, ἔρις τε, μάχαι τε διηνεκεῖς ἀναφύονται, καὶ νείκεα λυγρά· πάντες τε κατὰ πάντων, ὡς ἔπος εἰπεῖν, ὑπὸ φρατηγίᾳ τῇ Ἀληθείᾳ διατείνονται παρατετάχθαι· (1) Ἀμήχανον δὲ τῶν αἱρέσεων ποιήσασθαι αἵρεσιν, ἥτις κρείσσων, μὴ διὰ πασῶν ἐξῆς ἰόντα, καὶ τὰ ἀφ' ἑκάστης διδασκόμενα ἐπὶ λεπτὸν ἀκριβολογήσαντα· Μίαν λοιπὸν ἥδε μηχανὴ εἰς ἐπιτυχίαν τοῦ τέλους, μηδεμιᾷ ἰδίᾳ αἱρέσει προσαναπεσόντα, τὰς πάσας ἐλευθέρως ἐκπεριελθεῖν, καὶ ἀφ' ἑκάστης τὸ ἐν αὐτῇ τοῦ ἀληθοῦς μόριον ἐμβριθῶς καὶ συλλογίσως ἀνελέξασθαι. Καὶ γὰρ εἰκὸς ἑκάστῳ ἐν τῷ μέρει καὶ ἀληθεύσαι (2), καθάπαξ δὲ ἐδεμίαν ἐλπὶς εὑρεῖν, ἐν μηδενὶ μηδαμῶς τοῦ ὀρθοῦ λόγου παρολισθάνεσαν. (3). Χαλεπὸν γὰρ ἐπιεικῶς, ἵνα μὴ λέγω ἀδύνατον, ἐν ἅπασιν ἕνα καὶ μόνον τὸν Ἐξάρχοντα τῆς Αἱρέσεως, τ' ἀληθὲς ἀραρότως εὑρέσθαι, καὶ μάλιστα διανοουμένοις, ὅσον τοῦτο δύσκριτον φύσει ἐστὶ, καὶ δυθήρατον. Καθάπερ γὰρ τὸ ἐν ὕλῃ βαθείᾳ ὑποδεδυκὸς θηρίον, πολλῶν μὲν θηρευτῶν δεῖ παντοχόθεν περιτρεχόντων καὶ περιβοώντων, πολλῶν δὲ κυνῶν χρεία κατὰ ἴχνη ἐνηλατούντων, εἰ μέλλοι ποτὲ εἰς τὸ μφανὲς ἐξενεχθὲν συλληφθήσεσθαι. Οὕτω καὶ πολλῶν Ἀνδρῶν τῶν ἐνθύμως τῇ λανθάνουσαν ἀλήθειαν ἐξιχνευσάντων, τῆτε προκαταβληθείσῃ ἐπιμελείᾳ χρῆσθαι, καὶ τοῖς αὐτῶν ἴχνεσιν ἀτενῶς παρακολουθεῖν ἐπάναγκες ἐκ τοῦ σιώπηγος, τὸν θηρεῦσαι ταύτῃ, καὶ εἰς φῶς τέως ἐξενεγκεῖν πολλῷ τῷ ζόφῳ ὑποκρυπτομένην διὰ παντὸς ἔχοντα.

Τῷ

(1) „Μιᾶς τοίνυν ἅπασης τῆς ἀληθείας (τὸ γὰρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει) καθάπερ αἱ Βάκχαι τὰ „τοῦ Πενθέως διαφορήσασαι μέλη, αἱ „τῆς Φιλοσοφίας, τῆς τε Βαρβάρου, „τῆς τε Ἑλληνικῆς Αἱρέσεως, ἑκάστη ὅ„περ ἔλαχεν, ὡς πᾶσαν αὐχῇ τὴν „ἀλήθειαν„. Κλήμ. Στρωμ. Λόγ. ά.

(2) „Ξύμπαντες ἂν Ἕλληνές τε καὶ „Βάρβαροι, ὅσοι τ' ἀληθοῦς ὠρέχθη„σαν, οἱ μὲν ἐκ ὀλίγα, εἰ δὲ μέρος„τι, ἅπερ ἄρα, τὰ τῆς ἀληθείας λό„για ἔχοντες ἀναδαιχθεῖεν. Κλήμ. ἔνθ. „ἀνωτ.

(3) „Ἡ περὶ τῆς ἀληθείας θεωρία „τῇ μὲν χαλεπὴ, τῇ δὲ ῥᾳδία· Ση„μεῖον δὲ τὸ μήτε ἀξίως μηδένα δύ„νασθαι τυχεῖν αὐτῆς, μήτε πάντας „ἀποτυγχάνειν, ἀλλ' ἔστιν λέγειν „τι περὶ τῆς φύσεως. Καὶ καθ' ἕνα μὲν μικρὸν, ἢ μηδὲν ἐπιβάλλειν αὐτῇ, ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγεθος. Ἀριστ. Μετ. Ἐλάττ. Α'. Κεφ. ά.

Τῷ ὄντι δὲ, οὐκ ἔστιν ὅπως μὴ ἀτευκτεῖν συμβαίνοι τῆς ἀληθείας, τοὺς ὑφ' ἑνὶ καὶ μόνῳ ἡγεμόνι θηρᾶσθαι ταύτην δεῖν ἐγνωκότας. Ἐπ' οὐδενὸς γὰρ τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τοὺς δύο ὑπὲρ τὸν ἕνα ὁ ὀρθὸς λόγος αἱρεῖ· Καὶ ταῦτα ἔνθα τὸ ἐγχειρούμενον ἧττον δυσάλωτον. Ἐπὶ δὲ τοῦ προκειμένου δυσλήπτου πάνυτε ὄντος, εἰπέρτι ἄλλο, καὶ μονονουχὶ ἀπροσίτου, οὐδὲ τῶν πάντων οἶμαι πληρέστατα ἐπαρκούντων, μὴ ὅτι πολλῶν, ἀνάγκη πᾶσα τὸν ἑνίτῳ καὶ μόνῳ ἑαυτὸν καταθαρροῦντα, ἀποτυγχάνειν τὰ πλεῖστα, καὶ σφάλλεσθαι, καὶ τοῦ δοκοῦντος ἁπρὶξ ἐχόμενον, τοῦ ὄντος παράγεσθαι, καὶ ἐξίστασθαι. Ἐὰν δὲ ἅπασιν, ὅσοις ἔργον φιλοσοφία ἐγένετο, περὶ ἑκάστου προτεθῇ τὰ δόξαντα, ἔσται μὲν δήπου περὶ τὴν εὕρεσιν τοῦ ἀληθοῦς δαψιλὴς ἡ ὁδηγία καὶ ἄφθονος (ὃ γὰρ τοῦτον ἔλαθεν, ἐκεῖνος κατείληφεν· Ὃ δ' ἐκεῖνος κατείληφε, παραλαβὼν ὕστερον ἄλλος προσηύξησεν (1)). ἔσται δὲ, καὶ πολυμαθίας οὐ τῆς τυχούσης ἀποθησαύρισις· Ἔσται δὲ κρίσεως ἀφορμὴ οὐκ εὐκαταφρόνητος· Ἔσται δὲ, εἰ μηδὲν ἄλλο, καὶ ἀτυφίας περὶ τὸ φιλοσοφεῖν οὐ φαύλη ὑπόθεσις. Ὡς οὐκ ἔστι τοσούτους μὲν περὶ τὴν τῶν ὄντων γνῶσιν τὸ ζῆν κατατετριφότας, εἰς τοσαύτας δὲ δοξασίας τε καὶ ὑπολήψεις διενεχθέντας, ἐν τοσούτῳ δὲ πλήθει καὶ μεγέθει πραγμάτων, βραχέα πάνυ κατειληφότας, καὶ τῶν πλειόνων ἐν ἀγνοίᾳ βαθυτάτῃ ἀπολειφθέντας, οὐκ ἔστιν ἔφην, διδαχθέντα, μὴ οὐχὶ μέτρια περὶ ἑαυτοῦ φρονεῖν ἀναπείθεσθαι, οὐδὲ τὸν σφόδρα πεφυσημένον, καὶ οἰήματος ἔμπλεων. Οὔκουν

 τοί-

(1) „Τῶν γὰρ εὑρισκομένων ἁπάν-„των τὰ μὲν παρ' ἑτέρων ληφθέντα, „πρότερον πεπονημένα κατὰ μέρος ἐ-„πιδέδωκεν ὑπὸ τῶν παραλαβόντων „ὕστερον· τὰ δὲ ἐξ ὑπαρχῆς εὑρισκό-„μενα μικρὰν τὸ πρῶτον ἐπίδοσιν λαμ-„βάνειν εἴωθε· χρησιμώτερον μέντοι „πολλῷ τῆς ὕστερον ἐκ τούτων αὐξήσεως. „Μέγιστον γὰρ ἴσως ἀρχὴ παντὸς, ὥσ-„περ λέγεται, διὸ καὶ χαλεπώτατον. „Ὅσῳ γὰρ κράτιστον τῇ δυνάμει, το-„σούτῳ μικρότατον ὂν τῷ μεγέθει, χα-„λεπώτατον ἐστὶν ὀφθῆναι. Ταύτης δὲ „εὑρημένης ῥᾷον τὸ προσθεῖναι, καὶ „συνάυξειν τὸ λοιπὸν ἐστίν. Ὅπερ καὶ „περὶ τοὺς πολιτικοὺς λόγους συμβέβη-„κε, σχεδὸν δὲ καὶ περὶ τὰς ἄλλας ἁπά-„σας τέχνας. Οἱ μὲν γὰρ τὰς ἀρ-„χὰς εὑρόντες, παντελῶς ἐπὶ μικρόν-„τι προήγαγον, οἱ δὲ νῦν εὐδοκιμοῦν-„τες, παραλαβόντες παρὰ πολλῶν, οἷον ἐκ διαδοχῆς, τῶν κατὰ μέρος προ-„αγαγόντων, οὕτως ηὐξήκασι. Τισίας „μὲν κατά τοὺς πρώτους, Θρασύμαχος δὲ μετὰ Τισίαν, Θεόδωρος δὲ μετὰ τοῦ-„τον, καὶ πολλοὶ πολλὰ συνενηνόχασι μέρη. Διόπερ οὐδὲν θαυμαστὸν ἔχειν τὸ πλῆθος τὴν τέχνην. Ἀριστ. Σοφ. Ἐλέγχ. Κεφ. λδ'.

τοίνιω Περιπατητικὸς ἡμῖν ἐπιγραφήσεται ὁ τῆς ἀληθείας θηράτωρ, ἔτε Πλατωνικὸς (1), ἐδ' ἄλλο ὄνομα τοιῦτον, ἔτε παλαιὸν ἑαυτῷ, προσεγκομβώσεται, ἔτε νεώτερον, εἰμὴ Αἱρεσιώτης ἐθέλοι ἀκέειν, ἀλλὰ Φιλόσοφος. Ἵνα γὰρ τῦτο ᾖ, ἐκλεκτικὸς ἔσαι (2). Ἐκλεκτικὸς δὲ, ὁ κατὰ τὰς Συμβιβασὰς ἐκείνας, καὶ Σωαρμοσὰς ἐπιχειρήσαντας γενέσθαι μάτλιω τῶν ἀσυμβάτων Αἱρέσεων (3), κατὰ δὲ τὰς ἀληθῶς τοιάτας, οἵ τὰ καλῶς Φιλοσοφέμενα, ἐκ παντὸς καὶ Ἔθνες (4) καὶ χρόνε, καὶ ἐκ πάσης ἁπλῶς τῆς ὁπότε δὴ, καὶ παρ' οἷς τισιν ἂν τύχοι ἀναδειχθήσης Αἱρέσεως προσιέμενοι, τὰ μὴ καλῶς, μηδὲ ἀληθῶς, ὡς ἔκφυλάτε, καὶ νόθα Φιλοσοφίας κυήματα εἰς Κιωσσαργες παραπέμπεσιν.

§. ζ. Οὕτω δὲ δὴ Φιλοσοφῆσαι ἐγνωκὼς ὁ καθ' ἡμᾶς Φιλόσοφος, Ἰχνολτὴς ἔσαι τῆς ἀληθείας ἀκριβὴς, κριτής τε λόγε παντὸς ἀδέκαστος, καὶ διαιτητὴς πάσης ἐννοίας ἀπαράκρεστος, ἀδὲ ἕτερον τὸ Φιλοσοφεῖν, ἢ τὸν λόγον ἀναζητεῖν, εἶναι ἡγέμενος. (5). Φιλοσοφήσει δὲ τὸν τρόπον τῦτον, πρῶτον μὲν, εἰ ἀλόγων δοξασμάτων, καὶ ἀβασανίςων προλήψεων, καὶ παθῶν παντοίων (περὶ ὧν αὐ τοῖς ἑξῆς κατὰ μέρος) ἀπηλλαγμένος προσίει, καθαρὸν ὡς οἷόντε καὶ ἀμιγὲς τὸ λογισικὸν τῆς ψυχῆς παρεχόμενος, καὶ ἀγράφῳ πινακίῳ ἀτεχνῶς ὅμοιον. Δεῖν γὰρ ἀμιγῆ εἶναι, ἵνα κρίνειν ἔχῃ, καὶ

(1) „Τὸ μὴ προπετῶς ἀπὸ μιᾶς „Αἱρέσεως ἀναγορεύειν ἑαυτὸν, ἀλλ' „ἐν χρόνῳ παμπόλλῳ μανθάνοντε „καὶ κρίνειν αὐτὰς, ἵτω πρὸς ἁπάν„των μὲν ἀνθρώπων ἐπαινεῖται, συνυ„μολογεῖται δὲ καὶ τοῖς Φιλοσόφοις ἔ„ναι ζηλωτέα ταῦτα. ... Ταύτας ἐγὼ „παρὰ τᾶ πατρὸς λαβὼν τὰς ἐντολὰς, „ἄχρι δεῦρο διαφυλάττω, μήτ' ἀφ' „αἱρέσεως τινὸς ἐμαυτὸν ἀναγορεύσας, „ὧν σπεδῇ πάσῃ ἀκριβῇ τὴν ἐξέτασιν „ἔχων, κτ'. Γαλην. Περὶ Διαγν. καὶ „θεραπ. τῶν ἐν ἑκάσ. ψυχ. ἰδί. Παθ.

(2) Φιλοσοφίαν δὲ, ἤτὴν Στωϊκὴν λέγω, ἢδὲ τὴν Πλατωνικὴν, ἢ τὴν „Ἐπικούρειόν τε καὶ Ἀριστοτελικὴν, ἀλλ' „ἅπαντα παρ' ἑκάσῃ τῶν Αἱρέσεων „τέτων... τῦτο σύμπαν τὸ Ἐκλεκ„τικὸν Φιλοσοφίαν φημί. Κλήμ. „Στρωμ. Λόγ. α'.

(3) Ὅρα ἐν τῷ Ἐπεισοδιώδει ἡμῶν Διηγ. Ἀνωτ. §. μή'.

(4) „Ἱστορεῖται δὲ Πυθαγόρας μὲν „Σώγχιδι τῷ Αἰγυπτίῳ Ἀρχιπροφή„τῃ μαθητεῦσαι· Πλάτων δὲ Σεχ„νέφιδι τῷ Ἡλιοπολίτῃ· Εὔδοξος δὲ „ὁ Κνίδιος Κονέφιδι (ἢ Χονέφιδι) τῷ „καὶ αὐτῷ Αἰγυπτίῳ. Στρωμ. Λόγ. ά.

(5) „Οὐ γὰρ δὴ Φιλοσοφεῖν ἔτε„ρόν τι φαίνεται ὂν, ἢ τὸ ἃ πρέπει, „καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, „ἔργῳ δὲ πράττειν. Μεσώνι. Παρὰ Στωβαί. Λόγ. ξέ.

καὶ αἴσθησιν πᾶσαν, καὶ τὸν Νῆν αὐτὸν, πάλαι ἠξίωται. (1). Τὸ γὰρ προενὸν ἀντιφράττει, καὶ ἰσχυρῶς ἀντισατεῖ ἑκατέρα τῶν δυνάμεων, τῇ μὲν πρὸς τιὰ τῶν αἰσθητῶν, τῇ δὲ πρὸς τιὰ τῶν νοημένων ἀντίληψιν ἐμποδὼν γινόμενον. Δεύτερον δὲ ἐὰν ἑδανὶ ἀνδιδῷ ἑδόλως, ἐδ' ἀκροάματι, ἐδ' ἀναγνώσματι, ἐδ' οἰκείῳ εἰ τύχοι ἐπελθόντι διανοήματι, ὃ μὴ ἐναργῶς ἐνοεῖν, καὶ βεβαίως κατέχειν ἑαυτῷ σωαιθάνοιτο. Καλὸν ἓν ἐπιεικῶς ἐκδηλῶν, καὶ μὴ κρύπτειν ὅπως τὸ γνωσικὸν οἱ διάκειται. Καὶ τοτέ μὲν, ὅτι συνορῶ, ἔπομαι, πείθομαι ἐπιλέγειν· τοτὲ δὲ, ὅτι ἀγνοῶ, ὑπανδοιάζω, ἑδὲν συνίημι, καθομολογεῖν μηδὲν αἰδέμενον. Τῆς δὲ διαθέσεως, ὁπωτέρως ἂν ἔχοι, τὸν ἔλεγχον λαβεῖν ἑδαμόθεν ἄλλοθεν ἢ ψυχὴ προσδέησεται. Αὐτὴ γὰρ ἑαυτιὼ σαφῶς μάλα ἐπιγνάσεται, εἰ μόνον τὰς ἄνωθ λόγε παρεμπιπτέσας ὑπολήψεις, τῷ λόγῳ καθυποχωρεῖν ἀναγκάζοι, καὶ πρὸς ἑαυτιὼ σωνοῦσα ἀτενῶς ἐφισάνοι, ὅπως περὶ ἕκαστα τῶν νοημάτων διάκειται.

§. ή. Ταῦτ' ἓν ἐπιμελῶς παρατηρῶν, τὸ μὲν τῆς γνώμης ἐλεύθερον, καὶ αὐτοδιόρισον περὶ τὰ φιλοσοφέμενα πρὸ παντὸς θήσει, τὸ δὲ πειθαρχικόντε καὶ κατιναγκασμένον ἀποσείσεται, πολλῷ ἧττον εἰς συμφοράν, τὸ σωματικᾶς δεδοῦναι τῇ κατὰ ψυχιὼ, εἶναι τιθέμενος. Ὁ μὲν γὰρ περὶ τῇ προκειμένῃ, ἥπερ ἂν ἔχειν βέλτισα τῷ ὀρθῷ λόγῳ δοκῇ, κρίνωντε καὶ διανοέμενος, ἕτος ἐλεύθερος καὶ φιλοσοφεῖ· ἢ, αὐτὸ ὅπερ ἐσὶν εἰπεῖν, ἕτος μόνος φιλοσοφεῖ. Ὅς δ' ἂν ἐχὶ κατάγε τὰ αὐτῷ παρισάμενα, κατὰ δὲ τὰ ἀρέσκοντα τοῖς ἄλλοις φρονοίη καὶ ἀποφαίνοιτο, τῆτον δὲ ἄρα, ἔτ' ἂν ἐγώ ποτε, ἔτ' ἄλλος οἶμαι, ἀληθεύειν ἐθέλων, προσείποι φιλόσοφον. (2). Ἀγαπητὸν δὲ τῷ τοιήτῳ, εἴτις καὶ ἄνθρωπον αὐτὸν ὀνομάσειεν. Ὥσπερ γὰρ ὁ τῇ ὀφθαλμοῖς ἀλιτηρίοις εἰς ὅρασιν καταχρωμένῃ ἀβλεψίαν κατηγορῶν, ἕτως ὁ τῷ τοῖς

(1) Ἄρις. περὶ ψυχ.

(2) Ὅστις γὰρ ἤτοι ἀκρίτως ἑτέρᾳ ἑπόμενος δόγματι κατὰ πρόληψιν, ἢ διὰ τὸ μὴ οἷός τε εἶναι, ἢ διὰ ῥαθυμίαν ὀκνῶν ἀφ' ἑαυτῆ βασανίσαι καὶ περινοῆσαι τὸν λόγον, ὅμοιος τῷ Αἰχύλῳ ἐσὶν, ὅς τις μεθύων ἐποίει τὰ δράματα. „Περὶ ἧ Σοφοκλῆς ἔλεγεν „ὀνειδίζων αὐτῷ, ὅτι, ἃ καὶ τὰ δέον„τα ποιεῖ, ἀλλ' ἀκ εἰδὼς γε. Ἀθην. „Δειπνοσ. Βιβλ. Α'. Κεφ. ιϑ'.

τοῖς ἑτέρων λογισμοῖς εἰς διανόησιν εἴκοντι ἀλογίαν προσρίψας, ἐκ ἂν ἄτοπος ἔσοιτο. Ἀλλ' ἤδη μὲν εἰσὶν ἡμῖν, οἷς ἡ ἀβλεψία αὕτη καὶ ἀλογία, καὶ ἐν καλῷ τίθεται. Καὶ σεμνυνομένοις ἐοίκασιν ἐφ' οἷς προσῆκεν αὐτὸς αἰσχύνεσθαι. Οἴονται γὰρ ἅλις αὐτοῖς ἔχειν εἰς φιλοσοφίαν θαυμάζεσθαι, ὅτι τὰ Ἀριστοτέλους (ἢ δοκοῦσι) συνίασι, καὶ τὰ Πλάτωνος, μηδὲν ἐπ' αὐτοῖς προσπεριεργάζεσθαι θέμις εἶναι σοφίσιν ἡγεμένοι, μηδὲ τοῖς ἄλλοις, εἰ ὀρθῶς ταῦτα βαίνοντα τυγχάνει, ἢ μὴ, πρὸς γνώμονα τὸν ἀληθείας παραβαλλόμενα. Καίτοι καὶ τοῖς ἐκείνων ἕτως ἀλόγως στοιχεῖν ἀξιοῦντες, ἐδὲ τοῦτο συνοραῖν ἔχουσιν, ὡς κατ' αὐτῶν ἐκείνων τῶν Ἀνδρῶν μάλιστα φέροντα, αὐτὸν λαμπρῶς ἀθετοῦντες τὸν πρώτιστον καὶ κυριώτατον ὅρον, καθ' ὃν αὐτοί τε φιλοσοφεῖν ἐπεχείρουν ἐκεῖνοι, καὶ τοὺς ἄλλους ἐδίδασκον. Ὁ μὲν γὰρ, ἐκ παντὸς, καὶ Ἕλλυνος, καὶ βαρβάρου, συλλέγεσθαι δεῖν τὰ κάλλιστα εἰς φιλοσοφίαν παραινῶν (1), ἑδενὶ ἐπέτρεπεν (2), ἢ τῷ ὑγιεῖ καὶ ὀρθῷ πείθεσθαι λόγῳ. Ὁ δὲ μηδὲν παραλείπειν ἀβασάνιστον τῶν ὅσα καὶ ὑπὸ τῶν ἄλλων εἴρηται συμβουλεύων (3), ἑδὲν τῆς φίλης ἀληθείας ἐτίθετο προτιμότερον. Ὥστε εἴτις ἀκριβῶς σκοποίη, ἑδεὶς ἕτως ἀντίξυς ἐστὶν Ἀριστοτέλει καὶ Πλάτωνι, ὡς οἱ τὰ Ἀριστοτέλους φρονεῖν δοκοῦντες ὅτοι, καὶ τὰ τοῦ Πλάτωνος. Μόνος δ' ἂν τοῖς Ἀνδράσιν ἐκείνοις γνησίως

(1) Πλάτων δὲ ἐκ ἀρνεῖται τὰ κάλλιστα εἰς φιλοσοφίαν παρὰ τῶν βαρβάρων ἐμπορεύεσθαι, ἔστε καὶ Αἴγυπτον ἀφικέσθαι ὁμολογεῖ. Δύναιτο γᾶν ἐν τῷ Φαίδωνι πανταχόθεν τὸν φιλόσοφον ὠφελεῖσθαι γράφων, „Ποθὴ μὲν „ἡ Ἑλλὰς (ἔφη) ὦ Κέβης, ἐν ᾗ εἰσὶ „πάμπαν ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ καὶ „τὰ τῶν Βαρβάρων Γένη. Κλήμ. „Στρωμ. λόγ. ά.

(2) „Ταύτητοι ὁ φιλαλήθης Πλά„των οἷον θεοφορέμενος, ὡς τοιῶτος „ἐγὼ (φησὶν) ὁποῖος ἑδενὶ ἄλλῳ, ἢ τῷ „λόγῳ πείθεσθαι, ὅς ἂν μοι σκοπεμέ„νῳ βέλτιστος φαίνοιτο (Πλάτ. ἐν Κρί„τωνι) Αἰτιᾶται γᾶν τὰς ἄνευ Νῦ καὶ „Ἐπιστήμης δόξας πιστεύοντας. Αὐτ. αὐτ.

(3) „Ἔτι δὲ βέλτιον ἔχαν πρὸς „τὸ κρίναι τὸν ὥσπερ ἀντιδίκων, καὶ „τῶν Ἀμφισβητάντων λόγων ἀκηκοό„τα πάντων. Μεταφ. Β'. Κεφ. ά.... „Αἱ γὰρ τῶν ἐναντίων ἀποδείξεις ἀπο„ρίαι περὶ τῶν ἐναντίων εἰσίν. Ἅμα δὲ „καὶ μᾶλλον ἂν ἔχη πιστὰ τὰ μέλλοντα „λεχθήσεσθαι, προακηκοόσι τὰ τῶν „ἀμφισβητάντων λόγων δικαιώματα. „Τὸ γὰρ ἐρήμην καταδικάζεσθαι δο„κεῖν, ἧττον ἂν ἡμῖν ὑπάρχοι. Καὶ „γὰρ δεῖ διαιτητὰς, ἀλλ' ἐκ ἀντιδί„κους εἶναι τὰς μέλλοντας τ' ἀληθὲς „κρίναν ἱκανῶς. Αὐτ. περὶ Οὐρα. Βιβ. ά. Κεφ. ιά.

σίως ἔπεσθαι ἐπαγγέλοιτο, ὃς ἂν πρὸς ζῆλον τὸν ἐκείνων ἐλευθέρως φιλοσοφῶν, ἀπαίζοιτο μὲν τὰ ὑπ' αὐτῶν ὀρθῶς εἰρημένα, ἀποδοκιμάζοι δὲ τὰ μή, μίαν χρῆναι πρὸ πάντων ὡς ἐκεῖνοι παρήνεσαν, τιμᾶν οἰόμενος τιὼ ἀλήθειαν.

§. θ'. Ἀλλ' ἐν οἷς ἄρα τὸ ἐλευθέρως φιλοσοφεῖν συνιεῶμεν, αὐτιὼ ἅμα τιὼ ἀμετρίαν τῶ πράγματος ὑφορώμεθα. Πολλοὶ γὰρ εἰσὶν οἱ ἐλευθεριάζοντες μὲν ἐδαμῶς, κατελευθεριάζοντες δέ. Τετέσιν οἱ ἀχαλίνως καταχρᾶσθαι τῇ φιλοσοφικῇ ταύτῃ ἀδείᾳ ἐξεῖναι σφίσιν ἡγέμενοι. Καὶ πᾶν μὲν ὅ,τικεν ἐπ' ἀναιρίμαν γλῶτταν αὐτοῖς ἐπέλθοι ἀβασανίστως, ἀκρίτως, ἀλόγως προϊέμενοι, ἀηδῆ δὲ πολλὰ, καὶ ναυτίας ἐκ ἂν ἔχοιτις εἰπεῖν ὅσης πρόξενα, κατὰ τὰς δι' ἀπεψίαν ὀξυρεγμίας ἀπερυγγάνοντες. Ἐν οἷς ἐδὲ τῶν Ἱερῶν αὐτῶν λογίων φειδόμενοι, τὰ ἐκ διαμέτρε τέτοις ἀντιβαίνοντα, ὡς δόγματα τῆς γνησιωτέρας, κατ' αὐτὲς, ὄντα φιλοσοφίας, ἀδεῶς τε καὶ ἀνυποσόλως πρεσβύεσιν. Οὓς καὶ εἰς δύο ἄντις διέλοι τάξεις, ὡς ἐκ ἀφ' ἑνὸς ἅπαντας τῷ τρόπε, εἰς τέτο θράσος ἐλαύνοντας. Οἱ μὲν γὰρ παρὰ τὸ μὴ ἔχειν ὅλως ἐν ἑαυτοῖς μόρφωσιν ὁσεβείας, γυμνῇ τῇ κεφαλῇ κατεπαγγέλονται τιὼ ἀσέβειαν, καὶ τότε δὴ φιλοσοφεῖν ἡγῆνται ἐλευθέρως, ἐπειδὰν ἀλόγως φιλοσοφῶσι, καὶ αὐτῆς τῆς πίσεως ἀναιδῶς κατορχέμενοι. Περὶ ὧν ἐδὲν ἡμῖν ἐπὶ τῷ παρόντος ἔπεισι λέγειν, ἢ χαίρειν ἐᾷν, ματαιεμένες ἐν αὐτοῖς αὐτῶν τοῖς διανοήμασιν. Οἱ δὲ ἐν Εὐσεβείας δῆθεν προχήματι ἐδαὶ ἐλάσονα τιὼ ἀλογίαν ἐπιδεικνύμενοι, μηδὲν εἶναι φασὶν ἀπεικὸς, εἰ τὰ ἐν τῇ Φιλοσοφίᾳ τοῖς διὰ πίσεως πρεσβυομένοις εἰσὶν ἀντίζοα. Ἐμοὶ γὲν ἢ αὐτοῖς ὠσὶν ἐγένετο ἀκέσαι λεγόντων, τέτο δὴ τὸ ἠλιβάτε τινὸς ἀληθείας γέμον, ὅτι τόδε μὲν κατὰ τιὼ Φιλοσοφίαν Φρονεῖν ἐξέσαι, καὶ ἀληθὲς ὂν διατείνεθαι, τόδε δὲ (περὶ τῷ αὐτῷ δηλονότι προκειμένε) κατὰ τιὼ πίσιν. Τὸ μὲν ἀμέλει κατὰ τιὼ παράδοσιν τῶν ἀνθρώπων, καὶ κατὰ τὰ σοιχεῖα τῷ κόσμε, τὸ δὲ κατὰ Χρισόν. Καὶ ὁ μὲν Ἀπόσολος ταῦτα δεῖν ὤετο προδιασέλλειν, ἵνα μήτις ἡμᾶς εἴη ὁ συλαγωγῶν διὰ τῆς Φιλοσοφίας καὶ κενῆς ἀπάτης, τιὼ Φιλοσοφίαν ἅτως ὑπὲρ ἃ δεῖ θρασυνομένιὼ κατευτελίζων, καὶ τὰ ἐσκαμμένα ὑπεραλομένιὼ, κατασέλλειν ἐπιχειρῶν, ἣν ἐν ἄλλοις καὶ ἐκθειάζει, ὡς γε εἰκὸς, Ὡῷ Σοφίαν ἀποκαλῶν, καὶ

διὰ

διὰ τιμῆς ἄγει, καὶ σωίζησιν, ἐντὸς τῶν ὅρων τῦ προσήκοντος μένσαν. Οἱ δὲ αὐτοίτε πρῶτον ἐξαπατηθέντες, καὶ τὲς ἄλλες ἔπειτα συλαγωγεῖν ἡδέως αἱρέμενοι, ἀντινομοθετεῖν ἐκείνῳ ἄντικρυς φιλονεικῶσι, καὶ τὰ ἄμικτα ἀτεχνῶς συμμιγνύσι, καίτοι διαξέλειν δοκῶντες. Τὸ γὰρ ὅτι τὸν Κόσμον, φέρε, ἀίδιόν τε καὶ ἄχρονον ὑπολαμβάνειν χρή· Καὶ τὸν αὐτὸν ἐν χρόνῳ πάλιν, καὶ ἐκ τῦ μηδενὸς παρηγμένον· Καὶ τιὼ γε πρόνοιαν μηδενὸς τῶν ὑπὸ Σελιώλιω προνοῦσαν πρεσβύειν, καὶ διὰ πάντων ἅμα ταύτιω, ἄχρι καὶ τῶν κατωτάτω, διήκσαν. Καὶ τιὼ ἀ ἡμῖν δὲ ψυχιὼ θνητιώτε τιὼ αὐτιὼ διιχυρίζεσθαι εἶναι, καὶ ἐχὶ θνητιὼ, ἀλλ' ἀθάνατον, τὰ μὲν δηλονότι φιλοσοφεῖν ἐθέλοντας, τὰ δὲ πισύειν, τῶν διακρίνειν ἐοικόνα βλομένων ἐτὶ, καὶ χωρὶς δοκεῖν τιθέναι, ἅττα ἄλλως αὐτοὶ εἰς ταὐτὸ ἰέναι, καὶ μὴ πεφυκότα, καταναγκάζσι. Διιξᾶν μὲν γὰρ δοκῦσι τῆς γνώσεως τὰς ἀρχάς, συγχέσι δὲ προδήλως τὰ γινωσκόμενα. Ἀμφότερά τε ἐπὶ τιὼ αὐτιὼ, μίαν ἔσαν, καὶ ἁπλῶσάτιω, καὶ ἀμέριτον, ἀλήθειαν ἀναφέροντες, τῇ θατέρᾳ ἀντιπεριπτώσει ἑκάτερον ἀνατρέπσιν. Ὥσε συμβαίνειν αὐτοῖς ἀλογώτατα διανοσμένοις εἰς προφανεῖς τὰς ἀντιφάσεις ἐγκυβιξᾶν, καὶ τῷ ἀπρίξ ἐθέλειν ἑκατέρᾳ ἔχεσθαι τῶν ἀντιπιπτόντων, ἑκάτερον ἀναιρεῖν. Ἅμα γὰρ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ ἀληθύειν, καὶ μὴ, ἀδύνατον ὅλως καὶ εἶναι, καὶ νοηθῆναι. Εἴη γὰρ ἄν, εἴπερ, καὶ πάντα δήπε ψευδῆ τ' ἀληθύοντα, καὶ πάντα ἀληθῆ τὰ ψευδόμενα· Πάνταται δόγματα ἄρδιω ἂν ἔτω περιτραπείη, ὅσατε θεῖα, ὅσατ' ἀνθρώπινα, συγχωρεμένης ἅπαξ τῆς ἀντιφάσεως. Ἀλλ' ἐῤῥέτω δὴ ἡ ἄλογος αὕτη καὶ ἀσύσατος φιλοσοφία, ἣν μωρίαντε ἀποκαλεῖν καὶ ἄνοιαν οἰκειότερον ἀξιώσομεν· Ἤντε εἰδείς ποτε ἐγκρίνας ὤφθη τῶν πώποτε ὀκλεῶς πεφιλοσοφηκότων, ἔτε τῶν πάλαι, ἔτε τῶν ὕσερον. Ἡμῖν δὲ ἔτως ἀεὶ φιλοσοφεῖν πειρατέον, ὡς διὰ παντὸς, καὶ ἐπὶ πᾶσιν, αἱρεῖσθαι μὲν τὸ τῷ ὀρθῷ λόγῳ σύμφωνον, μηδὲν δὲ πρεσβύειν τῆς ἀποκαλυφθείσης ἐν ταῖς Γραφαῖς ἀληθείας διάφωνον. Ἐπεὶ εἰδ' ἂν ἔχοιτις τῶν εἰς πίσιν ἡμῖν προβαλλομένων, οἷ ὁποιονδῆτι δεῖξαι, τῷ ὀρθῷ λόγῳ ἐκ τῦ ἐπ' ἀληθείας ἀντιφερόμενον, εἰδ' ἀντίφασιν ὠδῖνον, ἣν λέγομεν. Ἀλλ' ἔτι δήπε καὶ τῶν μυσικωτέρων παρ' ἡμῖν δογμάτων, καὶ φυσικοῖς

κοῖς

καῖς ἐννοίαις ἀλήπτων, τοιοῦτον προτείνοιτο, πρῶτον μὲν οὐδὲ τούτων οὐδὲν ἀντιφάσει περιπίπτειν τοῖς Θεολογοῦσιν ἱκανῶς ἀποδέδεικται. Ἔπειτα δὲ, οὐδὲ τῶν φιλοσοφίας ὅρων, τῆς φυσικῆς ταύτης, καὶ χαμαὶ φερομένης, ἐντὸς εἶναι θήσομεν, ἐν δὲ τοῖς ἀποῤῥήτοις τάξομεν τὰ τοιαῦτα, καὶ ἄθικτα τῷ κατὰ φύσιν λόγῳ τηρήσομεν· Οὔμενουν ὡς ἄρα κατὰ τοῦ λόγου στρατευόμενα ἀθετοῦντες, ἀλλ' ὡς ὑπὲρ τὸν λόγον ὄντα σιγῇ σεβόμενοι. Πολὺ δὲ διαφέρει, μᾶλλον δὲ τὸ πᾶν, τούτων ἑκάτερον. Ὅσῳ τῆς ἀνοίας αὐτῆς (ἵνα μὴ καὶ πλέον εἴπω) ἡ τελεωτάτη, καὶ τῶν ἄλλων ὑπερβεβηκεῖα ἐν ἀνθρώποις τοῦ νοεῖν δύναμις.

§. ί. Πρὸς μὲν οὖν τοὺς τὴν φιλοσοφίαν τῇ πίστει συμπλέκεσθαι συγχωροῦντας, καὶ ἀλλήλαις διαπληκτίζεσθαι, ταῦτα. Ἄλλη δέτις ἡμῖν, ὡς ἐξ ἄλλων αὖθις ἀπαντᾷ ἀτοπία, ἐκ τῆς αὐτῆς σχεδὸν ἀκρισίας καὶ αὕτη τὴν ἀρχὴν ἔχουσα, τῶν μηδὲν ὅλως θέμις εἶναι ὑποτιθεμένων, περὶ Θεοῦ, καὶ τῶν Θείων, φιλοσοφοῦντας διαμνημονεύειν· Οὐδ' εἴτι καὶ ταῖς Γραφαῖς ἐμφέρεται, ἢ τοῖς πατράσιν ἐγκέκριται, τοῖς περὶ τῶν ὄντων θεωρήμασιν ἐμπαρεισάγειν. Τοῦτο γὰρ ἐκτόπως εἶναι μιγνύειν τὰ ἄμικτα, καὶ συμβιβάζειν πειρᾶσθαι εἰς ταυτὸ τὰ ἀσύμβατα, οἷον φιλοσοφοθεολογοῦντας, ὡς αὐτοὶ λέγουσιν. Οἱ μὲν οὖν ἀνωτέρω φιλοσοφεῖν ἐπέτρεπον καὶ τὰ τῇ πίστει ἐναντιώτατα, οὗτοι δὲ φιλοσοφεῖν ἀπαγορεύουσι, καὶ αὐτὰ τὰ μάλιστα σύμφωνα, ἵνα μὴ τῇ φιλοσοφίᾳ, φασὶ, τὴν Θεολογίαν ἐγκαταμίξωμεν, κακῶς μὲν εἰδότες, χεῖρον δὲ λέγοντες. Διττῆς γὰρ οὔσης τῆς θεολογίας τῆς μὲν φυσικῆς, οὕτω φᾶναι, δι' ἧς ὑπὸ τοῦ κατὰ φύσιν λόγου χειραγωγούμενοι, διάτε τῶν κοινῶν λεγομένων ἐννοιῶν, καὶ τῆς καλλονῆς τῶν ὁρωμένων κατὰ τὸν Ἀπόστολον, εἰς τὸ νοεῖν τὰ ἀόρατα ἀναγόμεθα· τῆς δὲ ὑπερφυοῦς τε καὶ μυστικωτέρας, ἣν ἐξ Ἀποκαλύψεως, τῆς ἐν μόνοις τοῖς Ἱεροῖς Γράμμασι περιεχομένης, μυούμεθα, κἂν ταῖς ὑπὸ τῶν Θεοφορήτων Ἀνδρῶν πεπονημέναις πραγματείαις διεξοδικώτερον διδασκόμεθα· ταύτην μὲν, ὡς κρείττονα λόγου οὖσαν, καὶ ἐρεύνης ἐκτὸς, μὴ παντὸς, μηδὲ παντὶ κοινὴν εἶναι ὑπολαμβάνειν, ᾗπου ὀρθῶς ἔχειν καὶ ἡμῖν δοκεῖ. Ἐκείνην δὲ τοὺς φιλοσοφοῦντας μετιέναι ἀπαγορεύειν, ὅμοιον ἐστὶ καὶ τοὺς ἁρμονικοὺς ἐν τοῖς περὶ ῥυθμοὺς καὶ μέλη αὐτὴν τὴν ὑπάτην ἀφαιρεῖν, ἢ τοὺς Γραμματικοὺς μὴ ἐπιτρέπειν

πειν περὶ ὀνόματος καὶ ῥήματος πραγματεύεσθαι, ἃ τῶν μερῶν τῆ λόγε τυγχάνει τὰ ἐμψυχότατα. Οὐδὲν γὰρ μᾶλλον ταῖς τοιαῖσδε ἔξεσιν οἰκείως ἔχει ἡ περὶ τὰ εἰρημένα σκέψις τε καὶ τριβὴ, ἢ ἀνδρὶ Φιλοσοφοῦντι τὸ περὶ τῆ Θεῆ τὰ ὀρθὰ διαλέγεσθαι, καὶ πρὸς αὐτὸν ἐκ τῆς κατὰ φύσιν ἐναργείας ἀνατρέχειν τοῖς λογισμοῖς, τὸ Ὂν αὐτὸ πρώτατον, καὶ πύματον, καὶ μέσον ὑποτιθέμενον, τὸ ὄντως Ὄν. Εἰ μήτις ἄλλως εἴη τῶν ἐκ τῆς Ἐπικέρδ ἀγέλης, ὃς ἂν αὐτὸν ἐξεπτυκὼς τὸν ἐγκέφαλον, ἢ τὰ ὦτα βύσας πρὸς αὐτὰς τὰς διαμαρτυρήσεις τῆς Φύσεως, (αἳ ἐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν ἐχὶ ἀκούονται αἱ φωναὶ), ἀντὶ τῆς πρωτίστης καὶ ὑπερτάτης αἰτίας ἀντιπαρεισάγειν φιλονεικοίη τιὼ τῶν Ἀτόμων ἄλογον φοράν, καὶ τὸ Αὐτόματον. Τῷ ὄντι γὰρ ὁ τὸς Φιλοσοφοῦντας τῆ περὶ Θεῆ τὶ λέγειν ἀπάγων, εἰς ἀθεΐαν ἐσὶν αὐτὸς ἐῤῥωμένως παρακαλῶν. Τί γὰρ ἐσὶ Φιλοσοφία, ἀλλ' ἢ γνῶσις θείωντε ἅμα καὶ ἀνθρωπίνων; Διὸ καὶ πάντες ὅσοι ποτὲ Φιλοσοφίας ἥψαντο (ἦν τὸς ἀθεωτάτος ἐξέλης) μέρος τῆτο τὸ κυριώτατον τῆς ἐπαγγελίας ἑαυτῶν ἡγησάμενοι, πρὸς Θεὸν θαμὰ τῷ λόγῳ ἀνέδραμον. Καὶ οἱ μὲν περὶ τὸν Πλάτωνα τὸ Αὐτοὸν πανταχῆ γεραίρεσι, καὶ Αὐτάγαθον. Οἱ δὲ ἐκ τῆ Περιπάτε, τὸ πρῶτον Αἴτιον, καὶ ἀκινήτως τὰ πάντα κινῆν ἐνθειάζεσιν. Οἱ δὲ ἐκ τῆς Στοᾶς, παρὰ τὸ κατ' αὐτὸς τεχνικὸν πῦρ, τὸ δι' ἀπάσης τῆς ὕλης διῆκον, καὶ τὸς σπερματικὸς λόγος τῶν ὄντων περιέχον, καὶ Θεός τις παρὰ τῆτο αὐτοῖς ἀκῆον, καὶ τὸν πρῶτον ἔτι Θεὸν ὐ τῷ Αἰθέρι ἱδρύσι· τοσῆτον ἀπέχοντες τῆ τὸν περὶ Θεῆτε καὶ τῶν Θείων λόγον τῆς Φιλοσόφε διατριβῆς ὑπειληφέναι ἀλλότριον, ὥσε καὶ εἴτις καπὶ τῆς Φιλοσοφίας αὐτῆς διέλοι, τὸ μὲν, οἷον αὐτῆς ψυχικὸ, τοδέτι οἱονεὶ σῶμα τιθέμενος, φᾶναι ἂν αὐτὸς, τὸ περὶ Θεῆ λέγειν εἶναι τὸ πρῶτον, καὶ κυριώτατον, καὶ ἔ χωρὶς ὀρθῶς φρονεῖν καὶ λέγειν περὶ τῶν ἄλλων ἀδύνατον. (1). Τὸ γὰρ περὶ Θεῆ

(1) „Πλάτων μὲν γὰρ κατανοήσας „ὡς εἴη μία τις ἡ τῶν θείων καὶ ἀνθρω„πίνων ἐπιςήμη, πρῶτος διεῖλε, καὶ „ἔφη, τὴν μέντοι περὶ τῆς τῆ παν„τὸς φύσεως εἶναι πραγματείαν, τὴν „δὲ περὶ τῶν ἀνθρωπίνων, τρίτην δὲ „περὶ τὸς λόγος. Ἠξίε δὲ μὴ δύνα„σθαι τὰ ἀνθρώπινα κατιδεῖν ἡμᾶς, „εἰμὴ τὰ θεῖα πρότερον ὀφθείη. Φησὶ „δ' Ἀριςόξενος ὁ Μουσικὸς Ἰνδῶν εἶναι „τὸν

Θεȣ̃ κατὰ τὰς φυσικὰς τῶν ἐννοιῶν πραγματεύεσθαι, τῆς τῶν θείωντε καὶ ἀνθρωπίνων γνώσεως, ταυτὸν εἰπεῖν τῆς Φιλοσοφίας, μέρος ἐςὶ τὸ ȣ̓σιωδέςατον. Ταύτην μὲν γὰρ, ȣ̓ μόνον οἱ θύραθεν ȣ̓̃τως ἀπέδωκαν ὁρισάμενοι, ἀλλὰ καὶ τῶν παρ' ἡμῖν οἱ Θειότατοι. Ἔργον γὰρ καὶ αὐτοὶ (1) τῶν φιλοσοφεῖν ἐπαγγελλομένων ἀπεφήναντο εἶναι, ȣ̓χὶ (ὅτινες τῶν καθ' ἡμᾶς ἀπαιδεύτως πάνυ διατεινόμενοι φέρονται) τὸ περὶ Θεȣ̃ φιλοσοφȣ̃ντας ἀνοηταίνειν χρῆναι, καὶ σιγᾷν, φρονεῖν δὲ, καὶ λέγειν τὰ δικαιότατα· Οὐδὲ πᾶσαν ἁπλῶς ἐν τῷ καθόλȣ τῶν θείωντε καὶ ἀνθρωπίνων ἀποτρέπεσθαι μίξιν, ἀλλ' ἢ μόνον, ἐν οἷς ταῦτα ἀσυνάλλακτα ἀλλήλοις ἐςὶ, καὶ πάντῃ ἀσύμβατα.

§. ια'. Ἀπειρήσθω τοίνυν τοῖς φιλοσοφȣ̃σι τὰ Μυςηριώδη τῶν Δογμάτων ἐξετάζειν ἐπιχειρεῖν τῷ λόγῳ, τὰ ὑπὲρ Νȣ̃ν ὄντα, καὶ τὴν ἀνθρωπίνην κατάληψιν. Σιγάτωσαν ȣ̓̃τοι περὶ τὰ ἐκ μόνης Ἀποκαλύψεως γνωςὰ, καὶ τῇ πίςει μόνῃ συνετά· Περὶ ὧν αὐτοῖς καὶ τὸ Προφητικὸν εἴρηται, ἐὰν μὴ „πιςεύσητε, ȣ̓ μὴ συνῆτε. (2). Μηδεὶς αὐτοῖς ὑποκείσθω λόγος περὶ τȣ̃ Μοναδικȣ̃ τῆς φύσεως, ἐν τρισσαῖς, τοῖς θεοπρεπέσι χαρακτῆρσι γνωριζομέναις, ταῖς ὑποςάσεσι· Μηδεὶς περὶ τῶν Ἀνάρχωντε, καὶ Ἀϊδίων προόδων. Μηδεὶς περὶ τῶν δισσῶν τελείων φύσεων, τῶν ἀσυγχύτως ἑνȣμένων ἐν μιᾷ τῇ ὑπερθέῳ Ὑποςάσει, κατὰ τὴν φρικτὴν ἐνανθρώπησιν.

„τὸν λόγον τȣ̃τον. Ἀθήνησι γὰρ ἐν„τυχεῖν Σωκράτει τῶν Ἀνδρῶν ἐκείνων „ἕνα τινὰ, κἄπειτα αὐτȣ̃ πυνθάνεσθαι, „τί ποιῶν φιλοσοφοίη; τȣ̃ δὲ εἰπόντος, „ὅτι ζητῶν περὶ τȣ̃ ἀνθρωπίνȣ βίȣ, „καταγελᾶσαι τὸν Ἰνδὸν λέγοντα, „μὴ δύνασθαί τινα τὰ ἀνθρώπινα κα„τιδεῖν ἀγνοȣ̃νταγε τὰ θεῖα. Ἀριςοκλ. ὁ Περιπατ. ἐν Ζ. Συγγράμμ. τῶν Φυσικ. παρ' Εὐσεβ.

(1) Ἐν τῷ βλέπετε μήτις ὑμᾶς ἔςαι ὁ συλαγωγῶν. ... „Φιλοσοφίαν „μὲν ȣ̓ πᾶσαν, ἀλλὰ τὴν Ἐπικȣ́ρειον, „ἧς καὶ μέμνηται ἐν ταῖς Πράξ. τῶν „Ἀποςολ. ὁ Παῦλος διαβάλλων, πρό„νοιαν ἀναιρȣ̃σαν, καὶ ἡδονὴν ἐκθειά„ζȣσαν. Καὶ εἰδήτις ἄλλη τὰ ςοιχεῖα „ἐκτετίμηκε, μὴ ἐπιςήσασα τὴν ποιη„τικὴν αἰτίαν τȣ́τοις, μηδὲ ἐφαντά„σθη τὸν Δημιȣργόν„. Στρωματ. Λόγ. α'. Ὅρα δὲ καὶ τὰ Διονυσ. Ἀρεοπαγ. Ἐπις. Πολυκάρπῳ. Καὶ τὴν Παχυμ. Παράφρ. ἐνταῦθα. Καὶ Ἰȣς. φιλόσ. καὶ μάρτ. Διαλόγ. πρὸς Τρύφ. Καὶ Χρυσός. εἰς τὸ, ἐπειδὴ ἐν τῇ Σοφίᾳ τȣ̃ Θεȣ̃ ȣ̓κ ἔγνω ὁ Κόσμος. ... Κἀν τῇ πρὸς Κολασσ. Κεφ. γ'. Ὁμιλ. θ'. Καὶ τὸν Δαμασκ. πολλαχȣ̃, καὶ μάλιςα ἐν τοῖς περὶ Γνώσ. Κεφ. γ'. Καὶ Κεφ. ξζ. κξ'.

(2) Ἡσαΐ. Κεφ. ζ'.

σιν. Μηδεὶς περὶ τῆς ἐκ Πατρὸς Ἀμητορίας, ἐν τῇ ἀχρόνωτε καὶ ἀνεκφοιτήτῳ θείᾳ γεννήσει, μηδὲ περὶ τῆς ἐκ Μητρὸς Ἀπατορίας, ἐν τῇ κατὰ χρόνον, καὶ κατὰ ἄνθρωπον. Σιγῇ τιμάθω καὶ τὰ λοιπὰ τῆς Οἰκονομίας. Ὅπως παρθενικὴ νηδὺς ἀπειράνδρως ἐκυοφόρησεν. Ὅπως ὁ Ὕψιστος θνητῷ καὶ παθητῷ Σάρκα φορέσας ηὐδόκησεν· ὡς ἔπαθον, ὡς ἀπέθανον, ὡς ἀνέστη. Καὶ σὺν τούτοις τὰ παράδοξα, ὅσα αὐτὸς δι' ἑαυτοῦ, καὶ τῶν αὐτοῦ θεραπόντων ἐπὶ γῆς τελέσας ηὐδόκησεν. Ἐπὶ τούτοις καὶ τὰ διὰ τῶν μυστικῶν καὶ ἀποῤῥήτων τελετῶν ἐν τῇ Ἐκκλησίᾳ τῇ δυνάμει τοῦ Πνεύματος τελεῖσθαι πιστεύομενα, τοῖς ὑπὲρ Νῶν σωωριθμεῖσθω, καὶ ὑπὲρ ἔννοιαν. Ὅπως ὕδωρ τὸ ὑλικὸν, καθαρτικὸν γίνεται πνεύματος· Ὅπως ἔλαιον τὸ φυλικὸν ἀσφαλείας τε καὶ χάριτος πρόξενον. Ὅπως ἄρτος τε καὶ οἶνος εἰς Σῶμα τὸ Κυριακὸν μεταποιεῖται. Ταῦτα δὴ καὶ τὰ τοιαῦτα τῆς παρ' ἀνθρώποις φιλοσοφίας ξένα ἐστὶ καὶ ἀλλότρια, περὶ ἃ ἡμῖν καὶ ὁ Ἀπόστολος τὴν φιλοσοφίαν φυλάττεσθαι παραινεῖ προασφαλιζόμενος. (1). Ταῦτα τολμᾶν ἡμᾶς διαταλαντεύειν τῷ λόγῳ, καὶ οἱ Πατέρες ἀπαγορεύουσιν (2), ὡς ἀνεξιχνίαστα ὄντα, καὶ ἀκατανόητα. Ὅσα δὲ περὶ Θεοῦ ταῖς κατὰ φύσιν ἐννοίαις ἐφικτὰ· ἤτοι, κατὰ τὸν Ἀπόστολον εἰπεῖν, „τὰ „γνωστὰ τοῦ Θεοῦ, ἃ ἐφανέρωσε πᾶσιν ἀνθρώποις, ἐκεῖνα μόνα ὀρθῶς τε καὶ κατὰ λόγον ὑποτιθέναι, καὶ πάνυ ἡμῖν ἐφεῖται, ἐχὶ θεολογεῖν φιλοσοφικῶς αἱρεμαίοις, φιλοσοφεῖν δὲ

(1) „Εἰς τὸ βλέπετε μήτις ὑμᾶς „ἔσται ὁ Συλαγωγῶν ... Τῆς πρὸς „Κολασσ. (Ἰωαν. Δαμασκ.) τὴν φι„λοσοφίας ἀποσύλησιν φυλάττεσθαι „παραινῶν, κενὴν ἀπάτην λέγων εἶναι „τὴν φιλοσοφίαν, ὅτι σχήματι κατα„πλήττει, καὶ πιθανότητι λόγων, τῆς „ἀληθείας ἀφεστηκυῖα. Οὐ γὰρ ἱκα„νὰ περὶ Θεοῦ τὰ ἐξ ἀνθρώπων νοήμα„τα. Ἐπειδὴ πᾶσαι αἱ ἀνθρώπιναι „καταλήψεις ἐκ τῶν ὁρατῶν ἔσασι, καὶ „ἐκ τῶν τοῦ Κόσμε, ἐκ οἷσί βέβαιαι „πρὸς τὴν τῶν ζητεμένων κατάληψιν, „ἀοράτων ὄντων κτ.

(2) „Τὰ ὑπερβαίνοντα λογισμὸν, „πίσεως δεῖται μόνης. Καὶ γὰρ ἐὰν „θέλωμεν πείθειν διὰ λογισμῶν, πῶς „ἄνθρωπος ἐγένετο ὁ Θεὸς, καὶ εἰς „μήτραν εἰσῆλθε παρθενικὴν, καὶ μὴ „τῇ πίσει τὸ πρᾶγμα ἐπιτρέψωμεν, „μᾶλλον ἐκεῖνοι καταγελάσονται. ... „Τὸ γὰρ εἰς τὸν σαυρωθέντα καὶ τα„φέντα πιστεύειν, καὶ πεπληροφορῆ„θαι κτ. τοῦτο σοφίας ἐ δεῖται, ἐδὲ „λογισμῶν, ἀλλὰ πίσεως. Χρυσοσ. εἰς τὸ ἀπολῶ τὴν Σοφίαν τῶν Σοφῶν. Ἐν τῇ πρὸς Κορινθ. ὁμιλ. δ'. Ὅρα τὸν αὐτὸν, καὶ Ὁμιλ. ε.

δὲ θεολογικῶς. Τετέσιν, ἐχὶ τῶν θείων τὰ ὑπὲρ λόγον ὄντα, τοῖς κατὰ τλιὺ φιλοσοφίαν λόγοις ἀνερθυνᾶν, τὰ δὲ τῷ λόγῳ ἐφικτὰ, μὴ ἀλόγως ἅμα καὶ ἀθέως ἀνασκοάζειν, ἢ τοῖς ἄλλοις ἀνασκοαζομενα παροραῶν, καὶ ὑπερβαίνειν, κατὰ χῆμα δῆθεν ἀλαβείας, τῷ βελομένῳ τετων κατεπιχειρεῖν ἐπιτρέποντας. Καὶ φιλοσοφήσομεν ἄρα τὸν Θεὸν τῶν ποιητικῶν εἶναι διατεινόμενοι τὸ πρώτιστον, μᾶλλον δὲ τὸ μόνον. Τῶν τελικῶν τὸ ἔχατον. Τῶν ὄντων τὸ ἀκροτατον, καὶ ὑπερτελέσατον, καὶ πάντων πάντη ὑπεριδρυμενον. Τὸ Αὐτοόν. Τὸ ὅπερ Ὄν. Τὸ ἀφ' ἑαυτῦ Ὄν. Τὸ μόνον κυρίως Ὄν. Τὸ Δημιεργικὸν, καὶ Κινητικὸν, καὶ Συνεκτικὸν, καὶ Προνοητικὸν ἁπάσης τῆς ἐσιωθείσης ὑπ' αὐτῦ φύσεως. Τὸ Ἄπειρον. Τὸ Αὐτάγαθον. τὸ Αἰώνιον, καὶ Ὑπέρχρονον. τὸ τλιὺ ὕπαρξιν ἀναγκαῖον. τὸ Ἁπλῦν, τὸ Ἄτρεπτον, καὶ Ἀναλλοίωτον. τὸ νοερῶς ἁπαξαπάντων τὲς λόγες σιὺεχον τε καὶ προέχον. Φιλοσοφήσομεν δὲ καὶ τῆς ὕλης τλιὺ ἐν χρόνῳ δημιεργίαν, καὶ πάσης κτίσεως τλιὺ ἐκ τῦ μηδενὸς ἐσίωσιν. Καὶ μὴν δὴ, καὶ τῆς λογικῆς ψυχῆς τὸ ἄϋλον, καὶ ἀμιγὲς, καὶ ἀθάνατον φιλοσοφήσομεν. Καὶ ὅσα ἄλλα περὶ τε Θεῦ, καὶ τῶν Θειων, καὶ αὐτῶν τῶν ἔξω Σοφῶν οἱ ἄριστοι, ὀρθῶς πολλάκις ὤφθησαν πεφιλοσοφηκότες, ὑπὸ τῆς Ἱερᾶς αὐτῆς εἰς ταῦτα ἀγόμενοι φύσεως. Εἰδέπε λόγος τις ἡμῖν ἀπαντήσειεν ἐκ τῶν φυσικωτέρων Ἐννοιῶν, τοῖς ἀποῤῥήτοις ἥκιστα σύμφωνος, τῦτον τῦ καταπετάσματος ἀποκλείσομεν, καὶ ἔξω μένειν τῶν αὐδύτων κελεύσομεν· Ὅπερ διακρίνοντος ἐςὶ τῶν ἀνθρωπίνων τὰ θεῖα, ἐχὶ συγχέοντος. Οὐδὲ γὰρ ἄλλως ἡ τέτων διάκρισις κεῖται ἐν τῷ μηδὲν περὶ θατέρε λέγειν, ὅτε περὶ τῦ ἑτέρε ὁ λόγος (ὅπερ ἄντις ὑπὸ ἀπαιδευσίας ἡγήσαιτο), ἐν δὲ τῷ περὶ ἑκατέρε κατὰ τὰς προσηκέσας τε καὶ καταλλήλες διαφορὰς γνωματεύειν, καὶ ἀποφαίνεθαι. Ἄλλως γὰρ, εἴπερ ἁπλῶς, ὁ τῶν ἐκ πίςεως ἔςιν ἅ, ἢ Πατέρων Ἱερῶν ἐξηγήσεις, ἢ ἐκ τῶν ἐν τοῖς θείοις λογίοις ἐκπεφασμένων χρήσεις προβαλλόμενος ἐν τῷ περὶ τῶν ὄντων φιλοσοφεῖν, ἢ τῶν φιλοσοφεμένων ἀνάπαλιν ἐν τῷ θεολογεῖν, ἀσεβείας ὑπόθιωος παρὰ τῦτο κριθήσεται, πολὺ γ' ἂν δέοι τῦ καὶ τῶν Πατέρων τὲς πλείσες κατὰ τῦτον μὴ ἀσεβῆσαι, ὧν αἱ βίβλοι ἑδὰ ἧττον τοῖς παρὰ τῆς ἔξω σοφίας βριθεσι λόγοις, ἢ τοῖς τῦ Πνεύματος. Ἀλλὰ

περὶ τέτων ἄλις, ἃ διελθεῖν ἔδοξεν, ὡς μὲν πρὸς τὸ δαψιλὲς τῆς ὑποθέσεως ἐπιτεμόντας, ὡς δὲ πρὸς τὸ παρὸν τῆς προκειμένης διατυπώσεως, καὶ πλατύτερον ἴσως τῆς προθέσεως παρενεχθέντας. Δῆλον γὰρ ἡμῖν ἐκ πείρας μαθῆσιν, ὅσοιτε, καὶ ὅσον ἀφιλοσόφως εἰσὶν ἐν τοῖς ἡμετέροις, οἱ περὶ τὸ τρόπε καθ' ὃν φιλοσοφεῖν δέον, παρὰ τὸ δέον ἀποφαινόμενοι.

ΠΡΟΔΙΑΤΡΙΒΗ
ΔΕΥΤΕΡΑ.

Τῶν νοσοποιῶν τῇ τε Γνωσικῇ δυνάμει αἰτίων τὰ μᾶλλον κεφαλαιώδη, καὶ τέτων ἡ ἑκάστω ἐπιβάλλεσα προφυλακήτε καὶ θεραπεία.

§. α'.

Α' μὲν ἐκ διαστροφῆς τῶν κατὰ γνῶσιν ἐνεργειῶν διαμαρτάνεται τῇ ψυχῇ, τῇ μὴ τοῖς ἐν Διδασκαλίας Κανόσι προκαταρτισθείσῃ, μηδὲ διὰ πυκνῆς ἀσχθείσῃ γυμνασίας τε καὶ ἀσκήσεως, ἐκείνων ἅπασα ἡ ἐφεξῆς πραγματεία, τλὼ διόρθωσιν ἐπαγγέλλεται. Ἃ δὲ ἄλλοθεν αὐτῇ τῇ ψυχῇ συμβαίνει παθαίνεθαί πως καὶ καχεκτεῖν, ὥσε χαλεπῶς μὲν τῆς πρὸς τὸ ἀληθὲς μορφώσεως τυγχάνειν, καὶ μηδὲ τυχθεῖσαν δὲ πολλάκις, ἐῤῥωμενέως ἤδη κατ' αὐτλὼ, καὶ ἀπροσπταίσως χωρεῖν, ταῦτ' ἐσὶν ὧν ἐπὶ τὸ παρόντος, ἤτοι τλὼ ἴασιν, ἢ γὲν τλὼ προφυλακλὼ, τὸ προδιαθετικὸν τετὶ, καὶ θεραπευτικὸν τῆς Λογικῆς μέρος δεόντως προαναβάλλεται. (1). Βέλτιον δὲ ἴσως ἄνωθεν λαβόντας τὸ κακὸ

(1) Γέγραπται καὶ Χρυσίππῳ, καὶ ἄλλοις πολλοῖς τῶν φιλοσόφων θεραπευτικά τινα συγγράμματα τῶν τῆς ψυχῆς παθῶν. Εὕρηται δὲ καὶ πρὸς Ἀριστοτέλες, καὶ τῶν ἑταίρων αὐτε, καὶ πρὸ τέτων ὑπὸ Πλάτωνος, ὡς παρὰ τῷ Γαληνῷ μαθεῖν ἐσὶν, ἐν τῷ περὶ διαγνώσεως καὶ θεραπείας τῶν ἐν ἑκάστε ψυχῇ ἰδίων παθῶν. Ἀλλὰ καὶ Ἀντωνίῳ τινὶ Ἐπικρεῖῳ, περὶ τῆς τοῖς ἰδίος

καὶ ἐ τὰς κυριωτέρας ἐκθέσθαι ἀρχὰς, καὶ τὰς πηγὰς, ἀφ' ὧν ἐπιῤῥεῖ τῇ ψυχῇ ἥτε ἄγνοια, καὶ ἡ ἀπάτη ἀδείξασθαι, ἵν' εἰδότες οἱ Φιλοσοφῆν ἐπιχειρῆντες, τῶν θολερῶν ὡς ὄντε ναμάτων, τῶν ἀπὸ τῆς ψευδωνύμε ἀπέχοιντο γνώσεως. Ἔργον γὰρ ἀπροσκέπτοις τὶν ἀπάτιν φυλάξασθαι· Προεσκεμμένοις δὲ, καὶ προεπιγνῶσιν ἐπιῶσαντε ῥάδιον ἐκκλίνειν, καὶ ἀποσείσασθαι φθάσασαν.

§. β'. Τέτταρας ἓν αὐτὸς ἀρχὰς οἶδα Κεφαλαιώδεις ἀφ' ὧν ἡ πᾶσα λύμη χεδὸν ταῖς ἐνεργείαις τῆ λογισικῆ ἐμποιεῖται· Αὐτότε δηλαδὴ τὸ ὀργανικὸν τῆτο, ὅ περικείμεθα σῶμα· Καὶ τὰς δυνάμεις δι' ὧν κατὰ γνῶσιν πεφύκαμεν ἐνεργεῖν· τότε τῆς ψυχῆς κρατῆντα τὰ πολλὰ πάθη, οἷς ἄλλοτε ἄλλως ἀγόμεθα, καὶ φερόμεθα· Καὶ ἀγωγιὼ τέως, καὶ ἔθος ὧν ἐκ νέων τυγχάνομεν.

§. γ'. Ἀρχομένοις ἓν ἀπὸ τῆ Σώματος, ἐδὲν δέον περὶ τῶν ψυχῶν ἐνταῦθα ζητεῖν ἀκαίρως, εἴγε καὶ καθ' ἑαυτὰς διωάμει καὶ τελειότητι ἀλλήλων εἰσὶ παραλλάττεσαι· Ὅπως γὰρ ἂν καὶ ἔχοι τὸ περὶ τέτε, (χαλεπὸν ὄν τῆς λογικῆς ψυχῆς, ἥπερ καθ' ἑαυτὴν ἔχεσα ἐστὶν, ἐπ' ἀκριβὲς ἐξικέσθαι, καὶ ἡμῖν, ὡς εἰρηται, τοῖς κατ' αὐτὰ ἔτι τὰ τῆς Φιλοσοφίας προτεμενίσματα διατρίβεσιν ἄκαιρον) εἰήπερ ἄν ἄλλως ἀκριβολογεῖσθαι θέλειν ἐπὶ τῆ παρόντος καὶ περιττόν· Ὁποτέρως γὰρ ἂντις καὶ ὑπολάβοι, ἐκεῖνο ἤδη τοῖς πᾶσιν ὁμόλογον, μεγάλην εἶναι τὴν ἀπὸ τῆ σώματος τῇ ψυχῇ ῥοπὴν (1), καὶ πολλὰς παρὰ τὴν ἐκείνε σύγκασιν καὶ κράσιν ἐμποιεῖσθαι ταύτῃ τὰς διαφορὰς (2), δι' ὧς ἐ μόνον ἄλ-

ἰδίοις πάθεσιν ἐφεδρείας βίβλος συντέτακται, ἤτοι τὴν παραφυλακὴν, ἢ τὴν διάγνωσιν, ἢ καὶ πρὸς τέτοις τὴν ἐπανόρθωσιν διὰ τῆ τῆς ἐφεδρείας ὀνόματος ὑποσημαίνοντι.

(1) „Ἐπεὶ καὶ ἐν ᾧ δοκεῖς ἐλαχίστην σώματος χρείαν εἶναι ἐν τῷ διανοεῖσθαι, τὶς ἐκ οἶδεν, ὅτι καὶ ἐν τέτῳ πολλοὶ μεγάλα σφάλονται, διὰ „τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; Καὶ λήθη δὲ, καὶ ἀθυμία, καὶ δυσκολία, „καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν „τῆ σώματος κακεξίαν εἰς τὴν διά-„νοιαν ἐμπίπτεσιν ἔτως, ὥστε καὶ τὰς „Ἐπισήμας ἐκβάλλειν. Τοῖς δὲ τὰ „σώματα εὖ ἔχεσι πολλὴ ἀσφάλεια, „καὶ ἀδεὴς κίνδυνος διάγειν τὴν τῆ σώ-„ματος κακεξίαν τοιῆτοι παθεῖν. „Εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία τῶν „διὰ τὴν κακεξίαν γιγνομένων, ἢ τὴν „εὐεξίαν χρήσιμον εἶναι. Ξενοφ. Ἀπομνημον. Βιβλ. Γ.

(2) Ἱπποκράτης μὲν ἓν ἐπιδείξας ἐστὶν ἐν ὅλῳ τῷ περὶ ὑδάτων, καὶ ὡρῶν κράσεως συγγράμματι, σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις, ἃ μό-

λος ἄλλε, ἀλλὰ καὶ αὐτὸς ἕκαστος ἑαυτῦ, λογίσασθαί τε καὶ κρίναι, καὶ ὁπωσῦν ἄλλως διανοηθῆναι, νῦν μὲν ὀφυέστερον ἔχει καὶ ἄμεινον, νεῶ δὲ ἀφυέστερόντε καὶ χεῖρον (1), κατάτε τὰς ἡλικίας, καὶ τὰς ἄλλας διαθέσεις αἳ μυρίαι τε καὶ ὑπὸ μυρίων αἰτίων καθ' ἡμέραν καὶ ὥραν ἐπισυμβαίνουσι. Νηπιάζουσίτε γὰρ οἷον ἐγκατορώρυκται ἡμῖν ὁ τῦ λόγου σπινθὴρ, καὶ παισὶν, ὅσον ἔτι καὶ προκύψαι θέλειν κατὰ βραχὺ διαφαίνεται. Καὶ νεάζουσιν ἀσαφεῖ, καὶ ῥᾴσα διαῤῥιπίζεται. Καὶ γηράσκουσι πολλάκις ὑπομαραίνεται. Καὶ ἀδὲ τοῖς ἐν ἡλικίᾳ καθεζῶσιν ἤδη τῇ τελεωτέρᾳ καὶ ἀκμαζούσῃ ἰσοδυνάμως ἑαυτῷ ὁ Νῦς ἑκάστοτε ὁμολογεῖ. Τροφαῖς μὲν γὰρ ἀμέτροις βαρύμενος ὑποκλάζει (2), ὐδείαις τε ὑπεκλυόμενος ὑπερβαλλούσαις ἐκλείπει. Καὶ ψύχει δὲ δριμυτέρῳ, ἢ θέρμῃ σφοδροτέρᾳ παρενοχλεμένῃ τῷ σώματος, ἀδ' αὐτὸς τῆς ἐνεργείας διασώζει τὸ ἐῤῥωμένον, καὶ σύντονον. Ἐῶ λέγειν ὄκνωντε βαρύτητας, καὶ τὰς εἰς ὕπνον καταφοράς, καὶ νοσημάτων παντοίων ἐνσκήψεις, καὶ ὑφ' ὧν ἐνὶ λόγῳ

ἐ μόνον ὅσαι κατὰ τὸ θυμοειδὲς, ἢ ἐπιθυμητικὸν αὐτῆς εἰσὶν, ἀλλὰ καὶ τὰς κατὰ τὸ λογιστικὸν ἅπάσας. Ὁ δὲ Γαληνὸς, αὐτόν τε τῶτον τὸν λεγομένε μάρτυρα προχειρισάμενος ἀξιοπιστότατον, καὶ Πλάτωνα δὲ ἐπ' αὐτῷ, τὸν ὑπὸ τῆς τῦ σώματος ὑγρότητος, εἰς λήθην ἔρχεθαι τὴν ψυχὴν, ὧν πρότερον ἠπίστατο, ἔντε τῷ Τιμαίῳ, καὶ πολλαχῦ τῶν αὐτῦ συγγραμμάτων φιλοσοφήσαντα· Ναιμὴν καὶ Ἡράκλειτον, ξ λόγος τὸ, αὐγὴ ξηρὴ, ψυχὴ σοφωτάτη, ὡς τὴν ξηρότητα αἰτίαν συνέσεως ἀξιώσαντος, διὰ πολλῶν ὑποτίθησι καὶ αὐτὸς „ὅτι ἀναγ„καῖον ὁμολογῆσαι δκλεύειν τὴν ψυ„χὴν ταῖς τῦ Σώματος κράσεσι. Γαλην. ὅτι τὰ τῆς ψυχ. ἤθη ταῖς τῦ Σώμ. κράσεσ. ἕπεται.

(1) „Ὡς γὰρ ἑκάστῳ ἔχει κρᾶσις „μελέων πολυπλάγκτων, τὼς νόος „ἀνθρώποισι παρέστηκε. Παρμεν. παρὰ Θεοφράστῳ.

(2) „Διὰ σώματος θολερᾶ καὶ δια„κόρε, καὶ βαρυμένε τροφαῖς ἀσυμ„φύλοις, πᾶσα ἀνάγκη τὸ γάνωμα „τῆς ψυχῆς καὶ τὸ φέγγος, ἀμβλύ„τητα καὶ σύγχυσιν ἔχων, καὶ πλα„νᾶθαι καὶ φέρεθαι, πρὸς τὰ λεπτὰ „καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων, „ἀκμὴν, καὶ τόνον ἐκ ἐχέσης. Πλε„τάρχ. περὶ Σαρκοφ. λόγ. Α'. Οἶνος „γάρ καὶ Σαρκῶν ἐμφόρησις, σῶμα „μὲν ἰχυρὸν ποιῆσι καὶ ῥωμαλέον, ψυ„χὴν δὲ ἀσθενῆ. (Ὁ Αὐτὸς ἐν τῷ περὶ Εὐθυμ.). Διὸ καὶ περὶ τῶν Ἀθλητῶν τῶν ἀεὶ κραιπαλῶν, καὶ γαστρίζεθαι ἐπιμελεμένων, ὡς περὶ Ἀνδρῶν ἀνοήτων ἀποφαίνεται ὁ Γαληνὸς, μηδὲν ὑγιὲς νοεῖν ἐχόντων. „Σαρκῶν γὰρ „ἀεὶ, καὶ αἵματος ἀθροίζοντες πλῆ„θος, ὡς ἐν Βορβόρῳ πολλῷ τὴν ψυ„χὴν ἑαυτῶν ἔχεσι κατεσβεσμένην. „Οὐδὲν ἀκριβὲς νοῆσαι δυναμένην, ἀλ„λὰ νῦν ὁμοίως τοῖς ἀλόγοις ζώοις. Γαλην. λόγ. Προτρεπτ. πρὸς τὰς τέχνας.

γω τὸ σῶμα ἤτοι ἀηδῶς, ἢ καὶ ἡδέως πολλάκις διατιθέμενον, ταῖς διανοητικαῖς δωυάμεσιν ἐχ ἑνὶ τρόπω ἐμποδοσατεῖ· Ἁ ῥάδιον ἐκ πείρας παντὶ καθ' ἑαυτὸν ἐννοεῖν, ἢ ἡμῖν ἔκασα καταλέγειν. Ταῦτ' ἓν ἀτενῶς διασκοπεμένοις, μηδὲ μικρὰ ἄττα ἀπαντᾶν τῷ θεωρητικῷ βίῳ τὰ ὡς ἐκ τῶ σώματος κωλύματα εἰδόσιτε καὶ πεπεισμένοις, τλιὺ μὲν ἀρχλιὺ τῶ κακῶ, ὅθαν ἥκει πρὸ παντὸς διαγνωξέον, ἔπειτα ἢ τλιὺ προσήκεσαν θεραπείαν ἐπιμελῶς ἐπακτέον, τὸς ἐμπείρος τῶν ἰατρῶν μιμεμενοις. (1).

§. δ'. Αὐτίκα μὲν δὴ τῶν τοιῶνδε κωλυμάτων, τὰ μὲν καὶ πάντη ἀνιάτως ἔχει, τὰ δὲ ἐν μέρει Ἰάσιμα ἐσί· Τὰ δὲ καὶ ὅλως τυγχάνει, τοῖς ἰαθῆναι βελομένοις, εὐίατα. Καὶ ἀνίατον μὲν τὸ δεινὸν, τοῖς ἐξ αὐτῆς τῆς ϛοιχειώδες ἢ ὀργανικῆς τῶ Σώματος συϛάσεως, πάντη ἀφυῶς ἔχεσιν εἰς τὸ κρίνειν περὶ τῶν πραγμάτων, καὶ διανοεῖσθαι. Τὸς ἓν ὅτως ἐχάτως ἀμβλεῖς τλιὺ διάνοιαν, καὶ παχεῖς τὸν Ἐγκέφαλον, ἠλιθίος ἀνθρώπος, Μαμμακέθος τινὰς, καὶ Μελιτίδας, ἕς ὡς ἔγγισα τῶν κτλιῶν, ἵνα μὴ τῶν πεφυκότων εἴπω, ἡ Φύσις κατέταξεν, ἐκ ἂν, εἰμήτις ἐξ ἀρχῆς διαπλάσειεν, ἄλλως ὀνήσειν δωύαιτο. Ταύτητοι καὶ θυρεκοπέντας μάτλιυ, εἰ τύχοι, (ὡς μηδὲ τᾶτο συνιδεῖν δυναμένος, ὅτι καὶ αὐτῶν τῶν εἰς Φιλοσοφίαν Φυσικῶν λαβῶν ἠμοίρησαν), τῶν Ἀνακτόρων ἔξω μένειν τὸς τοιάτος κελεύομεν.

§. ε. Τὸς δὲ δυσκινήτος μέν πως ταῖς Φαντασίαις πεφυκότας, καὶ μὴ πάνυ τὰς μνήμας ϛέγοντας, ἀμβλυτέρος δὲ καὶ τὰ τῆ Νῆ πτερώματα, ἐχ ὅσον χεμλιὺ ὥϛε ἢ δι' ἐπιμελείας καὶ πόνε μὴ πρὸς τὸ βέλτιον ἔχειν ἐπανορθᾶσθαι, καὶ ἱκανῶς τὰς ψυχὰς διαθήγεσθαι, τάτος ἐπ' ἐλπίσι χρησαῖς τῆ κατὰ τλιὺ Φιλοσοφίαν ἀγῶνος ἄπτεσθαι παραινᾶμεν, ὡς παρ' αὐτοῖς ὄν, τό, τε τῆς Φύσεως ἀνδρεῖον ἀναπλη-

ρῶσαι,

(1) Οὔτε γὰρ περὶ τὸ νοσᾶν σῶμα „ἔϛιτις τέχνη ἦν προσαγορεύομεν ἰα„τρικὴν, ἐχὶ δὲ καὶ περὶ τὴν νοσᾶσαν „ψυχὴν ἔϛιτις τέχνη. Οὔτ' ἐν τῇ κα„τὰ μέρος θεωρίᾳ τε καὶ θεραπείᾳ δεῖ „λείπεσθαι ταύτην ἐκείνης. Διὸ καὶ „καθάπερ τῷ περὶ τὰ σώματα Ἰατρῷ „καθήκει, τῶντε συμβαινόντων αὐ„τοῖς παθῶν ἐντὸς εἶναι, ὡς εἰώθασι τᾶ„το λέγειν, καὶ τῆς ἑκάϛῳ οἰκείας θε„ραπείας, ἕτω καὶ τῷ τῆς ψυχῆς „Ἰατρῷ ἐπιβάλλει ἀμφοτέρων τάτων „ἐντὸς εἶναι, ὡς ἓνι ὁρίσα. Χρυσίπ. παρὰ Γαλην. ἐν τῷ περὶ τῶν Ἱπποκρ. καὶ Πλάτ. Δογμ. Βιβλ. Ε'.

ρῶσαι, καὶ τὸ ἀσθενὲς ἐπιῤῥώσασθαι. Αὐτοῖς ἀλλ' ἐν ἐτῶ διακειμένοις, τὸ μὲν ἡσύχιον καὶ ἀθόρυβον, ὡς οἷόντε διωκτέον, ἵνα μὴ καὶ τὸ βραχὺ σφίσι περιὸν τῆς δυνάμεως, τῇ περὶ τὰ ἀληθῆ δαπάνῃ ἐπὶ μᾶλλον προσεπιβραχύνοιτο (1), ὕπνε δὲ μετρίως μεταληπτέον (2). Καὶ γαστρίζεσθαι μὲν ἀφεκτέον, τῶν δὲ σιτίων τὰ εὐχυμώτατα καὶ ὑγιεινότατα αἱρετέον (3). Ναιμὶὺ καὶ Ἰατρῷ, εἶπη παρείκοι, δεξιῶτε καὶ ἐπισήμονι χρηστέον, εἴτις καὶ ἐκ τῶν Φαρμάκων εἰς χυμῶν ἐξεργασίαντε καὶ κίνρασίαν ἡ ὄνησις (4). Ἐπὶ δὲ πᾶσιν ἀτρύτῳ φιλοπονίᾳ ἀγωνιστέον, τὸν μὲν Νῶν γυμνάζεσι ταῖς μελέταις, τὶὺ δὲ μνήμιω ταῖς ἀναλήψεσιν. Ὡς ἔτως ἐλπὶς ἂν εἴη, καὶ βραδυτέρως ὄντας, ὀξυτέρως τέως ἀναδειχθήσεθαι τῷ χρόνῳ, καὶ, τάχα μὲν καὶ τῶν ὑφυΐᾳ διαφερόντων, ἑαυτῶν δὲ πάντως, ὀφθήσεθαι κρείσσονας.

§. ε', Παρὰ δὲ τέτες εἰσὶν οἱ εὖ μὲν ὡς ἐκ τῆς φύσεως εἰς θεωρίαν συγκεκροτημένοι, καὶ πρὸς μαθημάτων ἀνάληψιν ἔχοντες δεξιῶς, ὑπὸ δὲ ῥαθυμίας τε καὶ ἀκνηρίας τὸ πονεῖν φεύγοντες. Ἀρχὴ δὲ καὶ τέτοις τὰ πολλὰ τῆ ὄκνε, ἢ ὡς ἐκ τῆ σώματος βαρύτητε καὶ νωθρίας, δι' ἣν ἅψαθαι μὲν ἀναβάλλονται τῶν ἐργωδεσέρων θεωρημάτων, ἁψάμενοι δὲ

(1) „Ὥσπερ γὰρ αἱ αἰσθήσεις ἔξω „τείνεσι τὴν ψυχὴν συνεργᾶσαν αὐταῖς, „ὡς δηλᾶσιν οἱ μύοντες τὰς ὀφθαλμὰς „ὅταν ἑαυτὰς βάλωνται συνάγειν, καὶ „συζρέψαι, καὶ διεγεῖραι τὸ προσεπτι„κὸν τῆς ψυχῆς. Σιμπλίκ. εἰς τὸ Ἐγχειρίδ. Ἐπικτήτε Κεφ. μβ'.

(2) „Ὕπνος γὰρ δὴ πολὺς, ἅτε „τοῖς σώμασιν, ἅτε ταῖς ψυχαῖς ἡ„μῶν, ἀδ' αὖ ταῖς πράξεσι ταῖς περὶ „ταῦτα πάντα ἁρμόττων ἐστὶ κατὰ „φύσιν. Καθεύδων γὰρ οὐδὲς ἐδενὸς „ἄξιος, οὐδὲν μᾶλλον τῶ μὴ ζῶντος. Πλάτ. ἐν Γ'. τῶν Νόμ.

„(3) Καὶ διὰ τῶν ἐδεσμάτων τε καὶ „ποτμάτων, ἔτιτε τῶν ὁσημέραι πρατ„τομένων, εὐκρασίαν ἐργαζόμενοι τῷ „σώματι, κἀκ ταύτης εἰς ἀρετὴν τῆς „ψυχῆς συντελέσομεν, ὡς οἱ περὶ Πυ„θαγόραν, καὶ Πλάτωνα, καί τινες „ἄλλοι τῶν παλαιῶν Ἰσρᾶνται πρά„ξαντες. Γαλην. ὅτι τὰ ἤθη ταῖς Κρᾶσ. ἕπεται.

(4) „Σωφρονήσαντες κἂν νῦν γε „οἱ δυσχεραίνοντες τροφὴν δύναθαι, „τὰς μὲν σωφρονεσέρας, τὰς δὲ ἀκο„λασοτέρας ἐργάζεσθαι. Καὶ τὰς μὲν „ἀκρατεσέρας, τὰς δὲ ἐγκρατεσέρας, „καὶ θαρσαλέας καὶ δειλὰς, ἡμέ„ρας τε καὶ πράας, ἐρισικάς τε καὶ „φιλονείκες, ἠκέτωσαν πρός με μα„θησόμενοι, τίνα μὲν ἐθίειν αὐτὰς „χρὴ, τίνα δὲ πίνειν. Εἴς τε γὰρ „τὴν Ἠθικὴν φιλοσοφίαν ὀνήσονται „μέγισα, καὶ πρὸς ταύτῃ κατὰ τὰς „τῆ λογικῆ δυνάμεως ἐπιδώσασιν εἰς „ἀρετὴν, συνετώτεροι καὶ μνημονικώ„τεροι γενόμενοι, καὶ φιλομαθέτεροι, „καὶ φρονιμώτεροι κτ. Γαλην. ὅτι τὰ ψυχ. ἤθη ταῖς Σωμ. κρᾶσ. ἕπετ.

δέποτε ἀθύμως τε ἐπιχειρῆσι, καὶ ἐδὲ εἰς τέλος ἐνεπιμένησιν. Αὐτοῖς δὲ, καὶ τὸ τῆ βίε ἐκδεδιητημένον, καὶ πλημμελὲς, καὶ μοχθηρός τις ἐθισμὸς κατὰ βραχὺ ἰσχύων, ῥώμιν τῷ πάθει προσίθησι. Προσίθησι δὲ καὶ ἡ ψυχὴ τιὼ ἐξ ἑαυτῆς ῥοπιὼ, δι' ἐπισφαλὲς κρίσεως ἐπὶ τὸ μᾶλλον τιὼ ῥαθυμίαν προάγεσα, ἄλλοτε ἄλλης. Ἐνίοτε γὰρ ἀπόνως τι ὁποιονῶν τῶν προχειροτέρων περάναντες, καὶ πᾶν ἔπειται ἐκ τῆ ῥάσε σοφὸν οἰόνται ἀλωτόν. Ἄλλοτε δὲ, ἐπεὶ μικρόντι τὸν νῶν προχόντες, σωιδεῖν ἐκ ἐδυνήθησαν καὶ κατανοῆσαι, τὸ προσταλαιπωρεῖν τῷ ζητεμένῳ κρίνεσι περιττὸν, ἀντι καὶ τῆτο τυγχάνειν ὑπολαμβάνοντες τῶν ἀλήπτων. Ἔσι δὲ ὅτε καὶ τῆ ἄκρε θιγόντες, αὐτὸ δοκῆσι κατέχειν τὸ μέσον, ἢ καὶ ιὴ δία τὸ τέλος. Παράγονται γὰρ καὶ ὑπὸ τῆς τυχήσης ὁμοιότητος, προαλέσερον κρίνοντες, καὶ τιὼ ἐκ τῆς ἐρῶνης τῶν διαφορῶν δυχέρειαν ὑπερβαίνοντες. Ὡς μὲν γὰρ βαρὺ τὸ τῆ βιβλίε φέρεθαι καὶ μεταφέρεθαι, καὶ ἀνελίττεθαι καὶ ἐπανελίττεθαι τεῦχος! ὡς δ' ὀχληρὸν καὶ τὸ ἄλλες περὶ τῆ προκειμένε πωθάνεθαι! ὡς δ' ἀηδὲς καὶ τὸ δὶς, καὶ τρίτον περὶ τῆ αὐτῆ ἀνασκέπτεθαι! ἔτως ἀταλαιπώρως ἔχεσι πρὸς τιὼ τῆ ἀληθῆς ζήτησιν. Ἀλλ' εἰσὶν ἐπὶ τέτοις καὶ ἕτεροι, οἱ ὀξέως μὲν ἀρχόμενοι, ταχέως δὲ λήγοντες· ἤτοι γὰρ δυχερεςέροις τισὶν ἀπαντῶντες, τῆ τόνε ὑφίνονται, ἢ τοῖς μὴ καθ' ἡδονιὼ περιτυγχάνοντες, ἀψίκοροι γίνονται. Διὸ καὶ ἐξ ἄλλης εἰς ἄλλιω θεωρίαν μεταπηδῶσι θαμὰ, τὸ εὔκολον μετὰ τῆ ἡδέος ἐπὶ πᾶσι θηρώμενοι· ὅπερ ἐπὶ μὲν τῶν εἰς ψυχαγωγίαν συντεταγμένων βιβλίων ἴσως, ἐπὶ δὲ τῶν κατὰ φιλοσοφίαν βαθυτέρων θεωρημάτων ὄρεῖν ἐχ οἰόντε, καὶ ζητεῖν γελοῖον. Τοῖς ἓν ἔτως ἔχεσι παραινῶμεν μὴ παραμελεῖν ἑαυτῶν καταβλακθομένες, μηδ' ὀλιγωρεῖν τῆς ὀφυίας ἧς περ ηὐκλήρησαν. Ὅσῳπερ γὰρ τῶν ἄλλων ταύτη ἔτυχον πλεονεκτῶντες, τοσέτῳ μείζονα τὴν ἀπὸ τῆς ἀμαθίας αἰσχύνιω ὀφλήσεσιν. Ἐπιχειρεῖν δὲ καλὸν τὸ τῆς ῥαθυμίας ἐξ ἀρχῆς ὀθὺς ἀποσοβεῖν τῆς ψυχῆς, καὶ πόρρω βάλλειν. Συμπροιῶσα γὰρ τῷ χρόνῳ, καὶ πῆξιν λαβῶσα, καὶ τόνον, ἐ μόνον γίνεται δυσαπάλακτος, ἀλλὰ καὶ τιὼ ὀφυίαν τῆ Νῶ, εἴτις ἦν, προσδιαφθείρει, ὑποψυχραίνεσά πως, καὶ οἷον ἐξυδαρῆσα τιὼ τῆς ψυχῆς δύναμιν. Ἄσκησις δὲ ἐπιμελείας ἀρίςη, τοτὲ μὲν, οἷον εἰς ἀ-

γῶνα ἀποδύεσθαι κατὰ τῶν δυσκολιῶν, καὶ τόγε αὐτῶν ἡττᾶσθαι αἰσχρὸν τιθέναι· τοτὲ δὲ, οἷον ἀπόπειραν ἑαυτῶν περὶ τὰ χαλεπώτερα λαμβάνειν, διασκοποῦντας εἰς ὅσον ἡ περιοῦσα σφίσιν ἐξήκει δύναμις. Ἐν ἄλλοις πάλιν διαφιλονεικεῖν πρὸς τοὺς τὰς δυσχερείας ὑπερβαλόντας, μηδὲ φέρειν παρὰ τοσοῦτον ἐκείνων ἡμᾶς ἀπολείπεσθαι, Νοῦτε καὶ ἐπιστήμης δεκτικοὺς κατ' ἐκείνους καὶ αὐτοὺς γενομένους ὑπὸ τῆς φύσεως. Ἐπὶ τούτοις δίστε, καὶ τρὶς ἐμβαλόντας, καὶ ὑπερχεῖν μὴ δυνηθέντας, ἐγκαρτερεῖν ἔτι τῷ σκέμματι, μηδ' ἐπ' ἄλλοτι μεταβαίνειν, πρὶν εἰς πέρας ἀγαγεῖν ὡς οἷόν τε πειραθῆναι, τὸ σπουδαζόμενον. Καὶ διαλείπειν μὲν εἰ δέοι, ἐπιστρέφειν δὲ καὶ αὖθις ἐπιχειροῦντας τῷ αὐτῷ συντονώτερον. Πάντα δὲ δοῦλα τῇ ἐπιμελείᾳ γίγνεται. Ὅ, τε χρόνος (1) μετὰ τοῦ ἐπιμένειν, εἰς φῶς τέως ἐξάγει λανθάνον τὸ ἀληθὲς, ὅπερ ἐκλάμψαν ἤδη, παρεκτὸς τῆς ὠφελείας, καὶ ἀμύθητόν τινα τὴν ἡδονὴν τῷ θηρασαμένῳ μνηστεύεται. (2).

§. ζ'. Ἀλλ' ἔστι δήτις καὶ ἄλλη παρὰ τὰς ἐκτεθείσας ταύτας, ὡς ἀπὸ τοῦ Σώματος καὶ τῆς ἐκείνου πάντως διαπλάσεως, ἐμποιουμένη τῇ ψυχῇ καχεξία περὶ τὰς μαθήσεις διττή. Τούτων ἡ μὲν πρώτη ἐστὶ, τὸ μὴ πάντας ἐπίσης πρὸς ἅπαν εἶδος Ἐπιστήμης ἔχειν ἐπιτηδείως, ἄλλον δὲ πρὸς ἄλλην, ᾗπερ ἑκάστῳ τὸ λογιστικὸν διαφερούσης ἔλαχε ῥοπῆς τε καὶ δεξιότητος. Ὁ μὲν γὰρ πρὸς τὰς ἐξῃρημένας τῆς ὕλης θεωρίας ἄριστα φαίνεται παρεσκευασμένος, κἂν ἄλλως πρὸς τὴν τῆς ἐνύλου φύσεως ἔρευναν ἀποπεφυκώς· Ὁ δέτις τοὐναντίον εἰς φυσικῶν εὖ ἥκων θεωρημάτων ἐπίκρισιν, ἀφυὴς ἐλέγχεται ἠθικῶντε, καὶ πολιτικῶν δογμάτων ἁπτόμενος. Καὶ τῷ μὲν, αἱ Μαθηματικαὶ ἕξεις τὰ καλὰ ἐστὶ παιδικὰ, τῷ δὲ τυχὸν Ἱστορίας εἴδησις, ἢ ῥητορικῶν λόγων μελέτη, ἢ ποιημάτων ἄσκησις, καὶ ἄλλῳ ἄλλο

„Ἄλλος γὰρ τ' ἄλλοισιν ἀνὴρ ἐπὶ τέρπεται ἔργοις.

Εἰ

(1) „Διατὶ τὸν Κρόνον πατέρα „τῆς ἀληθείας νομίζουσι; πότερον „ὥσπερ ἔνιοι τῶν φιλοσόφων, χρόνον „οἴονται τὸν Κρόνον εἶναι, τὸ δὲ ἀλη„θὲς εὑρίσκει χρόνος; Πλούτ, ἐν Ῥωμαϊκ. Κεφαλ.

(2) „Χρόνῳ δὲ καὶ πόνῳ τ' ἀλη„θὲς ἐκλάμψει, ἀγαθοῦ παρατυχόν„τος βοηθοῦ. ... Καθάπερ οὖν ὁ τῆς „ἄγρας ἐρωτικὸς, ζητήσας, ἀνιχνεύ„σας, ἐρευνήσας, κυνοδρομήσας αἱρεῖ „τὸ θηρίον, οὕτω καὶ τ' ἀληθὲς γλυ„κύτι φαίνεται ζητηθὲν, καὶ πόνῳ „πορισθέν. Στρωμ. Βιβ. Α'.

Εἰ μὲν οὖν ἐφεῖτο ἑκάστῳ καθάπερ τοῖς αὐτονόμοις τῶν ζώων (1) αἱρεῖσθαι τὸ πρόσφορον, ἄριστ' ἂν εἶχε, καὶ γίνοιτ' ἂν πᾶς τις οὕτω τοῦ ἰδίου τέλους εὐπετῶς ἐγκρατής· Νῦν δὲ ἔξω τῆς προσφυοῦς καὶ ἁρμοζούσης νομῆς τῶν πλειόνων ἀναστρέφεσθαι ἐκβιαζομένων, οὐδὲν ἀπεικὸς συμβαίνει, μηδὲν, ἢ μὴ πάνυτι τοὺς πολλοὺς ἐπιδιδόναι, περὶ ἃ, τῆς Ἀθηνᾶς ἀκούσης, φασὶ, τὴν οὐ πρὸς τρόπου αὐτοῖς τελοῦσαν σπουδὴν μετίασι. Τούτου οὖν θεραπεία αὕτη καὶ μόνη, τὸ ἀπέχειν τοῦ βιάζεσθαι ῥοῦν ποταμοῦ, ἐκεῖνα δὲ μάλιστα ἐπιτηδεύειν αἱρεῖσθαι καὶ τῶν μαθημάτων, ὥσπερ καὶ τῶν τεχνῶν, οἷς ἡ ψυχὴ διαφερόντως ἐνήδεται. Ἡ δὲ δευτέρα ὧν περ ἔφην καχεξία κεῖται ἐν τῷ, περὶ ἐκεῖνα μάλιστα τὸ κριτικὸν τῆς ψυχῆς νεύειν ἀείποτε πεφυκέναι, οἷς περ συμπαθεῖπως τὸ σῶμα ὃ περιβέβληται, ἀπονεύειν δὲ, ἀφ' ὧν ἐκεῖνο ἀντιπαθοῦν ἀποστρέφεται, συναρπαζούσης δηλονότι τὰ πολλὰ τὴν κρίσιν τῆς ἐπικλίσεως. Οἷον ἐγκρίνειν μὲν εἰκὸς εἶναι φασὶ, τὸν αἵματι πλεονάζοντα τὰ πρὸς ἡδονὴν, ἀσπάζεσθαι δὲ τὸν χολερικὸν τὰ πρόξενα κλέους, χολῆς δὲ τῆς μελαίνης ἐπικρατούσης, τὰ πρὸς χρηματισμὸν αἱρεῖσθαι, καὶ κτῆσιν. Καὶ προσεκτέον ἄρα ἐπιμελῶς, περὶ τὰς κρίσεις, μήτιγε τοιοῦτον ὑφέρπον πάθος, πρὸς τὸ μὴ εὔλογον ἀντιπεριέλκει τὸν κρίνοντα. Ἀλλὰ περὶ τῆς ὡς ἐκ τῶν παθῶν διαστροφῆς τῶν Κρίσεων κατωτέρω.

§. η'. Ἣν δὲ δευτέραν οἷον Ἀρχὴν λογικῆς ὑπετιθέμεθα καχεξίας, τὴν ἐκ τῶν διαγνωστικῶν Δυνάμεων, ἐπὶ ταύτην ὁ λόγος χωρεῖ. Δυνάμεις δι' ὧν κατὰ γνῶσιν ἐνεργεῖν πεφύκαμεν οὐδενὶ ἄδηλοι εἰσὶν Αἴσθησις, καὶ Φαντασία, καὶ Μνήμη, καὶ Νοῦς. Αἰσθήσει μὲν γὰρ τῶν σωματικῶν παρόντων, διάτινος τῶν Αἰσθητηρίων κινηθέντος ὁπωσοῦν, ἀντιλαμβανόμεθα. Φαντασίᾳ δὲ καὶ τὰ ἀπόντα ἀνατυπούμεθα. Μνήμῃ δὲ τὰ πρὶν ἄλλοτε νοηθέντα ἀναπεμπαζόμεθα. Νοῦν δὲ ἐπὶ τοῦ παρόντος λέγω, τὴν διὰ πασῶν τῶν εἰρημένων ἐφεστῶσαντε

(1) „Ἐπεὶ δὲ ὥσπερ ἐν ταῖς νο„μαῖς ἡ μὲν μέλιττα διώκει τὸ ἄν„θος, ἡ δὲ Αἴξ τὸν θαλλὸν, ἡ δὲ ὗς „τὴν ῥίζαν, ἄλλα δὲ ζῶα τὰ σπέρ„ματα καὶ τὸν καρπὸν, οὕτως ἐν ταῖς „ἀναγνώσεσιν. ... ὁ μὲν ἀπανθίζεται „τὴν ἱστορίαν, ὁ δὲ ἐμφύεται τῷ κάλ„λει, καὶ τῇ κατασκευῇ τῶν ὀνομά„των ... οἱ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται. Πλούτ. πῶς χρὴ τῶν ποιημ. ἀκούειν.

σαντε ἀεὶ, καὶ ἐνεργῆσαν, τῆς ψυχῆς δυνάμιν, καὶ παρὰ ταῦτα, καὶ τῶν καθαρωτέρων, καὶ ἀνόλ υλικῶν ἀνατυπώσεων, εἰλικρινεῖς τὰς ἐννοίας προβαλλομένιω, καὶ περὶ αὐτὰς κρίνεσάντε ἄλλοτε ἄλλως καὶ διανοεμένιω· ὃν Λόγον ψυχῆς ὀνομάζειν εἰώθαμεν, καθ' ὅντε μάλισα τῶν ἄλλων ζώων ἄνθρωποι διαφέρομεν. Τέτων ἓν ἑκάσιω τῶν Δυνάμεων εἰ μέρει ἀνασκοπέμενοι, πρῶτον μὲν τὸ τῶν Αἰσθήσεων χωρίον. πολύχεν εἰς ἀπάτιω ὁρίσκομεν καὶ πολυφορώτατον. Αὗται γὰρ ἀπὸ τῶν νοητῶν ἀφέλκεσαι τιὼ διάνοιαν, ἐπὶ τὰ μάλισα κινῆντα αὐτὰς ἀντιπεριάγεσι, καὶ τοῖς ἐνύλοις ὑποβρύχιον οἷον ἐγκαταδύεσαι, μόλις ποτὲ ὑπερκύψαι αὐτῇ ἐνδιδόασι, καὶ ἐπὶ τὰ αὐλώτερα μεταρθῆναι. Εἰ γὰρ ὀλίγα τιὼ Αἴσθησιν κινῆσιν (1) οἱ πλεῖσα τῇ διανοίᾳ χρώμενοι, ἢ τὲς ἀμέτρως ταῖς αἰσθήσεσι καταχρωμένες, ὀλίγισα πάνυ τιὼ διάνοιαν κινεῖσθαι εἰκός. Εἶτα ἴδοις δ' ἂν τὲς ἕτω τιὼ ψυχιὼ διεφθορότας, ἐκ φαύλης συνηθείας, μηδὲν ἄλλο οἰομένες εἶναι, ἢ ἃ ἂν δυώνται ἁπ' ἔ τῶν χερῶν λαβέσθαι, ὡς ὁ Πλάτων φησὶν (2), ἀμυήτες τέτες ἀποκαλῶν. Οἷον βεβήλες τινὰς, καὶ εἰς φιλοσοφίαν ἀτελέσες, ὡς αὖ τῇ ψυχῇ πανταχόθεν τὸν ἐκ τῆς ὕλης γράσον ἀπόζοντας. Τὸ τοίνιω δεινὸν ἐξιᾶσθαι πειρωμένοις, ἐθιστέον τὰς αἰσθήσεις ἀτρεμεῖν συνεχῶς, καὶ ὑποχωρεῖν αὖθα ἂν δέησοι (3), καὶ αὖ μέσῳ τῶν θορύβων ἀσκεμένες, αὐτοῖς προσέχειν ἀπερισπάσως τοῖς τῆ Νῆ καθαρωτέροις διανοήμασιν. (4). Ἔπειτα δὲ, ἐ δὲ ἡγεῖσθαι εὔλογον, ἔτε ἀναγκαῖον, σωματικὰ τὰ πάντα τυγχάνειν, καὶ μηδὲ ἀνυφεσᾶναι τοῖς ἔσιν ὅ, τι μὴ ἔνυλον. Ἀλλ' ἡ μὲν ὑγιαίνεσα Φιλοσοφία, καὶ ἀσίας ἄλλας ὑπάρχειν παρὰ τὰ σώματα, ἀΰλες, ἀμερεῖς, ἀδιαχηματίσες, οἱασῆν παχύτητος πάντῃ πάντως ὑπεριδρυμένας, αὖ οἰκείῳ τόπῳ

(1) Πλάτ. ἐν τῷ περὶ τᾶ ἀκέεν.

(2) „Οἱ ἐδὲν ἄλλο οἰόμενοι, ἢ ἕ „ἂν δύνωνται ἁπριξ τοῖν χερροῖν λα„βέσθαι. Πράξας δὲ, καὶ γενέσεις, „καὶ πᾶν τὸ ἀόρατον, ἐκ ἀποδεχόμε„νοι ὡς ἐν ἀσίας μέρα. Πλάτ. ἐν Θεαιτήτ.

(3) „Ἀλλὰ τᾶτο ἐσὶν ὡς ἔοικε πολ„λᾶ ἄξιον τὸ μάθημα, καὶ δίδαγμα, „τὸ τὴν ψυχὴν ἐθίζειν ἔπεσθαι τῷ λό„γῳ, καὶ μὴ ἐπ' ἄλλα τρέπεσθαι, ἢ „τὰ προκείμενα καὶ δοκῆντα ὀρθῶς ἔ„χειν. Δίων ὁ Χρυσός. περὶ ἀνακωρήσ.

(4) „Δεῖ τὴν ψυχὴν ἐθίζεσθαι τὰ „δέοντα πράτειν, καὶ διανοᾶσθαι παν„ταχᾶτε, καὶ ἐν ἅπαντι θορύβῳ, καὶ „ἐν ἁπάσῃ ἡσυχίᾳ. Αὐτ. αὐτ.

τόπῳ λόγοις ἀθενέσι κατασκοάζει· ἡμῖν δὲ καὶ πρὸ ἐκείνων, τὰς ἐν ἡμῖν δυνάμεις, τὴν μὲν νοερῶς ἀντιληπτικὴν ἔσαν τῆ ἀληθῆς, τὴν δὲ βελτικῶς ὀρεκτικὴν τῆ ἀγαθῆ, ἀγνοεῖν μηδαμῶς δυναμένοις, ἐκ ἐν εἰκόσι σωματικαῖς, ἀδὲ τοῖς ἐκ τῆς φαντασίας ἰνδάλμασι τὰ τοιαῦτα τῶν ὄντων ἀνατυπωτέον (ὅπερ ὑπὸ ἀμαθίας, ἢ μᾶλλον ἀλογίας τε καὶ ἀβηθείας οἱ πολλοὶ πάσχοντες, τὰς μὲν Ἀγγέλες, ὅσπερ ἀκάκους, δίκην νεανίσκων, βρεφυλίων δὲ, ἢ νεανίδων τὰς ψυχὰς, παρὰ τὴν τῶν πραγμάτων φύσιν ἑαυτοῖς ἐξεικονίζειν ἐπείγονται)· ἀλλ' ἐν ἁπλουστάτοις, καὶ ἀχραάντοις, καὶ καθαρωτάτοις νοήμασιν αὐτῶν θικτέον. Ὥσπερ γὰρ σωματικῶς τὰ σωματικὰ φαντάζεθαι δέον, ἕτω δὴ καὶ ἀσωμάτως εὐλογον νοεῖν τὰ ἀσώματα. (1). Ἐπὶ δὲ τῆς ἕτω νοεῖν πεφυκείας φύσεως, καὶ ταύτῃ θέλειν, ἀδ' ἄντις πάνυ πολὺ βελληθείη, σωματικόντι πάθος ἐννοῆσαι οἷος ἂν εἴη ὅλως, ἀδ' ἐπιπλάσαθαι.

§. θ'. Ἔτι αἱ Αἰθήσεις, ὡς δι' ὀργάνων Σωματικῶν, καὶ ἐκ ἄλλως ἐνεργεῖν πεφυκεῖαι, τῆτε ὕλῃ συνδιατιθέμεναι καὶ παντοίως ἐξαλλοιόμεναι, σφαλερωτάτας (εἴτις αὐταῖς μέναις προσέχοι), καὶ τὰς ἐπὶ τῶν αἰθητῶν αὐτῶν ἐχ ἥκιστα κρίσεις ἐκφέρειν παραίτιοι καθίσανται τῇ ψυχῇ. Ταύτητοι τὰ μὲν τοῖς πᾶσιν, ἄλλως ἢ καθ' ἑαυτὰ ἔχει τὰ πράγματα, πάρεσι κρίνειν, αἰθήσει πιςόεσιν· οἷον ἀκινητέντα πολλάκις ὁρῶσι τὰ κινέμενα, καὶ ἀνάπαλιν. Καὶ μεγέθει δὲ, καὶ χήματι διαφέροντα· Τὰ δ' ἄλλοις ἄλλως. Οὐ γὰρ ὡς ἠδέος ἐκεῖνος, ἀηδὲς περ ἕτος ἤθετο τῆ αὐτῆ. Τὰ δὲ καὶ τοῖς αὐτοῖς ἄλλοτε ἄλλως. Οἷον εἰσιέσιν εἰς βαλανεῖον, θερμὸν ἀθὺς ἐν τῇ παρασκάδι δόξει τὸ περιέχον, ψυχρὸν δὲ τὸ αὐτὸ τοῖς αὐτοῖς, μικρὸν ὕστερον ἐξερχομένοις. Παράγεσι δὲ τῆ ἀληθῆς αἱ αἰθήσεις καὶ πολλαχῶς ἄλλως, εἰ μήτις κατὰ τὸ δέον

(1) „Λέγω ἓν ὅτι πᾶσα ψευδὴς δό-„ξα ἐκ φαντασίας τὴν ἀρχὴν ἔχει. „Ἐπειδὴ γὰρ τὰς τύπκς τῶν αἰθητῶν „ἐν αὐτῇ φυλάττομεν, ὁπηνίκα πε-„ρὶ τῶν νοητῶν, καὶ λόγῳ θεωρητῶν „διασκέψασθαί τι βελόμεθα, περὶ ὧν „αἱ Ἀποδείξεις, παρεμπίπτσα αὐτῇ, „ὡς καὶ ὁ Πλάτων φησὶ, ταράττα τὰς „μὴ παιδευθέντας αὐτὴν τῶν λογικῶν „ἐνεργειῶν διακρίνειν, τὰ τοῖς αἰθητοῖς „ὑπάρχοντα, καὶ τοῖς νοητοῖς περιά-„πτσα· οἷον εἰ τύχοι τοῖς ἀσωμάτοις „μορφὴν, καὶ σχῆμα, καὶ ὄγκον, τοῖς „ἐξ ἀφαιρέσεως ἄδεσι, καὶ ὕλην πάν-„των ὑποβάλλεσα. Φιλόπον. ἐν Προ-οιμ. τῆ Α'. τῶν Προτ. Ἀναλυτ.

δέον αὐτοῖς χρώμενος, ἀδιάπταιστα ὡς οἷόντε καὶ βέβαια ἑαυτῷ προσέχοι ποιεῖν τὰ αἰσθήματα. Τοιγαρῦν ὅρους τινὰς πρὸς αἰσθήσεων ἀσφάλειαν ὑποθέσθαι ἔγνωσαν οἱ Φιλοσοφήσαντες, ὃς εἰκὸς μὲν παραιθάνεσθαι τὰ πολλὰ τὸς ἀθετοῦντας, ἀδεῶς δὲ καὶ ἀνυπόπτως τῇ αἰσθήσει χρῆσθαι, τὸς φυλάσσοντας. Ὅροι δὲ εἰσὶν οἱ ἑξῆς.

Α'. Ἐὰν ἡ Αἴσθησις ἐρρωμένον ἔχῃ τὸ Αἰσθητήριον. Τοῦτο δὲ ἐστὶ τὸ ὄργανον δι' οὗ ἐνεργεῖ· οἷον ἐστὶν, ὄψεως μὲν ὀφθαλμὸς, ἀκοῆς δὲ ὦς, καὶ ἑκάστης τὸ ἴδιον· εἰ γὰρ διέφθαρται, καὶ κακῶς τοῦτο πάσχει, φανερὸν ὅτι παρὰ φύσιν κἀκείνη διατεθείσεται.

Β'. Δὲ ἐὰν σὺ διασήματι μὴ πέρα τοῦ μετρίου γινομένῳ ἅπτοιτο τοῦ αἰσθητοῦ, τῷ μηδὲ ὑπερβάλλοντι δηλονότι, μηδ' ἐλλείποντι· οἷον εἰ μὴ πάνυ ἐγγύθεν ἡ ὄψις ὁρᾶν ἐκβιάζοιτο, ὥστε τῷ ὁρατῷ πως συνάπτεσθαι τὸν ὀφθαλμὸν, καὶ τότε θίγειν· ἀλλ' εὖ ἐκτόπως πόρρωθεν.

Γ'. Ἐὰν καὶ τὸ μέσον, (ἐφ' ὧν ἀναγκαῖον πρὸς αἴσθησιν) καταλλήλωστε ἔχῃ, καὶ προσφυῶς· οἷον ἐπὶ ὁράσεως καὶ ὀσφρήσεως καὶ ἀκοῆς, ὁ καθαρὸς ἀὴρ εἶναι τίθεται.

Δ'. Ἐὰν καὶ διὰ τῶν μηχανικῶν ὀργάνων ἀμβλυτέρου ποτε διακείμενον τὸ φυσικὸν ἐπιβοηθῆται ὄργανον, καὶ ἐνισχύηται, οἷα μάλιστα τῷ ὀφθαλμῷ ὁ χρόνος εὗρε, διοπτηρίων εἴδη παντοῖα, τῇ ἐκείνου διαπλάσει ἀνάλογον ἐξειργασμένα, τηλεσκοπιά τε καὶ μικροσκοπια, τὰ μὲν εἰς ὄψιν τῶν πορρωτάτω ἀφεστώτων, τὰ δὲ τῶν διὰ σμικρότητα ταύτης τιλὼ ἀκμιλὼ διαφυγόντων, ἐ μικρὸν συμβαλλόμενα.

Ε'. Δὲ καὶ εἰ τιλὼ παρὰ τῶν λοιπῶν ἑκάστη συμπαραλαμβάνοι ἐπικρίσιν αἰσθήσεων· Ἐπειδὴ γὰρ ἐ μίαν καὶ μόνιν τῶν Σωμάτων ἔκαστον, πλείονας δὲ τῶν αἰσθήσεων πέφυκε κινεῖν τὸ αὐτὸ, δι' ἄλλης καὶ ἄλλης δυνάμεως ὧν ἠμοίρησε, μέγιστον ἂν εἴη πρὸς ἐπίκρισιν τοῦ αἰσθητοῦ, εἰ πολλαὶ περὶ τοῦ αὐτοῦ αἰσθήσεις ὁμολογοῖεν. Τοῦθ' ὅ τοῖς Βοτανολόγοις ἐν ἔθει ἐστὶ, καὶ οἷς τὰ εἰς Φαρμακείαν Εἴδη πρόκειται πολυπραγμονεῖν. Παντοίως γὰρ περιαθρήσαντες, καὶ ὁσμῶνται τούτων, καὶ ἅψῃ πιέζουσι, καὶ τῇ γλώττῃ τὰ πολλὰ θίγουσι.

ς'. Ἐὰν ἑκάστης τῶν Αἰσθήσεων περὶ τὸ ἴδιον ἀναφερομένης καὶ μὴ περὶ τὰ ἀλλότρια (ἐ δὲ γὰρ ὀνήσειέ τι περὶ ἃ ἐ πέφυκε) μὴ συναρπάζοιτο ἡ ψυχὴ, ἐξ ἑτέρας διατεθείσης, τιλὼ

τὴν ἑτέρας διάθεσιν τεκμηριῶσα. Οἷον ὅτι γλυκὺ φέρε, τὸ ὁρώμενον ψιμμίθιον, ὅτι καὶ λευκὸν κατὰ τὸ Σάκχαρον. Ἴδιον δὲ, ἣ πάντες ἴσασιν, ὄψεως μὲν πρὸς χρώματα ἔχειν, ἀκοῆς δὲ πρὸς ἤχους, γεύσεως δὲ πρὸς χυμοὺς, ὀσφρήσεως δὲ πρὸς ὀσμάς. Ἀφῆς δὲ πρὸς θερμάτε καὶ ψυχρὰ, τραχέατε καὶ λεῖα, σκληράτε καὶ ἀπαλὰ, καὶ τ' ἄλλα, ὅσα τῆς ἁπτικῆς ἐστὶ κρίνειν δυνάμεως. Καίτοι καὶ ἄττα κοινάπως ἐστὶ τῇ κρίσει πλειόνων καθυπαγόμενα· οἷον κίνησις, καὶ ἠρεμία, καὶ σχῆμα, καὶ μέγεθος, τὰ μηδὲ αὐτὰ ὑπεξαιρετέα, τῆς ἀντιληπτικῆς τῶν, αἷς ἂν ἐν τῷ μέρει προσιδιάζοι, αἰσθήσεων ἐπικρίσεως. Κἂν τούτοις ἄρα κατὰ τὸ παρεῖκον σωζομένοις, ἀνεπίληπτον τυγχάνον τὸ αἴσθημα, καὶ πάντῃ ἀδιάπταιστον, ἁπάσης ὡς εἰκὸς ἀφορμῆς εἰς ἀπορίαν, καὶ ἐξαπάτης ὑπόνοιαν ὑπερήδρασται. (1).

§. ι'. Καὶ τοῦτο δὲ ἐπὶ τοῖς εἰρημένοις παρατηρεῖν ἐπιμελῶς ὡς οἷόντε δεῖ, τὸ μὴ πλέον τοῦ καθήκοντος τῇ αἰσθητικῇ δυνάμει, κατὰ τὰς περὶ τῶν πραγμάτων κρίσεις, χωρεῖν ἐφιέναι. Εἰσὶ γὰρ οἱ, ἐξ ὧν ὑπὸ τῶν ἐκτὸς σωμάτων ἀλλοιοῦται σφίσι τὰ αἰσθητήρια, αὐτῶν τῇ καταλήψει τῶν ἐνδοτάτω τῆς οὐσίας ἀπρὶξ ἔχεσθαι δοκοῦντες, πάνυ εὐήθως, κἀντεῦθεν τὰ αὐτοῖς συμβαίνοντα πάθη, ἐπὶ τὰς ποιητικὰς τούτων δυνάμεις ἀνάγοντες, τὰς ἐν τοῖς σώμασιν, ἀφ' ὧν αὐτὰ διεγείρεται. Ἀφεκτέον οὖν καὶ τῆς δε τῆς ἀφιλοσόφου φρεναπάτης. Καὶ μὲν δὴ ποιῶς πως τὰ ἐν ἡμῖν ὄργανα ὑπὸ τῶν αἰσθητῶν διατίθεσθαι, τοῦτο δὲ εἶναι τὸ ὁρᾷν, τὸ ἀκούειν, τὸ ὀσφραίνεσθαι, ἁπλῶς τὸ αἰσθάνεσθαι, ὁμολογητέον: Ἐνεῖναι δὲ τοῖς κατὰ τὰς ὁράσεις, φέρ' εἰπεῖν, χρώμασι, καὶ ταῖς κατάγε τὰς ὀσφράνσεις ὀσμαῖς, ἢ ὅλως τῶν τοιούτων τισὶν, οἷς διατιθέμεθάπως αἰσθανόμενοι, παραπλήσι' ἄττα ἐν αὐτοῖς τοῖς σώμασι, τοῖς ὁρατοῖς τε, καὶ ὀσφραντοῖς, καὶ ἁπλῶς αἰσθητοῖς, ἥκιστα πιστευτέον. Συνελόντι δὲ φᾶναι, τῶν ἐν ἡμῖν παθῶν, τὰς ἐπὶ τῶν περὶ ἡμᾶς σωμάτων παθητικὰς καλουμένας δυνάμεις τε καὶ ποιότητας, τῷ παντὶ διαφορω-

(1) „Ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, καὶ „τῶν ἐῤῥωμένων τὰς αἰσθήσεις ἀδύνα„τον παραισθάνεσθαι. (Σιμπλίκ. εἰς „τὸ Ἐπικτ. Ἐγχειρίδι. Κεφ. α.) οὕτως ἔχει καὶ ἐπὶ τῶν λογισμῷ ληπτῶν. Αἰτεῖται οὖν τῶν ἡμῖν ἀπηριθμημένων τὰ Δύο, τὸ Α'. δηλονότι, καὶ τὸ ς'. εἰς ὀρθὴν αἴσθησιν.

φορωτάτας εἶναι νομιστέον. Ἢ τὶς ἂν εὖ φρονῶν, τῷ ἔπερ ἤθηται ἄλγει τρωθεὶς, παραπλησίοντι τῇ νυξάσῃ ἀκάνθῃ ἀναθείῃ ποτέ; ἢ τῇ Σκαμμωνίᾳ φέρε, ἢ τῷ πεπέρει, ὁμοιόντι πάθος προσεῖναι φάιη, οἷα οἱ ἀμέτρως ἐμφαγόντες, τῆς μὲν, κατὰ τὶω κάτω κοιλίαν, τὸ δὲ, κατὰ τὶω κύστιν λυόμενοι, πάσχσιν; Οὐκᾶν ἐδὲ τῷ πυρὶ προσεῖναι ῥητέον, ἐδὲ τῇ χιόνι (τοῦτο δὴ τὸ τοῖς ἀπαιδεύτοις παράλογον ἀκοῦσαι, καὶ καταγέλαστον·) ταῖς ἅς κατ' αἴσθησιν ἡμῖν αὐτὰ ἐμποιοῦσι, τὸ μὲν θέρμης, ἡ δὲ ψύχος, παραπλησίαν τινὰ διάθεσιν. Τῆς μὲν ἓν αἰσθήσεως οἷον τὸ Εἰσαγγελέως πληρώσης ἔργον, ἑδὸν πλέον ἐσὶν, ἢ τὰς ἐμποιουμένας ὑπὸ τῶν ἐκτὸς Σωμάτων τῷ Αἰθητηρίῳ προσβολὰς, τῇ ψυχῇ ἐξαγγέλλειν· τὰς δὲ τούτων ἐνδοτέρας λόγος, καίγε τὶω ἐσίαν αὐτὶω, ἢ τὶω δύναμιν τὸ ἐνεργοῦντος ἀνακρίνειν τε, καὶ ϛαθμᾶσθαι, δυνάμεως ἑτέρας ἂν εἴη, πολλῷ διαβατικωτέρας καὶ κρείττονος.

§. ια'. Τελευταῖον δὲ, καὶ τῆς τῶν Αἰσθήσεων παντάδος τὸ ὀλιγάριθμον, ἀπαιδεύτους ἡμᾶς περὶ πάνυ πολλὰ τυχὸν ἀναδείκνυσι, καὶ τῶν πλειόνων ἐν ἀγνοίᾳ παντελεῖ καταλείπει, ὧν ἐδέποτ' ἄν, ἐδὲ μιᾷ μηχανῇ τὶω κατάληψιν χοίημεν. Εἰ γὰρ τὸν ὀφθαλμῶν μηδέποτε δύμοιρήσαντά, τὰς ὁρατικὰς τῶν ποιοτήτων δὶ ὅλε τὸ βίε ἐπάναγκες ἀγνοεῖν· Καὶ ἔτις δὲ ἀπὸ γενετῆς κωφῶν γένοιτο τὰς ἀκουστικὰς, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, πῶς ἐκ εἰκὸς, καὶ ἔτινες τοῖς ὄσιν, ἔνεισι δυνάμεις ἄλλαι, μηδεμίαν τῶν πάντε τούτων, ὧνπερ ἐλάχομεν, οἵαιτε ἔσαι κινεῖν αἰσθήσεων, ταύτας ἡμᾶς ὅλως διαλανθάνειν; Εἰκὸς μὲν ἓν· μᾶλλον δὲ καὶ ἀναγκαῖον. Ἐνθεντοι καὶ πολλὰ εἴδη ἀνασκοπῶντι τῶν ζώων, θαυμασῶς ἐκ οἶδ' ὅττα Φύσιν ἔχοντα κρίνειν (1), ὧν ἄνθρωπος, τὸ δριμύτατον τῶν ζώων, τὸ παράπαν ἐχ ἅπτεται, ὑπόνοια μοὶ ὑπεισέρχεται ἐ κάφη οἱμαιτις, ἐδὲ κομιδῇ ἄλογος, μὴ ἄρα τινὸς καὶ ἄλλης, παρὰ τὰς πέντε τάς δε τὰς γνωριμωτάτας, αἰσθήσεως τινὰ τῶν ζώων ἠμοίρησε, καθ' ἣν ἂν ἐπιγινώσκειντε ἔχοι ῥαδίως, καὶ θηρᾶσθαι ἑτοίμως τὰ σφίσι πρόσφορα. Ἢ τὶ γὰρ κωλύει, ὥσπερ δήτισιν ἐλάττονας τῶν πάντε αἰσθήσεις ἡ Φύσις ἀπεκλήρωσεν, ἕτως εἶναι καὶ τὰ πλείο-

(1) Μέτιθι τὸ Πλουτάρχ. Βίβλ. περὶ τῦ πότερα τῶν ζώων ἐσὶ φρονιμώτ.

πλείοσίτε, καὶ ἑτεροειδέσιν αἰσθήσεσι διαφέροντα; Ἀλλὰ γὰρ ἔπος εἴπερ λέλεκται τόδε ἄπιξον, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι. (1) Ἡμῖν δὲ τοῦτο γοῦν καὶ πάνυ ὁμολογητέον, ὀλιγίστας τῶν παμπόλλων, καὶ μονονουχὶ ἀπείρων τῷ πλήθει, δήλας τυγχάνειν σωματικῶν ποιοτήτων τε καὶ δυνάμεων· Ὅσας ἴσως εἰδέναι τε καὶ κρίναι δυναμένοις, τὸν ζωτικὸν ἔλκειν ἤρκεσε βίον, τόνγε ἡμῖν προσήκοντα· τὰς δ' ἔτι πλείας πάντῃ ἀγνοεῖσθαι, καὶ μηδ' ἐλπίδα, τῷ ποτὲ ταύτας ἀνακαλύψειν, ἐναπολείπεσθαι. Οὕτω δὲ φρονοῦντας καὶ κατὰ τὰς κρίσεις μετρίως φέρεσθαι δίκαιον, καὶ προσεκτικῶς, ἐ μόνον περὶ τῶν ὁσιῶν δηλονότι, ἀλλὰ καὶ περὶ τῶν ἐπιθεωρεμένων τοῖς ὁσίοις παθῶν, ἀποφαίνεσθαι μέλλοντας.

§. ιβ'. Ἡ δὲ φαντασία ψόφων τινῶν δημιουργὸς γινομένη καὶ πλάσις, καὶ τὰ μὲν ὄντα ἐξαλλοιοῦσατε καὶ μεταχηματίζουσα, τὰ δὲ μηδὲ φύσιν ἔχοντα εἶναι ἀναπλάττουσα πολλάκις, δύναμίς τις ἐστὶ καὶ αὐτὴ ἀκροσφαλὴς ἡμῖν εἰς ἀπάτην, ἐκ ὄναρ μόνον, ἀλλὰ καὶ ὕπαρ ἀποβεκολοῦσα χεττλίως τῶν ἀνθρώπων πολλούς. Καὶ μάλιστα οἷς ἀκμαιότερος μὲν παρὰ τὸν ὀργανισμὸν ὁ ἐγκέφαλος, ὑπαθέστερον δὲ τὸ Κεάριον· ἐξ ἀφθονωτέρου τε, καὶ πρὸς κίνησιν ὀξυτέρου τοῦ πνεύματος, σφοδροτέρας τὰς προσβολὰς ὑφισάμενον. Τῇ γὰρ τῶν ἔτω πεφυκότων φανταστικῇ δυνάμει, ζωηρόταται ἐγκαταγραφόμεναι τὰ Ἰνδάλματα, τοῖς αἰσθήμασιν αὐτοῖς, κατὰ

(1) Ἀριστοτέλης μὲν ἓν, καίτοι τὸ πεντάριθμον τῶν αἰσθήσεων εἰσηγούμενος, δῆλος ἐστὶν ὑπαμφισβητῶν, μὴ δὲ πάντῃ διατεινόμενος, ἀλλὰ τὸ φαινόμενον λέγων. Ἐν οἷς φησὶν, Εἰσὶ δὲ πλεῖσαι, καὶ, παρ' ἃς ἴδιος ἐδεμία φαίνεται ἑτέρα, πέντε τὸν ἀριθμόν. (Περὶ ζώων Ἱστορ. Βιβ. Δ'. Κεφ. ἡ.). Καὶ ἔχοι μὲν ἂν ὁ πανδεινὴς Θεὸς, φύσιν ἄλλην δημιουργῆσαι, δι' ἄλλων τινῶν διαφερόντων αἰσθητηρίων τὰς τῶν ὄντων ἐπιδεχομένην ἰδέας, ἢ καὶ διὰ πλεόνων, ἢ κατὰ τὰς κοινῇ πέντε ταύτας ἡμῖν ἐπαρτισμένας αἰσθήσεις. Αὐτοὶ γεμὴν ἐκ ἂν ἄλλων τινῶν ποιοτήτων, ἐδεμιᾷ μηχανῇ αἰσθοίμεθα ἄν, ἧπερ ἔχοντες ἐσμὲν, εἰμὴ χρωμάτων, ἤχων, χυμῶν, ὀσμῶν, καὶ τῶν τῆς ἁφῆς λεγομένων. Διὰ τὸν αὐτὸν δὲ λόγον, καὶ εἰ τεσσάρων μόνων αἰσθήσεων ἄνθρωπος ἔλαχεν, ἠγνόησεν ἂν τὰς τῆς πέμπτης ποιότητας, ἥσπερ ἂν ἀμοιρήσειεν. Ὥσπερ ἐπὶ τοῦ παρόντος ἀγνοεῖ, ὡς τυχὸν δὲ ἕκτης ἄλλης, ἧς ἂν τύχοι, περιποιήσαιτο, ἢ καὶ ἑβδόμης, ἢ καὶ ὀγδόης· ὡς δυνατόν τε εἶναι ἐν τῇ φύσει, καὶ τάχα δήπου, καίτοι τῶν ἐν τῷ παντὶ ὑφεστώτων εἰδῶν καὶ προσάσας, ἐκ ἄντις ἄνευ θρασύτητος ἔξαρνος γένοιτο. Λώκ. ἐν τῷ περὶ τοῦ Νοῦ. Βιβλ. Β'. Κεφ. β'. §. 3.

κατὰ τὸ ἀκριβὲς τῆς ἐμφάσεως, ἐφάμιλλα γίνεται. Ὡς εἴγε τοῖς τοιούτοις ἄλλως, καὶ τὸ, ἐξ εὐηθείας τε καὶ κουφότητος θράσος προσείη, καὶ τὸ εἰς συγκατάθεσιν δίχα κρίσεως ἕτοιμον καὶ προπετὲς, οὐδὲν ἀποδεήσει τοῦ μὴ αὐτόχρημα αἰσθήσεις ἡγεῖσθαι τὰς φαντασιώδεις αὐτῶν ἀνατυπώσεις, μηδὲ φανητιᾷν ἐκ τοῦ ῥάστου, Ἀποκαλύψεις οὐκ οἶδ' ἅς τινας, καὶ ὀπτασίας θεᾶσθαι ὑπερφυῶς τερατευομένους, καὶ ταύτας σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἄλλους πείθοντας. Ἐς οὖν τὰ μάλιστα συμφέρον ἂν εἴη τοὺς φαντασιοπλῆγας δὴ τούτους, περὶ τὰς ἀπηλλαγμένας τῆς ὕλης τῶν θεωριῶν, οἷον τὴν Ἀριθμητικὴν, καὶ τὰς παραπλησίας γυμναζομένους, τοῖς καθαρωτέροις τῶν νοημάτων συνεχῶς τε ἐπιβάλλειν, καὶ ἐπιμόνως ἐνδιατρίβειν προσεθίζεσθαι· τῶν δὲ ἐπιστημῶν πρὸς τὰς διὰ φαντασίας τὸ πλέον ἐγγινομένας, προκεκαθαρμένους ἤδη καὶ οἷον προτελεσθέντας ὅσον ἔδει, οὕτως εἰσάγεσθαι. Καὶ μὲν δὴ, καὶ ἀναγνωσμάτων, καὶ ἀκουσμάτων, καὶ θεαμάτων τοῖς τοιούτοις ἀφεκτέον, ὅσα σφοδρότερον τὸ φανταστικὸν πέφυκε κατασείειν· τὰ γὰρ ἐκ τούτων ἐγκαταλείμματα, τῆς ψυχῆς, ὡς ὑετὸν ἤδη κόμης ἀπομόρξασθαι, οὐ πάνυτοι ῥάδιον. Ἀφεκτέον δὲ καὶ σιτίων τῶν αἱματωδεστέρων, ἃ τὸ δεινὸν οὐκ ἔστιν εἰπεῖν ὅσον, προάγει, καὶ ἐπιῤῥώνυσιν.

§. ιγ'. Καὶ τοῦτο δὲ ἡμῖν ἔτι ὡς ἐκ τῆς φαντασίας ἀπαντᾷ δυσχερὲς, ὅτι δι' εἰκόνων τὰ περὶ ἡμᾶς, ἐξ ὧν μάλιστα κινούμεθα, ἐθισθέντες ἀνατυποῦσθαι, κινδυνεύομεν (ὃ καὶ περὶ αἰσθήσεως ἐλέγετο) κἀπὶ τῆς τῶν ἀσωμάτων διασκέψεως ἰνδάλματά τινα ἐπισφαλῶς ἀναπλάττειν, καὶ ἀλόγως πάνυ ἀνειδωλοποιεῖσθαι, καὶ ὧν ἡ φύσις πάσης ὑλικῆς περιπαθείας ἐξῄρηται. Οὕτως εἴδη ἀκούσας τις, καὶ ἰδέας, τὰς νοητικὰς τῶν πραγμάτων ἀντιλήψεις, καλουμένας ὑπὸ Ἀριστοτέλους, καὶ Πλάτωνος, καὶ κατ' ἐκεῖνον μὲν γραμματεῖον τὸν Νοῦν, κατὰ δὲ τοῦτον τὴν ψυχὴν τόπον Εἰδῶν, ἀτοπώτατα ἂν ὑπολάβοι κυριολεκτῆσαι διὰ τούτων τοὺς Ἄνδρας, ἐφ' οἷς σαφηνείας χάριν, ἔκτινος ἀναλογίας, διὰ τῶν γνωριμωτάτων προὔκειτο αὐτοῖς ἐνδεῖξαι τὰ ἀδηλότερα. Ἐκ δὲ τῆς αὐτῆς ἀρχῆς, πλεῖστα ἂν τοῦ ἀληθοῦς παράγοιτο, καὶ εἴτις, ὡς ἐν κατόπτρῳ κρίνοι τὰς τῶν νοουμένων ἐμφάσεις ἐν τῇ ψυχῇ γίγνεσθαι, ἢ ὡς ἐν κηρῷ, κατ' εἰσοχάς τινας καὶ ἐξοχὰς ἐνσφραγίζεσθαι τῷ Ἐγκεφάλῳ τὰ τῶν φανταστῶν ἐκμαγεῖα-

γεῖατε, καὶ τυπώματα. (1). Ἐπὶ τέτων ἓν καὶ τῶν παραπλησίων, τροπικώτερον εἰρῆθαι τὰ λεγόμενα ἰξέον, δι' ἔνδειαν κυριωτέρε ὀνόματος. Καὶ τῆς ἐκάτης ἀλογίας θετέον, τοῖς ἀν αὐλία τὸ εἶναι ἔχεσι τὰ τῶν ἐνύλων πάθη προσοικειῶν ἐθέλειν, παρ' ὃ πεφύκασι.

§. ιδ'. Ἀπαντᾷ δὲ καὶ τρίτον, ὡς ἐκ τῆς Φανταστικῆς δυνάμεως, ἀπάτης παραίτιον, ὅτι ἀτελεῖς πολλάκις, τὰς διὰ τῶν αἰσθήσεων ποτὲ προσληφθέντων, Φαντασίας ἐνδιασώζοντες, καὶ ἐκ δίκρινεῖς, ἀλλ' ἀμυδράς τινας, καὶ συγκεχυμένας, καὶ εἴθ' ὑπὸ χρόνε, εἴτε καὶ παρ' ἔλλειψιν προσοχῆς τε, καὶ τῆς ἀπαιτεμένης ἐπαναπολήσεως, ὑποῤῥυείσας τὸ πλέον, ἔπειτα ἀποτόμως ἐπικρίνειν ἐπιχειρᾶμεν τα πράγματα. Δεινὴ δὲ καὶ ἡ τυχᾶσα ὁμοιότης συναρπάσαι τὸν ὀλιγάρως ἔτω ταῖς ὑπὸ τῆς Φύσεως δοθείσαις δυνάμεσι καταχρώμενον.

§. ιε'. Καὶ τὸ τῆς Μνήμης δὲ (Φαντασίας τινὸς καὶ αὐτῆς ἔσης (2), εἰ τύχοι ἄτονον ὄν, καὶ ἧκισα ἐγον, μέγατι προσίσαται καὶ αὐτὸ εἰς τλιὼ τᾶ ἀληθᾶς θήραν ἐμπόδιον. Οὐδὲν γὰρ ὑγιὲς ἐσὶ διαλογίσαθαι μνήμης ἀπέσης. Οὐ γὰρ, εἰμὴ ἐξ ὧν ἐναποκειμένε ἤδη τῇ ψυχῇ Φέρομεν λόγων, περὶ ἕκασα κρίνειν πεφύκαμεν. Καὶ ἐκ τῶν τεθέντων δὲ εἰσβάλλομεν ἀείποτε τὰ τέτοις συμβαίνοντα. Ὡς εἴγε, τῆς μνήμης κατόχε μὴ ἔσης, ὑπεξερρύη ἐκεῖνα φθάσαντα, ἤτοι ἀχανεῖς μενᾶμεν, σωρᾶν μὴ ἔχοντες τὸ ἑπόμενον (ὅπερ ἐπὶ τῶν Συλλογισικῶν ἐφόδων, διεξοδικωτέρων μάλισα ἐσῶν, συμβαίνειν εἰκός)· ἢ, (ὅπερ ἐδὲν ἔλαττον εἰς ἀπαιδευσίαν), εἰσβαλεῖν εἰκῇ ἐπειγόμενοι, ἀνεπισημόνως γᾶν χωρήσομεν, κἂν μὴ εἰς ἀπάτλιν παρενεχθῶμεν. Τόγε μλὶ τῆς ἀπάτης πρόχειρον τοῖς ἀμνήμοσι· Διατᾶτο γὰρ καὶ γεγηρακότες εἰσὶν

(1) „Τὴν δὲ Φαντασίαν τύπωσιν ἐν „ψυχῇ; τᾶ ὀνόματος οἰκείως μετενη„νεγμένε, ἀπὸ τῶν τύπων ἐν τῷ κη„ρῷ ὑπὸ τᾶ δακτυλίε γινομένων.... „Οὐ γὰρ δεκτέον τὴν τύπωσιν, οἷονεὶ „τύπον σΦραγισῆρος. Ἐπεὶ ἀνένδεκτον „ἐσὶ πολλὰς τύπες κατὰ τὸ αὐτὸ, πε„ρὶ τὸ αὐτὸ γίνεθαι. Λαέρτ. ἐν βίον Ζήνωνος.

(2) Τὴν γὰρ κατοχὴν τῶν Φαντασμάτων, μνήμην Ἀριστοτέλης ἔΦησεν ὀνομάζεθαι, τὴν δ' ἀναπόλησιν τᾶτων ἀνάμνησιν. (Ἐν τῷ περὶ Μνήμ. καὶ Ἀναμν.). Ἐξ ἓ καὶ Ἰάμβλιχος κατοχὴν Φαντάσματος ἀπέδωκεν. Βιβλ. περὶ ψυχ.

ἀπάτητοι, ὅτι καὶ ἐπιλήσμονες γίνονται (1), καὶ ἀπαραλόγιστοι. Ἡδὲ τῆς μνήμης ἀπεσία διττή. Ἤτοι γὰρ τὸ ποτὲ κατατεθὲν, ἄρδην ἐξήλειπται, ὡς εἰ μηδὲ τλιὰ ἀρχλὼ ὅλως προείληπτο, τῆς ψυχῆς ἐδοπωσῶν συμβαλεῖν δυναμένης, ἀλλὰ καὶ παρισάμενον ἤδη νεωχμὸν ἔχειν δοκέσης· ἢ γᾶν ὑπέρχεται μὲν ἐναποκεῖσθαί τι τῷ νῷ τοῖον, ἢ τοῖον, ἐκ δ' ἑτοίμω δὲ πάρεσιν ἀνακληθέν· ὅτε καὶ τῆς ἀκμῆς τὸ καιρὸ παρελθέσης, περιττόν πως ἔσαι καὶ ἐπελθὸν. ὡς μὴ δ' ἐόντι παρασὰν, ἡνίκα δηλαδὴ καὶ πρὸργιαίτατον ἦν παρόντι προχρήσασθαι. Καὶ ἔοικε μὲν ἐκεῖνο χεῖρον, τὸ πρῶτον· Ἔσι δὲ ὅδὸν ἀνεκτότερον δ' ταῖς χρείαις τὸ πρῶτο τὸ δεύτερον. Προσίσαται δὲ εἰς ποριομὸν ἐπισήμης ἑξίσω ἑκάτερον, ἦν μνήμης μὲν ἄνδ λαβεῖν ἔχ οἷοντε, λήθης δ' ὑπεισιόσης ἀποβαλεῖν ἐπάναγκες. (2). Τᾶτο γάρ τοι καὶ ἡ ποίησις τλιὰ Μνημοσιώλω τῶν Μσῶν μητέρα (3) ἐσήμανεν ἐξυμνήσασα. Ἦν μὲν ἦν κατ' ἔφεσιν τῆς ψυχῆς ἐκπίπτειν μηδὲν, ὧν ἤδη ποτὲ τῇ γνώσει προείληφεν, ἔχειν δὲ αὐτιὰ ἐκ τᾶ ῥάσε, ὅ ἂν ἐθέλοι τῶν προειλημμενῶν ἀνακαλεῖν. Ἐπειδὴ δὲ τᾶτο δαιμονίας ἂν εἴη τινὸς, καὶ ὃ κατὰ τὸν ἐν τῷ βίω ἄνθρωπον, φύσεως, τυχὸν δὲ ἐδὲ πάντητε καὶ πάντως λυσιτελὲς, ἐπιμελεῖσθαι δὴ λοιπὸν τῆς μνήμης ὡς οἷοντε δι' ἀσκήσεως, τῷ Πυθαγορικῷ παραγγέλματι πειθομένες (4), τά, τε πλεῖσα τῶν ἐναποτεθησαυρισμένων τῇ ψυχῇ σπεδάζειν νεαρὰ σ' διασώζειν καὶ πρόσφατα, παντοίως ἀνακινᾶντας, καὶ λέγοντας συχνὰ, καὶ γράφοντας, καὶ καθ' ἑαυτὲς ἀναπολῶντας, καὶ

(1) Ἐνθεντοι καὶ Πλάτωνα ὀγδοήκοντα ἐτῶν ἤδη γενόμενον, καθ' ὃ τῆς ἡλικίας ἀπολελοίπει τὰ τῆς μνήμης αὐτὸν, ἐπιθέμενος Ἀριστοτέλης, καὶ ἐπιβαλεύων, καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιέμενος, καὶ παντοίως ἐνοχλῶν, παραχωρῆσαι πεποίηκε τᾷ Περιπάτκ, καὶ ἐν τῷ κήπῳ τῷ ἑαυτᾶ ἰδίᾳ φιλοσοφεῖν. Αἰλιαν. περὶ ποικίλ. Ἱσορ. Βιβ. Γ'. Κεφ. ιδ'.

(2) Διὸ Πλάτων Ἐξοδον ἐπισήμης τὴν λήθην ἔφασκεν εἶναι. (Ἐν Συμπ.) Ἀριστοτέλης δὲ Ἐπισήμης φθορὰν λήθην, καὶ ἀπάτην. (ἐν τῷ περὶ Μακροβ. καὶ βραχυβ.). Καὶ Σοφοκλῆς ἐν Συνδείπν. Λάθαν Πειρίδων συγεράν, ἐκάλεσεν.

(3) Αὕτη γὰρ ὥσπερ τῆς παιδείας ἐσὶ ταμεῖον, καὶ διὰ τᾶτο Μητέρα τῶν Μσῶν ἐμυθολόγησαν εἶναι τὴν Μνημοσύνην. Πλάτ. περὶ παιδ. Ἀγωγ.

(4) Οἱ Πυθαγόρειοι ἔχον τὸ μνήμην ἀσκεῖν, τᾶτο πρὸς Ἐπισήμην καὶ Φρόνησιν, ἔτι δὲ τῶν πάντων ἐμπειρίαν, τὸ δύνασθαι ποικὰ μνημονεύειν. Διόδωρ. Σικελ. Σελ. 243.

καὶ τοῖς ἄλλοις ἐπικοινωνοῦντας (1). Εἴτι οὖν καὶ ἀπὸ φαρμάκων (ἥτισι δοκεῖ) ἐλπίζειν ἐςὶ τῆς μνήμης ἐπιβοήθημα, ὡς ἄρα ἐκ τῆς τοῦ κέαρος ἐκείνου (2) ἐξηρτημένης συςάσεώς τε καὶ κράσεως, καὶ ταῖς τοῦ ὑποκειμένου μεταβολαῖς ἐφεπομένης καὶ ἀλλοιώσεσιν (3), αὐτὸς μὲν οὐκ ἔχω εἰδέναι· Ἀλλ' ἐγ' ᾦδα τοῦτο κἀξεπίςαμαι καλῶς, καὶ πεπείραμαι πάλαι, ὡς ἕξις τις οὖσα, καὶ ἡ μνήμη τυγχάνει, τὸ πολὺ μέρος ἐπίκτητος· καὶ εἰ ταῖς κατ' αὐτὴν μελέταις καὶ γυμνασίαις ἐπιμελῶς προάγοιτο, ὥσπερ αἱ λοιπαὶ τῶν ἕξεων, τελειοῦσθαι καὶ αὐτὴ φύσιν ἔχει, καὶ ςεγανωτέρα καθίςασθαι.

§. ιϛ'. Μνήμης δὲ ἐπιβοηθήματα, παρὰ τὰς κατ' αὐαὐτὴν ἐνασκήσεις οὐκ ἀλυσιτελῆ ἄντις εὕροι τὰ ἑξῆς τρία. Α'. τὸ ἐκ τῆς τάξεως. Δυσμνημόνευτα γὰρ ὡς ἐπίπαν τὰ ἀσυνάρτητα· Ἀσυνάρτητα δὲ, τὰ ἄτακτα· τῶν δὲ συνεξημμένων ἀλλήλοις ἔκτινος σχέσεως, ῥάδιον τὸ ἓν ἑλόντι, καὶ τὰ λοιπὰ ἔχειν, οἷον αὐτομάτως συμπαρακολουθοῦντα, καὶ συνεκθέοντα. (4). Β'. δὲ τὸ ἐκ τῆς συμπρολήψεως. Πέφυκε γὰρ ἡ ψυχὴ ὧν ἅμα συμπροειληφεῖα ἔτυχε τὰς ἐννοίας, ἢ τὴν θατέρου εὐθὺς μετὰ τὴν τοῦ ἑτέρου, τούτων κατάτινα οἷον συνέμφασιν, εἴποτε θάτερον νοήσαι, καὶ θατέρου ἀναμιμνήσκεσθαι. Διὸ καὶ συνδέειν πως εἰώθασι τοῖς προχείρως τε καὶ εὐπετῶς νουμένοις, ὧν ἂν βούλοιντο μνημονεύειν. Γίνεται γὰρ οἷον κίνησις μετὰ κίνησιν, καὶ παρομαρτεῖν εἰκὸς καὶ νόημα τῷ νοήματι (5). Γ'. τὸ ἐκ τῆς παρασημειώσεως. Συντελεςάτη γὰρ πολλάκις ἡ ἐπὶ τὸν γραπτὸν λόγον καταφυγὴ, ὑπε-

(1) „Ὃ δὴ οὐχ ὅπως εἰς μνήμην „συντελεῖ, ἀλλὰ καὶ μεγίςην ἔχει ῥοπὴν εἰς αὔξησίν τε καὶ τελειότητα „πάσης γνώσεως. Τὰ γὰρ ψυχικὰ „ἀγαθὰ ἐπιςῆμαι, καὶ ἀρεταὶ, ἀμέριςα τοῖς μετέχουσι παρόντα, τοῦ ἑτέρου μετέχοντος οὐ μειοῦται ἐν τῷ ἑτέρῳ, ἀλλὰ καὶ αὔξεται. Συνεγείρεται γὰρ, καὶ συνεκπυροῦται ταῦτα „ἐν ταῖς τῶν μετεχόντων ψυχαῖς, „καὶ μεταδιδόμενα πολλαπλασιάζεται. „Καὶ ὥσπερ ἀπὸ πυρείων παρατριβομένων, ἓν ἐκλάμπει τὸ τῆς ἀληθείας „καὶ εὐζωΐας φῶς. Σιμπλίκ. εἰς τὸ „Ἐπικτ. Ἐγχειρ. Κεφ. λζ'.

(2) Περὶ οὗ Πλάτ. ἐν Θεαιτ.

(3) Ἀπόχρη ἀντὶ πάντων εἰς δεῖγμα, ἡ ἀπὸ νοσήματος τῷ Ῥήτορι Ἑρμογένει ἐνσκήψασα τῶν λόγων παντελὴς λήθη. Ὅρα Σουΐδ. ἐν Λεξ.

(4) „Καὶ ἔςιν εὐμνημόνευτα, ὅσα „τάξιν τινὰ ἔχει· ὥσπερ τὰ μαθήματα. Τὰ δὲ φαύλως, καὶ χαλεπά. Ἀριςτ. περὶ Μνήμ. καὶ Ἀναμν. Κεφ. β'.

(5) „Συμβαίνουσι δ' αἱ ἀναμνήσεις, „ἐπειδὴ πέφυκεν ἡ κίνησις ἥδε γίνεσθαι „μετὰ τήν δε. Εἰ μὲν ἐξ ἀνάγκης, „δῆλον ὡς ὅταν ἐκείνη κινηθῇ, τήνδε κινη-

ὑπεκλειπούσης τῆς μνήμης· διὸ καὶ λόγων μνημεῖα τὰ γράμματα εἴρηται (1). Ἐπεὶ καὶ πάντα ἄλλως ἐκμανθάνειν πειρᾶσθαι, σφόδρα ἐπίπονον· ἐκμαθόντας δὲ τῇ δυνάμει λίαν ἐπιθαῤῥεῖν τοῦ μνημονικοῦ, ὅτι πάντῃτε καὶ διὰ παντὸς στέξει, σφαλερόν. (2). Ποιεῖσθαι δὲ δεῖ τὰς παρασημειώσεις, εἰς κεφάλαι ἄττα, ἢ γένη ἀναγομένας (3), οἷον δήτι καὶ περὶ τῆς κατ' οἶκον συσκευῆς ὁ Ξενοφὼν παρῄνει (4), ἵνα δὴ πρόχειράτε ἔνγε τῷ δέοντι εἴῃ, καὶ εὐανάλεκτα. Ἀλλὰ καὶ περὶ τῆς Μνήμης τοσαῦτα.

§. ιζ'. Γίνεται δὲ καὶ ὁ Νοῦς αὐτὸς τῇ ἐν Ἐπιστήμαις ἐπιδόσει πρόσκομμα, ἐπειδὰν μὴ εὐθίκτως, μηδ' ᾗ προσῆκον αὐτῷ περιεσκεμμένως χωρῇ, ἀναγώγως δὲ, καὶ εἰκῇ, καὶ τῷ κατ' αὐτὸν ὀρθῷ λόγῳ ἥκιστα παρακολουθῶν. Ἐν ᾧ καὶ θαυμάσειεν ἄντις οὐκ ἀπεικότως, ὅτι ταῖς ὑφειμέναις τῶν δυνάμεων ἐφορᾶν ὁ Νοῦς οἷον καὶ ἐπαγρυπνεῖν προτεταγμένος, ἵνα μὴ δὴ ἐξηνίως ἐκεῖναι φέρωνται, καὶ πλημμελῶς, ἔπειτα καὶ αὐτὸς παρεκνεύων φαίνεται συχνὰ τοῦ εὐθὺς ἰέναι, καὶ πρὸς ἀτόπους κρίσεις ἐκκυλιόμενος. Ὅτι δὲ Νοῦν ἐπὶ τοῦ παρόντος οὐχὶ τὸν ἀκραιφνῆ, καὶ ἐνεργείᾳ εἰρημένον λέγω, καὶ τῶν κοινῶν καλουμένων ἐννοιῶν ἀντιληπτικὸν, αὐτὴν δὲ τῆς ψυχῆς τὴν δύναμιν, καθ' ἣν καὶ λογικοὶ ἐλάχομεν ὀνομάζεσθαι, μὴ ἄρα καὶ περιττὸς δόξαιμι, δεύτερον ἤδη τοῦτο παρασημειῶν; (§. η'.). Ἀλλ' ἃ μὲν ἡ λογικὴ αὕτη δύναμις,

„κινηθήσεται. Εἰ δὲ μὴ ἐξ ἀνάγκης, „ἀλλ' ἔθει, δῆλον ὡς ἐπὶ τὸ πολὺ κι„νηθήσεται. Αὐτ. αὐτ.

(1) Διὸ καὶ παρ' Εὐριπίδῃ ἐν Παλαμ. ὁ τὰ Γράμματα εὑρὼν περιαυτίζεται

„Τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνον,
„Ἄφωνα καὶ Φωνοῦντα συλλαβὼν τιθεὶς,
„Ἐξεῦρον ἀνθρώποισι Γράμματ' εἰδέναι.

Καὶ παρ' Αἰσχύλῳ ἐν Προμηθ.

„Καιμὴν ἀριθμὸν ἔξοχον σοφισμάτων,
„Ἐξηῦρον αὐτοῖς, Γραμμάτων δὲ συνθέσις,
„Μνήμην ἁπάντων Μουσομητέρ' Ἐργάνην.

(2) Πλάτων δὲ μεγίστην φυλακὴν εἶναι γράφων τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν (Ἐπιστολ. πρὸς Διονύσ.) αὐτὸς ὑφ' ἑαυτοῦ γεγηρακότος ἤδη ἐλήλεγκται. (Ὅρα τὸ περὶ αὐτοῦ ἡμῖν ἀνωτέρω Σημειωθὲν ἐκ τῶν Αἰλιαν.).

(3) „Τὰς δὲ διαγραφὰς ποιεῖσθαι „ἐπὶ ἑκάστου γένους ὑποτιθέντας χωρίς. „.... παρασημαίνεσθαι δὲ καὶ τὰς ἑ„κάστων δόξας. Ἀριστ. Τοπ. Α'. Κ. ιδ'.

(4) „Ὅπου χρὴ ἕκαστα κεῖσθαι, ὅ„πως εἰδῇς, ὅπουγε δεῖ τιθέναι, καὶ „ὁπόθεν λαμβάνειν. Ἔστι δ' οὐδὲν οὕ„τως οὔτ' εὔχρηστον, οὔτε καλὸν ἀνθρώ„ποις, ὡς ἡ τάξις. Ἀπομνημ. Βιβ. Ε'.

ναμις, κατὰ τὰς ἐννοίας διαπταίει πολλάκις, μὴ κατὰ τοὺς ἐκ φύσεως αὐτῇ ἐνεσπαρμένους ὅρους τε καὶ λόγους ϛείχειν παιδαγωγηθεῖσα, ἅπασα δὴ ἡ ἐφεξῆς, ὡς εἴρηται (Προδιοικ. §. β'. καὶ γ'.) πραγματεία δηλώσει· Ἵνα δὲ ὁλοσχερέϛερόν πως καὶ τὸ ἐντεῦθεν τῆς ψυχῆς ἀναφανῇ ὀλισθηρὸν εἰς ἀπάτην καὶ ἀπερίτρεπτον, βραχέα τινὰ εἰς δεῖγμα παραθέσθαι ἴσως οὐκ ἄσκοπον.

§. ιη'. Αὐτίκα μὲν γὰρ καὶ καθ' ἑαυτὴν, ὅπως τῇ ψυχῇ διολισθαίνειν συμβαίνει, καὶ καταφέρεσθαι εἰς ἀπάτην, ἐπισκοποῦσι, τοῦτο πρῶτον αὐτῆς σφαλερώτατον ἁπαντᾷ, τὸ ἀπὸ τῶν κατ' ἐπίνοιαν παριϛαμένων, ἐπ' αὐτὰ τὰ ὄντα μεταπηδᾷν ὡς οὐ χρὴ, καὶ ταύτῃ κρίνειν τὰ πράγματα ἐν ἑαυτοῖς ἔχειν, οἵοις περ ἂν αὐτὴ ψιλοῖς ἀτεχνῶς καὶ νόθοις τοῖς λογισμοῖς, ἐπιβάλλοι. Ἢ οὐκ ἐντεῦθεν αἱ σωματικαὶ μὲν, ἀσώματοι δὲ μονάδες, αἱ ὑπότινων ἐν τοῖς Νεωτέροις (1) πλαττόμεναι; Καὶ αἱ ἐν τοῖς πολλοῖς, κατάτινας τῶν πρότερον, Καθόλου φύσεις· (2). Καὶ αἱ πρὸ τῶν πολλῶν, ἐν αὐταῖς ταῖς ἰδέαις αὐθυφιϛάμεναι (3); Ἥτε διαιωνίζουσα ἀειδής τε καὶ ἀσχημάτιϛος ὕλη, (4) καὶ τ' ἄλλα, ὧν ἡ φιλοσοφία πλέως ἐγένετο τερετίσματα; Σκοπεῖν οὖν ἀκριβῶς, ὅτι τὰ κατὰ τὰς τοιάσδε ἰδεοπλαϛίας, οὕτω φᾶναι, ἐπινοούμενα, ἐξῄρηταί πως τῆς πραγματιώδους τῶν ὄντων φύσεώς τε καὶ καταϛάσεως, κἂν ἐξ αὐτῶν τῶν πραγμάτων τὰς τῆς ἐπινοίας ἀφορμὰς ἔχοι καρπούμενα. Οὐ γὰρ ὡς ἐϛὶν, οὕτω τοι καὶ τῇ ἐπινοίᾳ παρίϛαται· τρόπῳ δὲ μακρῷ διαφέροντι, καὶ ὡς οὔτ' ἔϛιν, οὔτ' ἂν εἴη ποτέ. Τὶς γὰρ ἂν

 γέ-

(1) Τοὺς περὶ τὸν Γερμανὸν Λεϊβνίτιον ὁ λόγος αἰνίττεται.

(2) Ταύτας μετὰ τοὺς ἀμφὶ τὸν Σκότον, καὶ ὁ ἡμέτερος εἰσῆγε Κορυδαλεύς.

(3) Ὑπὲρ τούτων ἔϛησαν τινὲς Πλατωνίζειν δῆθεν ἑλόμενοι. Καίτοι ἄλλως καὶ Παρμενίδης, καὶ Πλάτων, καὶ εἰ μὴ αὐθυφεϛώσας ἔξω τοῦ Δημιουργοῦ Νοῦ τὰς ἰδέας ἐτίθεντο ὡς ἁπάντων τῶν ὄντων παραδείγματα, ἀλλ' οὕτως ἐοίκασιν αὐτὰς περιγράψαι, ὡς τοῖς μὲν οὕτω δόξαι ὑπειληφέναι αὐτούς· τοὺς δὲ, εἰς τὸ οὕτω τοὐλάχιϛον ὑπολαμβάνειν ἐναγαγεῖν· Ταύτητοι καὶ τὰ ἐκ τῆς κυαθότητος, καὶ τραπεζότητος ὑπὸ τοῦ Κυνικοῦ Διογένους (παρὰ Λαέρτ. Βιβλ. ϛ'. §. 53.) ὑπέϛησαν σκώμματα. (Ὅρα Κλερίκου Κριτικ. Μέρ. Β'. Κεφ. Ε'. Καὶ Λογ. Μέρ. Α'. Κεφ. Ζ'. §. 10.

(4) Ἣν ὁ Πλάτων ἔοικεν εἰσαγαγαγεῖν αἰώνιον μὲν τῇ ὑπάρξει, ἐν χρόνῳ δὲ ὑπὸ τοῦ Δημιουργοῦ εἰδοποιηθεῖσαν ὑποϛησάμενος.

γένοιτο ἐπιςήμη φέρε, τὶς δ' ἄν ἄλλη ἕξις, τὶς δὲ δυώαμις, τὶ δ' ἁπλῶς ὁποιονδὴν τῶν συμβεβηκότων, ἢ φύσις ἄλλως καθόλε, καθ' ἑαυτὴν ἢ νοεῖται, ἀφηρημένως τε καὶ ἀορίςως, χωρὶς ὑποκειμένε ὥπερ ἄν ἐφεδράζοιτο, καὶ τῶν περὶ αὐτὴν, ὑφ' ὧν ἄν διορίζοιτο; Καὶ μὴν ἡ ψυχὴ ἀπὸ τῶν ἀ οἶς τε, ἢ περὶ ἃ, καὶ σὺ οἷς φύσει τὰ τοιαῦτα ἐςὶ, νοερῶς αὐτὰ ἀπομάττεται. Καὶ ἐπὶ τοσῦτον ἔχει μὲν εὖ. Τὸ γὰρ δὶ ὁλοχερεςέρων ἐννοιῶν, γυμνὰ, ἕτως εἰπεῖν, ἢ τῶν κατιχνευόντων αὐτὰ συμβεβηκότωντε καὶ τρόπων ἀπηλλαγμένα καθ' ἑαυτὰ ἀναπολεῖν τὰ ὄντα, ἐ φαύλην παρέχεται τὴν εἰς τὰς κατ' ἐπιςήμην θεωρίας συντέλειαν· τὶ δὲ τὸ ἐντεῦθεν; μήποτε παρ' αὐτὸ καὶ ὑφίςησιν αὐτὰ ὁ κατ' ἐπίνοιαν λόγος, καὶ τὸ εἶναι ταύτῃ, ὥσπερ δὴ καὶ τὸ νοεῖσθαι, τέτοις χαρίζεται; ἀλλ' εἶπον ἄν ἐδεὶς ἐδαμῶς, ἄχρις ἄν τοῖς ὑγιῶς φρονεῦσιν εἶναι ἔλοιτο ἐναρίθμιος.

§. ιθ'. Τὸ δὲ καὶ ἀπὸ τῶν κατὰ μέρος ἐπὶ τὸ Καθόλε, σφριγῶσαν οἷον καὶ ἀκολαςαίνεσαν ἄττειν τὰ πολλὰ τὴν διάνοιαν, τίνων ἐκ ἄν γένοιτο ὑπολήψεων ψευδῶν, καὶ δοξασιῶν ἀλόγωντε καὶ ἀτοπωτάτων πρόξενον; Ἀλλὰ γὰρ ἴδοις ἄν ἐπιςήσας, ἐκ ἐπὶ τῶν φιλοσοφικῶν θεωρημάτων μόνων, τετὶ ἐνίοτε συμβαῖνον, ἀλλὰ καὶ ἐπὶ τῶν κατ' ἦθος, καὶ τὸν βίον γινομένων κρίσεων, συναρπαγῆς καὶ ἀπάτης, ἐκ ἄν ἔχοιτις εἰπεῖν ὅσης, φορώτατον αἴτιον. Πράττωντις ἠσόχησε; λέγωντις ἐσφάλη; ἢ ἐπιχειρήσας ἐδὲν σωετέλεσε; τἐναντίον δὲ, κατώρθωσέτι διαπραξάμενος ἕτερος; Ὀσκοπήσας ἔτυχε; προεπὼν ἠλήθευσεν; Ἐντεῦθεν ἤδη, ὁ μὲν ἐφ' ὅ,τι ἄν ἐπιβάλοι τῇ λοιπῇ ὀσοχώτατος κρίνεται· ὁ δὲ ἀνδρῶν ἁπάντων ἐςὶ κακοδαιμονέςατος, καὶ πρὸς ἐδὲν ἐπιτήδειος. Τὸ γὰρ ἐν μέρειπε κυρωθὲν, εἰς τὶ αὐτὶ καὶ περὶ τῶν λοιπῶν ἁπάντων ψῆφον τὲς ὀληθεςέρες σωήρπασεν. Ἢ ἐχ ἕτως ἡμῖν οἱ πλάνητες μικρῆ δεῖν οἰκέμενοι, ὅτι καὶ Γῆ; εῶ τ' ἄλλα. Τέτοις ἀδελφὰ δοκεῖσιν ἐξαπατᾶθαι, καὶ οἱ ἀπὸ τῆ δυωάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταλλόμενοι πάνυ κόφως. οἷον εἴτις, ἐπεὶ δυνατὸς παρὰ τὸν ὑφεσῶτα καὶ κόσμος ἕτερος, ἐντεῦθεν εἰσβάλοι, ὅτι καὶ ὑφέσηκεν ἤδη (1), ὡς ἄν μὴ δηλο-

(1) Ἀναξίμανδρος, Λεύκιππος, καὶ ἀπείρες κατὰ τῶτον ὑπέθεντο Κόσμες ἄλλες. Δημόκριτος καὶ ἄλλοι, μυρίες, οἱ δὲ

λονότι, κατὰ τὸ γενναῖον ἐκεῖνο τῦ Μητροδώρε (1), ἐν μεγάλῳ πεδίῳ, ἕνα μόνον ἄσαχιν γεννηθῆναι φαίημεν. Τὰ γῶν τοιαῦτα ὅτως ἐξαμαρτάνειν, καὶ τῷ τυχόντι αἰσχρὸν ὄν, Ἀνδράσι τοῖς Φιλοσοφεῖν ἐπαγγελλομένοις, τῷ παντὶ ἂν εἴη αἰσχρότατον. Καίτοι ἀπ' αὐτῶν χρεία τῶν λογικῶν μεθόδων, καὶ τῦ κατὰ φύσιν λόγε εἰς παραφυλακὴν τῆς δε τῆς ἀλογισίας ἑκάστῳ προσεπαρκέντος ὥστε εὐδίαν, μήτ' ἔκτινος τῶν ἐπὶ μέρες ἐπὶ τὸ ἁπλῶς καθόλε μεταπηδᾶν, μήτ' ἐκ τῦ μὴ ἀδιωάτως ἂν ἔχοντος, ἐπὶ τὸ ἐνεργείᾳ ὅτως ἔχειν, καὶ πραγματικῶς παραφέρεσθαι.

§. κ'. Ἐκ γειτόνων δὲ τῆδε τῇ παρατροπῇ ἐςὶ, καὶ ἡ ἀπὸ τῶν ὑποθέσεων ἐπὶ τὰς θέσεις παράβολός τε καὶ ἀπονενοημένη μετάβασις. Ἀνασκοπήσαντες γὰρ ἔνιοι ποτὲ τῶν Φιλοσοφεῖν ἐπαγγελλομένων περίτινων, ὡς ὅτως φέρε, ἢ ὅτως τόγε αὐτοῖς δοκεῖν, εὖ ἂν ἔχοιεν αὐτὰ, ἤτοι ἀσίας, ἢ τάξεως, ἢ γενέσεως, καὶ τὸ παρασὰν σφίσι νοερῶς οἷον φῶναι ἀποχεδιάσαντες, καὶ ἀρχιτεκτονήσαντες, τὸ μὲν πρῶτον, ᾗ δοκεῖ, ἐνήδεσθαι ἐκτόπως καὶ ἐπιγάννυσθαι τῷ σκέμματι ἤρξαντο, τόκῳ ἐπικῶς τινὶ πιθηκείῳ ἐνατενίζοντες ὡς ἀγάλματι· Εἶτα προϊόντες χρόνῳτε καὶ συνεθισμῷ τὸ αὐτοῖς ἀνατυπωθὲν, ὡς ἤδη καὶ τοιόνδε ὂν ἐν τῇ Φύσει, ἐνεφερνίσαντο· Καὶ τῆς ὑπολήψεως ῥωννυμένης τῇ Φιλαυτίᾳ, πείθεσθαί τε αὐτοὶ προήχθησαν, καὶ πείθειν ἠγωνίσαντο καὶ τὰς ἄλλες, ἐκ παντὸς τρόπε τλῶ κατασκάλῳ τῇ δόξῃ συναρτύσαι σπεύδασαντες. Κἀντεῦθεν πάλιν ἡμῖν ἡ τῶν Κόσμων πλῆθυς, ὡς ἐπὶ σκηνῆς προῆλθε, καὶ οἱ κατὰ τλὺ Σελλίνιν, καὶ τὰς λοιπὰς τῶν πλανωμένων ἀςέρων κατοικισμοὶ, καὶ Κόσμος ἕτερος παρὰ τὸν ἕνυλον τῦτον, τῶν λογικῶν ψυχῶν, πρὶν ἢ τὰς ἐνταῦθα περιόδες κατακριθῆναι νοερὸν ἐνδιαίτημα. (2). Καὶ τὰ τελευταῖα δὴ ταῦτα, καὶ πρῶτα τοῖς ἀτοπήμασι, τὸ ἐκ τῶν Κύβων συμπληρέμενον χάος, καὶ εἰς δίνιν περιερομβέμενον θαυμασίαν· Καὶ τὸ τριττὸν τῆς ὕλης,

(1) Παρὰ Πλυτάρχ. ἐν τοῖς περὶ Ἀρεσκ. Βιβ. Α'. Κεφ. ε.

(2) Ὁ Πυθαγόρας Νοερόν τινα πλασάμενος Φέρεσθαι Κόσμον τοιῦτον, ἀφ' ἧς αἱ διαμαρτῆσαι ἐν αὐτῷ ψυχαὶ, ἐπὶ τὸν καθ' ἡμᾶς ἕνυλον τῦτον καὶ σωματικὸν ἔξοροι πέμπονται, ἔνθα περιόδες βίων τινὰς ἐξανύσσιν, ἐπὶ τίσει τῶν αὐταῖς ἐξημαρτημένων, ἀπὸ σώματος εἰς σῶμα μεταγιζόμεναι.

ἐξ ἧς τὸ πᾶν σώταγμα παραδόξως κοσμοποιεῖται (1). Ἅπερ ὡς ὑποθέσεις μὲν προκεχείρισο τιὼ ἀρχιὼ, ὡς δὲ θέσεις ἔπειτα, καὶ δόγματα ἀπανταχόθεν τὸ ἀραρὸς ἔχοντα ὑπὸ πολλῶν διεπρεσβεύθη. Ἐπιμνησέον ἓν εἰς ἐκφυγιὼ τῆς τοιαύτης ἀπάτης, ὅτι δυνατά τὸ πλεῖσον ἂν εἴη, ἅττα Νῶτε συμβάλλειν ἐξὶ, καὶ φαντασία κατινδάλλεθαι, εἰ μήτις ἄλλοθεν αὐτοῖς ἀντιπεριπίπτοι λόγος· ἔκεν δὲ καὶ ὑφεξῶτα ἐνθένδε κριθήσεται. Οὐ γὰρ ἂν ἐξίκοιντο ποτὲ ὑφεξὼς ἀναδείξαι μηδὲ, κἂν μυρίαι παρῶσιν εἰς ταυτὸ συνελθοῦσαι ἐπίνοιαι. Καθάπερ ἓν φρέδαις ἐπινοίαις ἀνατυπεμίεμε Τραγέλαφον φέρε, ἢ Ἱπποκένταυρον, ἐδὲν ἐκ τῦ παρ' ἐμοὶ φαντάσματος, τοῖς πλαττομένοις προσγίγνεται εἰς τὸ εἶναι· ἔτωσι ἐδὲν ὧν οἱ πλασεργοὶ ἔτοι φιλόσοφοι (ἔτωσὶ γὰρ αὐτὲς ὀνομάζειν δίκαιον) ἐπινοῦσιν ἀποδεξόμεθα, εἰμὴ πρῶτον τὸ πραγματιῶδες τότοις ποθὲν περιὸν ἐκ λόγε, ἢ πείρας σαφῶς ἡμᾶς ἐκδιδάξειαν. Καὶ γὰρ ἐ δέον τὲς φιλοσοφεῖν ἠρημένες ὀρθῶς, ταῖς ἑαυτῶν ἐπινοίαις συναναπλάττειν τὰ πράγματα, τὰς δ' ἐπινοίας μᾶλλον πειρᾶθαι συμφώνες παρέχειν τοῖς πράγμασι (2). Δεῖ γὰρ, ... „πρὸς ϛάθμη
„Πέτρον τίθεθαι, μήτι πρὸς πέτρον ϛάθμιν.

§. κά. Τέως δὲ ἐδὲ τῦτο πρὸς τοῖς εἰρημένοις μικρὸν ἂν εἴη εἰς ἐξαπάτιω ἔχον τὸ ἐνδόσιμον τοῖς φιλεπισήμοσι, τὸ ἐκ πάνυ ὀλίγων παθῶν, ἃ δῆλα αὐτοῖς κατέξη περίτινος τιὼ θεωρίαν ἐχολακόσιν, ἐπ' ἀκριβὲς ἔπειτα ὅλιω οἴεθαι τιὼ ἐσίαν κατειληφέναι, καὶ αὐτιὼ, ὅ λέγεται, τῦ πράγματος ἐξευρηκέναι τιὼ πιτυάν. Γίνονται γὰρ ὑπὲρ τὸ δέον θαῤῥαλέοι οἱ ἔτω γινώσκοντες, καὶ περὶ τὰς κρίσεις πρόχειροι· Διὸ καὶ πρὸς τὸ σφάλλεθαι ὀξεῖς. Σαθροῖς γὰρ λίαν τοῖς θεμελίοις ὑψηλάτινα καὶ μεγάλα κρηπίζειν δοκέντες, τὸ θᾶττον αὐτοῖς ἐρείπια κατακεισόμενα, μετὰ πολλῦ τῦ πόνυ

(1) Ὁ Γάλλος φιλόσοφος Καρτέσιος, τριὸν δέτι ὑπέρησε πλάσμα περὶ τῆς παραγωγῆς τῶν ὅλων, ἐφ' ᾧ ἅπασαν τὴν κατ' αὐτὸν ἐφιλοτέχνησε φυσικὴν πραγματείαν.

(2) „Οἱ δὲ μὴ τιθέμενοι τὰ δόγ„ματα πρὸς τοῖς πράγμασιν, ἀλλὰ τὰ πράγματα πρὸς τὰς ἑαυτῶν ὑποθέ„σεις, ὁμολογεῖν μὴ πεφυκότα κα„ταβιαζόμενοι, πολλῶν ἀπορίων ἐμ„πεπλήκασι τὴν φιλοσοφίαν. Πλάτ. πῶς ἄντις ἄθοιτο ἑαυτὲ προκόπτ. ἐπ' ἀρετῆ.

νε οἰκοδομῆντες λανθάνεσι. Μετριάσει ἓν καὶ τῶτο ἡμῖν ὁ φιλόσοφος, καὶ περὶ ἑκάστε μεθ' ὑπονοίας ἀεὶποτε ἐπαινεθησομένης φθέγξεται, ὅ,τι ἂν μὴ πεῖρα ἐμμελὴς καὶ ἀναμφήρισος, καὶ λόγος ἀσφαλὴς καὶ βέβαιος εἰσηγήσαιτο. Τὸ δὲ ὅλον ἀδενὸς τῆς ἐσίας (εἰ μήτε τυχὸν τῶν ἁπλεςάτων) ἀκριβῶς διηγάνειν οἰήσεται· τῶν δέγε πολλῶν, οἷς ἐκείνη συναπαρτίζεται γνωρισμάτων, ὀλίγ' ἅττα μὲν αὐτὸς εἰδέναι ἐπαγγελεῖται, ὅσα καὶ οἶδε σαφῶς καὶ βεβαίως· τὰ δέτοι πλείω ἀγνοεῖν ὁμολογῶν ἐκ ἐπαισχυνθήσεται. Αὕτη γὰρ μάλισα Σοφίας ἀρχήτε, καὶ τελευτή, καὶ μέσον, τὸ μετριώτατα φρονεῖν καὶ ἐπ' αὐτῇ τῇ Σοφίᾳ.

§. κβ'. Τρίτη ἀπαιδευσίας καὶ ἀπάτης ἠριθμεῖτο πηγὴ τῇ διὰ πολλῶν οἷον ἀνασομώσει πιδάκων δαψιλῆτε καὶ λάβρον τιὼ ἀλογίαν ἡμῖν ἐπιῤῥέσσα, ἡ ἐκ τῶν παθῶν· τὰ γάρτοι πάθη ἐπιπροθεῖ μὲν τῷ λογισικῷ πυκνῶς, ἐπισκοτεῖ δὲ τῷ ἐκείνε φωτὶ, καὶ μονονεχὶ τὸ ὄμμα τὸ νοερὸν ἀποσβέννυσι. Τὸ μὲν γὰρ τῆ διορατικῆ διειδέστε καὶ καθαρὸν ἐπιθολῆντα, τὸ δὲ τῆ κριτικῆ ὀξύτε καὶ τεθηγμένον ἀπαμβλιώοντα· καὶ μιὼ καὶ τὸ προσεκτικὸν τῆς ψυχῆς ἀπὸ τῶν δεόντων ἀφελκόμενα, καὶ ἀπάγοντα, ἐχ ὅπως τοῖς διὰ φιλοσοφίας εἰς θήραν ἐξιέναι τῆ ἀληθῆς ἐπαγγελλομένοις, ἀλλὰ καὶ τοῖς ἄλλως περὶ τῶν κατὰ τὸν βίον βελδομένοις καὶ κρίνεσιν, ἐδ' ἔτι φᾶναι ὅσων ἀτοπημάτων παραίτια γίγνεται. Ὁ δὲ τῆς ἐμποισμένης λύμης τρόπος διττός· ἤτοι γὰρ ἐδὲ συνοραῶν οἷοίτε εἰσὶ τὸ ἀληθὲς ἐν λόγοις, καὶ τὸ δέον ἐν ταῖς πράξεσιν, οἷς τὸ νοερὸν ἐμπαθῶς δονεῖται, καὶ ταράσσεται, ἢ ἀλλοῖον σιωοραῖν δοκῆσι, καὶ τῷ πάθει ὑφ' ἓ συνέχονται σύμφωνον· κατὰ τὲς διὰ μὴ καθαρῆ τῆ ὑέλε διοπτεύοντας, ἢ τῷ μέσω τὰ ὁρατὰ διαθρῆντας ὁμόχροα.

§. κγ'. Καὶ πρῶτον μὲν (ἵν' ἀκριδιγῶς γῆν καὶ τέτων ἀψώμεθα) τὲς ἐξ ὑνοίας, ἢ ἔχθες κινεμένες χαλεπὸν δρεῖν ἴσε τε καὶ δικαίως διαιτητὰς, περίτε ἑαυτῶν, καὶ τὲς ἄλλες, κρίνοντας (1). Δεινὴ γὰρ αἱ εὔνοιαι δεκάσαι τὰς ψήφες (2). Ἀεὶ δὲ τὰ παρὰ τῶν φιλεμένων ἐν καλῷ τίθεται, καὶ

(1) „Προσπάθεια μὲν γὰρ ἐκ ὀξυ- „δορκῆ, ἀντιπάθεια δὲ ὅλως ἐχ ὁ- „ρᾷ. Ἰσιδ. ὁ πηλεσ. Βιβλ. Α. Ἐπισ. τί.

(2) Συνές. Ἐπισ. Νικάνδρῳ.

καὶ πρὸ τῶν ἄλλων κρίνεται ἀποδεκτὰ (1), πολὺ δὲ πρότερα ὡς εἰκὸς τὰ παρ' ἑαυτῶν (2), ἄχρι τοῦ καὶ τὰ μὴ καλὰ κάλλιστα, αὐτοῖς καταφαίνεσθαι (3).

„ . . . . . ἦ γὰρ ἔρωτι,

„Πολλάκις ὦ Πολύφαμε τὰ μὴ καλὰ καλὰ πέφανται.

Τὸ δὲ ἐκ δυσμενείας τοὐναντίον πάθος, καὶ τῷ καλῶς δοξασθέντι συναπεχθάνεσθαι παρασκευάζει σὺν αὐτῷ τῷ δοξάσαντι, πάνυ ἀλόγως. (4). Συντελεῖ μὲν οὖν τὴν ἐντεῦθεν διευλαβουμένους ἀπάτην, τὰ μὲν περὶ τῶν ἰδίων, ἢ βίων, ἢ λόγων, ἢ πράξεων, τοῖς ἄλλοις ἐφιέναι δικάζειν, οὓς ἂν δεξιούστε ἄλλως κρίνειν ὄντας εἰδήειμεν, καὶ οὕτως ἔχοντας τρόπου, ὡς τάγε ἁμαρτανόμενα ἡμῖν εἰλικρινῶς ἀπελέγχειν, μήθ' ἡμᾶς δι' ἄκαιρον αἰδῶ ὑποστελλομένους, μήτ' ἐπὶ τῷ ἑαυτῶν συμφέροντι τὰ ἡμέτερα ἐκθωπεύοντας (5). Τὰ δὲ περὶ τῶν ἄλλων, αὐτοὺς μὲν πάσῃ μηχανῇ παραιτεῖσθαι τὴν κρίσιν, εἴτι μάλιστα πρὸς αὐτοὺς τύχοιμεν πεπονθότες· Κἂν κρίναι δεήσῃ, λογισμοῖς ὡς οἷόντε ἀπαθέσι τὴν κατ' αὐτῶν προχειρίζεσθαι ψῆφον. Πρὸς δὲ τὸ οὕτως ἀποφαίνεσθαι, ἄριστον ἐμοὶ δοκεῖ, καὶ ἐμφιλοσόφου μεστὸν φρονήματος, τὸ τοῦ λέγοντος, ἢ πράττοντος ἀφαιροῦντας πρόσωπον, τούς γε λόγους, ἢ τὰς πράξεις αὐτοὺς ἀφ' ἑαυτῶν ἐξετάζειν· Ἐνίοτε δὲ καὶ τῷ

τῆς

(1) „Πολλὰ γὰρ ψευδῆ καὶ πονηρὰ „δόγματα λανθάνομεν εὐνοίᾳ καὶ πί„στει τῇ πρὸς τοὺς λέγοντας ἐκδεχόμε„νοι. Πλούτ. περὶ τοῦ ἀκούειν.

(2) „Τυφλοῦται γὰρ τὸ φιλοῦν „περὶ τὸ φιλούμενον· Φιλεῖται δὲ τῶν „ἰδίων οὐδὲν οὕτως, ὡς δόξα καὶ λόγος „ὑπὸ τοῦ τεκόντος. Ἡ γὰρ λεγομένη „τέκνων δικαιοτάτη διανομὴ, πρὸς λό„γους ἐστὶν ἀδικωτάτη. Δεῖ γὰρ ἐκεῖ „λαβεῖν μὲν τὸ ἴδιον, ἐνταῦθα δὲ „κἂν ἀλλότριον ᾖ τὸ βέλτιστον. Ὅ„θεν ὁ γεννῶν ἴδια, γίνεται φαυλότε„τερος ἑτέρων κριτής. Πλούτ. Πλατων. Ζητημ.

(3) Θεόκρ. Εἰδύλ. ϛ'.

(4) Ἡ γὰρ πρὸς τὸ πρόσωπον ὑ„ποψία διαβάλλει καὶ τὸ πρᾶγμα καὶ „τὸν λόγον, ὡς φαῦλον ὑπὸ φαύ„λου καὶ λεγόμενον, καὶ πραττόμε„νον. Πλούτ. ἐν τῷ πῶς δεῖ τὸν νέον ποιημ. ἀκούειν. „Οὐ γὰρ διὰ τὸν λέ„γοντα προκαταγνωστέον ἀμαθῶς καὶ „τῶν λεγομένων, ἀλλὰ τὰ λεγόμενα „σκοπητέον εἰ τῆς ἀληθείας ἔχεται. „Στρωματ. Βιβλ. ϛ'.

(5) „Ἐγὼ οὖν εἰ καί τινος ἑτέρου, καὶ „τοῦδε παμπόλλην ἔσχηκα πεῖραν· ὅ„σοι μὲν τῶν ἀνθρώπων ἐπ' ἄλλοις ἐ„πέθεντο τὴν περὶ αὐτῶν ἀπόφασιν, „ὁποῖοι τινὲς εἰσὶν, ὀλιγώτατα ἐθεα„σάμην ἁμαρτάνοντας. Ὅσοι δ' ἑαυ„τούς ὑπειλήφασιν εἶναι ἀρίστους, χω„ρὶς τοῦ τὴν κρίσιν ἑτέροις ἐπιτρέψαι, „μέγιστα καὶ πλεῖστα τούτους ἑώρακα „σφαλλομένους. Γαλην. περὶ Διαγνώσ. καὶ θεραπ. τῶν ἐν ἑκάστου ψυχῇ Ἰδί. Παθ.

τῆς ἀντιβρόπίας τρόπῳ κεχρῆθαι. Καὶ τὰ μὲν τῶν φιλημένων (ὡσαύτως δὲ καὶ τὰ ἑαυτῶν) ὡς ἂν ἀπηχθημένων κρίνειν, ὡς δ' εὖνων (ἢ καὶ ἴδια) τὰ τῶν διαφερόντων, τλιὼ ἐπὶ θάτερα τῶ πάθος ροπλιὼ ἀνθολκαῖς συμμέτροις ἐπὶ τἐναντίον νενεχῶστε καὶ ἐμφρόνως ἀντισηκῶντας, καὶ εἰς ἰσότητα ὡς οἱοντε ἔγγισα προσβιβάζοντας.

§. κδ'. Δεύτερον δὲ καὶ αἱ περὶ τὰ κατ' ἔφεσιν ἐλπίδες, καὶ οἱ περὶ τὰ ἀποτρόπαια φόβοι, ἑτέρατις παθῶν συζυγία, εἰς ἃ κ ὀρθὰς κρίσεις τὰ πλεῖσα, τὰς μὴ καλῶς ἐγρηγορότας παρεξάγειν πεφύκασιν. Αἱ μὲν γὰρ ἐλπίδες, ὡς ῥᾶσα τὰ ἐλπιζόμενα ὑπιχνέμεναι, καὶ ἐπὶ μᾶλλον ὑπὸ τῶ πόθω πτερόμεναι, μονονεχὶ παρόντα ἐνδείκνυνται καὶ προχειρόταται, κἂν ὅτι πορρωτάτω ταῦτα ᾖ, καὶ τῶν λίαν χαλεπωτάτων. Ὃ γὰρ βέλεται τῶθ' ἕκαστος καὶ οἴεται (1).

. . . . . Καὶ γὰρ ἐν ὕπνοις

„Πᾶσα Κύων ἄρτος μανθάνεται. (2).

Ἐκ διαμέτρε δὲ οἱ φόβοι, ἐκπεπληγμένους τε, καὶ ὅσον κ ἐξεσηκότας πολλάκις καὶ τῶν φρενῶν ἀποφαίνεσι τὰς συνεχημένας, καὶ τὸ τῶ Πανθέως αὐτόχρημα πάσχοντας, ὃς ἐν ὀφθαλμοῖς παρορῶν ὑγιέσι, δύο μὲν ἡλίες ὁρᾶν ἐδόκει, δισσὰς δὲ Θήβας. Παραπλησίως δὲ (ἵνα μὴ καὶ περιττὸς δοκοίλω ἰδίᾳ ἕκασα πολυπραγμονῶν)· Καὶ αἱ ἐπὶ τοῖς παρῆσιν, ἀγαθοῖς μὲν θυμηδίαι καὶ τέρψεις, κακοῖς δ' ἀνίαι καὶ λύπαι, ἴσα ταῖς ἐπὶ τοῖς προσδοκωμένοις ἐλπίσι καὶ πτοίαις, εἰς ἐδὲν μέτριον τὰ πολλὰ, ἐδὲ προσῆκον λόγῳ ἢ πράξεως παραφέρεσι τλιὼ ψυχλιώ. Πᾶς γὰρ ἐν ἀκ ἀκύμονι, ἐδὲ γαλλιωσίᾳ τῇ κατασάσει τὸ φρονῆν ἔχων, ἀλόγιστος ἐσὶ τῶ δέοντος, καὶ τῆς ἀληθείας Κριτής. Δεῖ ἓν κατὰ τὰς περὶ ἑκάσε κρίσεις προσέχειν μήτινι καὶ τῶν τοιώτων παθῶν ἡ ψυχὴ τυγχάνοι δεδλόσα. Καὶ παντὸς μὲν καθαρδόσης, εἰ μὴ ἀ ἅπασι, (τῶτο γὰρ ἴσως τῶν ἀδιωάτων) ἀλλ' ἐν γῶν τῷ προκειμένῳ περὶ ὃ ἡ σκέψις, τὸ δοκῶν ἔτως αἱρεῖθαι καὶ ἀποφαίνεθαι· Συνεχομένης δέτινι τῶν τοιώτων, χρῆν ὅλως τῆς

(1) „Ἃ γὰρ ἐπιθυμᾶ ψυχὴ, καὶ „πιεύειν φιλεῖ. Ἡλιοδ. Αἰθιοπικ. Βιβ. ή. „Ἁπαθὲς δὲ χρῆμα ἐπιθυ„μία προσλαβῦσα οἶδρον, καὶ προσελθῦσα ἐγγύτατα μανίᾳ Μάξ. ὁ Τύριος Λογ. ϑ'.

(2) Θεόκριτ. Εἰδύλ. ε'.

τῆς ψυχῆς ἐξελόντας τὸ πάθος, ἢ καθάπερ κυῶν δυσάγωγον, τὸ παρὸν ἀποσοβῆσαν θήραμα, ἀποσήσαντας, περὶ τινὶ θήραν ἔτω τινὶ αὐτῇ ἐλεύθεριάζειν.

§. κέ. Τρίτον παθῶν εἶδος ἄγριον τῷ ὄντι, καὶ θηριῶδες, ἐν πρώτοις καταλεγέσθω, καὶ πύματον, καὶ μέσον, ὡς εἰς ἐξαπάτιν καὶ διαστροφὴν ψυχῆς βιαιότατον, ἢ περὶ τὰς ἀλύσεις καὶ κτινώδεις τῶν ἡδονῶν ὁρμήτε καὶ πτόησις. Τοῖς γὰρ εἰς πλήρωσίν τε καὶ κένωσιν ἐπιτεθηπέναι μόνοις τὲς ἀνθρώπες αὗται παρασκεδάζεσαι, καὶ γαστρὶ, καὶ τοῖς ὑπ' αὐτῇ δηλεῖσθαι καταναγκάζεσαι, ἐδὲν ἀλόγων διαφέροντας ἀπεργάζονται. Ἀλλ' ὅσιν μὲν τινὶ νωθρίαν ἐμποιεῖ τῷ λογιστικῷ καὶ ἀμβλύτητα, τὸ περὶ τὰς τροφὰς πλημμελὲς καὶ ἐκδεδιητημένον, ἐδενὶ ἄδηλον· Ἰχνὶ γεμινὶ καὶ ῥώμινὶ αὐτὸ προσλαβὸν, καὶ τινὶ ἐκ τῆς περὶ τὰ ἀφροδίσια ἀκρασίας, ἐδ' ἀναβλέψαι ὅλως ἐφίησι πρὸς ὀρθότητα βίε, καὶ δογμάτων ἀληθείας ἀκρίβειαν (1). Αὕτη γὰρ τῷ πρὸς τὸ παρὸν ἡδεῖ τινὶ ψυχινὶ καταγοητεύσασα, τὸ ἀν' αὐτῇ διανοητικὸν φῶς μονονεχὶ ἀποτυφλοῖτε καὶ ἀποσβέννυσι (2). Καὶ, ἐδὲν ὑγιὲς ἂν ἴδοις φρονεῖν ἔτε δυναμένες, ἔτ', ἢν δυνηθεῖεν, βελομένες,

. . . „Τὼς, ἔσγε ποτῶ δηλήσατο Κίρκα (3).

Τὸ μὲν ἓν δικαιότατον ἂν εἴη, ἰχυρᾷ φρενὶ χρησαμένες, καὶ ἀτρύτῳ γνώμῃ, καὶ πρὸς μηδὲν ταῖς τῶν ἡδέων θέλξεσιν ὑπεικάσῃ, ἐδ' ἀρχινὶ ὅλως τῆ ὀλεθρίᾳ ποτῆ ἀπογδόσασθαι.

„Καὶ γὰρ . . . . Χαλεπὸν χοιρίων κυῶα γεῦσαι (4).

Τῷ δὲ ἐξ ἀτυχίας ἐγκαταβροχθίσαι φθάσαντι, πειρατέον ὅσον τάχισα ἐξεμέσαι σινὶ αὐτῷ τῷ δελέατι, καὶ τ' ἀγκύριον, ἐμπιόντα ἄδινι τῆ ἀπὸ τῶν Μεσῶν νάματος.

„Οὐδὲν (γὰρ) ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
„Νικίᾳ, ἐδ' ἔγχρισον ἐμοὶ δοκεῖ, ἐδ' ἐπίπασον·
„Ἢ ταὶ πιερίδες . . . . . (5).

§. κϛ'.

(1) „Καὶ μὴν ἐκ ἐνδέχεται φιλόπονον εἶναί τινά, μεθυσκόμενον, ἐμπιπλάμενον, ἢ ἀφροδισίοις προσκείμενον, ἢ συνήβδην ἅπασι αἰδοίοις καὶ γαστρὶ δηλεύοντα. Σωφροσύνης γὰρ φίλος, ὥσπερ γε καὶ ἀληθείας ἑταῖρος, ὅτι ὄντως φιλόσοφος ἐξεύρηται. Γαλ. Ἀρισ. Ἰατρ. καὶ φιλόσ.

(2) . . . „τὸ ἐρᾶν ἐπισκοτεῖ, „Ἀπατᾶν ὡς ἔοικε, καὶ τοῖς εὐλόγως, Καὶ τοῖς κακῶς ἔχουσι . . . Μένανδρ.

(3) Θεοκρ. Εἰδύλ. Ϛ'.

(4) Αὐτ. Εἰδύλ. Γ'.

(5) Αὐτ. Εἰδύλ. ΙΑ'.

§. κϛ'. Τελευταῖον δὲ ἐπὶ τοῖς καταλεχθεῖσι, καὶ τὸ ἐκ φιλαυτίας ἀκαίρουτε, καὶ εἴσω τῶν ὅρων τοῦ προσήκοντος μένειν μὴ ἀνεχομένης, φιλότιμον ἐκτόπως καὶ ἀλαζονικὸν, εἰς βάθος οἷον ἐνυποδυόμενον τῇ ψυχῇ, πρός τε κτῆσιν ἐπιστήμης, καὶ τὴν ταύτης (εἴποτε καὶ κτήσαιτο) χρῆσιν ὀρθὴν, μέγιστόν τε καὶ ἰσχυρότατον προσίσταται κώλυμα. Τό, τε ἐντεῦθεν δεινὸν τοσούτῳ χεῖρον, ὅσῳ ἧττον μὲν τῶν ἄλλων γίνεται τῷ συνισχημένῳ κατάφωρον, μᾶλλον δὲ ὡς εἰκὸς δυσαπόθετον. Καὶ καλῶς ᾗπου ἔσχατος τῶν ἄλλων εἴρηται ὁ τῆς φιλοτιμίας χιτών (1). Εἴη μὲν οὖν εἰς πορισμὸν ἐπιστήμης τὸ φιλότιμον κομιδῇ οὐκ ἀσυντελὲς, τάχα δέπου καὶ ὀνησιφόρον, λογισμοῖς δικαίοις οἰκονομούμενον. Τὸ γὰρ περὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων φιλοτίμως ἔχειν, καὶ ἐν εὐκλείας λόγῳ τὴν ἀρετὴν τιθέναι, οὐ πόῤῥωπου τοῦ καλοῦ ἱδρυτέον, ὡς οἷον ἐπὶ τὰ λόγου καὶ σπουδῆς ἄξια ὑπαλείφειν καὶ διεγείρειν πεφυκός (2). Εἰ δὲ τόδε τις μόνον ἑαυτῷ προστήσειε τέλος, τὸ κενὸν τῆς παρὰ τῶν ἀνθρώπων δόξης ἀποκερδάναι, μηδοτιοῦν περὶ τοῦ ἄμεινον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις, πρός τε θεωρίαν τοῦ ἀληθοῦς, καὶ τὴν τοῦ ἀγαθοῦ πράξιν, ἐντεῦθεν ἔσεσθαι βουλευόμενος, ᾗπου φροῦδαι μὲν αὐτῷ αἱ φροντίδες πασαι, κενὸν δὲ τὸ πολὺ τῶν πόνων ἔσται, καὶ ἄγονον τὰ πολλὰ, καὶ ἀτελεσφόρητον. Πρῶτον γὰρ ἐκεῖνο πολλοῖς τῶν ἐκ τύφου καὶ κενοδοξίας ἐπὶ τὸν κατὰ θεωρίαν βίον προηγμένων εἰκὸς συμβαίνειν, τὸ περὶ τὸ προτεθὲν αὐτοῖς, ὀξύτερον ἢ δέον κατασπεύδοντας, σπανίως εἰς ὥραντε καὶ ἀκμὴν ἀφικνεῖσθαι τῆς ἐν λόγοις δυνάμεως· Ἀλλ' ἄωρόντινα, καὶ δριμὺν ἔτι, καὶ ὡς φᾶναι ἀπέπαντον τὸν ἀπὸ τῆς σπουδῆς καρπὸν ἀποδρεπομένους, μηδὲν συγκομίζειν ὅ, τι καὶ εἰς τροφὴν ψυχῆς, καὶ τὴν ἐντεῦθεν ῥώμην, εὔχρηστον εἴη καὶ ἐπιτήδειον. Οἱ δὲ τῆς αὐτῆς φύσης μεμεστωμένοι, πρὸς ἥν γε φύσει δεξιῶς ἔχουσι λόγων τε καὶ μαθημάτων ἰδέαν, ἐπιστρέφονται μὲν οὐδαμῶς, ἀλλ' ὑφ' ὧν ἂν μᾶλ-

(1) „Διὸ καὶ ἔσχατος λέγεται χιτὼν τῶν παθῶν ἡ φιλοτιμία, ὅτι „τὰ ἄλλα πάθη συνεργούσης αὐτῆς ἀποδυσαμένη ἡ ψυχὴ ἐσχάτην ἀποδύεται ταύτην. Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρίδι. Κεφ. ιδ'.

(2) „Ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς, καὶ τὰς ἐπιδόσεις. Γρηγ. „Ναζιανζ. Λόγ. Κ'. Αἱ δὲ φιλότιμοι τῶν φύσεων, καὶ τῷ ἐπαίνῳ παροξύνονται. Πεινῶσι γὰρ τοῦ ἐπαίνου „οὐχ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλα, „τῶν σίτων τε καὶ ποτῶν. Ξενοφ. Βιβ. Ε'. Οἰκονομ.

μᾶλλον θαυμασθεῖεν, ᾗ δοκοῦσιν, ἐκείνων ἔχονται, περὶ ἅ, ὡς ἥκιστα πεφυκότες, ἀνηνύτως καὶ μάτην τὸ ζῆν κατατρίβουσιν. Ἕτεροι δ' αὖθις, οὐδὲν ὅριον, ᾗ προσῆκεν, Ἐπιστήμης ἑαυτοῖς περιγράφουσιν, ἀνέτοις δὲ ῥυτῆρσι δοξοσοφίας ἐκτόπου πρὸς πᾶν Εἶδος ἐπιστητὸν φέρονται· Καὶ σύμπασαν ἁπαξαπλῶς οἷον ἐκροφῆσαι τὴν παρ' ἀνθρώποις γνῶσιν σπουδάζοντες, πολλῶν μὲν ὅσον ἀπογεύονται καταλιχνευόμενοι, γεύονται δὲ ἐπιεικῶς οὐδενός. Οὐ γὰρ ὥστε καὶ εἰς χυλὸν, καὶ αἷμα τρέψαι τὰ προσφερόμενα. Εἰσὶ δὲ οἵ, καὶ τῆς ὑπὲρ τοὺς ἄλλους ὑπεροχῆς, τὸ καλὸν ἐν τούτῳ τιθέασιν, ἵν' ἅ μηδεὶς ἕτερος ἐξευρεῖν οἷός τε ὤφθη καὶ περινοῆσαι, αὐτοὶ καταλήψωνται· Διὸ καὶ ματαιοπονοῦσι τὰ πλεῖστα, περὶ τὰ μηδόλως ἐφικτὰ τὸ φιλόπονον ἐκδαπανῶντες, καὶ οὐδὲν ἄλλ' ἢ θεωρίας δόκησιν ἐμφανῆ παρακλέπτοντες. Οἱ δὲ τελευταῖον, τὴν ἀπ' ἐναντίας βαίνοντες, ὑπὸ γεμὴν τοῦ αὐτοῦ φυσήματος ἐμπνεόμενοι, ἅ μὲν αὐτοὶ οὐ κέκτηνται παιδείας καλὰ, ὡς περιττῶν καταφρονοῦσιν, ἅ, τε οὐ νοοῦσιν, ὡς τινὰ τῶν ἀνεφίκτων, ἀκίνητα χρῆναι ἐᾷν διατείνονται, καὶ τούς γε περὶ αὐτὰ φιλοπονοῦντας, ὡς ματαιοσχόλους οἷα τινὰς διασύρουσιν. Ἀλλ' ὅτι μὲν τοῖς ταύτῃ γε πεφυσημένοις τῶν ἀσκῶν, οὐδὲν ἄντις ἐλπίσειεν ἄρτιόν τε καὶ καλὸν ἐγχυθήσεσθαι ποτὲ μάθημα, εἰμὴ τούτων πρότερον ἐκπνευματωθείῃ τὸ φύσημα (1), φανερόν.

§. κζ'. Ἐκεῖνο δὲ παρελθεῖν οὐκ ἄξιον, τὸ κοινῇ πᾶσι παρακολουθοῦν τοῖς οὕτω διακειμένοις. Φημὶ δὴ, τὸ ἐκ τῆς περιούσης αὐτοῖς οἰήσεως καὶ δοξοσοφίας, περὶ ἕκαστα τῶν προβλημάτων θρασύτε καὶ προπετές. Καλῶ δὲ προπέτειαν τὸ ὀξύτε καὶ παράφορον τῆς ψυχῆς, τῆς πρὶν ἢ τέλεον, καὶ ὅσον ἐχρῆν, συλλαβεῖντε καὶ περισκέψασθαι τὸ προτεθὲν, προαλέστερον ἐπὶ τὴν ψῆφον σπευδούσης, καὶ προαρπαζούσης τὴν κρίσιν πρὸ τῆς ἐρεύνης. Ἥκουσι γὰρ εἰς τοῦτο ὑπὸ κουφότητος καὶ ἀπονοίας, τῇ ἑαυτῶν καταθαρροῦντες εὐφυΐᾳ τε καὶ ὀξύτητι πάνυ ἀφρόνως. Ἢ ὅτι δόξαν σφίσι κενὴν παρὰ

(1) „Ὅθεν οὐ κακῶς ἔνιοι λέγουσιν, „ὅτι δεῖ τῶν νέων μᾶλλον ἐκπνευματοῦν „τὸ οἴημα, καὶ τὸν τύφον, ἢ τῶν „ἀσκῶν τὸν ἀέρα, τοὺς ἐγχέαιτι βουλομένους χρήσιμον. Εἰ δὲ μὴ, γέμοντες ὄγκου καὶ φυσήματος οὐ προσδέχονται. Πλούτ. περὶ τοῦ ἀκούειν.

ρὰ τοῖς ἄλλοις προμνώμενοι, ἐξ ὑπογείᾳ πρὸς ἅπαντ' ἑτοίμως ἔχειν ἡγῆνται, ἢ δοκεῖν βέλονται. Οὐδαὶ ἔν τοῖς τοιούτοις, φαίης ἄν, ἄπορον εἶναι ἐδὲ ἀμήχανον, ἐδ' ἐρεύνης πολλῆς, καὶ διασκέψεως ἐκτενεστέρας δεόμενον. Ἅμα ἀκέσει νῆς ἀποφαίνεται, καὶ γλῶττ' ἀποφθέγγεται· Καὶ χρησμὸς ἄντικρυς ἐκ θείας μονονεχὶ ἐπιπνοίας τὸ ἀποφανθέν· Ἀνεξέτασον γὰρ, καὶ ἐδὲ μακραῖς θεωρίαις κατὰ νῶν ἐξειλιγμένον, ἐδ' ἐξ ἄλλων τινῶν προγινωσκομένων, μελέτῃ καὶ πόνῳ πεπορισμένον. Τῶν νωθρῶν γὰρ τὸτο καὶ παχυτέρων, ὡς ἂν αὐτοὶ φαῖεν· Οἳ καὶ περὶ τὸ τυχὸν μακρὸν ἐλινύοντες, μόλις ποτὲ συνιδεῖν ἐξικνῆνται τὸ προβληθὰν, καὶ περινοῆσαι. Αὐτοῖς δ' ἡ φύσις, πηγάσειόντι χρῆμα, ἀτεχνῶς ἰπταμένῃ· Καὶ ὅλως θεῖον τὸ τάχος τῆς περινοίας· Τὰ μὲν ἓν τῆς προπετείας σπέρματα ταῦτα. Οἱ δὲ καρποὶ οἷοι; Ὅσ' ἄντις διαφθεγγομένων ἀκέσειε, τοσαῦτα καὶ διαμαρτάνοντας ἐξελέγξειεν. Ὁπόσῳτε θᾶττον τὰ παρισάμενα ἀποφαινομένες, τοσότῳ πορρωτέρῳ τῦ ἀληθῦς ἀποπλανωμένες. Καὶ θαυμασὸν ἰδεῖν. Τἐναντίον γὰρ, εἴτις ποτὲ ὑπὸ τῶν τοιούτων ἄρτιος καὶ διηρθρωμένος ἐξενεγκεῖται λόγος, θαυμάσαιμι ἄν. Ἐνφέρειν γὰρ εἰκὸς καὶ τότες ἐμελῆτε καὶ ἄμορφα τὰ τῆς διανοίας κυήματα, καθάπερ αἱ τὰ ἀτελῆ ἀποκυΐσκεσαι ἀμβλωθρίδια. Τὸ δ' ἔτι χεῖρον, ὅ μηδ' ἐκείναις συμβαίνει, ὅτι, καὶ ὥσπερ ἐπὶ γόνοις αὐτοτελέσι, τοῖς ἰδίοις αὑτῶν ἐπαγαλλόμενοι ἐξαμβλώμασιν, ὅσον ἐκ ἐπὶ γέναισι Διὸς παρακατατίθεσθαι ἀξιῶσι. Καὶ ἐδὲ τῦτο θαυμαστόν. Τῆς γὰρ αὐτῆς ἀπονοίας ἐστὶ, τό, τε εἰκῆ καὶ ἀνοήτως περὶ τὰς κρίσεις προσπαίειν καὶ παραφέρεσθαι, καὶ τὸ ἀδιασείστως ἔπειτα καὶ ἀμεταπείστως ἔχειν περὶ τὰ δόξαντα. Τοῖς ἓν προπετεστέροις δὴ τότοις χαλινῦ χρεία, τῦ ἐκ τῆς εὐλογότε καὶ δικαίας ἐποχῆς, ὑφ' ἧς ἂν καὶ μόνης κατασχεθεῖεν τῦ παραφόρετε καὶ παραβόλε τάχες, ὃ γένοιτ' ἂν ἐδὲν, τοῖς τῦ ἀληθῦς φροντίζεσι, σφαλερώτερον. Εἰ γὰρ τοῖς ἐναντίοις ὥρισαι τ' ἀναντία ἰάματα, σχολὴ μὲν τὸ τάχος καὶνταῦθα, σκέψις δὲ μετὰ προσοχῆς γινομένη, τὸ παρημελημένον, καὶ ἀπερίσκεπτον, καὶ ὅλως παράφορον τῆς διανοίας ἀκέσεται. Χρὴ τοίνυν ἀτενῶς ὡς οἷόντε πρῶτον τῷ εἰς θεωρίαν προκειμένῳ ἐγκύπτειν. Εἶτα ὅσον ἄλις ἀμφιλαφῶς κατέχειν διερευνῶντας, καὶ παντοίως κατὰ νῦν σρέ-

φοντας. Τελευταῖον δὲ περὶ αὐτὸ εἰλικρινῶς τὸ δοκοῦν ἀπο-
„φαίνεσθαι. Τοῖς μὲν γὰρ σφαιρίζουσιν ἅμα τοῦ βαλεῖν, καὶ
„τοῦ λαβεῖν τὴν σφαίραν ἡ μάθησις· Ἐν δὲ τῇ τοῦ λόγου
„χρείᾳ, τὸ δέξασθαι καλῶς τοῦ προέσθαι πρότερον ἐστίν. Ὥ-
„σπερ τοῦ τεκεῖν, τὸ συλλαβεῖντι, καὶ κατασχεῖν τῶν γονί-
μων (1)· Ἐν οἷς τὸ μὲν συλλαβεῖν, ἐπὶ τῆς κατὰ γνῶσιν το-
κείας, πρώταις ἐννοιῶν ἐπιβολαῖς ἐστι τὸ νοητὸν ἀκριβῶς ἀ-
ναμάξασθαι· τὸ δὲ κατασχεῖν, διὰ τῆς προσηκούσης ἐρεύνης,
καὶ ἐποχῆς, ἐπιμελῶς ἀναθεωρῆσαι καὶ περισκέψασθαι. Τὸ
δὲ τεκεῖν τελευταῖον, τὸ τὴν ψῆφον ἐπενεγκεῖν, ἑπόμενον εἶ-
ναι, καὶ μετ' ἐκεῖνα ἡμῖν ὑποτίθησιν. Εἰμὴ γὰρ πρότερον
κατασχοῦσα μετὰ συντόνου τῆς προσοχῆς ἡ ψυχὴ, περιθάλ-
ψητε τὸ νοητὸν, καὶ γόνιμον ὡς ἀληθῶς ἀπεργάσηται, ὑ-
πηνέμιον τῷ ὄντι, καὶ ἀποφώλιόντι γέννημα πᾶσα αὐτῆς
ἔσται ἀπόφανσις, καὶ οὐδὲν ἐξοίσει ποτὲ, ὁ λόγου τινὸς εἴη,
καὶ φωτὸς ἄξιον. Ἀλλ' ὅτι μὲν εἰς φιλοσοφίαν πάντῃ ἀ-
φυὴς ἡ ὑπὸ τῶν ἀλόγων παθῶν ἀγομένη καὶ φερομένη ψυ-
χὴ, ἐκ τῶνδε δῆλον.

§. κή. Τελευταῖον δὲ καὶ τετάρτη πρὸς ταῖς διαληφθείσαις
ἡμῖν ἀπάτης καὶ ψευδοδοξίας ἀναστομοῦται πηγὴ, ἡ ἐκ τῆς
ἀγωγῆς. Ἀγωγὴν δὲ λέγω, οὐ τὴν τὸ πρακτικὸν ἀνθρώποις
τοῦ βίου μέρος εἰς κόσμον ἄγουσαν καὶ εὐθύτητα, τὴν δὲ λο-
γικωτέραν ταύτην, δι' ἧς ἄντις, τὰ ὀρθὰ ἐκ νέων ἀκούειντε
καὶ νοεῖν ἐθισθείη, καίγε τὴν ἡλικίαν προήκων, τῆς ἐκ τῶν
ἀρίστων τύχοι διδασκαλίας, καὶ τρόπῳ χρήσαιτο, καὶ μεθό-
δῳ, καὶ σπουδῆς τάξει τοιᾷδε, οἵᾳ χρήσασθαι εἰκὸς τοὺς καὶ
νῦν καὶ πάλαι ἐν φιλοσοφίᾳ εὐδοκιμήσαντας. Τοὺς γὰρ μὴ
καλῶς οὕτω διὰ τῶν μαθημάτων ἠγμένους, εἰς ἀτόπους τὰ
πλεῖστα δοξασίας παρασύρειν εἴωθε τὸ τῆς λεγομένης προλή-
ψεως πάθος, ὃ τῶν ἄλλων τοσούτῳ χεῖρον, ὅσῳ καὶ μᾶλλον
ἐστὶ δυσαπόθετον. Ἔστι δὲ πρόληψις, ψυχῆς δεινῶς προκα-
τόχου, περίτι τῶν δοξαστέων, ἀποτόμως προενηνεγμένη ἀπό-
φανσις, ἣν εἰμὴ πρότερον ἀπόθοιτο, οὐδέποτ' ἂν ἐν ἑαυτῇ
χώραν δοίη τῷ ὀρθῶς ἔχοντι καὶ ὑγιεστέρῳ φρονήματι. Ψυ-
χὴ γὰρ ἅπαξ φθάσασα τῷ ψεύδει ἐνδοῦναι τὴν εἴσοδον, ἕως
ἂν κατέχῃ, τοῦ ἀληθοῦς ἐστὶν ἀνεπίδεκτος· ὥσπου καὶ φωτὸς
τοῦ

(1) Πλούτ. ἐν τῷ περὶ τοῦ ἀκούειν.

τῶ ἐπαυγάζοντος ἄνωθεν, ὁμίχλη ἐπιπροσθεμένη βαθεία ὁδὸν ὠφελεῖται πόλις, ἐδὲ καθαρὸν οἷαπερ ἐσὶν ἐπιδέχεσθαι, ὅπερ ὑψόθεν αὐτῇ ὄμμα φαεινὸν ἡλίε φωτὸς ἐπαφίησι σέλας.

§. κϑ'. Ἀρχαὶ δὲ προλήψεων ἄλλοις μὲν ἄλλαι. Καὶ γὰρ καὶ αἴσθησις τὰ πολλὰ ἀκρίτως ἔφθη τῶ ὀρθῶ λόγε τὴν ψυχὴν ἀποβεκολήσασα, (§. η'. θ'. κξ'.) τάτε ἄγοντα καὶ φέροντα χετλίως αὐτὴν πάθη ὡς εἴρηται (§. κβ'. κξ'.) ἐπὶ πολὺ κρατήσαντα, ἐ ῥαδίως ἀπαλλαχθῆναι τῶν ὑπολήψεων ἐπιτρέπει, ὑφ' ὧν προκατείληπται. Παμπλείσων δὲ προλήψεων ἀρχὴ καθ'σταται καὶ τὸ τῆς Ἀγωγῆς περὶ ἧς ἡμῖν ἐνταῦθα διελθεῖν πρόκειται.

§. λ'. Α'. Οὖν ἐκεῖνο φανερὸν, ὡς πρῶτοι οἱονεὶ Καθηγεμόνες ἑκάσῳ καὶ Διδάσκαλοι γίνονται, οἱ ἐκ βρέφες ἐπιμελεῖσθαι αὐτῶ τεταγμένοι· οἷοι φύσει δηπε εἶναι ὤφειλον οἱ τεκόντες, ἐξ ἔθες δὲ τίτθαιτε, καὶ τροφοὶ καθίσανται, καὶ θεράποντες ἑξῆς, καὶ παῖδες συμπαίσορες, ὑφ' ὧν τὰς πρωτίσας ἀνάγκη περὶ τῶν πλειόνων κρίσεις τὰς μείρακας ἐκδιδάσκεσθαι, καὶ κατ' αὐτὰς σοιχεῖσθαι, τοιαύτας ἅσας, οἵας εἶναι εἰκὸς τὰς ὑπὸ τοιότων ἐκφερομένας. Τῶν ἓν πρώτων ἐκείνων ἀκροαμάτων ἐς βάθος ταῖς ἀπαλωτέραις ψυχαῖς ἐνδιατυπῶται τὰ ἴχνη, νεαζόσαις τε ἐνακμάζει, καὶ προϊόσαις τῷ χρόνῳ συνηλικιῶται καὶ ταῦτα, καὶ συνεπιῤῥώνυται. Ἐντεῦθεν δὲ, εἴτις ἀκριβῶς σκοποίη, ἡ τῶν ἀτόπων δοξασμάτων, καὶ ψόδων ὑπολήψεων πληθὺς ἀναφύεται, ὑφ' ὧν ἀλόγως οἱ πολλοὶ προκατειλημμένοι, θᾶττον ἄν, ἢ ταύτας ἀποδύσαθαι, τὸ ζῆν αὐτὸ πρόοιντο.

§. λα'. Β'. Δὲ ἰσχυρὸν κἀκεῖνο προλήψεις ἐμποιῆσαι τὸ σεμνὸν χρῆμα τῆς Ἀρχαιότητος· Εὐσοχωτέρως γάρπως οἱ πολλοὶ γονέσθαι τὰς ἀρχαιοτέρας πρὸς κατάληψιν ἀληθείας αὐτοῖτε κρίνεσι, καὶ τὰς ἄλλας πείθειν ἐπιχειρῆσιν. Οἱ δὲ τότων ἀκροώμενοι ἐξ ἀπειρίας πισόεσιν ὀύχερῶς· Πισόοντες δὲ, τοῖς μὲν ὑπὸ τῶν παλαιῶν λεγομένοις ὅλη ψυχῇ προσετήκασιν, εἴτι δέτις αὐτοῖς προβάλοιτο νεωτέρας ὂν φρενὸς ἐπιγεννημα, τότῳ μονονεχὶ προσοχθίζεσι, τοιόνδέτι ἀ τότῳ πάσχοντες ἐπικῶς, οἷον ἄν εἴτις καὶ χρυσὸν ἡγοῖτο ἀτιμότερον εἶναι, τὸν ἐκ νεαρᾶς καὶ προσφάτως ἀνορυχθείσης τῆς χρυσίτιδος ἐκφερόμενον. Τῆς δὲ προλήψεως ταύτης ἐ πολύτι παρήλακται, καὶ ἡ τῶν τὰς ἡλικίας δυσωπε-

μένων. Παραπλησίως γὰρ δὴ καὶ τούτοις δοκεῖ, πολιὸν ἐξίσθ τῇ τριχὶ, καὶ τὸ φρόνημα εἶναι ἀεὶ τῶ λέγοντος. Καὶ τί γὰρ ἄλλο; ἦ,

„Χρησμὼς ἀ πρεσβύτις ἀπώχετο θεσπίζασα (1);

Καὶ νὴ δία·

„Ταῦτα γὰρ ἡ γραῖα Κοττυταρὶς ἐξεδίδαξεν (2).

§. λβ'. Γ Πολλῶν ὡσαύτως ἀρχὴ προλήψεων καθίσαται, καὶ ἡ πρὸς τὸς διδάσκοντας δηλοπρεπὴς πίστις, τοῖς, μάλ' ἐν πείσῃ καρδίᾳ προσέχει μένσα, καὶ πέρα τῶ δέοντος τιμῶσατε καὶ σεβαζομένη, ὅσα ἂν αὐτοὶ ἀπὸ φρενὸς τῆς ἑαυτῶν ἀποχρέμψαιντο. Καὶ μάλισα ἢν ὅτω φαύλως ἔτοι τὸ τῆς διδασκαλίας μετιόντες τύχωσιν ἔργον, ὡς μηδὲν φροντίζειν τὲς ἀκροωμένες, κατὰ τὸ δεινὸ τῆς προλήψεως Κανόσιτε καὶ ὑποθήκαις ταῖς προσηκόσαις ὀχυρὸν, καὶ προασφαλίζειν. Πρὸ πάντων δὲ, καὶ ἦν αὐτοὶ ἐκεῖνοι τῶν προληπτικῶν ὦσιν ἐξ ἀτυχίας. Οὕτω γὰρ ἔχοντες πλείονος ἢ τῆς ἀπὸ τῶν διδαγμάτων ὠφελείας, τῆς ἀφ' ὧν εἰσὶ προενιχημένοι ψοδοδοξίας, τοῖς ὑπέχεσιν αὐτοῖς τὰ ὦτα μεταδιδόασιν. Εἰκὸς γὰρ τὲς ὑπὸ καχεκτικῶν ἐμπνεομένες θαμὰ καχεκτεῖν πολλαπλάσιον. Ὥσπερ καὶ χρωτὸς βρέφος ἁπαλωτέρε, βιαιότερον διὰ τὸ ὄπαθὲς ἢ ἐξ ἀναπνοῆς σαπρᾶς τῶν συγχρωτιζομένων ἥψατο λύμη. Τοιούτες δ' εἶναι, πρὸ τῶν ἄλλων νομιστέον, τὲς ἐξ ἑνὸς ὀνόματος καὶ μόνε φιλοσοφεῖν ἐπαγγελλομένες, καὶ τότε ταῖς δόξαις ἀπαρεγκλίτως σείχειν χρῆναι διατεινομένες, ὡς μόνε ἀκριβῶς ἂν ἅπασι πρὸς ἀλήθειαν ἐσοχήσαντος. Τί γὰρ ὃ θεῖον τῶν ἐκ τῶ δαιμονίε Πλάτωνος ἐσὶν εἰρημένων, ὡς ἂν οἱ ἐκείνῳ φαῖεν ἀχωρίτως προσκείμενοι; Τί δὲ ἔχ ὑγιῶστε καὶ κατὰ λόγον τῷ Σταγειρίτη περιφιλοσόφηται, ὡς οἱ περὶ ἐκεῖνον περιπατῆλες ἀνενδότως πρεσβεύσιν; Αὐτὸς ἦν ὁ φὰς, ὁ Πυθαγόρας δηλονότι, καὶ πολυπραγμονεῖν ἐκ ἦν τῶ λοιπῶ περὶ τὸ λελεγμένον. Οὕτω δεινήτις πρόληψις τινὶ ἀνθρώπῳ παντὶ προσήκεσαν ἀλήθειαν ἐξιδιοποιησαμένη, τότῳ καὶκείνῳ συνέδησε, καὶ τῶγε προληφθέντι ψοδεῖ ἐν πολλοῖς συγχέασα, μονονεχὶ τῶν Ἐπισημῶν ἐξέωσεν, Ἀριστοτέλει, καὶ Πλάτωνα, καὶ τὲς ἄλλες, ἀντ' ἐκείνης αὐταῖς ἐπισήσασα. Οὓς ὡς μὴ ἱερο-

φάν-

(1) Θεόκρι. Εἰδύλ. ιέ. (2) Αὐτ. Εἰδύλ. ε'.

φάντας τινὰς καὶ δαδούχους τιμᾶν εἰκὸς καὶ γεραίρειν, πολλάτε καὶ θαυμαστὰ ἐπινενοηκότας τε καὶ συγγράψαντας, οὐμὴν δὲ καὶ ἀπλανεῖς πάντῃ, καὶ ἀπταίστους ἡγεῖσθαι, ὡς μηδὲν ὅλως τῆς πρὸς τὸ ἀληθὲς ἀγούσης παρενεχθέντας, οὔτ' ἐν σμικρῷ, οὔτ' ἐν μείζονι (1).

§. λγ'. Δ'. Δὲ προλήψεως ποιητικὸν καθίσταται καὶ ὁ χρόνος. Καὶ γὰρ καὶ τὰ ἐκ πολλοῦ ὡς ἀληθῆ λαχόντα πρεσβεύεσθαι, ἀθετῆσαι προχείρως οὐ ῥάδιον· συμπαρομαρτεῖ γάρ τις ἀεὶ τῇ μεταγνώσει προλαβούσης ἐξαπάτης ὁμολογία. Ἐξηπατῆσθαι δὲ ἐπὶ πολὺ δόξαι χαλεπῶς φέρουσιν, ὅσοις οὐκ ἐπίπροσθεν τοῦ φιλοτίμου τίθεται τὸ φιλάληθες. Εἰ δὲ μὴ γεννᾷ, τὰς προλήψεις ὁ χρόνος, ἰσχυροποιεῖ γοῦν αὐτὰς, καὶ ῥώννυσι δευσοποιάτε ποιῶν καὶ ἀναπόνιπτα τὰ ἀνέκαθεν προειλημμένα. Διὸ καὶ τοῖς γεγηρακόσι πολὺ τὸ γῆρας ταῖς συνηλικιωθείσαις ὑπολήψεσι καὶ δόξαις παρέχεται τόνον. Τῷ γὰρ ὄντι ἀγναμπτότατος βάτος αὖος, καὶ γέρων ἄνθρωπος δυσπειστότατον, εἰ τὸ πρὶν εἴη τοὐναντίον ὑπειληφώς· Ἄλλως τε, καὶ εἰ νεώτερος τύχοι ὁ μεταπείθειν ἐπιχειρῶν. Οὐ γὰρ ἄν ποτ' ἐνδοίη τὸν ἧττον αὐτοῦ βεβιωκότα πλεονεκτεῖν ταῖς εἰδήσεσι, καὶ τῇ κρίσει φαίνεσθαι πολιώτερον.

§. λδ'. Ἁπλῶς οὖν, ὁπόθεν ἄν καὶ ἥκοι, τὸ τῆς προλήψεως πάθος, οὐκ εὐίατον. Δυσαγωγότατοι γὰρ οἷς ἂν ἐνσκήψειε, διὸ καὶ οἱ πλείους τούτῳ συγκαταστρέφοντες εἰσίν. Οὗ χάριν καὶ πολλῆς ἐπὶ τῶν Νέων τῆς ἐπιμελείας χρεία, ὥστε οὐδεμίαν σφίσι τοῦ κακοῦ παρείσδυσιν ἐπιτρέψαι· κἂν λάθῃ παρεισδύσαν, ὥστε τάχιστα τούτου ἀπαλλαχθῆναι. Οὐδὲ γὰρ ἔστιν ἄλλως, ἢ ὑφ' ὧν προκατέχονται ἀτόπωντε καὶ ψευδῶν ὑπολήψεων κομιδῇ προκαθαρθέντας, καὶ οἱονεὶ προτελεσθέντας, τὸν ἀληθῆ καὶ γνήσιον αὐτοὺς ἐλπίσαι ὑποδέξεσθαι

 λόγον

(1) „Ὁ δὲ πάντα θαυμάζων, καὶ πᾶσιν ἐξοικειούμενος, καὶ καταδεδουλωμένος τῇ δόξῃ τὴν κρίσιν ὑπὸ τῶν „Ἡρωϊκῶν ὀνομάτων· Ὥσπερ οἱ τὴν „Πλάτωνος ἀπομιμούμενοι κυρτότητα, „καὶ τὴν Ἀριστοτέλους τραυλότητα, „λήσεται πρὸς πολλὰ τῶν φαύλων „εὐχερὴς γενόμενος. Δεῖ δὲ μὴ δειλῶς, μηδ' ὥσπερ ὑπὸ δεισιδαιμονίας „ἐν ἱερῷ φρίττειν ἅπαντα καὶ προσκυνεῖν, ἀλλὰ θαρσαλέως ἐθιζόμενον „ἐπιφωνεῖν, μηδὲν ἧττον τοῦ ὀρθῶς „καὶ πρεπόντως, τὸ οὐκ ὀρθῶς, καὶ „οὐ προσῆκον. Πλούτ. ἐν τῷ πῶς δεῖ τὸν νέον Ποιημ. ἀκούειν.

λόγον (*). Γῆ μὰ γὰρ ὀργὰς καὶ πάντη ἀνέργαστος, εἰμὴ τῶν αὐτοφυῶν καὶ ἀγρίων ἀπαλαγείη φυτῶν, ἐδὲ τῶν καρπιμωτέρων καὶ χρησιμωτέρων, καταχεῖν ἔχει καὶ θρέψαι τὰ καταβαλλόμενα σπέρματα. Τῶντε ἕτω τὰς ψυχὰς κεχερσωμένων πολλὴ τοῖς ἐπιμελεῖσθαι λαχοῦσιν ἀπαντᾷ ἡ δυχέρεια (1). Χαλεπῦ γὰρ ὄντος τοῦ διδάσκειν, τῷ παντὶ χαλεπώτερον ἐστὶ τὸ μεταδιδάσκειν (2). Τὸς ἔν τοιότες (ὥσπερ καὶ Σωκράτης φέρεται τὸν λάλον Καρίωνα, ἵνα σιγᾶντε ἅμα καὶ λαλεῖν ἐκπαιδεύσῃ) διπλῆν ἦν δίκαιον ἀπαιτεῖν μισθὸν τὸς διδάσκοντας· τὸν μὲν, ἵν' ἅσπερ ἤδη κατὰ νῶν φέρουσιν, ὡς ὑετὸν κόμης ἀπομόρξωνται ψοδεῖς καὶ ἀτόπες προλήψεις, τὸν δὲ, ἵνα τ' ἀληθὲς ἐκδιδάξωσιν. Ἀλλὰ γὰρ ἐδεὶς ἴσως τῶν προλήψεων ἐξιᾶσθαι ἐδένα δυνήσεται, ὡς ἑαυτὸν ἕκαστος αὐτὸς, ἐμβριθεῖτε γνώμῃ, καὶ γενναίῳ χρησάμενος τῷ φρονήματι.

§. λέ. Χρὴ τοίνυν τὸν τῆς ἀληθείας ἐραστὴν παντὸς μὲν πάθες ἑαυτὸν ἀπαλλάξαντα, πᾶσαντε πρόληψιν ἀφ' ἑαυτοῦ ἀποθέμενον, ἐλεύθερῶτε νῷ, καὶ ἀδιαφόρῳ τῶν δογμάτων ἀπτόμενον, ἕνα τὸν λόγον διώκειν, ὅθεν ἂν, καὶ ἐξ ὁτῳῦν ἐκφέρηται, παρ' ἐδὲν τιθέμενον. Ἡ γὰρ ὅτι ἀπὸ σκύθε, καὶ ἐκ ἐξ Ἕλλῆνος ὁ προχειριθεὶς λόγος, καίτοι ὀρθῶς προβαίνων, διὰ τὸν εἰπόντα ἦκισα παραδεκτέος; ἢ ἐν σώματι νεωτέρε ἠβάσκεσα ἡ ἀλήθεια, μὴ ἄρα τὸ σεμνὸν ἀπεβάλετο (2); ἢ δύσνες αὐτὴ, ὅτι μὴ ἀπὸ φίλων χειλέων ἦκεσα

(*) „Ἀναγκαῖον μὴ μόνον διδάσ„καν αὐτὸς ὅσον χρηςὸν, ἀλλὰ πο„λὺ πρότερον ἀποσῆσαι τῦ μοχθηρῦ. Γαλ. περὶ τῶν καθ' Ἱπποκρ. καὶ Πλάτ. Δογμ. Βιβ. β'.

(1) „Ἔργον δὲ ἐ μικρὸν, νῦν ὦ„σπερ βίβλον παλίψηςον, ἠδὴ μολυσ„μῶν ἀνάπλεων, καὶ τὴν βαφὴν ἐκ „ἀγιέντα τῆς ἀπάτης ἐν ποικίλῳ χρόνῳ „δευσοποιὸν ἔσαν καὶ δυσέκπλυτον, δια„καθάραι, καὶ πρὸς βαφὴν εὖ πεφυ„κότα διαθέσθαι τὴν κρείττονα. Πλάτ.

„Ἄλλως τε ὅταν πολύντινες χρόνον „ὦσι τὰ ψευδῆ ἀκηκοότες, καὶ μὴ μό„νον αὐτοὶ ἐξηπατημένοι, ἀλλὰ καὶ „οἱ πατέρες αὐτῶν, καὶ οἱ πάπποι, καὶ „κεδὸν πάντες οἱ πρότερον· Οὐ γάρ „ἐςὶ ῥάδιον τάτων ἀφελέσθαι τὴν δό„ξαν, ἐδ' ἂν πάνυτις ἐξελέγχῃ. Δίων ὁ Χρυσός.

(2) Ὡς ἐκ ἔςιν ἔλαττον ἔργον.... „τὸ μεταμανθάνειν τᾶ μανθάνειν ἐξ „ἀρχῆς. Ἀριςτ. Πολιτ. τὸ Δ'. Κ. ά.

(3) „Μὴ τᾶτο βλέψῃς, ἀ νεώτερος „λέγω·

„Ἀλλ' ἀ φρονᾶντος τὰς λόγως
Ἀνδρὸς Σ' ἐρῶ. Μένανδρ.

σα (1). Ἐκεῖνο γάρμοι καὶ λίαν ἔοικεν ἀλογώτατον, καὶ φιλοσόφῳ ἐπαγγέλματος πάμπαν ἀλλότριον, τὸ τῇ δόξῃ ἐνόστινος τῶν ἐπὶ Φιλοσοφίᾳ γνωρίμων δεισιδαιμόνως προσκεῖσθαι, καὶ μηδεμίαν περὶ τὰ ἐκείνῳ δόξαντα ἐξέτασιν ποιεμένους, ἕνα τοῦτον κανόνατε καὶ τύπον ἀκριβείας ἡγεῖσθαι ὅ,τι ἂν ἐκεῖνος φθάσας διδάξειε. Πλατων ζεντε, ἢ κατὰ τὸν Ἀριστοτέλιω Φιλοσοφεῖν, αἱρεῖσθαι μᾶλλον, ἢ ἀληθεύειν. Καὶ ὁμοφρονεῖν τῷ τῆς Αἱρέσεως ἐξάρχοντι περὶ πλείονος ποιεῖσθαι, ἢ ὀρθὰ φρονεῖν. Ἀλλ' ἐκ εἰς τοῦτο γὰρ ἡμῖν ἀλογίας κατενεχθήσεται ὁ γνησίως ἠρημένος Φιλοσοφεῖν· Ἀλλὰ τὸ μὲν ἐπὶ μάρτυρος κρίνειν τὰ προβαλλόμενα παισὶ ῥητόρων ἐάσας (2), αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα ἐξετάσει (3)· θαυμάσει δὲ μᾶλλον ἐκ τῶν λεγομένων τὸς εἰπόντας, ἢ τὸ ἀνάπαλιν. (4). Μόνης τε λόγον ἕξει τῆς ἀληθείας, ἧς ἀδεὶς ἐξίν, ὃς Φιλοσοφεῖν ἐπιχειρήσας, πῇ μὲν ἐχ ἥψατο δυσχήσας, πῇ δὲ καὶ ἀποτυχὼν ἀ διήμαρτε. (Προδι. Α'. §. ς'. ζ'. ἡ.). Καὶ πολλάκις μεν, ἀ Φαῦλα, ἀδὲ καταφρονητέα τινά, κἀν ταῖς τῶν ἧττον ἐνδόξων βέβλοις ἐγκύπτων εὑρήσειν ἐλπιεῖ.

„Ὡς ἂν ἐχινόποδας, καὶ ἀνὰ τρηχεῖαν ὀνωνιν,
„Φύωνται μαλακῶν ἄνθεα λειμκοΐων.

πολλαῖς δὲ ἐντυγχάνων ἀλόγοις τε καὶ ψευδέσιν ὑπολήψεσι καὶ παρὰ τοῖς ἐνδοξοτάτοις αὐτοῖς, εὐδόλως θαυμάσεται· ὑπὸ παντὶ γὰρ λίθῳ σκορπίος εὕδει. Ὅ, τε ἔτως ἀπαντῶν καὶ „ἀντερείδων, καὶ μὴ παντὶ λόγῳ, πλάγιον, ὥσπερ πνεύματι „παραδιδὲς ἑαυτὸν, ἀλλ' ὀρθῶς ἔχειν νομίζων τὸ, βλαξ ἂν-

„θρω-

(1) Φίλος Πλάτων καὶ Σωκράτης φιλτάτη δὲ ἡ ἀλήθεια.

(2) Ῥητορικὸν γὰρ τὸ τοιῆτον μᾶλλον, ἢ τιμῶντος ἀλήθειαν ἀνδρός. Γαλην. προτρεπτ. ἀς τὰς τέχν.

(3) „Τὲς ἐν Φιλοσοφίᾳ λόγες, „ἀφαιρῶντα χρὴ τὴν τῶ λέγοντος δό„ξαν, αὐτὲς ἀφ' ἑαυτῶν ἐξετάζειν. „Πλέτ. περὶ τῦ ὄντος. Μήτε ἡλι„κίαν τῶ λέγοντος ἑκάστε, μήτε σχῆ„μα, ἢ δόξαν ἐπὶ Σοφίᾳ, αἰδέμε„νον. Ἀλλὰ καὶ τὲς Ἀρεοπαγίτας „αὐτὸ ποιῆντα, οἳ ἐν νυκτὶ καὶ σκότῳ „δικάζεσιν, ὡς μὴ ἐς τὲς λέγοντας, „ἀλλ' ἐς τὰ λεγόμενα ἀποβλέπειν. Λεκια. πρὸς Ἑρμότιμ.

(4) Οὐδὲ τέτοις τοῖς Ἀνδρᾶσιν (Ἱπποκρ. καὶ Πλάτ.) τοσῦτον ὑπὲρ τὲς ἄλλες τὴν ψυχὴν κεκοσμημένοις, ἀδὲὶς νῶν ἔχων ἁπλῶς ἀπῆσιν ἀξιοῖ πιστεύειν, ἀλλ' ἀναμένει τὴν ἀπόδειξιν. (Γαλ. ἐν τῷ περὶ καθ' Ἱπποκ. καὶ Πλάτ. Δογμ. Βιβ. γ'.

„θρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι, πολλὰ διακρȣ́σε-„ται τῶν ȣ̓κ ἀληθῶς ȣ̓δὲ ὠφελίμως λεγομένων. (1). Ἀλλὰ καὶ περὶ τῶν προλήψεων ἅλις.

§. λϛ΄. Οὐδ' ἐκεῖνο δὲ, τοῖς, ὡς ἐκ τῆς ἐνδιαϛρόφȣτε καὶ ἐκμελȣ̃ς περὶ τὰ μαθήματα ἀγωγῆς ἀπαντῶσι, τῷ φιλοσοφεῖν αἱρȣμένῳ, κωλύμασι προσθεῖναι ὀκνήσομεν, τὸ παρὰ τὴν λέξιν, ὡς ȣ̓δὲν ἐλάσσονος εὐλαβείας δεόμενον. Καὶ γάρτοι καὶ ἡ τῶν λέξεων παράχρησις, ἀπάτης καὶ ἀμαθίας πολλάκις, ȣ̓κ ἂν εἴποιτις ὅσης, ἀρχὴ τοῖς μὴ προσέχȣσι γίγνεται. Τρισσῶς δέ. Ἤτοι γὰρ τῷ κάλλει καταθέλγȣσα τῶν ὀνομάτων ἡ λέξις, ἀφροντιϛεῖν ποιεῖ τȣ̃ βάθȣς, καὶ τῆς ὀρθότητος τῶν νοημάτων τȣ̀ς ἐντυγχάνοντας (2), ἢ διὰ τὸ ἀσαφὲς, ἢ παρὰ τὴν ὁμωνυμίαν τῶν φωνῶν ἀχλῦτινα παχεῖαν τῶν πραγμάτων κατασκεδάζȣσα, δυσχερῆτε καὶ δυσαντίβλεπτα παρέχεται καὶ τὰ προδηλότατα. Ἢ τέως ἐκ μεταφορᾶς τὰ πλεῖϛα αἰνίζȣσα, καὶ ταῦτα ἔνθα τȣ̃ λόγȣ τὸ ἀπηκριβωμένον ἀπαιτεῖται καὶ κύριον, ἐξ ἄλλων ἐπ' ἄλλας ἐννοίας, τȣ̀ς μὴ πάνυ γοργόντε καὶ ἀτενὲς βλέποντας μεθίϛησί τε καὶ παρακρȣ́εται. Τοῖς γȣ̃ν εὐηθεϛέροις, ἀκȣ́ȣσιν, ὡς ἄρα ὕειτε, καὶ βροντᾷ, καὶ κεραυνοβολεῖ, ἔφορόν τινα ἐπέρχεται τῶν τοιȣ́των ἐπινοεῖν, κρατεραῖς ταῦτα χερσὶν αὐτȣργȣ̃ντα· Καὶ κεραυνὸς ἐντεῦθεν πλάττεται ἐν δεξιᾷ Ζηνὸς σμερδαλέος, καὶ τ' ἄλλα οἶμαι, οἷς ἐφήδεται ποίησις. Οὕτω δέτοι καὶ τῶν φυτῶν τὰ μὲν ὀρεινοῖς, τὰ δὲ πεδινοῖς, τὰ δὲ τοῖς τέλμασι, καὶ τοῖς διϋγροτέροις τῶν χωρίων χαίρειν, καὶ τοῖς μὲν οἰκειȣ̃σθαι, τοῖς δ' ἄλλως ἔχȣσιν ἀπεχθάνεσθαι συνεχῶς πυνθανόμενοι· Καὶ ἀνέμȣς μὲν ἀλλήλοις ταῖς πνοαῖς ἀντεμβάλλοντας, τȣ̀ς δὲ φωϛῆρας ἀλλήλȣς ἐπιζοφȣ̃ντας· Ἡμέραντε τὰ πολλὰ διαγελῶσαν, τήτε νύκτα σιγηρὰν βαίνȣσαν· ἠχώτε ἕτοιμον ἀντιβοῶσαν, καὶ λίθον ἄφετον, τὸ κέντρον τὸ ἑαυτȣ̃ καταλαβεῖν ἐπισπέρχοντα, καὶ Πῦρ ἔξορον ὄν, ἐπὶ τὴν ἰδίαν γενέσθαι σφαίραν κατεπειγόμενον, καὶ τὴν φύσιν τὸ κενὸν κατορρωδȣ̃σαν, καὶ Μαγνήτην τὸν σίδηρον καταθέλγοντα,

(1) Πλȣ́ταρχ. ἐν τῷ πῶς δεῖ τὸν νέον ποιμά. ἀκȣ́ειν.

(2) Ἔχει δέτι καὶ ἡ λέξις ἀπατηλὸν, ὅταν ἡ δεῖα, καὶ πολλὴ, καὶ μετ' ὄγκȣ τινὸς, καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμασι. Πλȣτ. περὶ τȣ̃ ἀκȣ́ειν.

τα, καὶ τἄλλ' ἃ παρίημι, φιλίαν ἐκ οἵδ' ἥντινα ἐκ τούτων, καὶ νεῖκος, καὶ ἔφεσιν, καὶ φρίκλω, συμπάθειάν τε, καὶ ἀντιπάθειαν, καὶ τὰς τοιαύτας τῶν παθῶν κινήσεις, καὶ τὸ ἔχατον διανοησίντινα χεδὸν, καὶ βέλησιν τοῖς ἀδ' αἰθήσεως λαχῆσι, καὶ τὸ πᾶν ἀψύχοις, λανθάνεσι περιάπτοντες. Τὸ δὲ χεῖρον ὅτι ἐξ ἐκείνων τῶν ὀνομάτων μυθοπλαξεῖν ἐθισθέντες, πολλῇ ἔπειται τῇ ἐξ αὐτῶν λέχη, καὶ φιλοσοφεῖν ἐπαγγελλόμενοι, τὰς ἐν φιλοσοφίᾳ σεμνοτέρας λόγας καταμιαίνουσιν, αὐτοίτε λέγοντες, καὶ τῶν ἔτω λεγόντων ἡδέως ἐπακροώμενοι. Οὕτω μετὰ τῆ ἡδέος τλιὺ ἀπὸ τῆ ψοΐδες λανθάνομεν ἀπάτλω παραδεχόμενοι, ἐλθθέρως ἡμῶν ταῖς ψυχαῖς διὰ τῶν τοιότων εἰσρέουσαν (1).

§. λζ'. Ἀλλὰ γὰρ ἐξιατέον ἡμῖν καὶ τλιὺ ἐντεῦθεν ἐμποιεμένλω λάβλω ταῖς κατὰ διάνοιαν κρίσεσιν, αὐτὸ τῆτο ποιεμένοις τὰ ὀνόματα, ὅπερ ἐσὶ, καὶ ἕ χάριν ἐτέθη, τῶν τῆς ψυχῆς παθημάτων σύμβολα. Ταύτητοι καὶ τὸ μὲν ἀπὸ τῆς λέξεως γάνος αὐτοῖς δὴ τοῖς λεξιθήρως παραλειπτέον ἀπειροκάλως κομψοΐεσθαι, οἵ κατὰ τὲς περὶ τλιὺ βοτάνιω Κηφῆνας, περὶ τὰ ἐκτὸς μόνον σοφιεῶσι τῆς λέξεως. Ἡμῖν δὲ αὐτὸν τὸν καρπὸν πρὸ τῶν φύλλων θετέον (2), ἐπιμελεμένοις μὲν ὡς εἰκὸς καὶ τῶν ὀνομάτων, τῇ δὲ χρείᾳ τῇ τότων μάλιτα ἐμφυομένοις. Ἔχει μὲν γὰρ κἀκεῖνα παρὰ τὸ ἡδὺ τὸ χρειῶδες, σκοπεῖται γεμλὼ ἐν ταῖς κατ' ἐπισήμλιν διατριβαῖς, μᾶλλον ἃ λέγεται, ἢ ὡς λέγεται (3). Καὶ ἄμεινον παρὰ πολὺ τὸν φιλοσοφῆντα ἀκριβῶς ἀληθΐεν καὶ

σολοι-

(1) „Λανθάνεσιν ἓν ἐφελκόμενοι „καὶ παραδεχόμενοι δόξας πονηρὰς ἐ„πομένας τοῖς ὀνόμασι. Πλάτ. ἐν τῷ περὶ Ἴσιδ. καὶ Ὀσίριδος.

(2) „Δεῖ ἓν τὸ πολὺ καὶ κενὸν ἀ„φαιρᾶντα τῆς λέξεως, αὐτὸν μᾶλ„λον διώκειν τὸν καρπόν· τῇ δὲ τῆ λό„γε χρείᾳ πρῶτον ἐμφυομένης, δεύτε„ρον ἔργον τὸ περὶ τῶν ὀνομάτων ἡ„γεῖσθαι. Πλάτ. περὶ τῆ ἀκούειν. „Ὅρα δὴ .... Φιλοσόφων Συγγράμ„ματα διεξιὼν, καὶ λόγας ἀκούων, εἰ „μὴ πλέον τοῖς ὀνόμασι μόνον προσέ„χεις, ἢ τοῖς πράγμασιν. Αὐτ. ἐν τῷ

πῶς ἄντις ἀΐδοιτο ἑαυτῆ προκόπτοντος ἐπ' ἀρετῇ. Καὶ γάρ, Ἡ μὲν λέξις, „οἷον ἐδὴς ἐπὶ σώματος, τὰ δὲ πράγ„ματα σάρκες εἰσὶ καὶ νεῦρα. Οὐ χρὴ „τοίνυν τῆς ἐδῆτος πρὸ τῆς τῆ σώμα„τος σωτηρίας κήδεσθαι. Κλήμ. Στρωμ. Λόγ. α'.

(3) „Φιλοσοφίᾳ γὰρ ἡ διενεκτέον „περὶ τῶν ὀνομάτων ὑπηρεσίαν τῇ διά„νοίᾳ ζητέσῃ, κἂν χαμόθεν αὐτὴν „εἰς τὰ πράγματα συμπορίζηται, „τρανήντε καὶ ἐφαρμόζεσαν. Συνέσ. „περὶ βασιλ.

σολοικίζοντα, ἢ ψόδεσθαι ἀττικίζοντα (1). Ἀφελεῖτε καὶ πεπατημένῃ τῇ λέξει χρώμενον τῶν πραγμάτων ὀξόχως ἐπιτυγχάνειν, ἢ μηδὲ ὑγιὲς ἀποφαίνεσθαι λαμπρότι καὶ γεγανωμένον ἀποφθεγγόμενον (2). Τὸ δέγε ἐκ τῆς ἀσαφείας, καὶ παρά τιν' ὁμωνυμίαν τῶν φωνῶν κάλυμμα, διασολαῖτε τοῖς προσηκόσαις, καὶ ἐπεξηγήσεσι προσφυέσι περιαιρετέον. Ὅσα δὲ τέως ἐκ μεταφορᾶς μετείληπται, ἐπὶ τὸ κυριώτατον τῆς σημασίας, ἧπερ οἴοντε, ἀνακτέον. Καὶ μάλισα ἐπειδὰν ὁ λόγος τυγχάνει τῆς κατ' ἐπιστήμιν ἀκριβολογίας δεόμενος. Οὔτε γὰρ τὸ ἀσαφὲς, ὅτε τὸ διεχηματισμένον τῆς φράσεως ὁ φιλόσοφος ἀσπάζεται λόγος, ἔ τέλος μάλισα τ' ἀληθὲς κρυπτόμενον εἰς φῶς ἄγειν, καὶ ἐν ἀπερίττωτε καὶ ἀκορήτῳ ἁπλότητι τοῖς ἄλλοις ὑποτιθέναι. Τοιγαρῦν καὶ αὐτοὶ ἐν τῷ φιλοσοφεῖν ἀεὶ τῆς τῶν φωνῶν ἀπέχεσθαι παραχρήσεως, ὅση δύναμις, πειρασόμεθα, τῶν δὲ ἄλλων, ἢ καταψοδομένες τῇ καταχρήσει τῆς λέξεως ἀπελέγξομεν, ἢ ἐν ἀκαίρῳ κομψότητι τῶν λεγομέναν τὸν νῦν συγκαλύπτοντας, κυρίως λέγειν καὶ σαφῶς δεησόμεθα.

„Οὐκ οἶδα σάφα τί κέκρυπται εἰκόνι τῇδε·
„Ὡς πάντ' αἰνικτὰ, κ' ἀσαφῆμοι λέγεις.
Ἄξιον γᾶν τὸ τῦ Ῥωμαίᾳ, ἔτως ἡμῖν ἐξελληνισθέν (3).
„Τίπτ' ἀσαφέσσι τελῶ λῶσε φρένα ῥήμασι κόσθεις;
„Ὄφρ' ἴδεις ξωίη, σῖγ' ἄρ' ἄμεινον ἔσο.

§. λή.

(1) „Ἔφασκε γὰρ (ὁ Ζήνων) τὲς „μὲν τῶν ἀσολοίκων λόγυς καὶ ἀπηρ„τισμένυς, ὁμοίυς εἶναι τῷ Ἀργυρίῳ „τῷ Ἀλεξανδρινῷ εὐοφθάλμυς μὲν ἢ „περιγεγραμμένυς καθὰ καὶ τὸ νόμισ„μα, ἴδεν δὲ διὰ ταῦτα βελτίονας· „τὲς δὲ τἐναντίον ἀφωμοίς τοῖς Ἀττι„κοῖς τετραδράχμοις, ἐκῆ μὲν κεκομ„μένες καὶ σολοίκυς, καθέλκειν μέν„τοι ποῖλάκις τὰς κεκαλιγραφημένας „λέξεις. Λαέρτ. ἐς βίον Ζήνων.

(2) „Ἐμοὶ δὲ ἀκότως οἶμαι προκει„σθαι νοεῖν τὰ σημαινόμενα, εὐγλωτ„τίαν δὲ μήποτε ζηλῶντα, ἀρκεῖσθαι „μόνῳ τῷ αἰνίζασθαι τὸ νοούμενον· ὁ„παίῳ δὲ ὀνόματι δηλῶσθαι τῶτο ὅπερ „παρασῆσαι βέλομαι, ἀδένμοι μέ„λει ... Κἂν φυλάξῃς (φησὶν ὁ Πυ„θαγόρειος ἐν τῷ Πλάτων. Πολιτικ.) „τὸ μὴ σπεδάζειν ἐπὶ τοῖς ὀνόμασι, „πλεσιώτερος εἰς γῆρας ἀναφανήσῃ φρο„νήσεως. Καὶ ἔνγε τῷ Θεαιτήτῳ εὖ„ροις αὖ πάλιν· τὸ δὲ εὐχερὲς τῶν „ὀνομάτωντε καὶ ῥημάτων, καὶ μὴ „δ' ἀκριβείας ἐξεταζόμενον, τὰ μὲν „ποῖλὰ ἐκ ἀγεννὲς, ἀλλὰ μᾶλλον τὸ „τἐτε ἐναντίον ἀνελεύθερον. Ἔσι δ' ὅτε „καὶ ἀναγκαῖον. Κλήμ. Ἀλεξ. Αὐτ.

(3) Quid iuvat obscuris involvere scripta latebris?
Ne pateant animi sensa? silere potes.

§. λή. Ἐπὶ πᾶσι δὲ τέως καὶ αἱ παρὰ τὸ προσῆκον ἀ-
χολίαι, καθάπερ Ἐχενηίδες τινὲς τῷ βραχεῖ τὲ ἐν ἡμῖν Νῷ
ἀκατίῳ ἰσχυρῶς προσισάμεναι, τὸ προκείμενον τῆς τῶν ὄντων
ἐπιςήμης διαβαλεῖν ἐκ ὄμαρῶς ἐπιτρέπουσι πέλαγος. Λέγω
δὲ ὰ μόνον τὰς ἕνεκα τὲ πορισμὲ τῶν ἀναγκαίων μερίμνας,
καὶ τύρβας· (Καὶ γὰρ καὶ τέτων ἐλευθεριάζειν προσῆκεν ἡ-
μῖν τὸν Φιλόσοφον) (1), ἀλλὰ καὶ τὸ περὶ τὰς μελέτας ἐκ-
δεδιητημένον, καὶ ἄτακτον· Καθ' ὅ, οἱ μὲν ἐκτόπως τῶν
Συγγραμμάτων τοῖς μὴ κατὰ πρόθεσιν τιὼ αὐτῶν ἐγκύπτειν
τὰ πολλὰ χαίρεσιν· Οἱ δὲ καὶ τοῖς ἀφ' ὧν ἐδεμίαν ἐςὶ
καρπώσασθαι λυσιτέλειαν, κενιὼ δὲ ἄλλως τέρψιντε καὶ ψυ-
χαγωγίαν ἀνόνητον, ἐμματαιάζεσιν· Οἱ δὲ τῶν πρὸ ὁδὲ
γινομένων μαθημάτων παραμελῆντες, ἀτέλεσοι ἔτι τῶν ἃ
προγινώσκειν ὠφελον ὄντες, ἐπὶ τὰ ἐχόμενα χωρῆσι, καὶ
ὑπερβάθμιον, ὃ δὴ λέγεται, τὸν πόδα αἴρεσιν· Οἱ δὲ τέως
καὶ τοῖς χρησιμωτάτοις καὶ περιεργοτάτοις ἐνδιατρίβοντες,
ἀταλαιπώρως πως αὐτὰ ἐπιτρέχεσι, τῶν μὲν πρὸ ὀφθαλμῶν
ἀνεπισάτως καὶ ἐπιπολαίως ἔτως εἰπεῖν ἐπιψαύοντες, ἐπὶ
δὲ τὰ πρόσω πάνυ λίχνως τε καὶ ἀκρατῶς ἐπισπώδοντες,
τῶν δὲ ὀπίσω, οἷαπερ εἰκὸς τὲς ἔτως ὀλιγώρως τὰς μελέ-
τας διατιθεμένες, ἐδ' ἀμαυρὰ γῆν τὰ ἴχνη κατέχοντες.

§. λθ'. Ἀλλὰ γινέσθω δὴ πρὸ παντὸς ἡ τῶν πρὸς τὸ τέ-
λος φερόντων βιβλίων αἵρεσις. Καὶ τέτων ὅσα ὑπὸ τῶν γνω-
ριμωτάτων ἐπὶ τῇ προκειμένῃ τῆς Ἐπιςήμης ἰδέᾳ συγγέ-
γραπται, ἐν χερσὶ παρέσω. Καὶ ἡ κατὰ τὰς θεωρίας προ-
σήκεσα μέθοδος καὶ τάξις τηρείσθω. Μηδὲν τῶν προεγνῶ-
σθαι δεόντων ὑπερβαινέσθω. Μὴ ἐπιτροχάδην, μηδ' ἀδιασκέ-
πτως τὰ ὑπ' ὀφθαλμοῖς παρερχέσθω. Τὰ αὐτὰ καὶ δεύτε-
ρον, καὶ τρίτον δεῆσαν ἐπαναγινωσκέσθω. Τῶν νοημάτων,
μηδὲν πλέον ἢ χωρεῖν πέφυκε καὶ ἔχειν, ὁ νῦς ἐμφορείσθω.
Τὰ ἀπαντῶντα τῶν διαπορημάτων ἐπιλυέσθω. Εἰ μὴ
καθ' ἑαυτὸ ἐπὶ τῶν δυσξυμβλήτων ἡμᾶς ἐθέλει διδάσ-
κειν τὸ βιβλίον, ὁ τιὼ δυχέρειαν ἐκ μέσε ποιησόμενος ζη-
τείσθω, καὶ ἐπερωτάσθω. (2). Τὰ λόγε ἄξια σημειέ-
σθω.

(1) „Ἄσκησις λόγων, καὶ μαθη-
„μάτων ἀνάληψις, ἀπραγμοσύνης δᾶ-
„ταις καὶ σχολῆς. Πλάτ. περὶ Ἐυθυμ.

(2) „Κυλιόμενα δὲ ἀεὶ (τὰ βιβλία)
„μόνῃ μιᾷ χρώμενα τῇ ἐγγράφῳ φω-
„νῇ, πρὸς τὸν ἐπανερόμενον ἐδὲν πλέ-
„ον

σθω. (1). Καὶ ἐν ἐπιτομῇ τὰ ἀναγνωσθέντα ἀνακεφαλαιούμενα τῇ μνήμῃ ἐναποτιθέσθω. Περὶ μὲν οὖν τῶν, ὅσα τὴν ἀπὸ τοῦ φιλοσοφεῖν εἴωθεν ἡμῖν κολούειν ἐπίδοσιν, καὶ ὅπως ταῦτα ἐπανορθοῦσθαι δέον, ἢ φυλάττεσθαι, τὰ κυριώτερα, ἃ ἄντις εἴποι, σχεδὸν τοσαῦτα.

Ἐπειδὴ δὲ τοσοῦτον ἡμῖν διὰ παντὸς τοῦ λόγου. τὸ τῆς προσοχῆς, καὶ ἀκριβοῦς περὶ ἕκαστα παρῄνηται σκέψεως, φέρε δὴ καὶ τίνα ἐστὶ τὰ προάγοντα καὶ ἐπιτείνοντα τὴν προσοχὴν ἐν βραχεῖ διέλθωμεν.

§. μ΄. Α΄. Τὴν εἰς τὸ προσέχειν τοῖς νοητοῖς παρασκευὴν ἐν αὐτῇ τῇ ψυχῇ, ὡς ἐκ τῆς βουλήσεως χρεὼν ἥκειν ἔχοντας. Τουτέστιν οὐ παρημελημένως, οὐδὲ οἷον παρέργως, ἀλλὰ μεθ' οἵας ὅσης σπουδῆς καὶ συντόνου τῆς προθυμίας, ἑκάστης τῶν θεωριῶν ἁπτομένους. Ἃ γὰρ οὐ περιπαθῶς διώκομεν, οὐδ' εὐστόχως θηρώμεθα· Οἷς δ' ἂν ἰσχυρᾷ ψυχῆς ἐφέσει ἐπιχειρῶμεν, ἐν τούτοις τὰ πλεῖστα καὶ κατορθοῦν πεφύκαμεν. Ἡ δὲ ἔφεσις περὶ τὰ μαθήματα, καὶ ἐκ πολλῶν μὲν ἄλλων ἐγγένοιτ' ἄν, ὅσαι μικροῦ δεῖν ἃς ἕκαστος προέλοιτο ἐμφιλοσόφου βίου ἰδέας, μάλιστα δὲ καὶ ἐκ τῆς σὺν ἐκπλήξει τῆς ψυχῆς ἀπορίας διεγερθείῃ, καθ' ἣν ἐπὶ τὴν κατα γνῶσιν θήραν τῶν ὄντων ὑπὸ τῆς ἱερᾶς κινούμεθα φύσεως (Ἀφήγ. Προεισ. §. δ΄. ε΄.), δι' αὐτόγε τοῦτο ὅτι λόγου μετέχομεν, καὶ ἐπιστήμης ἐσμὲν δεκτικόι. Διὰ γὰρ ταῦτα τοῦ εἰδέναι ἕκαστος φύσει ὀρέγεται. Εἰδέναι δ' ὀρέγεται πρὸ τῶν ἄλλων, ὅσα μετὰ τοῦ καλοῦ τὸ θαυμάσιον φέροντα, ἐξίστησί τε νοῦν τὸν ἐντυγχάνοντα, καὶ εἰς ἀπορίαν κινεῖ. Ἡ γὰρ τοῦ μαθεῖν ἔφεσις ἀπορίας μὲν ἐστὶν ἐπιγέννημα, εὐπορίας δὲ, καὶ εἰδήσεως τιθηνὸς ἀγαθὴ καὶ μήτηρ. Καὶ ἄνθρωποι περὶ τὰ θαυμαζόμενα, μετεώρῳ νῷ, καὶ λογισμῷ φιλοπράγμονι ὑπ' ἀγνοίας τὴν ἀρχὴν τεθηπότες, ἐντεῦθεν ἐκ τοῦ ἀπορῆσαι φιλοσοφεῖν ἄρξασθαι φέρονται. „Μάλα γάρ τοι φιλοσόφου τοῦτο

„ον παρὰ τὰ γεγραμμένα ἀποκρίνεται. „Δεῖται γὰρ ἐξ ἀνάγκης βοηθοῦ· ἤτοι „τοῦ ἐγγραψαμένου, ἢ καὶ ἄλλου τοῦ „εἰς τὸ αὐτὸ ἴχνος ἐμβεβηκότος. „Στρωμ. λόγ. α΄.

(1) „Ἐκλέγειν δὲ χρὴ καὶ ἐκ τῶν „γεγραμμένων λόγων. Τὰς δὲ διαγρα„φὰς ποιεῖσθαι περὶ ἑκάστου γένους. Πα„ρασημήνασθαι δὲ καὶ τὰς ἑκάστων δό„ξας. Ἀριστ. Τοπικ. Βιβλ. Α΄. Κ. ιδ΄.

„τῆτο τὸ πάθος, τὸ θαυμάζειν. Οὐ γὰρ ἄλλη ἀρχὴ φι-„λοσοφίας, ἢ αὕτη. (1).

§. μά. Β'. Δὲ ἐκ ζήλε, καὶ φιλοτιμίας ἀνεπιμώμε, ἐπὶ τιὼ πεδαίαν μελέτιω ὀ μικρὸν ἡ ψυχὴ πέφυκε παραθήγεθαι. Τὸ γὰρ ἀίδιον εἰς τὲς ἔπειτα τὸ κλέος παραλιπεῖν, καὶ Σοφοῖς Ἀνδρᾶσιν ἐν Ἱερῷ μνήμης ἀγήρω καὶ ἀϊδίε συνιδρυθῆναι, ὡς ἔνι σφόδρα κνίζειν οἶδε ψυχιὼ τιὼ φιλόκαλον. Ἡ δὲ δὴ φιλοτιμία αὕτη πρὸς τὲς δοκιμωτέρες βλέπεσα, εἰς ἔριν μεθίσαται τῷ ἀμιλλομένῳ, ἐπὶ τὲς ὠφελιμωτάτες πόνες συνεχῶς διεγείρεσάτε καὶ ὑπαλείφεσα, δι' ὧν ἄν καὶ παρόδοκιμήσαι τις ποτὲ (2), ἢ γᾶν ἐγγὺς γένοιτο, μηδὲν „τι τῆτο προσλυμαινομένων. Ἡ γάρτοι τῶν ἀγαθῶν ἔρις „ὠφελεῖ τὸν ζηλᾶντα, μὴ παραβλάπτεσα τὸν ζηλέμενον. (3). Αὕτη μὲν ἓν τῶν Ἐρίδων ἡ καλλίση, ἣ καὶ Ἡσιόδῳ δοκεῖ (4). Ην ἐδὲν ἀπεικὸς πάχειν καὶ τὸν τῆς Σοφίας ἐραςιὼ, τῷ καλῷ τάτῳ ζήλῳ, μυωπιζόμενον, καὶ τὸ μακρὸν ἔτω, καὶ ὄρθιον, καὶ τραχὺ τῆς ἐπὶ τὸν κολοφῶνα τῶν ἐπιςημῶν φερέσης ἀθύμως μάλα καὶ καρτερικῶς διανύοντα.

§. μβ' Γ'. Βοηθεῖ δὲ εἰς προσοχιὼ ὀ μετρίως καὶ μελέτη ἡ ἀμεθόδως, καὶ μεθ' ἧς προσήκει τάξεως γινομένη. Ην μήτις ἁπλήσως ὥσπερ οἱ ἀδηφάγοι τὰ ὄψα, μηδὲ χανδὸν ἅμα τῇ διανοίᾳ πάδοι πάντα καταβροχθεῖν τὰ προσφερόμενα, ἀλλὰ καθ' ἕν, τῶν λοιπῶν χωρὶς, ἕκασον ἀναμασσῶτο, χυμόντε τάτε, καὶ ποιότητα κρίνων, καὶ δυάμιν. Ἀπαυδήσειε γὰρ δήπε καὶ νᾶς, ὑπὲρ ὃ δεξιὸς ἐςὶν ἐμφορέμενος, καὶ ὑπὸ πλήθες κατακλυζόμενος, καὶ ἐξεμέσειεν

(1) Πλάτων. ἐν Θεαιτήτῳ.

(2) Οὕτω καὶ Γαληνὸς, ὡς ἐπιβολὴν Φιλοσοφίας τὲς κατ' αὐτὸν ἐτύγχανε διεγείρων, πρὸς ζῆλον τὸν τῆ Ἱπποκράτες αὐτὲς παρορμῶν, καὶ ὡδὲν ἀδύνατον εἶναι, τὸ καὶ Ἱπποκράτες αὐτῆ βελτίες γενέδαι ὑποτιθέμε-„νος. Φιλοσοφητέον ἡμῖν ἐςὶ πρότε-„ρον, εἴπερ Ἱπποκράτες ἀληθῶς ἐσ-„μέν ζηλωταί. Κἂν τᾶτο ποιῶμεν, „ὡδὲν κωλύει, μὴ παραπλησίες, ἀλ-„λὰ καὶ βελτίες αὐτᾶ γενέδαι· Μαν-„θάνοντας μὲν, ὅσα καλῶς ἐκείνῳ γέ-„γραπται, τὰ λείποντα δ' αὐτὲς ἐ-„ξευρίσκοντας. Γαλην. Ὅτι ἄριςι. Ἰατρ. καὶ Φιλόσοφ.

(3) Δημόκριτος.

(4) Ἥτε καὶ ἀπάλαμόνυπερ ὄμως
ἐπὶ ἔργον ἐγείρει.
. . . . . .
. . . Ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
Ἡσιοδ. ὡς τὰ Ἔργα καὶ ἡμέρας.

σειεν ἄρα ἐπισρέψας τὰ ἐντιθέμενα (1)· ἢ ἐδὲ τλὺ ἀρχλὺ ἂν εἰς δέξαιτο, κατὰ τῶν σκευῶν τὰ βραχύσομα, ἃ τῶν ὑγρῶν εἴωθεν ἀνεκπέμπειν, ὅσα τότοις ἀφθόνως τε καὶ περιττῶς ἐπικατωχεῖται. Ὥσπερ γὰρ ὀφθαλμὸς πλείοσιν ὁρατοῖς, ἕτω καὶ νῆς πλείοσι τῶν νοητῶν ἐκ τῆ σώεγγυς ἐπιβάλλων, ἥττων ὤφθη ἑαυτῆ τῇ δυνάμει. Καὶ φύρδιν μὲν ἴσως τὰ πολλὰ, καὶ ἀκρίτως, τῶν δὲ πολλῶν ἐδὲ ἓν δίκρινῶς, ἐδ' ὡς χρὴ προσενόησε· Τῆθ' ὅ καὶ τοῖς ἑτέρες διδάσκειν ἐπαγγελλομένοις ἐπιμελῶς ἐςὶ παρατηρητέον. Τῶν γὰρ ἀκροωμένων τὸν νῆν ὑπὲρ τὸ δέον πολλάκις παραφορτίζοντες, ἐν βυθοῖς ἀγνοίας ὑποβρύχιον καταδύσει, (2).

§. μγ'. Δ'. Καὶ τὸ πολυμέριμνον τῆ βίᾳ, καὶ πολυάχολον, ταραχὰς ἐμποιῆν τῇ ψυχῇ μεγίσας, καὶ παντοίων παθῶν χαλεπὰς διεγεῖρον θυέλλας, ἐκ ἐᾷ τῇ δεόσῃ προσοχῇ χρήσαθαι, ἐδ' ἐπιτρέπει μεθ' ἡσυχίας καὶ ἀπραγμοσύνης ἐνδιατρίβειν τοῖς νοητοῖς. Τῷ γῆν τινὰ θεωρίαν ἐνησομένῳ βίος ἄφροντις ἐναπαιτεῖται, ἀτάραχος, τῶν ἔξωθεν περιπετειῶν, καὶ πραγμάτων ὡς οἷόντ' ἐλεύθερος. Αἰθήσεις τῷ νῷ πειθαρχεῖσαι μηδὲ πρὸς τὰ ἔξω ἀτάκτως ῥεμβόμεναι. Σῶμα μηδ' ὑπὸ τρυφῆς διαῤῥέον μηδ' ὑπὸ τῆς ἄγαν ἐνδείας ἐκλεῖπον· ἧπερ γὰρ γαςὴρ παχεῖα λεπτὸν ἀ τίκτει νόον, ὡς εἴρηται, ἀλλὰ καὶ ἡ κατισχνόστε καὶ πάγκενος καταλειπομένη, καὶ τὸν ἐνόντα νόον, ὡς ἐγ ᾠμαι, θορυβεῖ, καὶ ἐξίςησιν. Ἐπὶ δὲ τότοις καὶ ψυχῆς χρεία ἑαυτῆ τε σωιέναι, καὶ ἡδέως οἰκρεῖν προσεθιθείσης, καὶ Νῆ ῥᾶσα τῶν παρὰ τλὺ πρόθεσιν ἀφελκομένε, καὶ μεταξὺ τῶν κατ' αἴθησιν προσβολῶντε καὶ θορύβων, εἰ τύχοι, ἀτενὲς καὶ ἀσκαρδαμυκτὶ ἐπὶ τὰ νοητὰ ἐπισρέφοντος. (3).

§. μδ'.

(1) „Μέγας γὰρ ὁ κίνδυνος ἐνθὺς „ἐξεμέσαι, ὃ ἔκ ἔπεψας. Σιμπλίκ. „ἐς τὸ Ἐπικτ. Ἐγχειρ. Κ. ΞΘ'.

(2) „Πολλάκις διδάσκει ἀφθόνως „καὶ διὰ φθόνον,

„Ὅπως ἀκέων πολλὰ, μηδὲ ἓν μάθῃ. Φιλήμ.

(3) „Ὅθεν ἐκεῖνο μὲν ψεῦδος ἐςὶ „τὸ Δημόκριτον ἐκκοῖλως σβέσαι τὰς „ὄψεις, ἀπερασάμενον εἰς ἔσοπτρα πυ„ρωθέντα, καὶ τὴν ἀπ' αὐτῶν ἀνάκλασιν δεξάμενον, ὅπως μὴ παρέχωσι θόρυβον, τὴν διάνοιαν ἔξω κα„λῶσα πολλάκις, ἀλλ' ἐῶσιν ἔνδον οἰκρεῖν, καὶ διατρίβειν πρὸς τοῖς νοη„τοῖς, ὥσπερ παρόδιοι θυρίδες ἐμφρά„γεσαι. Τῆτο μέντοι παντὸς μᾶλλον ἀληθὲς ἐςὶν, ὅτι τὴν αἴθησιν „ὀλίγα κινοῦσιν, οἱ πλεῖσα τῇ διανοίᾳ „χρώμενοι. Πλατ. περὶ πολυπραγ.

§. μδ'. Ε'. Προσοχῆς ἐπιτόνιον καὶ ὁ τόπος, ὁ ἔξω ταραχῶν καὶ θορύβων ἀπωκισμένος. Αἱ γάρτοι Μῶσαι ταῖς ἐρημίαις ἐπιχαίρουσι, τὸ μοναδικὸν τῆ βίᾳ, καὶ ἡσύχιον ἀσπαζόμεναι (1). Δεῖ μέντοι καὶ καθ' ἑαυτὸν τινὰ ψυχὴν μελετᾶν καὶ ἐθίζεσθαι, καὶ ἐν μέσῳ τῶν θορύβων αὐ ἀπραγμοσύνῃ καὶ ἀταραξίᾳ καθίσαθαι. Ἄλλως γὰρ ἐχέσῃ οὐδ' ἂν αὐτὴ ἡ ἐρημία πάντοτε συντελέσειεν. (2).

§. με'. ς'. Οὐ μικρὸν ἐπιβοήθημα εἰς προσοχῆς ἐπίτασιν καὶ ὁ χρόνος. Προσήκων δὲ καὶ μάλιστα ὁ τῆς νυκτὸς (3), τῆς δὲ δὴ νυκτὸς τὸ κατ' ὄρθρον (4)· ἐπειδὰν ὑπὸ τῶν μεθ' ἡμέραν καμάτων ἡ ψυχὴ πιεζομένη τῆς ἀναγκαίας δεῖται ἀνέσεως, ὑπὸ τῆς τροφῆς βαρυμένη (καὶ γὰρ ἤδη διὰ τὸν ὕπνον ἡ ἀνάδοσις ἐξετελέσθη) ἀφυέστερον ἑαυτῆς ἔχει τὰ ἐπιόντα συνιδεῖντε καὶ ἀκριβώσαθαι.

§. μς'. Πλὴν ἀλλ' ἐν ἅπασι μεμνημένος τῆ μηδὲν ἄγαν, φεύγειν τὰς ὑπερβολὰς παραινέμεν, αἳ τὸν νοῦν πως ἀπαμβλύνειν πεφύκασι, καὶ ἀσθενέστερον ἑαυτῆ ποιεῖν. Ἐπὶ παντὸς γὰρ τὸ πλέον τῆ συμμέτρῳ ἀνόνητον· ἔστι δὲ ὅπῃ καὶ ἐπιβλαβές. Διὸ καὶ ὕπνοι ἐπίσης, καὶ κόποι πολέμιοι τοῖς μαθήμασιν, οἱ μεθ' ὑπερβολῆς δηλονότι καὶ ἀμετρίας, ὡς τῷ

(1) „Εὑρετικὴν γὰρ εἶναι φασὶ τὴν „ἐρημίαν. Μένανδρ. καὶ τὰ Μουσεῖα „διὰ τοῦτο ὡς πορρωτάτω τῶν πόλεων „ἱδρύσαντο. (Πλάτ. αὐτόθ.). Ὅθεν „ὅση δύναμις ἀποστατέον τῶν τοιούτων „χωρίων, ἐν οἷς καὶ μὴ βουλόμενον „ἔστι περιπίπτειν τῷ πλήθει ..... „Οὕτω γὰρ καὶ τῶν πρόσθεν ἀκούομεν „κλέα Ἀνδρῶν, Πυθαγορείωντε (καὶ „τῶν ἄλλων) Σοφῶν. ὧν οἱ μὲν τὰ ἐ„ρημότατα χωρία κατώκουν, οἱ δὲ ἐκ „τῶν πόλεων τὰ ἱερὰ, καὶ τὰ ἄλση, „ἐξ ὧν ἡ πᾶσα ἀπελήλαται τύρβη. „Πλάτων δὲ τὴν Ἀκαδημίαν οἰκεῖν ἔ„λετο, ἐ μόνον ἔρημον, καὶ πόρρω τῆ „ἄστεως χωρίον, ἀλλὰ καὶ ὡς φασὶν „ἐπίνοσον. Ἄλλοι δὲ καὶ τῶν ὀφθαλ„μῶν ἀπ ἐφέσαντο πόθῳ τῆς ἔνδον „ἀπερισπάστε θεωρίας. Πορφύρ. περὶ ζώων. ἀποχ. Βιβ. Α'.

(2) „Καὶ ἡμῖν ἔτως ἐθιθεῖσα ἡ „ψυχὴ λόγῳ δυνήσεται ἅπαντα δια„πράττεθαι. Ἡ δὲ ῥεμβομένητε καὶ „ἀλύσσα, καὶ ἄλλοτε ἐπ' ἄλλα τρε„πομένη, ὅταντι προφανῆ ποτε ἡδο„νήντινα, ἢ ῥᾳθώνην ἔχον, ὥσπερ ὕδα„τος ἐν ἑτεροκλινεῖ χωρίῳ ὅποι ἔτυ„χε τρεπομένε, οὐδὲν ἂν ὠφεληθῇ οὐδ' „ὑπὸ τῆς πάσης ἐρημίαστε καὶ ἡσυ„χίας. Δίων ὁ χρυσ. περὶ Ἀναχωρήσ.

(3) Διὸ καὶ τὴν νύκτα προσᾶπον Εὐφρόνην. (Πλούταρχ. περὶ Πολυπραγ.). Εὖ γὰρ, ἢ καὶ ποιῶ κρεῖσσον νυκτὸς ἢ ἡμέρας φρονεῖν ἐοίκαμεν. Ἐν νυκτὶ δὲ ἄρα διατέτο βελτίωνες Σοφοῖσι γίγνεται.

(4) Ταύτητοι καὶ ὁ ὀρθρίσας πρὸς αὐτὴν ἐ κοπιάσει. Σοφ. Σολομ. Κ. ς'. Καὶ φίλη ἔσα τοῖς μέσοις ᾗὡς πεποίηται.

τῷ Δαιμονίῳ εἴρηται Πλάτωνι. Χρὴ οὖν τὸ δριμὺ τῶν πόνων τῷ ἡδυτέρῳ συγκεραννύειν τῆς ἀνέσεως, καίγε ἐκ διαλειμμάτων, ὥσπερ κιθάρας χορδὰς, τὰς τῶν φρενῶν ἐπιτείνειντε καὶ ἀνιέναι. Κατὰ γὰρ τὸ Ἀδέσποτον ἐκεῖνο, ὃ τῷ Λουκιανῷ εἰσὶν οἱ προσένειμαν,

Ἓξ ὧραι μόχθοις ἱκανώταται· Αἱ δὲ μετ' αὐτὰς,
„Γράμμασι δεικνύμεναι, ΖΗΘΙ λέγουσι βροτοῖς.

Ὦ δὴ καὶ ἡμῖν ποτὲ ἐπιπέπαικται, τὴν ἐπὶ τοὺς πόνους ἐπάνοδον ἀπὸ τῆς δεκάτης ἐφεξῆς, ὧδε διασημήνασιν,

„Ἢν δὲ παρελθὼν αὖ καμάτων ἅψῃ δαπανηρῶν,
„Καρκινωβατέοντ', αὖθι λέγουσι ΒΙΑΙ.

ΠΡΟΔΙΑΤΡΙΒΗ ΤΡΙΤΗ.

Περὶ τῶν ἐν ἡμῖν Γνωστικῶν Δυνάμεων· Καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν· Καὶ περὶ Ἕξεων.

§. α'.

Πάντες ἄνθρωποι, ᾗ φύσεως ἔχοντες εἰσὶ, ταύτῃ καὶ τῆς ἐπὶ τὸ γινώσκειν εὐμοιροῦσι δυνάμεως. Ἐντεῦθεν καὶ ὁ ἰσχυρῶς ἅπασιν ἐντετηκὼς περὶ τὸ εἰδέναι καὶ ἐπίστασθαι ἔρως, οὗ σημεῖον καὶ ἡ τῶν αἰσθήσεων ἐλήφθη ἀγάπησις. (1). Ὡς κενῆστε ἄλλως καὶ φρούδης ἂν οὔσης, τὴς πρὸς μηδὲν ἐκβῆναι πέρας δυναμένης ἐφέσεως· καὶ πρὸς τὸ μηδόλως τῇ νοήσει προληφθὲν, μηδ' εἶναι τὴν ἀρχὴν, φύσιν ἐχούσης. Τοῦ γὰρ ἀγνοουμένου, ὥσπερ οὐδὲ κρίσις. οὔθ' ὑπόληψις, οὕτως οὐδ' αἵρεσις, οὐδ' ἔρως ἐγγένοιτ' ἂν οὐδεὶς οὐδενὶ οὐδόλως. (2). Ἡμῖν δὲ, καὶ τούτου γε ἄνευ, καθ' ἑαυτὴν ἡ τοῦ γινώσκειν ἀριδήλως περιοῦσα ἐμφαίνεται δύναμις, ὡσανεὶ φῶς αὐτο-

(1) Ἀριστ. Μεταφ. τῷ Μείζ. Α'. Κεφ. α'.

(2) Τὰ γὰρ ὀρεγόμενα καὶ αἰσθάνεσθαι τοῦ ὀρεκτοῦ ἀνάγκη. Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρίδι. Κ. α'.

αὐτοφανὲς, φωτὸς ἑτέρου πρὸς ἔκφανσιν μὴ δεόμενον, ἐξ ἑαυτῆς πλατῦσα οἰκοθεν τὸ αὐτόπιστον. Τὰ γὰρ παρ ἑαυτῇ ἅπαντα ἡ ψυχὴ κρίνειν οἵατε ὄσα, ὅσα τῶν ἰδίων αὐτῆς ἐκ ἐξήρηται ὅρων, αὐτὴ τέως πρὸς ἑαυτὴν ἐπισραφεῖσα, καὶ εἰς ἑαυτὴν συννόσασα, τό, τε κρίνον ἐςὶν ἅμα, καὶ τὸ κρινόμενον. Τὰ μὲν γὰρ ἄλλα τῶν ὄντων ὁπωσδὴν οἶδεν, ἑαυτῆ δὲ σύνοιδεν ἀτρεκῶς ταῦτ' εἰδεία, καὶ ἐπισαμένη συνεξεπίσαται. Καὶ δὴ, καὶ πρὸ τέτων ἑαυτὴν ἐπιγιγνώσκεσα ἐςὶ πολὺ πρότερον, εἰ μηδὲν ἄλλο, ἀλλὰ γᾶν ὑπάρχεσαν· Καὶ παντοῖα, τὰ μὲν διωαμένην, τὰ δ' ἐνεργᾶσαν, τάδ' ἄλλοτ' ἄλλως διακειμένην. Οὐδὲ γὰρ ἐδ' ἔσαν, ἐδὲ γιγνώσκειν ἑαυτὴν ἀγνοήσαν ἄν ποτε πεφυκεῖαν, ἐδὲ γιγνώσκεσαν.

§. β'. Τῶ δὲ τρόπῳ τῆς τοιᾶσδε γνώσεως συνείδησις ὄνομα, ἢ σωαίθησις, ἢ συνεπίγνωσις, ἤτι τοιῶτον, οἷον ἂν τὴν εἰς ἑαυτὸ σύννοσιν τῇ γνωσικῇ ἐμφαίνειν δυνάμενον. Καὶ ἔξω τὰ κατ' αὐτὸν λαπτὰ, τῶν ἡμῖν γινωσκομένων τὰ πρῶτα, καὶ βεβαιόταται, καὶ πάντῃ πάσης ἀμφιβολίας ἔξω ἱσάμεναι· Οὗτος γὰρ ὡς ἄντις ἀληθείας γνώμων ἀτραβής τε καὶ ἀπαρέγκλιτος ἡμῶν ἑκάςῳ ἐγκαταβέβληται τῇ ψυχῇ, καὶ τῶτο γνώσεως ἁπάσης οἷον κριτήριον ἀψοδέςατον ἵδρυται. (1). Οὐδ' ἔσιν ἄλλοθεν, ἢ ἐκ τέτε σαθμήσαθαι, τοῖς ἑαυτῶν ἀτενῶς ἐνθυμίοις προσέχοντας, ὁπώς ποτε περὶ αὐτὰ τυγχάνομεν ἔχοντες. (2). Καὶ γὰρ καὶ ὁ ἀκλινῶς τι καὶ ἀκινήτως εἰδὼς, αὐτόθεν ἔχει τὸ ἀραρὸς ἑαυτῷ τῆς ἐννοίας καὶ βέβαιον, καὶ ὡς εἰπεῖν ἀδιάσειςον· Ὅ, τε ὑπονοῶν, καὶ ὑπενδοιάζων τινὶ γνώμῃ, ἑαυτὸν ἐ λέληθεν ἀσατῦντα, καὶ σαλδόμενον. Καὶ ἐδ' ἂν ὁ ἀπορῶν ὡς ἀπορεῖ, ἔθ' ὁ ἀγνοῶν ὡς ἠγνόησέτι, ἐδ' ἂν εἰ πάνυ βεληθείς, ἐπιεικῶς ἀγνοήσειε, καὶ εἰ τὰ Σέξτε παίζων καὶ Πύρρωνος, ἄλλοτι λέγειν παρ „ὃ πέπεισα πλάττοιτο. Τὸ γὰρ ἀδύνατον εἶναι φάσκειν τὸ „αὐτὸ καὶ κρίνον καὶ κρινόμενον, καὶ πιςὸν καὶ ἄπιςον ὑπάρχειν

(1) „Ὥσε τὸν ἐν ἑκάςῳ λέγον Κανόνα εἶναι διακριτικὸν τῇ ἀγαθῇ κ' τῇ „κακῇ, τῇ ἀληθῆς καὶ τῇ ψευδές. Σιμπλίκ. ἐς τὸ Ἐπικτ. Ἐγχειρίδ. Κ. οβ'.

(2) „Τίς δ' ἐκ ἔχει συναίθησιν τῇ „θέλειν καὶ μὴ θέλειν, καὶ τῇ αἱ„ρεῖθαι καὶ ἐκκλίνειν, καὶ τῇ συντί„θεθαι καὶ ἀπαρνεῖθαι; Σιμπλίκ. ἐς τὸ Ἐπικτ. Ἐγχειρ. Κεφαλ. α'.

χειν (1), οὐδὲν πρὸς ἔπος, ὅσον εἰς δύναμιν εἰπεῖν, τὴν καὶ τὰ πράγματα νοῦσαν, καὶ ὅπως περὶ τὰς ἰδίας ποτὲ νοήσεις ἔχει ἑαυτὴν μὴ λανθάνουσαν. Ἔνθεντοι καὶ ὁ Νεώτερος (2), εὐθυβόλως ἑαυτὸν οἷον ἀναζητῶν, δι' αὐτῆς εὐστοχήσας ἀνεῦρε τῆς γινομένης αὐτῷ διασκέψεως. Εἰ τοῦτο μόνον καὶ αὐτὸς, ὅτιτε διανοούμενος εἴη, καὶ ὡς ἐντεῦθεν κατὰ πᾶσαν ἀνάγκην καὶ ὑπάρχων, πρὸς τὸ φῶς ἐκεῖνο ἀτενίσας συνεωράκει, τὸ κατὰ τὴν εἰρημένην συνείδησιν.

§. γ'. Ἐξ αὐτῆς δὲ ταύτης τῆς συνειδήσεως, καὶ τί δήποτε τὸ ἀληθεύειν ἐστὶ, τί δὲ τὸ ψεύδεσθαι, οὐ δυσχερὲς συνιδεῖν. Ἐπειδὴ γὰρ τῇ ἐπανειλημμένῃ ταύτῃ ἐννοίᾳ (ἣν συνείδησιν ἀποκαλοῦμεν) ἡ κατ' αὐτὴν τοῦ νοουμένου ἄμεσος εἴδησις, οἷόντι νοητὸν ὑπόκειται, ᾧ συνᾴδειν μὲν αὐτὴν ὡς εἴρηται ἀεὶ ἀναγκαῖον, διαφωνεῖν δὲ αὐτοῦ οὐχ οἷόντε (§. α' καὶ β'.), φανερὸν ἐντεῦθεν, ὡς ἡ μὲν ἀλήθεια ἐν τῇ κατὰ τὸ αὐτὸ τοῦ νοητοῦ, καὶ τῆς νοήσεως κεῖται συμφωνίᾳ, τὸ δὲ ψεῦδος ἐν τῇ τούτων μεταξὺ διαφωνίᾳ καὶ διαμάχῃ. (3). Διὸ καὶ τὰς μὲν

(1) Σέξτ. ὁ Ἐμπειρ. Βιβ. ζ. πρὸς τοὺς λογ. Κ. α'.

(2) Ὁ Γάλλος Καρτέσιος διαπορῆσαι δεῖν ἐγνωκὼς ἅπαξ ποτὲ διὰ βίου περὶ πάντων, καὶ δὴ καὶ περὶ ἑαυτοῦ οὐδὲν ἥκιστα, εἰ ὑπάρχοι ἀναζητῶν, τουτὶ τὸ τεθρυλλημένον παρὰ τοῖς Νεωτέροις εἰσέβαλε: „Νοῶ· οὐκοῦν ὑπάρχω. πρώτηντε καὶ βεβαιοτάτην ταύτην τῶν ἐν φιλοσοφίᾳ ὑποθέμενος γνώσεων. Περὶ Ἀρχ. φιλοσ. Μέρ. Α'. Τμήμ. ζ'.

(3) Τὴν Ἀλήθειαν παρὰ τὸ μηδόλως λήθειν, τουτέστιν ἀπατᾶν, οὕτως, ᾗ δοκεῖ, εἰρημένην, τριττῶς εἰώθασι διαστέλλειν. Ἡ μὲν γὰρ ἐν τούτῳ κεῖται, ὅτι ἕκαστα τῶν παθῶν καὶ ἰδίων ἃ φύσει αὐτοῖς πρόσεστιν εὐμοιρεῖ· οἷον ὁ Μαγνήτης φέρε τῶν τοῦ Μαγνήτου, καὶ τῶν τοῦ χρυσοῦ ὁ χρυσὸς, καὶ τῶν γε τοῦ νοήματος αὐτὸ τὸ νόημα. Καλεῖσθαι δὲ εἴωθεν ἡ ἀλήθεια αὕτη Μεταφυσική· Καὶ οὐδὲν ψεῦδος ταύτῃ γε νοουμένῃ ἀντίξουν φέρεται. Πᾶν γὰρ ὅ,τιπερ ὄν ἐστὶ, καὶ ἀληθὲς κατ' αὐτὸ τοῦτο τυγχάνει, ὡς ἄρα συνάδων τῇ Ἀρχετύπῳ Ἰδέᾳ, ὡς ἄντις εἴποι Πλατωνικῶς· τοιοῦτον ὂν δηλονότι, οἷον τῇ Ἰδέᾳ τῆς κατ' αὐτὸ παρίσταται φύσεως· ᾧ δήπου λόγῳ, ψευδὲς οὐκ ἂν εἴη τῶν ὄντων ἓν μηδεὲν, ὅτι μὴ τὸ μηδαμῇ μηδαμῶς ὄν, ὡς πρὸς μηδὲν ἔχον τὸ σύμφωνον, καὶ κατάλληλον. „Τὸ γὰρ ψεῦδος ἕτερον μηδὲν, ἢ τὸ „μὴ ὂν καθέστηκεν. (Δαμασκ. Φιλο„σοφ. Κεφ. α'. Περὶ Γνώσ.). Ἡ δὲ δευτέρα ἐν τῷ τὰ νοήματα τῶν νοουμένων πραγμάτων οἷον εἰκόνας εἶναι ἀκριβεῖς, καὶ μηδὲν αὐτῶν παρηλλάχθαι· Καὶ τοὺς λόγους δὲ τοῖς λεγομένοις ὁμολογεῖν· Οἷον εἴτις τὸν κύκλον νοοίῃ, καὶ λέγοι περιφερῆ, τὴν Σελήνην ἑτερόφωτον. Λέγεται δὲ αὕτη ἀλήθεια Λογική· Καὶ ἔστι καθ' ἣν αἱ ἔννοιαι συμφώνως ἔχουσι πρὸς τὰ νοητὰ, καὶ αἱ λέξεις πρὸς τὰ λεκτά· ἧς ἐναντίον τὸ Λογικὸν ψεῦδος, ἥτε γνῶσις ἡ τῶν νοουμένων ἀπάδουσα, καὶ ἡ φωνὴ ἡ παραφθεγγομένη παρ' ὅ ἐστὶ τὰ λεγόμε-

μὲν συνειδήσεις, ὡς ἀεὶ ταῖς αὐ τῇ ψυχῇ διαθέσεσιν ὁμολογέσας, ἀεὶ καὶ ἀληθεύειν εἰκὸς· τὰς δὲ τῶν ὄντων γνώσεις, ἅτε δὴ πολὺ τὸ πρὸς αὐτὰ διάφορον πολλάκις, καὶ παρηλλαγμένον ἐχέσας, τὰ πολλὰ συμβαίνει καὶ ψεύδεσθαι. Οἷον τὸν ἥλιόντις ὁρῶν κρίνει ποδιαῖον· ὡς μὲν ἓν ὁρᾷ, καὶ ὅτι ποδιαῖον ὁρᾶν δοκεῖ, ἀληθὲς ἑκάτερον, καὶ ἐκ συνειδήσεως δῆλον, ἣν ἐχ οἶοντε ψεύσασθαι· ὡς δὲ καὶ ὁ Φωσὴρ τὸν ὄγκον τηλικοῦτος, ἐκέτι· ἐπεὶ καὶ πολὺ πρότερον τῇ συνειδήσει τοῦτο ἀντιβαίνει, ἢ τῇ Φύσει τῶ πράγματος· τοῦτο γὰρ πᾶς τις ἑαυτῷ σύνοιδεν ἐπισήσας, ὡς τὰ αὐτὰ τῶν μεγεθῶν ἐγγύθεν μὲν καταφαίνεται μεγάλα, μικρὰ δὲ τἐναντίον πόρρωθεν καθορώμενα.

§. δ'. Ἐκ τῆς ἓν οὕτως ἡμῶν ἑκάστῃ τῇ ψυχῇ ἐμφύτως ἐνέσης τῶ νοεῖν δυνάμεως ὡρμημένοις, δύχερὲς ἦν συνεπιγνῶναι, καὶ καθ' ὅσες τε, καὶ οἵας δὴ τὰς τρόπες γνωσικῶς τῶν ὄντων θιγγάνειν πεφύκαμεν. Ἤτοι γὰρ αὐτὴ ἡμῶν ἡ ψυχὴ ἐςὶν ἡ νοῦσα, μηδὲν εἰς τοῦτο, ὅσαγε καὶ ἡμᾶς εἰδέναι, προχρωμένη τῷ σώματι· ἢ σὺν αὐτῇ ἤδη καὶ τοῦτο, τὸ παρ' ἑαυτῆ συνεισενεγκὸν, εἰς γνῶσιν ὁπωσδὴν ἡμῖν συνεφήψατο. Γνωσὰ δέτοι, ὡς μὲν ἐκείνως, ὅσα ἀχράντοις ἐννοίαις, καὶ ὕλης οἱασδὴν ἀμιγέσιν· ὡς δ' ὅτως, ὅσα ἐκ ἄνω μίξεώς τινος σωματικῆς, καὶ προσπαθείας ἐνύλε παρίσαται γινωσκόμενα. Διττῶς δὲ καὶ τότων ἑκάτερον. Ἐκείνως μὲν γὰρ, ἤτοι ἑαυτῆς ἡ ψυχὴ, καὶ τῶν κατ' αὐτὴν ἐνεργημάτων ἀντιλαμβάνεται καὶ δυνάμεων, ὅτε καὶ νοῦσα ἐςὶν ἡ αὐτὴ καὶ νοεμένη ὡς εἴρηται (§. ά. β'.) κατ' ἐπιστροφὴν πρὸς ἑαυτὴν οἷον ἐπαναλύσα, ἢ τῶν παρ' αὐτὴν νοεμένων, ἀθυτενέσι μὲν, ὡς εἰπεῖν, καὶ ἀνεπιστρόφοις, καθαρᾶις δ' ἐδὲ ἧττον, καὶ εἰλικρινέσιν ἅπτεται ταῖς ἀντιλήψεσιν, οἷον τῷ Θεῷ, τῷ ἀληθῶς, τῷ δικαίῳ, καὶ ὅσ' ἄλλα ἀσωμάτως ἐςὶ νοητά. Οὕτω

μενα. Ἡ δὲ Τρίτη ἐν τῷ τὰ λεγόμενα τοῖς νοεμένοις ὁμολογεῖν, καὶ τότων ἐκεῖνα σημεῖα γίγνεσθαι μὴ ψευδόμενα. Ὡς ἐπεσθάντις μηδὲν φθέγγηται παρ' ὃ φρονεῖ. Καὶ αὕτη εἴρηται ἀλήθεια Ἠθικὴ, ὡς παντὸς οἶμαι τὸ ἦθος γνωρίζουσα. Καθ' ἣν καὶ ἀληθινὸς εἰώθαμεν καλεῖν, καὶ πιστὸς τὸν τρόπον, τὲς παρ' ὃ φρονῶσι μηδέποτε λέγοντας· ψεύσας δὲ καὶ ἀπατεῶνας τὲς ἄλλο μὲν ἐνὶ φρονοῦντας, ἄλλο δὲ βάζοντας. Ἐμφιλοχωρᾶν δὲ τοῖς νοήμασιν ἀάτινα κρίσιν, δὲ ἦν τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι αὐτοῖς συμβαίνει, ἐν οἰκείῳ τόπῳ ῥηθήσεται.

δὲ πάλιν, ἤτοι τὰ παρόντα καὶ τοῖς αἰσθητηρίοις προσπίπτοντα κρίνει, οἷον ὀφθαλμοῖς μὲν φῶς τε, καὶ χρώματα, ὠσὶ δὲ ἦχος, ἀφῇ δὲ θέρμη, καὶ ψύχος, καὶ τὰ τοιαῦτα· ἢ τὰ ἀπόντα μὲν, ἄλλοτε δὲ ταῖς αἰσθήσεσι προσπεσόντα, εἴτε αὐτὰ ἐκεῖνα, εἴτ' ἓν καὶ ἐξ αὐτῶν ἄττα τινὰ, διαφόρως ἐναποτυπῶται καὶ ἀναπλάττεται. Οἷον τράγον, ἔλαφον, τραγέλαφον, καὶ τὰ ὅμοια.

§. ε. Πάντῃ δὲ κατὰ τοὺς εἰρημένους τρόπους ἑαυτῇ πως παρίστασιν ἐθέλει ἡ ψυχὴ τὰ ὄντα, ἤτοι καθ' ἑαυτὰ ὡς ἔστιν, ἢ ὡς ἔχει ταῦτα πρὸς ἄλληλα, ἢ ὅπως ὑπ' ἀλλήλων αὐτὰ διατίθεται, ἢ ὡς αὐτὴ, τῷ σώματος μεσιτεύοντος, πρὸς ἐκείνων, ἢ ὅπως ἐκ ἀδυνάτων ἔχει εἰς ταυτὸ συνεπινεύμενα, ἢ ὅπως ἐ δυνατῶς· ἢ ὡς ἐξ ἀλλήλων νόημα νοήματι συνεφέπεται, ἢ ὡς ἐδόλως. Ἐντεῦθεν δὲ ἐκ ἀεὶ ἐπίσης ἐνεργῶν τὸ γνωστικὸν ἀναφαίνεται, ἐδὲ μονοτρόπως.

§. ς'. Τοῖς μὲν γὰρ ἐ πρώτοις ἐπιβολαῖς προσέχοντες, ἐδὲν ἄλλ' ἢ παρισάμενα πως αὐτὰ τῇ δυνάμει ἐπιγινώσκομεν. Οἷον τὸν Θεὸν, ἑαυτὸς, τὸν ἥλιον. Τοῖς δὲ ὅπωσοῦν προσενδιατρίβοντες, καὶ ταῦτ' ἀλλήλοις παρατιθέμενοι, εἴτις αὐτοῖς παρεμφαίνεται συναφείας, ἢ διαφάσεως λόγος, ὥστε ἅμα, ἢ μὴ, τὰ τοιαῦτα ξυμβαλέσθαι διασκοπέμεθα. Οἷον εἰ ἀσώματος ἡ ψυχή; ἔσα δὲ, ὅπως δὴ τὸ σῶμα τοῦτο κινεῖ τὸ ἔνυλον; Τοῖς δὲ κατὰ τινὰ ἔτω γινομένῳ παράθεσιν τὸν νοῦν ἐφιστάνοντες, ἃ μὲν ἂν προσήκοντα εἶναι δοκῇ, τοῖς ὑποκειμένοις προσάπτομεν, ἃ δὲ μὴ, ἀφαιρέμεν τούτων, καὶ πόρρω τιθέμεν· ὡς ὅτε τὸν Θεὸν ἀγαθὸν εἶναι ἀποφαινόμεθα, κακῶν δὲ ἀδέποτε παραίτιον ἀδενός. Γνωστικὸς ἡμᾶς αὐτὸς τυγχάνοντας, καὶ ἐκ ἄνες. Τὰ δὲ τέως ἐν μεταβάσει οἷον διανοούμεθα, ἀπὸ γνώσεως εἰς γνῶσιν λογικῶς βηματίζοντες. Ὡς ἂν εἴτις, ἐκ τοῦ ἀγαθὸν εἶναι τὸν Θεὸν, καὶ μεταδοτικὸν εἰσβάλλοι συλλογιζόμενος· Καὶ ἐκ τοῦ ἀσώματον τινὶ ψυχῇ, ὅτι καὶ ἀδιάλυτος ἐστὶν, ὑποσυνάπτοι. Ἐκ γὰρ ἐκείνων ἡγησαμένων, ταῦτα παρὰ πόδας ἴασι, καὶ ῥᾴσα δὴ, καὶ οἷον αὐτόματα τινὶ ψυχῇ ὑπεισέρχεται.

§. ζ'. Ταῦτ' ἓν ἐξ αὐτῶν τῆς ἅπασιν ἐμφύτου συνειδήσεως τῶν πηγῶν ἀρυσάμενοι οἱ φιλοσοφοῦντες, καὶ τὰ μὲν, ὡς δυνάμεις κατὰ φύσιν ἡμῖν ἀεὶ περιέσας ἐκλαβόντες, τὰ δ' ὡς ἐκείνων τῶν δυνάμεων ἐνεργείας, ἄλλοτε ἄλλας ἐπεγειρομέ-

ρομένας, διαφόροις καὶ τοῖς ὀνόμασιν, ᾗπερ ἦν δέον, χαρακτηρίσαι δεῖν ἔγνωσαν, καλῶς διαστείλαντες. Καὶ δυνάμεις μὲν εἰσὶ τῶν ἐν ἡμῖν (μηδὲν ἐπιὸν περὶ τῶν ἄλλων ἐπὶ τοῦ παρόντος λέγειν (1) γνωστικαὶ, Νοῦς, καὶ Φαντασία, καὶ Αἴσθησις. Ὧν ἡ μὲν Αἴσθησις τῶν ὑλικῶντε, καὶ μερικῶν, παρόντωντε, καὶ ἔντι ὁποιονοῦν τῶν αἰσθητηρίων ἐξωτερικῶς κινούντων, δύναμις ἐστὶν ἀντιληπτική. Πρὸς ἣν ἀνακτέον ἂν εἴη, καὶ τὴν οὐκ ἄνευ δήπου ἀφῆς τινὸς, μυχαιτέραν τῶν ἐν ἡμῖν συμβαίνουσαν αἴσθησιν, καθ' ἣν πεινῶσιν, ἢ διψῶσιν, ἢ ἀλγοῦσιν, ἢ ἀλλοίως πως τὸ σῶμα ἔσωθεν διατιθεμένοις σφίσιν αὐτοῖς συνεπαισθανόμεθα. Ἡ δὲ φαντασία τῶν μερικῶν ὡσαύτως καὶ ἐνύλων, ἀπόντων δὲ, ἐστὶν ἀναπλαστική· Σὺν ᾗ θετέον καὶ τὴν μνήμην. Ὁ δὲ νοῦς, ὁ καὶ τὰ κατ' αἴσθησίντε καὶ φαντασίαν ληπτὰ, πεφυκὼς κρίνειν, ἰδιάζον μάλιστα ἔχει τῶν ἀσωμάτων ἐνίοτε εἶναι, καὶ τῶν καθόλου ἀναισθήτως τε, καὶ ἀφαντάστως γνωριστικός· Ἐφ' ὃν ἀναγέσθω, καὶ ἡ κατὰ τὴν συνείδησιν ἐπιστρεπτικήπως πρὸς ἑαυτὴν οὖσα (§. δ'.) τῆς ψυχῆς δύναμις.

§. ή. Τῶν δὲ Ἐνεργειῶν, ἡ μὲν κατὰ πρώτην ἐπιβολὴν, ταυτὸν εἰπεῖν κατὰ ψιλὴν παράστασιν τοῦ νοητοῦ τελουμένη, πρόσληψις ἀκούει· Σκέψις δὲ, ἢ ἀμφισβήτησις λεγέσθω, ἡ περὶ τὰς προσλήψεις, τῆς ψυχῆς ἀστατούσης, καὶ οἷον ἐπαμφοτεριζούσης τὴν τοῦ νεύματος βάσιν, ἀοριστία. Κρίσις δὲ ἡ μεταξὺ τῶν προσειλημμένων, ἐν συνθέσει τῇ τούτων, ἢ διαιρέσει, στάσιν λαβούσης καὶ ὅρον ἀπόφανσις. Διάνοια δὲ, ἡ κατὰ μετάβασιν ἀπὸ κρίσεως εἰς κρίσιν προβαίνουσα τῆς ψυχῆς ἐνέργεια. (§. ς'.). Οἷον ἐάντινι κατὰ νοῦν ἐπέλθοι ἐννοῆσαι ἀστέρας, περιττὸν, ἄρτιον· τοῦτο πρόσληψις. Εἶτα καὶ διαλογίσασθαι, εἴπερ ἄρα περιττὸς ὁ τῶν Ἀστέρων ἀριθμὸς, ἢ ἄρτιος; ἐνταῦθα ἀμφισβήτησις, σκέψις. Εἶθ' ὅπως ἂν ἔχοι τὰ περὶ τοῦ περιττοῦ καὶ ἀρτίου ζητεῖν ἐάσας, εἰ

 διεν-

(1) Ἐκ τοῦ Ἀριστ. κοινῇ παρέλαβον, τὰς ψυχικὰς δυνάμεις εἰς τὰς φυτικὰς, καὶ ζωτικάς τε καὶ ὀρεκτικὰς, καὶ γνωστικὰς διαιρεῖν. Καὶ φυτικὰς μὲν λέγειν τὴν Θρεπτικὴν, τὴν Αὐξητικὴν, τὴν Γεννητικήν. Τῶν δὲ ζωτικῶν καὶ ὀρεκτικῶν, λογικὴν μὲν τὴν βούλησιν, ἀλόγους δὲ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν. Συμπεπλεγμένην δὲ ἐκ λόγου καὶ ἀλογίας τὴν προαίρεσιν. Τὰς δὲ Γνωστικὰς πέντε ἐπικαταλέγειν, Νοῦν, καὶ διάνοιαν, καὶ δόξαν, καὶ φαντασίαν, καὶ Αἴσθησιν.

διενθυμηθείη, ὡς ἔξι τάτων ἀριθμόστις τεταγμένος, τατέσι πλῆθος ὡρισμένον· Τᾶτο κρίσις. Τέως δὲ, καὶ ἐὰν ἐκ τῆς ὡρισμένης τῶν Ἀσέρων πληθυος ἐισβάλλῃ, τὸν κόσμον μὴ εἶναι ἄπειρον· τᾶτο διάνοια.

§. θ'. Τάτων ἡ μὲν πρώτη, ἤτοι ἡ πρόσληψις, καὶ Νῷ, καὶ φαντασίᾳ, καὶ Αἰσθήσει κοινὴ εἶναι εἴρηται (1) καίτοι Νῷ μόνῳ κυρίως, εἴτις ἀκριβῶς σκοποίη, προσιδιάζουσα. Τᾷ γὰρ Νᾷ, τατέσι τῆς ἐν ἡμῖν νοητικῆς δυνάμεως, τὸ ἐπιβάλλειν ἐσὶ τοῖς ἔσι, τὰ μόνα καθ' ἑαυτὰ, τὰ δὲ, καὶ διὰ τῶν κατ' αἴσθησιν, ἢ φαντασίαν κινημάτων γνωρίζουσαν. (§. ζ'.). Διὸ καὶ τᾷ Νᾷ πολλάκις πρὸς ἄλλοις ἔχοντος, ταύτας ἠρεμεῖν ἀνάγκη, ὡς πάντες ἴσασιν (2). Αἱ δὲ λοιπαὶ τῇ νοητικῇ δυνάμει, ἀναμφιρίσως μόνῃ προσήκουσαι εἰσίν. Οὐ γὰρ ἐδ' ἀμφισβητεῖν περίτινος, ἐδὲ κρίνειν, ἐδὲ διανοεῖσθαι ὅλως παρὰ τὸν Νᾶν, ἔτε φαντασία φύσιν ἔχει, ἐδ' αἴσθησις. Εἰ γὰρ καὶ Κριτικὰς ταύτας οἱ παλαιοὶ (3) δυνάμεις ἐκάλεν, ὡς μέντοι γνωρισικὰς, καὶ διακριτικὰς τῶν ἰδίων ἀντικειμένων, ἐχ' ὡς περὶ τῶν ὄντων ἀποφαντικάς· Καίτοι τᾷ Νᾷ κἀκεῖνο δι' αὐτῶν τελοῦντος, ὡς εἴρηται. Ταύτητοι καὶ γνωσικὰς μὲν, ἀλόγως δ' ἔν δυνάμεις ὠνόμαζον, γνωσικὴν δὲ καὶ λογικὴν τὸν Νᾶν (4). Λόγῳ δὲ ἔργον ἡ τῆς τῶν νοημένων πρὸς ἄλληλα συμφωνίας τε καὶ διαφωνίας ἐπίκρισις, καὶ τᾷ μὲν ὀρθᾷ, ἡ ὀρθῶς ἔχουσα, καὶ ᾗ τὰ νοητὰ ἀπαιτεῖ, τᾷ δὲ μὴ, ἡ διάστροφος.

§. ι'. Ἐναρίθμιον δὲ τῷ Νῷ, καὶ τὴν Διάνοιαν τάττουσι καὶ τὴν Δόξαν, ὡς δυνάμεις γνωσικάς τε καὶ λογικὰς ἔσας ὑποτιθέμενοι, ἃς ἐδὲν ἡμεῖς ἀλλ' ἢ τᾷ Νᾷ διαφερούσας ἐνεργείας ἐπιγιγνώσκομεν. Κρίσις γάρ τις τῷ ὄντι ἐσὶ, καὶ ἡ Δόξα,

(1) „Τᾷ Νᾷ ἔργον ἁπλοῖς προσ-„βολαῖς ... ἐπιβάλλειν τοῖς πράγμα-„σιν, ὥσπερ ἡ αἴσθησις. Ἀνωνύμ. Δόξ. περὶ ψυχ.

(2) Ταύτας Στράτων ὁ Φυσικὸς (παρὰ Πλατ. ἐν τῷ πότερα τῶν ζώων Φρονιμώτερα.) ἐδ' αἰσθάνεσθαι τὸ παράπαν ἄνευ τᾶ νοεῖν διετείνετο. Διὸ καὶ „Κλεομένης ὁ βασιλεὺς παρὰ πότον „εὐδοκιμοῦντος ἀκροάματος, ἐρωτηθὰς „εἰ οἱ φαίνεται σπουδαῖον, ἐκέλευσεν „ἐκείνες σκοπεῖν, αὐτὸν γὰρ ἐν πελοπον-„νήσῳ τὸν Νᾶν ἔχειν.

(3) Αἴσθησις καὶ φαντασία τὴν αὐτὴν τῷ Νῷ χώραν ἔχουσι. Κριτικὰ γὰρ „πάντα. (Ἀριστ. περὶ ζώ. Κινήσ. Κ. σ'.

(4) „Λογικαὶ μὲν δυνάμεις, Νᾶς, „καὶ Διάνοια. Ἄλογοι δὲ, φαντασία „καὶ αἴσθησις. Ἡ δὲ δόξα ἐπαμφοτε-„ρίζει. Νικηφ. Βλεμμ. Λογ. Κ. γ'.

Δόξα, Κρίσις δὲ καὶ ἡ Διάνοια, παρὰ τοσοῦτον ἀλλήλων διαφέρουσα, ὅτι ἡ μὲν (ἣ φασὶ) περὶ τὰ ἐν τοῖς αἰσθητοῖς καθόλε ἐστὶν ἀναστρεφομένη, ἃ δοξαστὰ εἶναι λέγεται· οἷον ὅτι πᾶσα χιὼν λευκὴ, καὶ πᾶς ἄνθρωπος δίπους, ἡ δὲ περὶ τὰ ἐν τοῖς νοητοῖς, ἡ διάνοια· οἷον ὅτι πᾶσα λογικὴ ψυχὴ ἀθάνατος. Ἢ ὅτι ἡ μὲν Διάνοια ἐκ προηγησαμένων ἄλλων ἐπιφέρεται Κρίσεων, (§. ή.), ἡ δὲ Δόξα ἐκ τῶν ἁπλῶς, ἢ Νῷ, ἢ Αἰσθήσει, ἢ Φαντασίᾳ προειλημμένων, ἀμέσως ἔτω, καὶ ἀποκληρωτικῶς, καὶ ὡς ἔπος εἰπεῖν ἀναποδείκτως τοπάζουσα ἀποφαίνεται. Ὅθεν καὶ ὥρισαι ἡ Δόξα Διανοίας εἶναι ἀποτελούτησις. (1).

§. ιά. Ἐπὶ τούτοις ἔν καὶ Ἕξις ἔστιν ἃς ἀριθμοῦσι, τὰς ἐξ ἔθους ἐνδελεχοῦς, καὶ πυκνοτέρας μελέτης τε καὶ ἀσκήσεως, ἐπὶ τὸ ῥᾳδίως καὶ ἀπόνως κατὰ τὰς γνωσικὰς τῶν Δυνάμεων ἐνεργεῖν ἐμποιουμένας τῇ ψυχῇ εὐκολίας τε καὶ δεξιότητας. Ἐκ μὲν γὰρ τοῦ πολλάκις ὡσαύτως τῇ αἰσθήσει προσπίπτοντος, ἐγείρεται ἡ πεῖρα, μερικοῦτινος ἄλογος γνῶσις τυγχάνουσα· οἷον ὅτι ἱματίοις, φέρε, ἢ χιὼν περιτιθεμένη ἀγνάπτοις, ἀτακὴς ἐπὶ πολὺ διασώζεται. Ἐκ δὲ διαφόρων αἰσθήσεώντε, καὶ Φαντασιῶν, καὶ δοξασμάτων ἀλόγων, συγκροτεῖται ἡ ἐμπειρία, καθολικωτέρατις ἔσα γνῶσις ἄλογος· οἵα ἡ ἐπὶ τῶν Ἐμπειρικῶν ἰατρῶν θεωρουμένη ἕξις, οἳ πολλὰ μὲν ἰδόντες αὐτοὶ, πολλὰ δὲ καὶ παρ' ἄλλων ἀλόγως παρειληφότες, ποικίλων

(1) Πλάτ. ἐν Σοφισ. Ἐντεῦθεν δῆλος ἐστὶν ὁ Πλάτων, αὐτὸ τὸ συμπέρασμα εἰς ὃ ἡ Διάνοια ἔωθεν ἀποτελευτᾷν, δόξαν ἀποκαλῶν. οἷον εἴτις τὴν γῆν σφαιροειδῆ δοξάζοι, μηδ' ἐνοοῦν ὅλως τὸ κατὰ βραχὺ τῶν φωτισμῶν, καὶ τ' ἄλλα, δι' ὧν αὐτῇ προσεῖναι τὸ τοιόνδε σχῆμα κατασκευάζεται. Καὶ ταύτην δὴ ἡ δόξα ἀεὶ ἔσαι ἄλογος. Ἐπειδὴ δὲ ταύτης καὶ δόξαν ἄλλην, τὴν μετὰ λόγε (ὅρα Νικηφ. Βλεμ. Ἐπιτ. Λογ. Κ. γ'.) ἀντιδιαστέλλουσι, διοίσει αὕτη τῆς διανοίας, τῷ τὴν μὲν ἀναγκαίοις λόγοις τὸ ἐπιφερόμενον κατασκευάζειν, τὴν δὲ δόξαν ὁμοιαληθέσι καὶ πιθανοῖς. Διὸ καὶ Ὤνειλος ὁ Λευκανὸς αὐτίκα ἐν προοιμ. „τῷ περὶ Φύσ. τῷ παντ. τὰ μὲν Φυ„σὶ συγγράψαι τεκμηρίοις σαφέσι παρ „αὐτῆς τῆς Φύσεως ἐκμαθὼν, τὰ δὲ, „καὶ δόξῃ μετὰ λόγε τὸ εἰκὸς ἀπὸ „τῆς νοήσεως στοχαζόμενος. Κατὰ ταύτην δὴ τὴν ἐκδοχὴν, καὶ Ἀριστοτέλης διανοητικαῖς τῶν ἕξεων, νῷ, καὶ σοφίᾳ, καὶ Φρονήσει, καὶ ἐπιστήμῃ, καὶ τέχνῃ, τὴν δόξαν συγκαταλέγει. (Ἠθικ. Νικ. Βιβ. ς'. Κ. γ'.) καὶ τὸν ἐν τοῖς Τοπικοῖς Συλλογισμὸν ἔνδοξον ἀποκαλεῖ.

νοσημάτων οἷοιτε εἰσὶ πολλάκις ἀπαλλάττειν τοὺς κάμνοντας (1). Δόξῃ δὲ ἐπερειδομένη, καὶ κατὰ λόγον τινὰ προϊοῦσα, τέχνη καθίσταται, καθ' ὃ δὴ καὶ ὁδῷ βαδίζουσα ὥρισται μετὰ φαντασίας· οἷον φέρ' εἰπεῖν ἡ οἰκοδομικὴ, τὸ τῆς οἰκίας προανατυπωσαμένη, καὶ σχῆμα, καὶ μέγεθος, τάξει χωροῦσα, τούτοις ἀναλόγως τοὺς θεμελίους προκαταβάλλεται (2). Νῷ δὲ, καὶ Διανοία, ἡ κατ' Ἐπιστήμην καταρτίζεται ἕξις, τῷ μὲν τὰς ἀρχὰς χορηγοῦντι, τῇ δὲ τὴν ἀπόδειξιν παρεχομένῃ, δι' ὧν ἐπιστημονικῶς τὰ ὄντα, καθ' ἃς οὕτως εἰσὶν αἰτίας, καὶ λόγους, ἔχει γιγνώσκεσθαι. Τελευταῖον ἀκροτάτην αὐταῖς ἐπικαταλέγουσιν ἕξιν καὶ τὴν τοῦ Νοῦ, τοῦ ἐνεργείᾳτε καὶ αὐτοτελοῦς καλουμένου, καὶ μόναις ἁπλαῖς προσβολαῖς, καὶ ἄνευ τῆς ἐκ τῶν κατὰ Διάνοιαν συλλογισμῶν συνεργίας τοῖς νοητοῖς ἐπιβάλλοντος. (3). Τοῦτον δὲ ὡς εἰκὸς τὸν

(1) Διαστέλλουσι τὴν πεῖραν τῆς ἐμπειρίας, παρὰ τὸ τὴν μὲν ἐπὶ μέρους εἶναι, τὴν δὲ Καθόλου. (Βλεμ. Ἐπιτ. Λογ. Κ. γ'). Ἀριστοτέλης δὲ καὶ τὴν ἐμπειρίαν τῶν καθ' ἕκαστα εἶναι παρέδωκεν, ἡ μὲν ἐμπειρία (λέγων) τῶν καθ' ἕκαστα ἐστὶ γνῶσις, ἡ δὲ τέχνη τῶν Καθόλου. Μεταφ. Μείζ. Α'. Κ. ά. Καὶ ἐκ μὲν αἰσθήσεως γίνεται μνήμη, ἐκ δὲ μνήμης πολλάκις τοῦ αὐτοῦ γινομένης ἐμπειρία. Αἱ γὰρ πολλαὶ μνῆμαι τῷ ἀριθμῷ ἐμπειρία μία. Ὑστέρ. Ἀναλυτ. Β'. Κεφ. ιθ'. Ἔοικε δὲ ἡ περὶ ἕντι καὶ μόνον εἶδος πραγμάτων μνήμη, τὴν πεῖραν παρέχειν, οἷον ὅτι κινεῖ τὸ Σκαμμώνιον, ἡ δὲ περὶ πολλάτε, καὶ διαφέροντα, τὴν ἐμπειρίαν συγκροτεῖν. Εἶναι δὲ μηδὲ οὕτω τὴν Ἐμπειρίαν ἐπιεικῶς Καθόλου, διὰ τὸ μὴ πάντα τὰ τῆς ἰατρικῆς, περιλαμβάνειν μηδ' ὅσα γοῦν λύσεως, φέρε, τῇ κοιλίᾳ παραίτια. Διὸ παρὰ Πλουτ. Ἀρεσκ. Βιβλ. Δ'. Κεφ. ια'. Ὅταν ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται, τότε φασὶν ἔχειν ἐμπειρίαν. Ἐμπειρία γὰρ ἐστὶ τὸ τῶν ὁμοειδῶν πλῆθος. Ὁμοειδεῖς δὲ νοητέον μνήμας, τὰς πρὸς τὸ αὐτὸ τῆς τέχνης εἶδος ἀναγομένας, οἷον τῆς Ἰατρικῆς, τῆς Γηπονίας, κτ. .. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τὴν ἐξ αἰσθήσεως συλλεγομένην Ἐμπειρίαν, Αὐτοψίαν καλοῦσι, τὴν δὲ ἐκ τῆς ἀλόγου δόξης, καθ' ἥν τις, φέρε, μὴ πειραθεὶς αὐτὸς, ἀλλὰ παρ' ἄλλων ἀκούσας ἔχει, καὶ οὕτω δοξάσας, ὀνομάζουσιν Ἱστορίαν. (Βλεμμ. Αὐτ.). Τὸ γὰρ αὐτὸ τοῦτο, τῷ μὲν τηρήσαντι, Αὐτοψία· τῷ δὲ μαθόντι τὸ τετηρημένον, Ἱστορία ἐστί. (Γαλην. περὶ Αἱρ. τοῖς Εἰσαγ. γ'.).

(2) Τῶν τεχνῶν αἱ μὲν τῶν σπουδῆς ἀξίων εἰσὶν, αἱ δὲ τῶν μή. Κακείνων αὖθις, αἱ μὲν Ἐλευθέριοι, οἷον Γραμματικὴ, Ποιητικὴ, κξ'. Αἱ δὲ Βάναυσοι, οἷον Σκυτοτομικὴ, Βυρσοδεψική. Τούτων δὲ αἱ μὲν ματαιοτεχνίαι καλοῦνται, ἀφ' ὧν οὐδὲν οὐδὲ βλάβος, οὐδ' ὄφελος, ὡς ἡ Νευροβατικὴ, καὶ ἡ Κοντοπαικτική. Αἱ δὲ κακοτεχνίαι, αἱ πρὸς τῷ μηδὲν ὠφελεῖν, καὶ βλάπτουσαι. οἷον ἡ Γοητική. (ὅρα Βλεμμίδ. Αὐτ.).

(3) Ἔστιν ὁ Νοῦς φωνήτις πολλῶντε καὶ διαφερόντων συμαντική. Καὶ Νοῦς μὲν ὁ πρώτιστος καὶ ὑπέρτατος, καὶ οἱα-

τὸν Νοῦν, τοῦ ταῖς γνωστικαῖς τῶν δυνάμεων, ὡς ἀνωτέρω ἐλέγετο (§. ζ.) ἐφεστῶτος, διακρίνουσιν ἀντιδιαστέλλοντες. Τοῦτον γὰρ ἐκείνου εἶναι φασὶ τελειότητά τινα, καὶ οἷον ἀκρότητα, ἥτις μόνοις ἐπιγίγνεσθαι φιλεῖ τοῖς ἐς ἄκρον Ἐπιστήμης τε καὶ

οἱασοῦν νοήσεως ἀπείρως ὑπεριδρυμένος ΘΕΟΣ. Νοῦς δὲ καὶ φύσις πᾶσα ἀκούει νοερὰ, καὶ ἀσώματος. Νοῦς δὲ καὶ ἡ τῆς λογικῆς ψυχῆς οὐσία. Περὶ οὗ Ἀριστοτ. (περὶ ψυχ. βιβ. α'.) ὁ δὲ Νοῦς ἔοικεν ἐγγίνεσθαι (φησὶν) οὐσίατις οὖσα, καὶ οὐ φθείρεσθαι. Καὶ βιβλ. β'.) Περὶ δὲ τοῦ Νοῦ, καὶ τῆς θεωρητικῆς αὐτοῦ δυνάμεως. κτ. Νοῦς δὲ καὶ ἡ τῆς ψυχῆς ἁπλῶς δύναμις, ἡ τῶν ὄντων ὅπως δήπερ ἀντιληπτικὴ, ἡ ἄχρι καὶ αὐτῶν τῶν φανταστῶν καὶ αἰσθητῶν ἐξήκουσα. Τοδὶ δὲ ποτὸν ἡ αἴσθησις εἶπεν, ἢ ἡ φαντασία, ἢ ὁ Νοῦς. (Ἀριστ. περὶ ζώων κινήσ. Κεφ. ζ'.) ὃν δὴ τρόπον καὶ τὸ τοῦ Ἡρακλείτου νοητέον, ὅτι Νοῦς ὁρῇ, καὶ Νοῦς ἀκούει. Ἀλλὰ καὶ Νοῦς ἡ κατὰ Διάνοιαν ἐνεργοῦσα δύναμις τῆς ψυχῆς· καθ' ὃ δὴ καὶ τὸν Νοῦν παλαιούμενον εἴρηται ἀνηβᾷν, τόντε χρόνον τ' ἄλλα πάντ' ἀφαιροῦντα, τῷ γήρᾳ προστιθέναι τὴν Ἐπιστήμην. (Πλούτ. περὶ Παίδ. Ἀγωγ.). Διὸ καὶ Πλάτων (παρὰ τῷ Πρόκλῳ ἐν Προοιμ. τῆς εἰς τὰ Ἀριθμ. Εἰσαγ. Νικομάχ. τοῦ Γερασ.) ὁλοσχερέστερον τὰ ὄντα διαιρεῖ εἰς νοητάτε καὶ αἰσθητά· ἐπὶ τὰ νοητὰ δηλονότι ἀνάγων τὰ διανοητά· ταυτὸν εἰπεῖν τὰ κατ' Ἐπιστήμην ληπτά. Ἔτι δὲ Νοῦς καὶ ἡ σύνεσις. Καὶ δεῖ μὲν ἐπὶ τὴν φυλακὴν (τῆς εὐτυχίας) αὐτοῦ τοῦ Θεοῦ, δεῖ δὲ Νοῦ, δεῖ δὲ τέχνης. (Συνέσ. περὶ βασιλ.). (Καὶ μικρὸν κατωτέρω. Πρὸς ἥν (νόειμοι τὴν φύσιν), οὔτε ὅπλον ἰσχυρὸν, οὔτε Νοῦς εὐμήχανος. τῆς αὐτῆς δὲ δυνάμεως, καὶ τὸ Ἀντισθένειον, ὅτι δεῖ κτᾶσθαι Νοῦν, ἢ βρόχον. Καὶ ἡ βούλησις δὲ καὶ πρόθεσις τῆς ψυχῆς παρὰ τῷ Ποιητῇ (Ὀδυσ. σ.) Νοῦς ὠνόμασται.

(„τοῖος γὰρ Νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
„Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ Ἀνδρῶντε θεῶντε.

Καὶ τὸ τῆς γνώμης δὲ ποικίλοντε καὶ ὕπουλον

„Πουλύποδος Νόον ἴσχει, ὅς ποτὶ πέτρῃ
„Τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

Ἰδιαίτερον δὲ τοῖς φιλοσοφοῦσιν (Ἀριστ. περὶ ψυχ. Βιβλ. γ'.). Νοῦς ἐστὶ τὸ μόριον ᾧ γινώσκειτε, καὶ φρονεῖ ἡ ψυχή. Ὃς δὴ καὶ πῇ μὲν θεωρητικὸς ἐστὶν, οὗ τέλος ἡ τῆς ἀληθείας ἐστὶ κατάληψις, πῇ δὲ πρακτικὸς, οὗ τέλος ἡ τοῦ ἀγαθοῦ πράξις. (Ὅρα τὸν Φιλόπον. ἐν τοῖς ὑπομνήμ. εἰς τὸ περὶ ψυχ. Καὶ ὁ μὲν Νοῦς ἐνεργητικὸς ὁ ἀφαντάστως νοῶν, ὁ δὲ παθητικὸς, ὁ τοῖς φανταστοῖς συναναχρωννύμενος. Νοῦν γὰρ παθητικὸν ὁ Ἀριστοτέλης τὴν φαντασίαν ὠνόμασε. Νοῦν μὲν, ὡς ἔνδον ἐν ἑαυτῇ τὸ γνωστὸν ἔχουσαν, καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως .... Παθητικὸν δὲ, διότι μετὰ μερισμοῦ γινώσκει τὰ πράγματα, καὶ διαστάσεως. (Βλεμμίδ. Ἐπιτ. Λογ. Κ. γ'.) Ἐφ' οἷς καὶ ἄλλητις εἰς τρία φέρεται τῶν τοῦ Νοῦ σημαινομένων διάληψις, ἣν ἐπικρίνει καὶ Ἀμμώνιος (παρὰ Ἀνωνύμ. Δοξ. περὶ ψυχ.) καθ' ἣν ὁ μὲν ἐστὶ Νοῦς δυνάμει εἰδὼς τὰ πράγματα, ὥσπερ ἐπὶ τῶν παίδων. Ὁ δὲ καθ' ἕξιν ὥσπερ ἐπὶ τῶν τελείων, τῶν ἐπισταμένων μὲν τὰ πράγματα, ἡρεμούντων δὲ, καὶ μὴ ἐνεργούντων κατ' αὐτά. Ὁ δὲ καθ' ἕξιν ὁ αὐτὸς, καὶ ἐνέργειαν ἅμα· ὥσπερ ἐπὶ τῶν ἐπισταμένων,

καθάρσεως ἐλλιπόσι, καὶ Αἰθήσεως ἔξω καὶ φαντασίας ἐχ ὅπως, ἀλλὰ δὴ, καὶ διανοίας αὐτῆς ὑπέρτερόντι ἐνεργεῖν εἰθισμένοις. Τοῦτο δὲ οἶμαι, ἐχ ὅτι τὰς ἄλλας τῶν Γνωστικῶν Δυνάμεων πάντη πάντως οἱ τοιοῦτοι ἀπρακτοῦντες ἀργῶσι· Πῶς γὰρ οἵοντε ἀνθρώπους γε ὄντας, καὶ τὸν ζωτικὸν βίον ἕλκοντας; Ἀλλ' ὅτι πρὸς τὰ ὑπὲρ τλὼ ὕλλω τὸ τῆς ψυχῆς πτερὸν δαιμονίως τείναντες, καὶ τοῖς ἀφαντάστοις καὶ ἀδιανοήτοις κάλλεσι τοῦ Θεοῦ, καὶ τῶν θείων ἅπαξ τὸ διορατικὸν τοῦ Νοῦ πήξαντες, ἐκέτι τοῦ λοιποῦ τῆς τῶν κατωτέρωντε καὶ ὑποβεβηκότων, ὅτι μὴ πᾶσα ἀνάγκη, ἐπισρέφονται θέας (1). Ἢ ὅτι δὴ ἀτρύτῳ τῇ φιλοπονίᾳ, καὶ μελέτης ἀκμῇ, καὶ φύσεως ὑπερφυοῦς τινος χρησάμενοι, καὶ τόνῳ, καὶ τάχει, ἀπὸ τῶν ἐν ποσὶ, καὶ χθαμαλωτάτων, διὰ τῶν ἕξῆς μέσων, καὶ τῶν ἀεὶ ἀνωτέρω βαθμηδὸν χωρήσαντες, ἐπ' αὐτῷ τέως τῶν Νοητῶν ἔσησαν τλὼ ἀκρώρειαν, μηδὲν περαιτέρω ἔτε λόγῳ ἐπιδεᾶς ὄντες, ἔτ' ἀποδείξεως, περὶ ὧν ἤδη τὰς ἀποδείξεις, ἐκ πολλοῦ τοῦ περιόντος φθάσαντες προειλήφασι.

§. ιβ'. Τῷ ὄντι γὰρ βαθμοίτινες εἰσὶ καὶ τῶν γνώσεων, ἄλλης ὑπὲρ ἄλλω ἱδρυμένης, δι' ὧν ἡ εἰς θεωρίαν ἀναγωγὴ, καὶ ἐπίβασις· ἧς ἐδ' ἂν ἅπο γένοιτο σκοπῷ συντόμως ἐπεξελθεῖν, ἀρχλὼ, ἢ δέον, λαβόντας, ἀπὸ τοῦ ἐχάτε μὲν τῇ τιμιότητι, ἡμῖν δὲ πρώτε. Καὶ πρώτη μὲν ἡμῖν ἡ γνῶσις, καθ' ἣν τινες τῶν ὄντωντε καὶ γινομένων ἁπλῶς οὕτως ἅπτεσθαι φιλοῦσι καὶ ἀπερισκέπτως, μηδὲν ὅλως εἰδέναι φροντίζοντες, ἐδ' ὅπως, ἔτε τὶ δήποτ' αὐτὰ ἔτως ἐστὶν, ἢ ἔτω συμβαίνει. Τετέσι μηδὲν πλέον προσεριεργαζόμενοι τῆς ποιᾶς ἐκείνων αὐτῶν ὑπάρξεως. Μᾶλλον δὲ, ἐδ' οὕτω πάνυ πολλὰ ἐπιγιγνώσκειν ἐκ τῶν ὄντων σπεδλὼ ποιούμενοι, ἀλλ' ἢ μόνα τὰ χρειώδητε, καὶ ἡδέα, ἢ ὅσα ἄλλως αὐτόματα ἐπίοντα, καὶ τὸ γνωσικὸν κινοῦντα λανθάνειν ἐ δύναται. Οἷον ὡς αὐτοὶ δήπε τινὲς εἰσὶ, καὶ τινα γνωρίζειν πεφύκασι, καὶ τινων

μένων, καὶ ἐνεργούντων καθ' ἃ ἐπίστανται. Ὡς ἄγε δὴ καὶ κρεῖττον ἢ κατ' Ἐπιστήμην, ὁ καθ' ἕξιν ἔτος Νοῦς ἐνεργεῖν ἐθιθάη, τῶν ὑποβεβηκοῶν εἰς τοῦτο ἐ πάνυτι ἐπιδεῶς ἔχων δυνάμεων, ἐν αὐταῖς αὐτίκα ταῖς ἀρχαῖς ἐσβάλλων ἀπόνως τὰ ἐκ τούτων ἑπόμενα, ἄγε δυνατὸν τοῦτο, θεῖον δήτι ἂτεχνῶς ἂν ἔη τὸ δῶρον, καὶ τῆς ἐν τῇ γενέσει τῶν ψυχῶν κατασάσεως ὑψηλότερον.

(1) „Ὁ γὰρ τοιοῦτος, καὶ τὴν ἑαυ„τοῦ λογικὴν ζωὴν ὑπερτρέχων, ὅλως „ἔναι βάλεται τῶν κρειττόνων. Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρ. ἐν Προο.

τινων ὀρέγεσθαι, καὶ ἔστιν ἃ ἐκκλίνειν. Καὶ ὅτι παρ' αὐτὰς, καὶ παντοῖα ὑφεστῶτα φαίνεται σώματα. Καὶ ὅτι τὰ μὲν τούτων αὐτοῖς ἐπενεργεῖ, ὑφ' ὧν ὁπωσδὴν ἀνάγκη αὐτὰς καὶ παθαίνεσθαι· πρὸς ἃ δὲ καὶ αὐτοὶ, ὑφ' ὧν πάσχειν κἀκεῖνα εἰκός. Καὶ τὰ μὲν αὐτοῖς αἱρετὰ, καὶ καλὰ, καὶ χρήσιμα, ἃ καὶ μεταδιωκτέον, τὰ δ' ἀναίρετα, καὶ κακὰ, καὶ ἐπιβλαβῆ, ἃ καὶ φευκτέον. κτ. Ὅτιτε σώματί τι, μεγέθει, φέρε, ὅσον ποδιαῖον, περιφερὲς, φαινὲν ὑπὲρ αὐτὰς κινεῖται φερόμενον, ὃ καλεῖται ἥλιος, καὶ τοῦθ' ἑκάστης ἡμέρας ἀνατέλλει, καὶ μεσουρανεῖ, καὶ δύει· Καὶ νυκτὸς αὖ ἕτερον, ἐν ἀναριθμήτοις ἄλλοις τοῖς κατ' ἐρανὸν σελαγίζουσιν οἷον φωτοβόλοις σίγμασιν, ἐκπέμπον ἐκ ἀμυδρὸν τὸ φεγγάριον, ἢ σελήνην ὠνόμασαν· Καὶ αὔτη αὔξει, καὶ φωτὸς πληροῦται, καὶ φθίνει. Ταῦτ' ἔν, καὶ τὰ τούτοις ἐοικότα, ὡς ἐπὶ γραμματείᾳ (κατὰ τὸ πάλαι εἰρημένον φᾶναι (1)), ἢ χάρτῃ, φέρουσιν ἀπογεγραμμένα, καὶ πλέον ἐδὲν, οἷς ἐδὲν ἐπέκεινα τῆς ἀλόγου ταύτης ἐμέλησε γνώσεως, τῆς ἐκ τῶν φυσικῶν μόνων, καὶ ἀνεπιτεχνήτων προλήψεων, συμπληροῦσθαι λεγομένης. (2). Ταύτῃ δὲ εἰδήσιν τινα Ἰσορικὴν, καὶ κοινὴν οἱ ὕστερον ἀξιοῦσι καλεῖν. (3). Ἣν ζωώδη γνῶσιν αὐτοὶ ὀνομάζομεν, ἢ, τὸ μετριώτερον εἰπεῖν δηλώδητε, καὶ χυδαίαν.

§. ιγ'. Δευτέρα δὲ μετὰ ταύτην ἡ γνῶσις, ἡ ἀλογοῦσα μὲν καὶ αὐτὴ τὸ αἰτιᾶσθαι τῶν ὄντων, καὶ γινομένων, ἐπεκτεινομένη δὲ ὡς οἷόντε ἐπὶ πλεῖστα, ὅσα γῆν ἐνδέχεται, μηδὲ κατὰ τὴν ἀνωτέρω (§. ιβ'.), μόνοις ἀγαπῶσα τοῖς αὐτομάτως προσπίπτουσιν· Ἀλλ' ἐπὶ τούτοις καὶ τὰ μᾶλλον ἄποπτα, καὶ ὧν τὴν εἴδησιν ἐχ ἕτω προχείρως ἔνι λαβεῖν, ἐδὲ ἀταλαιπώ-

(1) Οὕτω φέροντα ὀνομάσαντες καὶ Ἀριστοτέλης, καὶ Πλάτων· ἀλλ' ὁ μὲν Ἀριστοτέλης ἀγράφῳ γραμματείῳ τὴν ψυχὴν εἰκάζει, καὶ κυρίως λέγει μάθησιν· ὁ μέντοι Πλάτων ἐγγράφῳ γραμματείῳ, καὶ τὴν μάθησιν ἀνάμνησιν λέγει. Ἀνωνύμ. δόξ. περὶ ψυχ.

(2) Στωϊκὸς ἐστὶ λόγος, ὅτι τῷ Ἡγεμονικῷ τῆς ψυχῆς, ὥσπερ χάρτῃ, μία ἑκάστη τῶν ἐννοιῶν ἐναπογράφεται. Πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων . . . τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς γίνονται καὶ ἀνεπιτεχνήτως· Αἱ δὲ ἤδη δι' ἡμετέρας διδασκαλίας, καὶ ἐπιμελείας. Αὗται μὲν ἔν ἔννοιαι καλοῦνται μόνον, ἐκεῖναι δὲ καὶ Προλήψεις. Πλάτ. περὶ Ἀρεσκ. Βιβ. Δ'. Κ. ιά.

(3) Οὐόλφ. περὶ Φιλοσοφ. ἐν Γένει Κ. ά. §. 3.

πώρως, πολυπραγμονοῦσα. Οἷον εἴτις ζώων εἴδη μυρία ὄντα, ἃ τὸν πολὺν ἄνθρωπον λανθάνει, περιεργάζοιτο· Καὶ φυτῶν δὲ, καὶ λίθων· Καὶ τούτων τὰς φύσεις ἐξιστοροίη, καὶ τὰς δυνάμεις, καὶ τὰ ἴδια. Ἔτι δὲ καὶ τεχνῶν παντοίων τὰς ἐπινοίας, καὶ τῶν κατ' αὐτὰς ἐργασιῶν τὰς μεθόδους· Ὅσατε κατὰ τὰς ἀνατομὰς τῶν ζώων παρατηρεῖσθαι φιλεῖ, κἂν ταῖς γινομέναις ὑπὸ τῶν χυμικῶν ἀναλύσεσι, καὶ ταῖς ὑπὸ τῶν φιλοσοφούντων πολυτρόποις ἐμπειρικαῖς ἐνδείξεσι, τὸν ἐφ' ἑκάστοις αἰτιώδη λόγον, ὡς περιττὸν ἄρα ὄντα, ἢ ἄληπτον αὐτῷ, ἢ μὴ πρὸς αὐτοῦ, μηδὲ τὴν κατ' αὐτὸν ἐπαγγελίαν, κατανωτιζόμενος. Ἡ δὲ γνῶσις αὕτη Ἱστορικὴ κρυφιωτέρα τοῖς ὕστερον εἴρηται (1), εἰς διαστολὴν τὴν ἀπὸ τῆς δημώδους ἐκείνης, καὶ πεπατημένης. (§. ιβ'.). Πρὸς ἣν Ἱστορικὴν ἀνήκειν, τὴν κατὰ τοὺς παλαιοὺς πεῖραντε, καὶ ἐμπειρίαν (§. ιά.) ἡγούμεθα. (2).

§. ιδ'. Τρίτη δ' ἂν ἀριθμοῖτο ἡ γνῶσις, καθ' ἥντις καὶ τοὺς λόγους εἰδὼς ὁπωσοῦν, καὶ συγκεχυμένως, δι' ὧν οἱ φιλοσοφοῦντες, τῶν παρ' αὐτοῖς τινὰ θεωρουμένων ἀποδεικνύουσιν, ἀφυῶς ἔχει καὶ ἀδυνάτως ταῖς κατ' αὐτοὺς ἀποδείξεσιν ἐπιχειρεῖν, ἅτε δὴ μὴ εὐκρινῶς τὴν τούτων δύναμιν συνορῶν, μηδὲ συμβαλεῖν ἔχων ἐφ' ἑκάστου, τὴν ἐκ τοῦ λόγου ἀκολουθίαν τοῦ πράγματος, οὐδ' ἄλλον ταύτην ἐκδιδάξαι οἷός τε ὤν. Ὃ μέγιστον εἰδήσεως ἀκριβοῦς τεκμήριον τίθεται. (3). Τοῦ γὰρ φέρ' εἰπεῖν τὴν ἀρτηρίαν σφύζειν, τὴν δι' αὐτῆς τυχὸν τοῦ αἵματος ῥοὴν αἰτιάσεται. Ἐρεῖ δὲ καὶ τὴν σελήνην ἴσως τῶν παλιῤῥοιῶν αἰτίαν εἶναι, οὕτω που παρειληφώς. Ταύτην δὲ κατασκευάσαι καὶ δεῖξαι, καὶ τοὺς ἄλλους πεῖσαι, ὡς αὕτη ἡ ἀληθὴς αἰτία ἐστὶν, οὐκ ἂν ὅλως δυνηθείη, ὡς ἀνεπιστημόνως, καὶ ἀφιλοσόφως, καὶ συνελόντι φᾶναι ὀρθοδοξαστικῶς διακούσας τοῦ πράγματος. Τὴν οὖν τοιαύτην τῆς φιλοσοφικῆς γνώσεως εἴδησιν ἀφιλόσοφον καὶ ἱστορικὴν ἁπλῶς προσεῖπον. (4). Ἡμῖν δὲ Ὀρθοδοξασίατις αὕτη λεγέσθω, τοσούτῳ τῆς κατὰ τοὺς παλαιοὺς διαφέρουσα δόξης, (§. 1.) ὅσῳ

(1) Αὐτ. αὐτ. §. 20. 21. Cognitio Historica arcana.

(2) „Ὁπότε δὲ ἐκ τῆς ἀλόγου δόξης ἡ Ἐμπειρία ὁρμᾷ, τότε καλεῖται Ἱστορ. Νικ. Βλεμ. Ἐπιτ. Λογ. Κ. γ'.

(3) „Ὅλως τε σημεῖον τοῦ εἰδότος, „καὶ τὸ δύνασθαι διδάσκειν ἐστίν. Ἀριστ. „Μεταφ. Μείζ. Α'. Κεφ. ά.

(4) Οὐόλφ. Ἔνθα ἀνωτ. §. 8 9.10.

ὅσω ἐκείνης ἤτοι πάντη ἀλόγως, ἢ γᾶν ὡς εἰρηται πιθανῶς (1) περὶ τὸ ὑποκείμενον αὐτῇ ἀναιρεφομένης, αὕτη καὶ τῇ ἀποδεικτικῇ λόγῳ νύξιν τινὰ προείληφε, κἂν μὴ τῆτον ἔχοι ἀποδεικτικῶς ἀναπτύξαι, καὶ ἐξεργάσασθαι. (2).

§. ιέ. Τετάρτη δὲ καὶ τελεωτάτη ἡ κατ' Ἐπιστήμιν γνῶσις ἐστὶν (§. ιά.), ἡ τῇ ὄντος τὸν αἰτιώδη λόγον ἀποδιδῦσα, καὶ δι' αὐτῆ τῆθ' ὅτως ἔχειν, μηδ' ἐξεῖναι ἄλλως, ἀποδεικνύσα. Ταύτιν ἡ Ἑλλὰς Φωνὴ Ἐπιστήμιν προσαγορεύει (3), παρὰ τὸ διὰ μόνης αὐτῆς ἐπ' αὐτὸ τὸ νοητὸν γενομένης, δύνασθαι πάντη ἠρεμῆσαι καὶ σῆναι. μηδὲν τῆς ψυχῆς περαιτέρω προεκτεινομένης, ὥστε ἐκ περισσίας ἐλαμφθῆναι, οἷον ἄντις μάτιν ἐπὶ τῶν ἀνωτέρω (§. ιβ'. ιγ'. ιδ'.) ἐλπίσειε γνώσεων. Καλεῖται δὲ αὕτη καὶ γνῶσις Φιλοσοφική, δι' ἧς ἄν ποτε ἐπὶ τὸ τέλεον ἐπιδεδωκείας, τόγε ἀνθρώπῳ ἐφικτὸν, καὶ ἡ κατὰ τὸν ἐνεργείᾳ Νᾶν ἕξις, ἡ ἀκροτάτη ἐκείνη (§. ιά.) ἐγγένοιτο.

§. ις'. Ἐπισῆσαι δὲ δεῖ ὅτι τοῖς Φιλοσοφίας ὀρεγομένοις, πρὸς ταύτιν βλέπεσι τιν κατ' ἐπιστήμιν, ὡς τελείαν ἤδη, καὶ αἱρίσιν τῶν γνώσεων, καὶ μόνιν Φιλόσοφον (§. ἀνωτ.), ὧδε ἐκείνων ὅμως τῶν ἀτελεσέρων ἀμελητέον. Βαθμίδων γὰρ πρὸς ταύτιν ἐκεῖναι τρόπον εἰσί. (4). Καὶ ὥσπερ τὸ ἐν ἐκείναις μένειν, δειλὸν ἄν εἴη, καὶ βλακῶδες, καὶ ἀπειροκαλον, ἕτω καὶ τὸ δι' αὐτῶν ἰέναι πρεσγιαίτατον, καὶ τῶν μάλισα ἀναγκαίων. Ὁδηγοὶ γὰρ ἀντικρυς εἰσὶ, καὶ οἷον δαδέχοι αἱ γυμναὶ τῶν φαινομένων προλήψεις, τοῖς εἰς θήραν ἐξιῶσι τῶν ἐν τοῖς ἕσιν ἀφανεσέρων δυνάμεων. Καὶ τέσγε κατ' ἴχνη τὰ ἐκείνων βαίνοντας, ἄμεινον ἔχειν εἰς τὸ κρίνειν περὶ τῶν πραγμάτων εἰκός. Αἴτε δόξαι αἱ περὶ τῶν ἀλλοτρίων θεωρημά-

(1) Ὅρα τὴν σημείωσιν τὴν ἐν §. ι.

(2) Τοιαύτη τις ἂν εἴη, ἥν τινες εἰσάγεσιν ἐκ ἄλογον δόξαν· οἷον, καθ' ἥν τις (φασὶ) τὴν λογικὴν ψυχὴν δοξάζει Ἀθάνατον, διότι Αὐτοκίνητος ἐστὶν, τὸ δὲ Αὐτοκίνητον Ἀεικίνητον, τὸ δ' Ἀεικίνητον Ἀθάνατον (ὅρα τὸν Βλεμ. Ἔνθα ἀνωτ.) Ἡ γὰρ ὅτως ἔχεσα δόξα ἐδίντι χάρων τῆς καθ' ἡμᾶς ἀρημένης ὀρθοδοξασίας.

(3) „Τὸ γὰρ ἠρεμῆσαι καὶ σῆναι „τὴν διάνοιαν, ἐπίσασθαι, καὶ φρονεῖν „λεγόμεθα. Ἀρισ. Φυσικ. Βιβ. ζ'. „Κ. γ'. Ἐπιστήμη δὲ ὠνόμασαι διὰ τὸ „ἐπί τάσιν καὶ ὅρον τῶν πραγμάτων „ἄγειν ἡμᾶς. Βλεμ. Ἔνθ. ἀνωτ.

(4) „Ἀποβαίνει Ἐπιστήμη ἡ τέχ„νη διὰ τῆς Ἐμπειρίας τοῖς ἀνθρώποις. Ἀρισ. Μετ. Μεῖ. Α'. Κ. α'

ρημάτων, εἰς ἐπίκρισιν ἡμᾶς τῶν ἐπιφερομένων λόγων κινεῖν πεφύκασι, καὶ ὑπερεθίζειν. Οὓς ἀκριβῶντες καὶ ἀσπαζόμενοι, ἐδὲν ἧττον καὶ αὐτοὶ κατὰ τὸς τὸ πρῶτον εἰσηγησαμένες, τῆ καλῆ τῆς Φιλοσοφίας ἐν ἀπολαύσει ἐσόμεθα.

ΠΡΟΔΙΑΤΡΙΒΗ ΤΕΤΑΡΤΗ.

Ἤτις ποτὲ ἐστὶν ἡ Φιλοσοφία. Καὶ ὅσα αὐτῆς τὰ Μέρη. Ἥτε τάξις τῆς περὶ αὐτὴν πραγματείας, καὶ ἡ ἐξ αὐτῆς ὄνησις.

§. α'.

Ἡμὲν ἓν Φιλοσοφία, ἣν Σοφίαν τὸ πρὶν καλεμένην, πρῶτος ὁ Πυθαγόρας εἰς τῆτο φέρεται μετονομάσας (ἐν Ἀφηγ. Προεισοδ. §. ιβ'.) ἐδὲ ἄλλο, ὡς ὁλοχερῶς εἰπεῖν, καθ' ἡμᾶς σημαίνει, ἢ αὐτὸ τῶν παρ' ἀνθρώποις κατ' Ἐπιστήμην νοεμένων (§. Προδι. Γ'. §. ιέ.) τὸ πλήρωμα (1). Τέτε χάριν ἐδ' ἐπίσης ἅπασι τῆ δαιμονίᾳ τῆδε

(1) Ἐκ τῆδε δὴ τὸ πληρώματος, καὶ τέχνη τεχνῶν, καὶ Ἐπιστήμη Ἐπιστημῶν ἡ Φιλοσοφία ἐξύμνηται, μηδὲ τῶν τεχνῶν ἐξ αὐτῆς ἀποκλειομένων, ἐπεὶ καὶ πᾶσαι τέχναι παρὰ τῆς Φιλοσοφίας λαμβάνεσι τὰς ἀρχὰς, ὡς ὁ Βλεμμ. ὀρθῶς δήπε τόδε σεσημείωκεν Ἐπιτ. Λογ. Κεφ. δ'. Καὶ πρὸ τέτε Συνέσ. ἐν τῷ Δίονι. „Τίνος ἂν εἴη „τέχνη, καὶ Ἐπιστήμη τέχνης, ἢ Ἐπιστήμης, ἧς ἐν τῷ λόγῳ τὸ εἶναι, τὸ „πάσαις ἐποχεῖσθαι παραλαμβάνεται. „Εἰ μὴ φιλοκρινοίητε αὐτὰς, καὶ τὴν „μὲν ἐκ περιωπῆς ἀποσκοποῖτο, τὴν δὲ „καὶ πρόσω ἴσαν, περιεργάζοιτο, δα„ρυφοροῖτο δ' ὑφ' ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι; τὰς δὲ Μέσας ἐχ ὁ„μῆτε ἴσας ἐμφαίνει τὸ ὄνομα, θεῶν „καλεσάντων, ἢ ἀνθρώπων γε Θεὸς φύ„σει χρωμένων; χορός τε εἰσὶ δὶ αὐ„τὴν δήπε τὴν σύνοδον. Μία δὲ αὐτῶν „ἐδεμιᾶς χωρὶς, ἅτ' ἐν συμποσίῳ Θεῶν, „ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, ἅτε „τυγχάνει παρὰ ἀνθρώποις βωμῆ καὶ „νεῶ. Καίτοι τινὲς φύσεως ἐνδείᾳ κατακερματίζεσιν αὐτῶν τὸ χωρίζεσθαι „μὴ δυνάμενον. Καὶ ἕτερος ἑτέρας ἐπή„βολος γέγονεν. Ἀλλὰ Φιλοσοφία τὸ ἐπὶ πάσαις ἐστίν.

τᾶδε χρήματος μετεῖναι εἰκός, ἀλλ' ᾧ μὲν μᾶλλον, ᾧ δ' ἧττον, ᾧ δ' ἥκιστα τὰ πολλά, ἑδενὶ δὲ πάντῃ· ἀνεξαντλήτε μὲν τῆς ἐν ἀνθρώποις ἕξης Φιλοσοφίας, καὶ ἐδὲν πέρας ἐπὶ γῆς οὖρεῖν δυναμένης· τῷ δὲ πλήθει, καὶ τῷ μεγέθει τῶν γινωσκομένων, ἐν οἷς τε, καὶ περὶ ἃ αὐτὴ ἐναχολεῖται, συμμετρεμένης ἀνάλογον.

§. β'. Γνῶσιν ταύτιν θειοντε καὶ ἀνθρωπίνων, οἱ ἐκ τῆς Στοᾶς ὡρίσαντο (1), τῇ ἀνωτάτῃ οἵμαι τῶν ὑποκειμένων διαιρέσει, περὶ ἃ ἀναιρέφεται, τό, τε ὑπερέχον αὐτῆς τᾶ ὕψες, καὶ τὸ διαβεβηκὸς τῆς ἐκτάσεως διασεμνιώαντες. Τῶν γὰρ τῶτε Ἀγαθῶ Δημιεργῶ, καὶ τῶ καλλίςῳ τῶν δημιεργημάτων, ἢ ὡς ἴδια, ἢ ὡς ἔργα, ἢ ἄλλως ὁπωσῶν ἀνηκόντων, τί ἂν ἢ ἔξω γένοιτο, καὶ ἐπέκεινα; ἢ κρεῖττον ὅλως, καὶ τιμιώτερον;

§. γ'. Τῆς δὲ Φιλοσοφίας καὶ λόγος ἕτερος φέρεται, ἐδὲν ἧττον τῶν ἀνωτέρω, ἀκριβείᾳ προήκων ἢ ἀρχαιότητι (2). Καθ' ὃν γνῶσις ὥρισαι τῶν ὄντων, ἢ ὄντα ἐςί. Διὰ γὰρ τᾶτε μιᾶς ἑκάσης τῶν Ἐπισημῶν, ὡς ὅλον μέρες, ἡ Φιλοσοφία διέσαλται. Μέρος γὰρ ὁποιονῦν τᾶ ὄντος, ἐκείνων ἑκάση εἰς θεωρίαν ἔλαχεν, ἑαυτῇ ἀφορισθέν. Ἥτε Μεταφυσικὴ ἀνάσασα, καὶ τὸ Ὂν αὐτὸ προσησαμένη· ἐμοὶ καὶ πάντα τρόπον αὐτᾶ κατεπαγγέλεται τιὼ διάγνωσιν, ἀλλ' ἢ μόνον αὐτὸ λόγων τινῶν γενικωτάτων τυγχάνει συνεκτικόν. Ἡ δὲ Φιλοσοφία καὶ ἅπαντα, καὶ πάντα τρόπον καθ' ὃν γινώσκεθαι αὐτὰ φύσιν ἔχει συμπεριειλῆφθαι, ὡς ἄρα τῶν κατ' Ἐπισήμιω νοημένων ἁπαξαπάντων ὅσα τὸ πλήρωμα (§. ά.). Ἐπεὶ καὶ τὰ ὄντα πάντα γινώσκειν ἐθέλει, καὶ ᾗ ὄντα, τᾶτέσι κατὰ πάντας τὰς λόγες, καθ' ὃς ἡ φύσις, καὶ τὸ εἶναι αὐτοῖς συγκεκρότηται. (3). Ἐξ ὧν ἐδὲν καινὸν, ἐδὲ περιττὸν προχειρισάμενος φαίνεται, ὁ τιὼ Φιλοσοφίαν γνῶσιν εἶναι τῶν δυνατῶν ᾗ δυνατά, ἃ πολὺ πρὸ ἡμῶν ἀποδεδω-

(1) Πλάτ. εἰς τὰ Ἀρεσκ. τοῖς Φιλοσοφ. ἐν Προοιμ. παρὰ δὲ τῷ Ἀμμωνίῳ καὶ εἰς Πλάτωνα ὁ ὁρισμὸς ἀναφέρεται, παρὰ δὲ τῷ Βλεμμίδῃ, καὶ εἰς Πυθαγόραν.

(2) Οὗτος γὰρ τᾶ Πυθαγόρα λέγεται εἶναι. Βλεμ. Κ. δ'.

(3) Γνῶσις τῶν ὄντων, ᾗ ὄντα ἐςίν. Ἀντὶ τᾶ καθὸ φύσεως ἔχεσιν ἔκασα. Οὐμὴν ἀριθμᾶ καὶ ἰδιότητος (νοητέον Ἀτομικῆς). Βλεμμίδ. Κ. δ'. Οὕτως ἐξειληφέναι τὸν ὁρισμὸν δῆλος ἐςὶ καὶ ὁ Θεῖος Δαμασκηνός. Διαλεκτικ. Κεφ. γ'.

δωκώς (1)· τὰ γὰρ ὄντα, ταύτῃγε καὶ δυνατά· Οἵτε λόγοι καθ' ὅς ἐςὶν ὄντα, οἱ αὐτοὶ ἐκεῖνοι εἰσὶ, δι' ὅς ὐκ ἀδύνατα. Ὥςε καὶ ἡ τῶν δυνατῶν ᾗ δυνατὰ Ἐπιςήμη, εἰς ταυτὸ ἡμῖν περιΐςαται τῇ τῶν ὄντων ᾗ ὄντα· τȣτέςι τῆς τῶν ὄντων φύσεως.

§. δ'. Τοιαύτης δὲ ȣ̓σης ȣ̓χ ἁπλȣ̃ντι ἐςὶν, ȣ̓δ' ἀμερὲς τὸ τῆς φιλοσοφίας χρῆμα, ȣ̓δὲ μενȣ̃ν μονομερὲς (εἰ τοιȣ̃το δήτι θέμις καὶ λέγειν (2), οἷον ψυχρῶς πάνυ ὁ Ἐμπειρικὸς τῶν Ἀρχαιοτέρων τινὰς ὑπειληφότας εἰσάγεται (3). Πολυμερὲς δὲ, ὡς ἐκ πλειόνων Εἰδῶν, ἢ μερῶν συγκεκροτημένης. (§. α'.). Διὸ καὶ εἰς τρία ταύτην διαιρȣ̃ντες ἦσαν οἱ πλεῖςοι, καὶ παλαιότατοι (4), τὸ Λογικὸν, τὸ Φυσικὸν, τὸ Ἠθικὸν, καθ' ἃ ἥτε πάγκαρπος ἀλωὴ, καὶ τὸ ᾠὸν, καὶ τὸ ζῶον ἐλήφθη σύμβολα. Ὧν ἐν μὲν τῇ ἀλωῇ ὅ,τε φραγμὸς, καὶ τὰ ἐντὸς αὐτȣ̃ φυτὰ, καὶ οἱ ἀπὸ τȣ́των καρποί. Ἐν δὲ τῷ ᾠῷ, τὸ ὀςρακῶδες, καὶ τὸ λευκὸν παρέγχυμα, ἥτε λέκυθος. Ἐν δὲ

(1) Τῆς φιλοσοφίας τȣ̃τον ὁρισμὸν εὑρηκέναι φησὶν Οὐόλφιος Ἔτει ᾳψγ'. ὑπὲρ ȣ̃ καὶ πρὸς Κασπάριον Νεύμαννον Ἔτ. ᾳψέ. διαλεχθῆναι· τέως δὲ καὶ τύποις τὸν ὁρισμὸν ἐκδεδωκέναι ἐν τῷ Προλόγ. τῶν Στοιχ. τῆς Ἀερομετρ. Ἔτ. ᾳψθ'. Οὐόλφ. Λογ. Κ. ϛ'.

(2) Πῶς γὰρ οἷόντε μονομερές τι λέγειν, ἢ καὶ ὅλως ἐννοεῖν; ἤτοι γὰρ μέρη ȣ̓κ ἔχον ἀμερὲς ἔςαι, ἢ ἔχον, ἕξει πλείω ἑνὸς ἐξ ἀνάγκης. Οὗ γὰρ ἐκτὸς ἕτερον ȣ̓δὲν, ἐκεῖνο ὅλον.

(3) Ὅρα Βιβλ. Ζ'. πρὸς τȣ̀ς Λογικ. Ἔνθα τȣ̀ς μὲν εἰσάγει τὸ φυσικὸν μόνον ὑποςησαμένȣς, οἷον Θάλητα, καὶ Ἀναξιμένην, κτ. τȣ̀ς δὲ μόνȣ τȣ̃ Ἠθικȣ̃ ἐπιμεληθέντας, οἷον Σωκράτην, καὶ τȣ̀ς ἀπὸ τῆς Κυρήνης, καὶ Ἀρίςονα τὸν Χῖον, κτ. τȣ̀ς δὲ ἐπὶ τὸ Λογικὸν κατενεχθέντας, οἷον τȣ̀ς περὶ Πανθοΐδην, καὶ Ἀλεξῖνον, κξ'. Ἀλλὰ γὰρ ἐκεῖνοι ȣ̓χ ȣ̃τω περιγράφοντες ἐτύγχανον τὴν φιλοσοφίαν, ἢ ὅτι τὰ ἄλλα τῶν μερῶν, ὡς περιττὰ σφίσι δοκȣ̃ντα, καὶ ȣ̓ πάνυτι λυσιτελῆ ἑκόντες κατενωτίζοντο.

(4) Οἱ Στωϊκοὶ παρὰ Πλȣτάρχ. εἰς τὰ Ἀρέσκ. Εἰσὶ δ' οἱ φασὶν, ὅτι καὶ πολὺ πρὸ τῶν Στωϊκῶν οἱ παλαιότατοι τῶν Ἑβραίων. Διὸ καὶ τὸν Σολομῶντα ἐν μὲν τῷ Ἐκκλησιαςῇ τὸ φυσικὸν ἐνςήσασθαι· Ἐν δὲ ταῖς παροιμίαις τὸ Ἠθικόν· Ἐν δὲ τῷ Ἄσματι τὸ νοητόν. Ὀλυμπ. ὑπομν. εἰς τὸν Ἐκκλ. ἐν Προοιμ. ὁ δὲ Γαλην. ἢ εἴτις ὁ τὸ περὶ τῆς φιλοσ. Ἱςορ. ἐκδȣ̀ς, Πρῶτον (φησὶ) τὸ τριμερὲς τῆς φιλοσοφίας τὸν Σωκράτην εἰσηγήσασθαι. Ἀλλὰ καὶ τῷ Πλάτωνι τȣ̃τ' ἀπέδωκεν Ἀττικὸς, καὶ Ἀριςοκλῆς, (Παρ' Εὐσεβ. Βιβλ. θ'. τῆς Προπαρ. καὶ Ἀλκίνοος, καὶ ἄλλοι. Καὶ ὁ Σέξτος αὐτὸς, ἔνθα ἀνωτ. „Ὧν δυνάμει (φήσας) ὁ Πλάτων ἐςὶν Ἀρχηγὸς, περὶ πολλῶν μὲν φυσικῶν, πολλῶν δὲ ἠθικῶν, ȣ̓κ ὀλίγων δὲ λογικῶν διαλεχθείς.

δὲ τῷ ζώῳ τὰ ὀςᾶ, καὶ αἱ σάρκες, καὶ ἡ ψυχὴ, πρὸς τὸ τριμερὲς ἐκείνης ἔχει ἀνάλογον. Ὁ δὲ Ἀριςοτέλης δύο τῶν κατ' Ἐπιςήμην ἕξεων εἴδη τὰ πρῶτα ὑποςησάμενος, τὸ μὲν, Θεωρητικὸν, οὗ τέλος ἀλήθεια, τὸ δὲ Πρακτικὸν, οὗ τέλος πρᾶξις, εἰς ταῦτ' ἔπειτα πάντα τὰ τῆς Φιλοσοφίας διεςόιχιζε μέρη (1)· τοῦ μὲν Θεωρητικοῦ, τὸ Φυσικὸν εἶναι τιθέμενος, καὶ Μαθηματικὸν, καὶ Θεολογικόν· τοῦ δὲ Πρακτικοῦ τὸ Ἠθικὸν, καὶ Οἰκονομικὸν, καὶ Πολιτικόν· Οἷς δὴ καὶ τρίτον εἶδος προςιθεὶς ὁ Ἀμμώνιος (2) τὸ Λογικὸν, εἰς ὃ καὶ τὰς λεκτικὰς τῶν τεχνῶν ἀνῆγε Γραμματικὴν, καὶ Ποιητικὴν, καὶ Ῥητορικὴν, καὶ Ἱςορικὴν, τῆς Φιλοσοφίας αὖθις ἀνεπλήρου τὸ τρίδυμον· Οὐμὴν δὲ, ἀλλ' οὐδ' οἱ ὕςερον, οὐδ' ἐν τούτῳ πάντῃ ἀξιοῦντες εἶναι ἀσύμβολοι, διαιρέσεις ἄλλας, κατὰ τὸ ἐπιὸν αὐτοῖς, ὤκνησαν ἀποδοῦναι. Ἀλλ' ὁ μέντις ἐν αὐτοῖς κατὰ τὰ ἐφ' ἡμῖν, καὶ μὴ ἐφ' ἡμῖν διαςείλας τὰ ὄντα, εἰς ταῦτα καὶ τὸ ὅλον τῆς Φιλοσοφίας διαιρεῖν προήχθη, σύμφωνα τοῖς γνῶσιν αὐτὴν θείωντε καὶ ἀνθρωπίνων ἀποδεδωκόσιν, (§. β'.) ὑποτιθέμενος. Οὐκ' ἐφ' ἡμῖν γὰρ τὰ θεῖα, περὶ ἃ τὸ Μεταφυσικὸν Εἶδος, καὶ τὸ Φυσικόν· Ἐφ' ἡμῖν δὲ τὰ ἀνθρώπινα, περὶ ἃ, τὸ Ἠθικὸν, καὶ τὰ τῆς πρακτικῆς ἰδέας, ἐςὶν ἐναςχολούμενα. Ὁ δέ τις τὰ πρώτως ἡμῶν ἀπαντῶντα τῇ γνώσει διασκοπήσας, τούτοις συμφώνως καὶ τὰ τῆς Φιλοσοφίας μέρη διατάσσειν ἐπιχειρεῖ· πρῶτον δὴ τὸ περὶ τὴν γνῶσιν τε καὶ διακόσμησιν ἑαυτῶν, διά τε τῆς Λογικῆς καὶ τῆς Ἠθικῆς ἀριθμῶν. Δεύτερον δὲ, τὸ περὶ τὴν διάσκεψιν τῆς σωματικῆς καὶ ἐνύλου Φύσεως, διὰ τῆς Φυσικῆς. Τρίτον δὲ τὸ περὶ τὴν θεωρίαν τοῦ Δημιουργοῦ διὰ τῆς Θεολογίας. Πρὸς ἃς ὡς ὁλικωτέρας καὶ τὰς λοιπὰς ἁπάσας πραγματείας ἀνακαλέσαι ῥάδιον. Ἀλλ' αὗται μὲν δὴ εἰς ταυτὸ σχεδὸν τείνουσιν αἱ διαιρέσεις. Τέλος γὰρ ἓν ἁπασῶν, τὰ εἴδη τῶν Ἐπιςημῶν, πολλάτε ὄντα καὶ ποικίλα, εἰς Κεφάλαι ἄττα ἀναγαγεῖν, καὶ κατατάξαι, ᾗπερ ἂν εἴη μᾶλλον εὐόριςα, καὶ εὐσύνοπτα.

§. ε'.

(1) Ἀριςο. Μεταφ. Β'. Κεφ. α'. Καὶ Μεταφ. Ε'. Κεφ. α'.

(2) Ἐν τῷ ὑπομν. εἰς τὰς Ε'. φωνάς.

§. ε. Οὐκοῦν τι μὴ καὶ ἡμῖν ἐξέσαι ἐν τέσσαρσιν οἱονεὶ ὅροις, πάντα ὅσα ἐσὶ συμπεριλαβεῖν τὰ παρ' ἀνθρώποις φιλοσοφέμενα; Νοείσθω δὴ ἕν, ὁ μὲν τέτων ὅρος εἶναι Διαβατικὸς, ὁ δὲ Ὑπερβεβηκὼς, ὁ δὲ Ὑποβεβηκὼς, ὁ δ' Ἔσχατος. Καὶ σὺ μὲν τῷ Διαβατικῷ περιειλήφθων ἥτε Λογικὴ, καὶ ἡ περὶ τὸ Ὄντος Ἐπισήμη, ἣν Ὀντολογίαν οἱ ὕσερον ἐξωνόμασαν. Οὐκ ἀπροσφυὲς δὲ οἶμαι τέτων ἑκατέραν Διαβατικὴν ὀνομάζεσθαι· Ἀμφοῖν γὰρ ἀοριςαῖνον τὸ ὂν ὑπόκειται, τῇ μὲν εἰς τὴν ἐν γένει θεωρίαν, τῇ δὲ εἰς τὴν περὶ αὐτὸ ἀσυλλογισίαν. Ἀμφοτέρων τε πᾶσαν αἱ Ἐπισῆμαι ἔχεσιν ἐπιδεῶς, τῆς μὲν τὰς ἀρχὰς παρεχομένης, τῆς δὲ τὴν χρείαν τῆς Ἀποδείξεως. Ἐπὶ δὲ τὸν Ὑπερβεβηκότα ὅρον ἀναγέσθωσαν, αἱ περὶ τὸ Θεὸ καὶ τῶν ἀύλωντε καὶ ἀσωμάτων ἓσιῶν ἐπισῆμαι, ἃς διὰ τὸ ὑπερέχον τῶν ἐν αὐταῖς θεωρεμένων, ὑπὲρ τὰς λοιπὰς ἐξαίρεσθαι δίκαιον. Δῆλον δὲ ὅτι τοιαύτη ἡ μεγαλώνυμος Θεολογία, ἡ διὰ τῆς ἐναργείας τῷ λόγῳ, καὶ τῶν Φυσικῶν ἀνοιῶν (ἐ γὰρ περὶ τῆς Ἱερᾶς, καὶ ἐξ Ἀποκαλύψεως ἐνταῦθα ὁ λόγος, τῆς ὅλῳ τῷ γένει διαφερέσης.) τὰ τῇ ὑπερτάτῃ καὶ ἀπειροτελείῳ Φύσει προσεῖναι νοέμενα ἐκδιδάσκεσα, καὶ ἡ περὶ τῆς λογικῆς ψυχῆς θεωρία. Κατὰ δὲ τὸν ὅρον τὸν Ὑποβεβηκότα τετάχθωσαν αἱ ἐπισῆμαι, ἃς καλέσι πρακτικάς. Αὗται δὲ εἰσὶν ἥ τε τῷ κατὰ Φύσιν δικαιώματος Εἰσήγησις, ἡ καθόλε τι τὸ αἱρετὸν, καὶ τὶ τὸ μὴ, σὺ ταῖς κατὰ ἄνθρωπον πράξεσιν ὑποτιθεμένη, καὶ αἱ ταύτῃ σύναυλοι Ἠθικήτε, καὶ Οἰκονομικὴ, καὶ Πολιτικὴ, ἐξ ὧν ἀνθρώποις ὅσα καθήκοντα, ἡ μὲν ἰδιωτεύσιν, ἡ δὲ οἶκον διοικεῖν λαχέσιν, ἡ δὲ πολιτευομένοις καὶ τὶ ἐπὶ τῶν ἄλλων ἀρχῶν διεξάγσι, πραγματεύεται. Τελευταῖον ἐπὶ τῷ ἐχάτῳτε καὶ Πυμάτῳ τῶν ὅρων ἀποτιθέθωσαν αἱ περὶ τὰ σωματικὰ τῶν ὄντων, καὶ περὶ τὴν ὑποσάθμιν τῆς ὕλης ἀναγρεφόμεναι. Ἥτε Γενικωτέρα Φυσικὴ δηλονότι, ἡ τὰ ἐπιθεωρέμενα τοῖς σώμασιν, ἢ τοῖς πᾶσιν, ἢ τοῖς πλείοσις πολυπραγμονέσα. Καὶ ἡ Κοσμολογία παρὰ τοῖς καθ' ἡμᾶς ἀκέσα, ἡ περὶ τὰ ὁλοχερέσερα ἐναχολεμένη τῶν σὺ τῷ παντὶ σωμάτων· Καὶ αἱ τέτων εἰδικώτεραι, Μετεωρολογία, ἡ περὶ τῶν ἐν τῇ Ἀτμοσφαίρᾳ γινομένων. Ὀρυκτολογία, ἡ περὶ τῶν ἐξ ἐγκάτων γῆς ἐξορυσομένων, εἰδῶντε αὐτῆς παντοίων, καὶ λίθων, καὶ μετάλλων, καὶ χυλῶν,

λῶν, καὶ ποικίλων ἄλλων συγκρίσεων· Ὑδρολογία, ἡ περὶ κινήσεως ὑδάτων, καὶ διαφόρων ποιοτήτων αὐτῶν, καὶ δυνάμεων· Φυτολογία, ἡ περὶ φυτῶν εἰδῶν μυρίων. Ζωολογία, ἡ περὶ ζώων, ἄλλωντε, καὶ ἀνθρώπου, ἧς οἷόντι μέρος τίθεται, καὶ ἡ κατὰ τὴν Ἰατρικὴν Παθολογία, καὶ ὅσας ἄλλας ἐκ τῆς διαφορᾶς τῶν ὑποκειμένων διαστέλλειν ἔδοξε τοῖς Νεωτέροις, καὶ τοῖς καινοφανεστέροις τούτοις διασημαίνειν ὀνόμασιν. (1). Ἐντὸς δὲ τῆς περιοχῆς ταύτης, καὶ αἱ Μαθηματικαὶ πᾶσαι γινέσθωσαν, αἵτε ἁπλούστεραι Ἀριθμητικὴ, καὶ Γεωμετρία, καὶ αἱ μικταὶ καλούμεναι, ὧν εἴδη πλεῖστα. Ὡς τούτων ἄνευ ἐν ἀκρότητι γενέσθαι τῆς περὶ φύσεως Ἐπιστήμης ἐλπίσαι, ὅμοιον ὂν καὶ ξίφει δεξιῶς ἄνευ κώπης μεταχειρίσασθαι. Ἀλλ' οἵδε μὲν, ὡς συντόμως διελθεῖν, οἱ φιλοσοφίας, καὶ τῶν ἐν αὐτῇ ἁπασῶν πραγματειῶν, ὅροι ἂν εἶεν· ὧν οὐκ ἄτοπον ἴσως εἰς σύμβολον λαβεῖν καὶ τὸ γράμμα τὸ παρὰ τοῖς πάλαι Αἰγυπτίοις τετράκυκλον. (2).

§. ϛ'. Τίνες τίνων δ' ἂν εἶεν ἐν Ἐπιστήμαις πρωτεύουσαι; Ἀλλ' εἰ μὲν περὶ τῆς τάξεως ὁ λόγος, καθ' ἣν δέον αὐτὰς πραγματεύεσθαι, φανερὸν ὅτι τῶν ἄλλων προτακτέον ἀεὶ τὰς πρὸ ὁδοῦ γινομένας· Ἐκείνας δηλονότι, ἀφ' ὧν αἱ λοιπαὶ πορίζονται τὰς ἰδίας αὐτῶν ἀρχάς. Αὕτη καὶ γὰρ εἰς Ἐπιστήμην ἀρίστη μέθοδος, καὶ ἀσφαλεστάτη, ἀπὸ τῶν ἤδη γνωρίμων ἐπὶ τὰ ἀγνούμενα ἑξῆς μεταβαίνειν, κἀπὶ τοῖς στερρῶς προκαταβληθῆναι φθάσασιν ὡς θεμελίοις, τῶν ἐπιόντων θεωρημάτων τὰς κατασκευὰς ἐποικοδομεῖν· ταύτῃτοι καὶ τὴν Μεταφυσικὴν καλουμένην ὡς Ἀρχικωτάτην οὖσαν, τῶν ἄλλων ἀξιοῦσι προτάττεσθαι τῶν Νεωτέρων συχνοὶ, ἀπεναντίον μὲν τοῖς παλαιοτέροις βαίνοντες, ἀρχαιότερον δὲ τῆς ἀληθείας νομίζοντες οὐδὲν, οὐδὲ τοῦ ὀρθοῦ λόγου πρεσβύτερον.

(1) Ὅρα Οὐόλφ. περὶ φῖφ. ἐν Γέν. Κ. γ'.

(2) Παρὰ Πιερίῳ ἐν Ἱερογλυφ. Κύκλων τριῶν ἀλλήλοις ἴσων, στιχηδὸν καταγεγραμμένων, ὡς στὰς μὲν τῶν ἄκρων περιφερείας, διὰ τοῦ κατὰ τὸν μέσον κέντρου διήκειν, τὴν δὲ τοῦ μέσου, διὰ τῶν ἐκείνων κέντρων ἀνάπαλιν, τέταρτος ἐπικατεγέγραπτο, ὁμόκεντρος μὲν τῷ μέσῳ, ἐν δὲ διπλασίονι τῇ διαμέτρῳ, τῶν περιφερειῶν ἑκατέρου τῶν ἄκρων, διὰ τῆς ἰδίας περιφερείας ἁπτόμενος. Τούτων γὰρ διὰ μὲν τοῦ περιέχοντος ἄριστ' ἂν ὁ Διαβεβηκὼς τῶν Ἐπιστημῶν διατυπωθείῃ ὅρος, διὰ δὲ τῶν περιεχομένων τοῦ μὲν ἄνω ὁ Ὑπερβεβηκὼς, τοῦ δὲ μέσου ὁ Ὑποβεβηκὼς, τοῦ δ' ἐσχάτου ὁ Πύματος.

Τῷ ὄντι δὲ, ἐδ' ἂν αἱ κατὰ τὸν ὑποβεβηκότα ὅρον, περὶ ἠθῶντε, καὶ νόμων, καὶ βίε, καὶ πολιτεύματος ἐνισάμεναι εἰσηγήσεις, ἐδ' αἱ κατὰ τὸν πύματον τεθέντα (§. ε.) περὶ τῶν σωματικῶν θεωρίαι, χολῇ γ' ἂν ἐδὲ τὸ βραχὺ ἐπισημόνως ἔχοιεν ἀποδεῖξαι, μὴ ὑπὸ τῶν διαβατικωτάτων ἐκείνων, (§. αυτ.) τῆς μὲν τὰς ἀρχὰς, καὶ τὰς κοινοτάτας ἐννοίας παραλαβέσας, τῆς δὲ τὸν τρόπον τῆς Ἀποδείξεως. Ταυτὸ δὲ, καὶ περὶ τῶν ἐκ τῆς ὑπερβεβηκοτέρας εἰρήσθω τάξεως. Μεταφυσικὴ γὰρ καὶ Λογικὴ, ἡ μὲν ὡς Ἀρχικὴ, ἡ δὲ ὡς Ἀποδεικτικὴ, βαίνεσι καὶ δι' ἐκείνων. Καὶ πᾶσαι ταύταις διὰ τιὼ χρείαν ἐκ ἀπαξιέσιν ὑπάγεσθαι. Ἀλλὰ γὰρ τῶν διαβατικωτέρων δὴ τέτων, πότεραν ἆρα ἡμῖν προτακτέον; κινδυνόει γὰρ θατέραν ἀναπόδεικτον ἔσεσθαι, ἣν ἄντις προτέραν τάξειεν. Ἡ ἅλις ἂν ἔχοι ἐξ αὐτῆ τῆ φυσικῆ λόγε τὰς κοινοτέρας τῶν ἐννοιῶν φέροντας, ἐκ τέτων πρώτιω τιὼ περὶ τὰ λογικὰ πραγματείαν ἐνήσαθαι. τῆτο γὰρ τοῖς καὶ μετρίᾳ τῇ προσοχῇ χρησομένοις ἐκ ἀνήνυτον ἔσεσθαι, αὐτοίτε διὰ πείρας ἔχομεν προειληφότες, καὶ τῇ συμφώνῳ μαρτυρίᾳ τῶν πώποτε πεφιλοσοφηκότων διαπισέμεθα. Ἔτι δὲ καὶ βαθύτερ' ἅπτα κατὰ τιὼ Μεταφυσικιὼ ἁπαντᾶ, εἰς ἃ διαδῦναι χαλεπῶς ἂν ἔχοιεν οἱ ἤδη πρῶτον Φιλοσοφίας ἁπτόμενοι. Τοῖς δὲ ἀπὸ τῆς Λογικῆς πρῶτον ἀρχιὼ λαβέσι στοιχειωθῆναι, πρὸς τῷ ὠμαρεσέρῳ τῶν θεωρημάτων, καὶ τὸ ἀπὸ τῶν μεθόδων τε καὶ Κανόνων κατὰ βραχὺ προσγίνεται βοήθημα, ὅθεν ἠρέμα ἰχνὶ καὶ ῥώμιω ταῖς νοεραῖς τῶν ἐνεργειῶν πορίζομενοι, πρὶν εἰς τέλος φθάσαι τῆς πραγματείας, (εἰ μόνον ἐπιμελῶς ἐκμελετῶσι τὰ προληφθέντα), ἐδὲν ἐκείνων ὑπὲρ τιὼ αὐτῶν κατάληψιν γινόμενον εἴσονται.

§. ζ'. Ὡς εἴγε περὶ τῆ κατὰ τιὼ ἀξίαν πρότερα ὁ λόγος εἴη, τίσι δηλαδὴ πρὸ τῶν ἄλλων τὸ καλλισεῖον ὀφείλεται; Ἀλλὰ τιώδε τῆ Τρωὸς Νεανίσκε τιὼ δίκιω δικάσαι ἂν εἴη. Ἐκείνῳ γάρμοι παραπλήσιοι δοκῆσιν, οἱ τιὼ ἧπερ ἔτυχον προσπεπονθότες καλλίονα κρίνοντες. Ἡμῖν δὲ τὸ καλὸν ἀπάσαις ἐπανθῆν ἐνορᾶται, ἄλλαις ἄλλοθεν ὡραϊζομέναις. Καὶ προέχειν μὲν τῶν ἄλλων ἐοίκασιν, αἱ τῷ περὶ τὰ ἀσώματα, καὶ μάλισα τὸν ΘΕΟΝ αὐτὸν ἀνατείνεσθαι, ὑπερβεβηκεῖαι κληθεῖσαι, τῇ τῆ ὑποκειμένε ὑπεροχῇ διαπρέπεσαι· Διαφέρεσι δὲ αἱ Διαβατικαὶ προσειρημέναι τῇ χρείᾳ. Αἱ δὲ πρακ-

πρακτικαὶ ὡς εἰς ἀγωγὴν βίε, καὶ διακόσμησιν ἠθῶν συντελοῦσαι, σεμνιύονται. Αἱ δὲ φυσικαὶ πρὸς τῷ ἐχὶ σμικρὰν τῷ ζωτικῷ βίῳ παρέχειν τιὴ ὄνησιν, καὶ τὸ ποικίλον πλετοῦσι καὶ ἄβρον τῶν εἰδήσεων. Αἱ δὲ Μαθηματικαὶ πρὸς τοῖς ἄλλοις, καὶ τῇ Ἀκριβολογίᾳ τῆς Ἀποδείξεως γάννυνται. Καὶ ἐν γένει, αἱ μὲν τῆς πρακτικῆς ἰδέας, τῷ χρησίμῳ τῆς πράξεως ἐγκοσμῶνται, αἱ δὲ τῆς θεωρητικῆς, τῷ ὑψηλῷ καὶ μετεώρῳ τῆς θεωρίας ἐπαίρονται.

§. η'. Ἑκάστης δὲ τὸ καθ' ἑαυτιὴ καλὸν ἐν τῷ μέρει πλεονεκτούσης, αἱ πᾶσαι ἅμα καὶ τῆς ἐπὶ γῆς εὐδαιμονίας (τῆς ἐν βίῳ δηλονότι τελείῳ τελείας ὅσον ἐγχωρεῖ κατασάσεως) ἀνθρώπῳ γένοιντο πρόξενοι, εἴτις εἰλικρινῶς καὶ γνησίως αὐτὰς θεραπεύσειε. Διὰ μὲν γὰρ τῆς Λογικῆς, θαυμασὸν ὅσον, ὁ Νοῦς ῥώννυται, καὶ τομοῦται, καὶ τιμᾶται κρίσιν καὶ τὰς ἄλλας αὐτῷ ἐνεργείας ὀξιώται. Διὰ δὲ τῆς πρώτης Φιλοσοφίας, τῶν ἐν τῇ ψυχῇ λογικῶν σπερμάτων, ἡρέμαπως ἀναπτυσομένων καὶ προαγομένων, ὅ, τε ἐν τοῖς Νοητοῖς κατὰ βραχὺ παρεμποιεῖται προσεθισμὸς, καὶ ἡ περὶ τὰς ἀνωτάτας τῶν θεωριῶν ἀπογεννᾶται δεξιότης τε καὶ εὐμάρεια. Διὰ δὲ τῆς περὶ ψυχῆς Ἐπιστήμης, τὸ σφᾶς αὐτὲς ἐπιγιγνώσκειν κέρδος ἀποφερόμεθα, τῶν μαθημάτων τὸ θεῖον ὄντως, καὶ κάλλιστον. Διὰ δὲ τῆς θεολογίας ἐς αὐτιὴ τιὴ ἀκροτάτιν καὶ ἀκήρατον ἀναπτερόμενοι φύσιν, καὶ τῶν περὶ αὐτιὴ νοσμένων τελειοτήτων τὰς ὀρθὰς ἐπικαρπέμενοι ὑπολήψεις, ἀθέους ἐξίσε ἀπέχεθαι διδασκόμεθα, καὶ τῆς, εἰδωὶ εἰς ἀτοπίαν ἐλάσσονος, δεισιδαιμονίας. Καὶ ἀπὸ τῆς τῶν φυσικῶν δὲ θεωρημάτων Διδασκαλίας, καὶ τῆς ταύτῃ συγγενοῦς Μαθηματικῆς, μικράτις ἡ ὄνησις ἡμῖν ἐγγενήσεται. Αὐτίκα καὶ γὰρ Κοσμοπολῖται οἷα τινὲς πρὸς βραχὺ ἐπὶ γῆς εἶναι ταχθέντες, ἐ κομιδῇ νεήλυδες εἶναι δόξομεν δι' ὅλε τε βίε, τὰ πλείῳ τῶν ἐν τῷ Κόσμῳ, ἅπερ εἰδέναι εἰκὸς, ἀγνοοῦντες, ἀλλὰ καὶ τὸν Ἀρχιτέκτονα Λόγον, καὶ ἐν ἅπασι Γεωμετροῦντα, καὶ σμικροῖς, καὶ μείζοσι κατοπτεύσομεν, ἐκ τῆς τῶν ὁρωμένων καλονῆς τε καὶ τάξεως ἐπὶ τὸν Ἀρισοτέχνιν Δημιεργὸν ἀναγόμενοι· καὶ τέτων ὡς ἐξ ἰχνῶν τινων, καὶ ἀμυδρῶν σκιαγραφημάτων, τὸ παντθενὲς αὐτὲ, καὶ πάνσοφον, καὶ ἀπειράγαθον, καὶ τῶν ὅλων προνοητικὸν καὶ συνεκτικὸν τῇ διανοίᾳ ἀνατυπέμενοι.

Ἔπειτα καὶ καθ' ἑαυτὸς βέλτιον καὶ τἄλλα διακεισόμεθα· πρὸς τὰ γὰρ αἴτια τῶν γινομένων ἀφορᾶν εἰθισμένοις, ἧττον μὲν, οἷα εἰκὸς, ἐκπλήξει τὰ φοβερὰ, ἧκισα δὲ θροήσει τὰ ἀπανίως συμβαίνοντα· Διαθήσεται τε τὰ λυπηρὰ ἐπιόντα πολλῷ τῶν ἄλλων ἡμᾶς μετριώτερον. Τὰς γὰρ ὑπὸ τῶν παντοδαπῶν ἐπινοιῶν, καὶ μηχανῶν, ἃς ἡ Φυσικὴ ἐπὶ τὸ ἀκριβέστερον ἀεὶ προάγει καὶ τελεώτερον, περιγινομένας ἡμῖν ὠφελείας τε καὶ βοηθείας, ἐκὼν παρίημι· τελευταῖον, δὲ, ἐκ τῆς πρακτικῆς τῆς Φιλοσοφίας μέρος, αὐτὸ τῆς ἀνθρωπίνης εὐδαιμονίας ἥρτηται τὸ Κεφάλαιον. Δι' αὐτῆς γὰρ μάλιστα τελειόμεθα τὰς ψυχὰς, καὶ τιὼ κατὰ προαίρεσιν πορίζομεθα εὐξίαν, παθῶν παντοίων τε καὶ χαλεπωτάτων ἀπαλλαττόμενοι· Ἑαυτούς τε, καὶ τοὺς ἄλλους εἰ τύχοι, ῥυθμίζοντες, καὶ ὁδὸν ἄλλο ἢ θνήσκειν μελετῶντες, δι' ἀρετῆς ἐπὶ τὸν κατὰ φύσιν ἐπαναγόμεθα βίον, ὃ, τῶν ἐκ τῆς Φιλοσοφίας ἀγαθῶν, οὐδεὶς ἂν ἔχοι συντελέστερον δεῖξαι, οὐδὲ θειότερον.

ΤΑ ΠΡΟ ΤΗΣ ΛΟΓΙΚΗΣ ΕΙΩΘΟΤΑ ΠΡΟΛΕΓΕΣΘΑΙ.

Ἤτοι

Ἀρχὴ, Φύσις, Κλῆσις, Χρῆσις, Διαίρεσις τῆς Λογικῆς.

§. ά.

Ἐπεὶ δὲ δῆλον αὐτόθεν (Προδι. Γ. §. ά. β΄.) ὅτι δὴ γινώσκειν πεφύκαμεν· Καὶ παντοῖα, καὶ παντοίως. (Αὐτ. §. δ΄. ἐ. ς΄.) Τὸ δὲ γινώσκειν, εὖδον ἀλλ᾽ ἢ κατὰ τὸ γνωστικὸν ἐστὶν ἀνατυπῶσθαι τὰ ὄντα, συμφώνως τε, καὶ καταλλήλως τοῖς πράγμασι· Τοῦτο δὲ ἦν ἀληθεύειν. (Αὐτ. §. γ΄.). Τὸ δὲ ἀληθεύειν ἐκ ἀεὶ πρόχειρον, εὖδ᾽ ἐπὶ πᾶσιν ἐφικτὸν (ὡς ἐκ πείρας πάντες εἰδέναι ἔχομεν)· ἀλλ᾽ ὀρθῶς μὲν, καὶ ᾗ δέον ἐπιβάλλεσιν ἐπιτυγχάνειν συμβαίνει ἐπ᾽ ἐνίων, ἐ γὰρ δὴ πάντων· τἐναντίον δὲ ἀποτυγχάνειν ἐν πολλοῖς, καὶ σφάλλεσθαι, καὶ τῶ δοκοῦντος ἀπρίξ ἐχομένες τῶ ὄντος ἐξίστασθαι· ταύτητοι τίνι ἐκ Φύσεως ἡμῖν περισῶσαν δύναμιν, ᾗ τὰς ἐν σφίσι διϊδιώοντες διανοητικὰς ἐνεργείας, καὶ κρίσεις, ἐπιτυχικοὶ γινόμεθα τῶ ἀληθῶς, Δύναμιν Λογικὴν εἰκότως ἀποκαλέμεν, καὶ ταύτην ἔμφυτον ὄσαν τοῖς πᾶσιν οἴδαμεν, καθ᾽ ἣν καὶ ΛΟΓΙΚΟΙ οἱ πάντες ἄνθρωποι εἶναι λεγόμεθα.

§. β'. Τῆς δὲ ἐμφύτου ταύτης Λογικῆς, οὐκ ἐπίσης τοῖς πᾶσι (1), κατὰ δὲ τὸ μᾶλλον καὶ ἧττον μετεῖναι φαίνεται. Ἡ δὲ διαφορὰ, ἤτοι ὡς ἐκ τῆς ψυχῆς (Εἴτις ἐςὶ διαφορὰ καὶ ψυχῶν καθ' ἑαυτὰς πρὸς ἀλλήλας· ὅπερ οὐ κατὰ τὴν προκειμένην δήπου διάσκεψιν ἐςίν.) Εἴτ' οὖν, τὸ μᾶλλον εἰκὸς, ὡς ἐξ αὐτῆς τῆς τοῦ σώματος συςάσεως, ᾧπερ ἀκόλουθον ἂν εἴη συνδεδεμένην οὖσαν καὶ συμπαθαίνεσθαι· ἢ τέως, καὶ ὡς ἐκ τῆς ἀγωγῆς, καὶ τοῦ συνεθισμοῦ, καὶ τῆς συνασκήσεως, ὧν ἄλλοι ἄλλως τυγχάνουσιν. Ἄμεινον γὰρ ἐκ νέων ἀγόμενοι, καὶ Ἀνδρῶν τοῖς Ἀρίςοις, καὶ ὑπὲρ τοὺς ἄλλους νοήμοσι προσομιλοῦντες θαμὰ, καὶ τοῖς γε παρ' ἐκείνων, ἢ καὶ τοῖς παρ' ἑαυτῶν ποτὲ δεξιῶς τε καὶ εὐςόχως νενοημένοις προσέχοντες, λογικώτεροι ἀναφαίνονται. Τοὐναντίον δὲ ἀργοῦτε καὶ ἀκινήτου τοῦ λογικοῦ, δίκην σπινθῆρος αὐτοῖς ἐνυπολανθάνοντος, καὶ μὴ ποθεν ἐπιδεχομένου, ὅσον ἅλις, οὐδὲ ῥιπισμοῦ, οὐδ' ἐναύσματος, ἀμβλεῖς τε μένουσι τὰς ψυχὰς, καὶ νωθεῖς, καὶ δυσκίνητοι, ὅτι ἔγγιςα θηριωδίας τε καὶ ἀλογίας γινόμενοι (2).

§. γ'. Τούτοις καλῶς οἱ παλαιοὶ ἐπιςήσαντες, ἄλλους τε ἄλλων τῇ τοῦ κρίνειν, καὶ διανοεῖσθαι δυνάμει προέχοντας συνιδόντες, οὐκ ἀπραγμόνως παρελθεῖν ἔδοξαν τὸ διάφορον. Ἀλλὰ πρῶτον μὲν, οἷα εἰκὸς τὸ ποικίλοντε καὶ πολύτροπον τῶν κατὰ τὸ γνωςικὸν τῆς ψυχῆς ἐνεργημάτων, παρατετηρηκότες (Προδι Γ'. §. δ'. ε'. ς'.) διέςειλαν· ἔπειτα δὲ καὶ τὸ ὑπερέχον, ἢ ἐλλεῖπον τῆς τοῦ ἐνεργεῖν κατ' αὐτὰ εὐφυΐας καὶ δεξιότητος διέκριναν. Καθ' ὅ, οἱ μὲν τὸ ἐπιὸν καὶ μάλα ὀξέως νοοῦσιν· Οἱ δὲ καὶ πάνυ προσέχοντες, οὐδὲ τὴν ἀρχὴν εἰσβάλλουσιν· Ἄλλοι δὲ πάλιν συνεσκιασμένως αὐτὸ, καὶ οἷον ἐξ ἡμισείας ὑπομαντεύονται. Ἕτεροι δὲ καὶ ἐνδοτέρω τοῦ νοητοῦ τῇ καταλήψει γινόμενοι, καὶ τοὺς χαρακτῆρας τοὺς ἐπ' αὐτὸ, δι' οὓς τοιοῦτο καὶ ἐςὶ, καὶ γνωρίζεται, ἀκριβῶς ἀποδιδόα-

(1) „Πάντες ἄνθρωποι χρῶνται „τῷ Διαλέγεσθαι, ἔμφυτον ἐκ νέων ἔ„χοντες τήνδε τὴν δύναμιν· καὶ μέ„χρι τινὸς, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧτ„τον αὐτῆς μετέχοντες. Ἰάμβλ. ἐν Ἐπις. πρὸς Σώπατρ. περὶ τῆς Διαλεκτ. Παρὰ Στοβ. Λόγ. οθ'.

(2) Εἰς δεῖξιν τοῦ τοιούτου τὸν ταῖς Ἄρκτοις συνανατραφέντα προβάλλονται, περὶ οὗ Βερνάρδος τις Κόννωρ διέξεισι. Καὶ τὸν ἐκ γενετῆς κωφόντε καὶ ἄλαλον, περὶ ου ἐν τοῖς Πρακτικοῖς τῆς ἐν Παρισί. Ἀκαδημ. Ἔτει 1703. γίνεται λόγος. Ὅρα Οὐόλφ. Λογ. Προλεγόμ. §. ε.

διδάσαι· Τά, τε μέρη, εἰ τύχοι ἔχον, ἐπὶ λεπτῦ καταλέγεσι. Καὶ οἱ μὲν ἔτι περὶ τῶν ὄντων διαπορῦσιν ὑπενδοιάζοντες· οἱ δὲ πεποιθότως τὸ σφίσι παρισάμενον ἀποφαίνονται. Καὶ πῆ μὲν ἐκ τῶν προδηλοτέρων τεκμαίρονται τ' ἀδηλότερα, καὶ τοῖς ἤδη κεκμύνοις τὰ ἑπόμενα ὀρθῶς ἐπιφέρουσι· πῆ δὲ τὰ ὑπὸ ζόφῳ λανθάνοντα, εἰς φῶς ἐξάγουσι, καὶ τοῖς ἄλλοις αὐτὰ διαλθκαίνουσιν. Ἔνια δὲ καὶ κατασκθάζειν πειρῶνται λόγοις παντοίοις, πείθειν καὶ τὲς ἄλλες φιλονεικῦντες, ἐφ' οἷς αὐτοὶ πολὺ πρότερον ἐοίκασι πίσυνοι. Οἱ δὲ, καὶ τὲς ἀντιδοξῦντας ἐλέγχειν ἀναβάλλονται, καὶ τοῖς γέτι ἀνθυποφέρουσιν ἁπάντᾶν δεξιῶς τε ἔχουσι καὶ ἑτοίμως· Ταῦτα δὴ παρατηρήσαντες, καὶ περαιτέρω χωρῆσαι προήχθησαν.

§. δ'. Διὸ Β'. τὲς μὲν δοκιμῦντας κατανοήσαντες, καὶ κατορθῦντας τὰ πολλὰ, ἐν ταῖς ἰδίαις αὐτῶν διανοήσεσι, τὲς δὲ μηδὲν ὑγιὲς ἐκπεραίνοντας, τὰ δὲ πλεῖστα ἀποτυγχάνοντας, ἐπιγνῶναι τε ἐκ τέτε, καὶ διακρίναι πρῶτον ἔθεντο, πόθεν δήποτε, τοῖς μὲν τὸ ἐπιτυγχάνειν, τοῖς δὲ τὸ ἀτθκτεῖν τῦ ἀληθῦς συμβαίνει περὶ τέτων ἕκαστον· Καὶ ὅπως μὲν μετιόντας, ὀρθῶς ἐσὶ τὰς τῦ λόγε ἐνεργείας περαίνειν, ὅπως δὲ μὴ ὀρθῶς, ἀλλὰ φαύλως κατ' αὐτὰς ἐπιχειρεῖν. Ὡς ἂν ἤ τῦ λοιπῦ δηλονότι, καὶ αὐτοῖς σφίσι, καὶ ὅσοις κατ' αὐτὲς μέλον ἂν εἴη λογικοῖς εἶναι πράγματι, τὸ μὲν ὀρθὸν, ὡς ἐπὶ τιὼ κατὰ τὸν λόγον τελειότητα φέρον, ἐπιτηδεύειν, τὸ δὲ μὴ ὀρθὸν, ὡς ἐπὶ τιὼ ἀλογίαν, φυλάττεσθαι.

§. ε'. Ἔνθεντοι Γ'. τὰ ὀρθῶς, καὶ δὴ καὶ ἐπιτυχικῶς τελεσμένα ἐφ' ἑκάσης τῶν εἰρημένων ἐνεργειῶν διακρίναντες, καὶ ἀπὸ τῶν κὺ μέρει ἐπὶ τὸ καθόλε ἀναδραμόντες· τέτεσιν ὅπως ἐπὶ τῶν ὁμοίων χωρεῖν προσήκει ἐπισημειώσαντες, γραφῆτε παραδόντες τὰ αὐτοῖς ἔτω σημειωθέντα, ἢ γῶν καὶ ἀπὸ ςόματος ἤδη τὲς ἄλλες αὐτὰ διδάσκοντες, ὅρες οἵα τινὰς, καὶ κανόνας ἀπαρατρέπτες τῦ ὅπως ἐς' ὀρθῶστε καὶ ὁλόγως διανοεῖσθαι ὑπέθεντο. Κἀκ τέτων δὴ τῶν ὅρων εἰς ἓν ἠθροισμένων, ἡ πρὸς τιὼ ἡμῖν ἔμφυτον (§. α'.) ἀντιδιαιρεμένη, Ἐπίκτητος Λογικὴ, ἣν πραγματεύομεθα, καὶ ἧς τὲς ἐπιβόλες ὄντας ἐ μόνον Λογικὲς, ἀλλὰ καὶ Λογίες καλεῖν εἰώθαμεν, συμπληρῶται, καὶ ἀπαρτίζεται.

§. 5'. Ἡ μὲν ἓν Λογικὴ ἔτως εἰς ἀνθρώπες παρῆλθεν. Οὑμενεν ὑπὸ τῶν Θεῶν (οἷα μυθόλεται (1) καταπεμφθεῖσα τινος, ὑπὸ δὲ τῶν ἀνθρώπων (2) διὰ μελέτης ατενῆς καὶ ἐπισασίας, ἐκ τῆς ἱερᾶς φύσεως, ἐν ᾗ ὑπολανθάνεσα πᾶς ἤργει, τὸ πρῶτον ἀνιχνοθεῖσα, εἶτα πόνοις συχνοῖς, καὶ ἐπιμελείᾳ ἀτρύτῳ, κατὰ βραχὺ συναυξηθεῖσα, καὶ εἰς ὃ καθ' ἡμᾶς ὁρᾶται τέλος ἐλάσασα. Εἰκὸς γὰρ τὲς μὲν Ἀρχαιοτέρες, καὶ πρώτες ἐπιβαλόντας τῷ πράγματι, μηδὲν πλέον ἢ τῶν λογικῶν Κανόνων τὲς περιεργιαιτάτες, ἁπλῶς τε καὶ ἀπερίττως ὑποθέθαι, καθ' ὅσον ἤκοντες εἰσὶν εἰς χρῆσιν, ἀρκεμένες τῷ τέλει τῆς φύσεως. (3). Ἐφεξῆς δὲ τὲς μετ' ἐκείνες γενομένες πολλὰ προσθεῖναι, καὶ τὸ ἐνδέον ἀναπληρῶσαι, ἀβρότερόν τε καὶ τελεώτερον τὸ τῶν Κανόνων ἄθροισμα ἀναδείξαντας. Τέως δὲ τὲς ὕσερον, ἐπὶ τὸ μᾶλλον τιὼ πραγματείαν προαγαγόντας, καὶ τὲς λόγες τῶν Κανόνων προσεργάθηναι τετέσι καὶ τὰς αἰτίας ἀποδῶναι, δι' ἃς περ ἔτω μὲν, ἄλλως δ' ἐδαμῶς, ὀρθῶς ἡμῖν καὶ ἀσφαλῶς προβαίνεσα εἴη, πᾶσα ἡ κατὰ γνῶσιν ἐνέργεια.

§. ζ.

(1) „Θεὸς ἤντις ὡς ἀληθῶς ὁ καταδείξας τὴν Διαλεκτικὴν, καὶ κατα„πέμψας ἀνθρώποις. Οὕτως Ἰάμβλιχ. Ἐπις. Δεξίπ. παρὰ Στοβ. Καταλέγει δὲ Ἑρμῆν τε τὸν λόγιον, καὶ τὴν πρεσβυτάτην τῶν Μεσῶν Καλλιόπην, καὶ τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, καὶ τὸν ἐν Βραγχίδαις, ἐκ τέτων ἑνός τινος δήπε, ἢ καὶ πάντων, τῆς Διαλεκτικῆς ἐκθειάζων τὴν εὕρεσιν.

(2) Ἀρισ. ἐν τῷ σοφισῇ Ζήνωνα τὸν Ἐλεάτην Ἀρχηγὸν γενέθαι τῆς Διαλεκτικῆς παρέδωκεν. Ὅρα Λαέρτ. Βιβλ. Α'. 18. Καὶ Βιβ. Η'. 57. καὶ Θ'. 25. Οἱ δὲ καὶ Παρμενίδην τὸν Ζήνωνος καθηγησάμενον, ἐκ ἂν δόξαι τῆς Διαλεκτικῆς ἀπείρως ὑπαλήφαειν ἐχηκέναι. Σέξτ. Βιβ. Ζ. πρὸς τὲς Λογικ. Κατενεχθῆναι δὲ ἐπὶ τὸ Λογικὸν μέρος, καὶ τὲς περὶ Παν„θοΐδην. Σέξτ.. Καὶ Ἀλεξῖνον, τὸν Ἐλεγξῖνον διὰ τὸ Ἐριτικὸν κληθέντα καὶ φιλόνεικον. Λαέρτ. Καὶ Εὐβυλίδην, καὶ Βρύσωνα, καὶ Διονυσόδωρον, καὶ Εὐθύδημον, ὧν, καὶ Πλάτων μέμνηται ἐν τῷ Εὐθυδήμ. Καὶ Ἐπίκρον δὲ περὶ τὸ Διαλεκτικὸν σχολάσαι ἡ Κανονικὴ δείκνυσι συγγραφή, καίτοι τὴν τῶν Στωϊκῶν Λογικὴν παραιτησάμενον, καὶ ταῖς ἐν ἐκείνῃ πλεκτάναις ὡς ἀκὸς ἐπαιδιάσαντα. Λαέρτ. Βιβ. Ι'. 31. Τὸν δὲ Πλάτωνα οἱ Διάλογοι, καὶ τὸν Ἀριστ. τὸ ὄργανον, ὅσην περὶ τὸ Διαλεκτικὸν ἐγένοντο τὴν σπεδὴν καταβαλόντες γνωρίζεσιν.

(1) „Οὕτω γὰρ ἀληθεύσειε τὸ εἰ„ρημένον, ὡς οἱ πάλαι ἀποδεῖξαι μὲν „ἠδεσαν, ἀποδείξας δὲ ποιᾶν ἓκ ἠπί„σαντο. Ταυτὸ πάσχοντες τοῖς σκυτο„τομῶν μὲν μὴ δυναμένοις, ὑποδή„μασι δὲ χρῆθαι ἀδόσιν. Ἀμμων. εἰς βίον Ἀρισ.

§. ζ'. Πρῶτος τοιγαρῆν Ζλιῶν ὁ Ἐλεάτης (εἰ μήτις τὸν Παρμενίδλω, ἔτι καὶ πρὸ ἐκείνε τάξειεν, ἔπερ αὐτὸς διήκεσεν.), εὑρετὴς γενέθαι Διαλεκτικῆς ἄδεται, ὥσπερ Ἐμπεδοκλῆς Ῥητορικῆς. (1). Καὶ ἐξ ἐκείνε ἡ Ἐλεατικὴ τῆ συζητεῖν ἀνεφάνη Μέθοδος, ὥσπερ ἐκ Σωκράτες ἡ Ἀκαδημαϊκὴ, μέθοδός τις τῆ διαπορεῖντε καὶ διαμφισβητεῖν φέρεται εἰσαχθεῖσα, ἣν Ἀρκεσίλας ὕσερον, καὶ Καρνεάδης μέχρι πόρρω προήνεγκαν, τῷ φιλοτίμως πάνυ περὶ τλὺ τῆ ἀληθῆς καταγόησιν ασθάσαι, ἐγγὺς ἀνοίας γενόμενοι, καὶ μηδὲν τέως ὅ, τι καὶ βέβαιον εἰδέναι ἔχειν ὑπειληφότες, ἢ ὑπολαβεῖν δόξαντες. Ἐπὶ τέτοις ἡ Στοὰ διαλεκτικῆ ἐπληρῆτο κροτοθορύβε. Ὤφθη γὰρ ὢν αὐτῆ Ζήνων ἕτερος ὁ Κιττιεὺς Διαλεκτικῶν Εἰσηγήτωρ μεθόδων, καὶ οἱ τῆτον ἔπειτα διαδεξάμενοι, οἱ τὰς σοφιστικὰς πλεκτάνας, καὶ τὰς Ἐγκεκαλυμμένας τῶν λόγων, καὶ τὰ λοιπὰ εἴδη τῆς τοιαύτης σοφιζείας περιττῶς λίαν ἐκλεπτεργήσαντες. Καθ' ὧν μοι δοκεῖ, ὡς πάντα ἦν μεσὰ σοφισμάτων κατ' ἐκεῖνο τῆ χρόνε, καὶ τὸν Ἀριζοτέλλω ἀναβαλέθαι φιλοπονῆσαι τὸ Ὄργανον, καὶ τὰς περὶ τὸν Ἐπίκερον δὲ τὸν Κανόνα ἐκδῆναι, ὡς δὴ τῇ τότε τῶν σοφιζόντων φορᾷ ἀπαντήσοντας. Τὸ ἀπὸ τότε γεμλὼ αὖθις, ὅ, τε Κανὼν διεσρέφετο, καὶ τὸ Ὄργανον ὅσον ἐκ ἐματαιῶτο, πρὸς ἄλλο εἶδος σοφιζείας τῶν σχολαζικῶν μετὰ ταῦτα ἀποκλινάντων, καὶ τλὼ λογικλὼ λέχης πεπληρωκότων καὶ τερθρείας ψυχρᾶς, διὰ μακρῆ ὕσερον. Κἀντεῦθεν ἓν τλὺ πραγματειαν μονονεχὶ τέλεον ἀχρειωθεῖσαν, εἰς κόσμον ἔδοξε τοῖς Νεωτέροις, καὶ μορφλὼ ἀνακαλέσαι τλὼ πρέπεσαν· περὶ ὅ, πολλὲς ἂν εὕροι τῆ σκοπῆ ἀξίαν τλὼ ασθλὼ καταβεβλημένες, εἴτις ἐπιμελῶς μετίοι τὰ τέτων ασθάσματα. (2).

§. η'.

(1) Διογέν. ὁ Λαέρτ. ἐς βίον Ζήνωνος.

(2) Τῶν περὶ τὴν ἐπανόρθωσιν τῆς Λογικῆς ἐσπαδακότων, ἐν τοῖς πρώτοις ταχθείη ὁ ἐξ Ἀγγλίας Βάκων, ὃ τὴν ὑπ' αὐτῆ συγγραφθεῖσαν Λογικὴν, καινόν ὄργανον ἐπιγράψας. Καὶ τὸ Καρτεσίε δὲ τῆ Γάλλε, περὶ τῆ ὅπως δέον περὶ τὴν τῆ ἀληθῆς χωρᾶν εὕρεσιν, τῆς Λογικῆς καὶ τῆτο ἰδέας κέκριται, ἐκ ἀλυσιτελὲς συγγραμμάτιον· Θαυμάζεται δὲ, καὶ ταῖς ἁπάντων τρίβεται χερσὶ, καὶ τὸ Λωκίε τῆ Ἀγγλε περὶτῆ ἀνθρωπίνε Νῆ πόνημα, ὡς μάλιστα πρὸς Διανοίας εὐθύτητα συμβαλλόμενον. Καιμὴν καὶ τέχνητις τῆ νοεῖν ἐκδέδοται ἐπιγραφεῖσα, ἐκ ἀδόκιμον εἰς βελτίωσιν τῶν περὶ τὰ Διαλεκτικὰ ἐνα-

§. ή. Ἐκ τῶν εἰρημένων τοίνυν καὶ τῆς Λογικῆς οἷαι ποτὲ αἱ διαφοραὶ, καὶ τὶς ἡ Φύσις σαφῶς ἀναφαίνεται. Ἡ μὲν γὰρ Ἔμφυτος ἐστὶ Λογικὴ (§. α΄.) ἡ δ' Ἐπίκτητος (§. ε΄.). Καὶ τῆς Ἐμφύτε ἡ μὲν κατὰ δύναμιν, ἡ δὲ κατὰ διάθεσιν. Καὶ τῆς Ἐπικτήτε πάλιν ἡ μὲν κατὰ τέχνιν, ἡ δὲ κατ' ἐπιστήμιν. Καὶ ἔμφυτος μὲν κατὰ δύναμιν, αὐτὴ ἡ τῦ λογικῦ τυγχάνει δύναμις, ἡ παντὶ ἀνθρώπῳ προσοῦσα καθ' ἣν εἰς γνῶσιντε καὶ ἐπίκρισιν τῦ ἀληθῦς πάντες πεφύκασι, κἂν ὡς ἐλάχισα κατ' αὐτὶν ἐνεργοῦντες, ὅτι ἔγγισα τῆς ἀλογίας ὦσι γινόμενοι. (§. β΄.). Ἔμφυτος δὲ κατὰ διάθεσιν ἡ αὐτὴ δύναμις, καθ' ἣν οἱ ἐπιμελῶς, καὶ μετὰ προσοχῆς ἐνεργεῖν ἐθιθέντες, τὰς ἑαυτῶν διανοήσεις, συγκεχυμένως καίτοι, καὶ ἀνεπικρίτως, εἰς θήραν ὅμως τῦ ἀληθῦς, ὁπωσοῦν διεξάγουσιν (§. γ΄). Ἐπίκτητος δὲ κατὰ τέχνην, ἡ τῶν Κανόνων ὀρθότε καὶ ἐξηκριβωμένη ἕδησις, δι' ὧν ἀσφαλῶς, καὶ ἀπταίστως αἱ διανοητικαὶ τῶν ἐνεργειῶν ἐκπεραίνονται. (§. ε΄.). Ἐπίκτητος δὲ κατ' Ἐπιστήμιν, ἐστὶν ἡ ἀκριβὴς καὶ τελεία αὐτῶντε τῶν ἐνεργειῶν, καὶ τῶν αἰτιῶν ἅμα (§. ς΄.), δι' ἃς ἔτω καὶ ἐκ ἄλλως πρὸς ἀλήθειαν ἐκεῖναι πεφύκασι διοδεύεσθαι.

§. θ΄. Καὶ προσίδησιν ἄρα τῇ μὲν Δυνάμει, ἡ Διάθεσις τὸν ἐθισμὸν, καὶ τὸ πρὸς ἐνέργειαν ἕτοιμον. Ἡ δὲ τέχνη τῇ διαθέσει τὸ τῆς ἐνεργείας δυκρινὲς καὶ ἀπηκριβωμένον. Ἡ δ' Ἐπιστήμη τῇ τέχνῃ, τὸ αἰτιῶδες, καὶ τιὼ ἐν ἅπασι τοῖς Κανόσι τῦ λόγε ἀπόδοσιν. Καὶ ὁ μὲν τῇ Φύσει Λογικὸς, δύναιτ' ἄν ποτε καὶ συλλογισθεὶς τυχὸν διανοηθῆναι, ταυτὸν εἰπεῖν, εἰσβαλεῖν ἕτερον ἐξ ἑτέρε, μηδ' ἔχων εἰδέναι ὅτι εἰσέβαλεν. Ὁ δὲ δι' ἐπισασίας καὶ μιμήσεως τιὼ διάθεσιν γυμναθεὶς, διανόημα διανοήματι παρασυνάπτειν εὐμαρῶς οἶοστε ὢν, ἐπὶ τότῳ καὶ τῦ γινομένε ἔννοιαν φέρει, κἂν ἄλλως συγκεχυμένιω ταύτιω, καὶ ἀδιάρθρωτον. Ὁ δὲ τεχνικὸς

ἐναχολημένων βιβλίον, τῷ Γάλῳ Ἀρνάλδῳ, ἢ ὡς ἄλλοι ἄλλοις ἀπονεμόμενον. Καὶ ἡ Οὐολφία δὲ Λογικὴ ἡ Ἐπιστημονικὴ Μεθόδῳ φιλοπονηθεῖσα, ταῖς γε Ἐπιστήμαις καὶ τῷ βίῳ, ἐπιεικῶς ἂν ἂν γένοιτο ἄχρηστος. Καθ' ἣν καὶ μυξίμη ἄλλαι ἐπ' ἀκριβὲς μητρώζεσαι ὁ σημέραι παρὰ τοῖς Γερμανοῖς προκύπτουσιν. Ἀλλὰ γὰρ ἡμῖν ἃ πρόκειται τῶν περὶ τὸ Λογικὸν εἶδος συγγεγραφότων τὸν κατάλογον καταγράψαι. Ὧν ἐάτις δή τὰς βίβλους εἰς ἓν συλλάβοι, τάχα δὴ καὶ βίβλον ὅλην πληρώσειε.

νικὸς ἀκριβῶς οἶδεν ἐν τῷ διανοεῖσθαι, ὅτι καὶ τριῶν ὅρων, φέρε, χρεία, καὶ ὅτι ἕτως αὐτὲς δέον, ἢ ἕτω συμπλέκεσθαι. Ὁ δὲ ἐπισημονικὸς τελευταῖον, καὶ τίνι αἰτίαν ἐπὶ πᾶσιν ἐπίσαται, δι' ἣν οἱ τρεῖς ὅροι ἐν παντὶ συλλογισμῷ ἐγχωρῶσι, καὶ οὐδὲ πλείες, οὐδὲ ἐλάσσονες· Καὶ διότι ἕτω, καὶ ἐκ ἄλλως αὐτὲς δέον συνεπιπλέκεσθαι. (1).

§. ί. Ὥσε τὸ λοιπὸν γελοῖον ἡμῖν ἔσαι τὸ ζήτημα, τὸ περὶ τῆς Λογικῆς ἐπὶ πολὺ μέχρις αἰσθείας συγκροτηθὲν, πότερον ἄρα τέχνιν αὐτὴν, ἢ Ἐπιστήμιν εἶναι ὑποληπτέον. Ἐπιδικάσεται γὰρ ἐπιεικῶς αὐτὸς ὁ ἔχων περὶ τῆς Ἕξεως, (§. ή.) τέχνης, καὶ ἐπιστήμης Διαφορὰν ἐπισάμενος. (Προδ. Γ. §. ιά.). Περιττὸν δὲ, καὶ τὸ περὶ τὰ ὑποκείμενα λογομαχεῖν αὐτῆς, ὁποῖον; Δῆλον γὰρ (§. γ. δ. έ.) ὅτι οἱ παντοῖοι τρόποι τῶν γνωσικῶν τῆς ψυχῆς ἐνεργειῶν, ἢ ὀρθῶς ἔχσι πρὸς ἀληθείας ἐπίτυξιν διευθύνεσθαι. Ἀλλὰ καὶ εἰ τῷ εἴδει, ταυτὸν εἰπεῖν κατ' ἰσίαν, ὡς εἶναι ἄλλιν καὶ ἄλλιν τοῖς ἰδιώμασι διαφερόσας). Ἦτε Ἐμφυτος, καὶ ἡ Ἐπίκτητος λογικὴ (§. ή.) ἀλλήλων διενιωόχατον, ἐ πάνυτι δυχερὲς ἐδὲ τᾶτο ἐσὶν ὁριθῆναι. Ὑποκειμένων μὲν γὰρ ἀμφοῖν τῶν αὐτῶν γνωσικῶν ἐνεργειῶν, τῇ δὲ τρόπῳ τῆς εὐθύτητος, ἐπὶ τέτων ἑκάτερος ὄντος ἑνὸς, παρὰ τοσᾶτον ταῖς ἕξεσιν ἐσὶ τὸ παραλλάσον, ὅτι ἡ μὲν συγκεχυμένως τε καὶ ἀνεπικρίτως τὲς τῇ ὀρθῇ λόγῳ Κανόνας μέτεισιν, ἡ δὲ ἀκριβῶς αὐτὲς ἐπεξεργάζεται, ἐπὶ λεπτῇ θεωρᾶσα, καὶ μετ' ἀκριβολογίας ἐπισήμῃ πρεπόσης περὶ αὐτῶν πραγματεύεται.

§. ιά. Ἀρχαία δέτις ἄλλη φέρεται, καὶ ἀληθὴς ἐδὲν ἧττον τῆς Ἐπικτήτε Λογικῆς (περὶ γὰρ τῆς Ἐμφύτε ἐδὲν περαιτέρω περίεσι λέγειν). Διαφολὴ, εἴς τε τίνι ἐν Διδασκαλίᾳ

(1) Ἐπὶ τῆς Μαθικῆς ἄρις' ἄντις συνίδοι τὰ λεγόμενα διακρίνων παραπλησίως, τὸν μέντινα, φωνῆς μὲν εὐμοιρᾶντα, μηδέποτε δὲ μηδ' ἀκέσαντα ἀῴδόντων, μηδ' αὐτὸν ἄσαντα· τὸν δὲ, διὰ προσοχῆς καὶ μιμήσεως ᾄδειν ἐθιθέντα ἀσμάτι ἄττα, ὡς ἔτυχε· τὸν δὲ, καὶ τὲς τῆς Μαθικῆς Κανόνας ἀκριβῶς διδαχθέντα, καὶ ῥυθμὲς, καὶ μέλη, καὶ διαφορὰς ἤχων κτ. τεχνικώτατα διακρίνειν δυνάμενον. τὸν δὲ τέως ἐπὶ τέτοις καὶ τὲς ἁρμονικὲς τῶν λόγων ἐπισημόνως ἀκριβώσαντα, ἐν οἷς ἅπασα ἡ κατὰ τὴν Μαθικὴν Ἐπιστήμη συνίσαται. Τέτων γὰρ ὁ μὲν ἂν ἐκότως δυνάμει λέγοιτο Μαθικὸς, καίτοι ἄμεσος ὤν. Ὁ δὲ μιμήσει Μαθικὸς, καίτοι ἄτεχνος. Ὁ δὲ τεχνικὸς μὲν Μαθικὸς, ἀνεπιστήμων δέ. Μόνος δὲ ὁ πρὸς τῇ τέχνῃ, καὶ τῆς ἐπιστήμης ἐπήβολος, καλᾶσθαι δίκαιος Μαθικώτατος.

καλίᾳ λεγομένῳ, καὶ τιὼ ἐν χρήσει. Τέτων ἡ μὲν, ἐν τῇ τῶν Λογικῶν Κανόνων ἀκριβεῖ καὶ τελείᾳ κεῖται ἐκθέσει, ἡ δὲ ἐν τῇ τέτων αὐτῶν προσφυεῖτε καὶ καταλλήλῳ προσεφαρμόσει ἐν αὐτοῖς τοῖς ὑποκειμένοις πράγμασι. Καὶ ἡ μὲν ἐπιςήμητις παρέση τυγχάνεσα (§. ἡ. θ'.), ἐκ ἄνωθ τῆς ἀληθῶς αἰτίας προβαλλομένη τὰ διδασκόμενα. Ἡ δὲ τρόποστις τῷ ὄντι καὶ ὄργανον Ἐπιςήμης ἐςὶν, ἧ ἄνωθ γνῶσιν ἔχειν ἑνὸς μηδενὸς ἐκ ἔςιν ἀσφαλῆτε καὶ ἀδιάπταιςον. Καὶ προϋποτίθησι μὲν αὕτη ἐκείνῳ ἐξ ἀνάγκης, ἀδὲ γὰρ οἷόντε ὀργάνῳ χρήσαθαι ἐπιςαμένως, ἔτις τιὼ δώναμιν ἐ προείληφε. Προσεπικαλεῖται δὲ ἀνάπαλιν ἐκείνη ταύτην, καὶ συνεργὸν ἔχειν αἰρεῖται κατὰ τὰς χρείας, καὶ σώδρομον. Κἂν γὰρ εἰς ἄκρον τις τῶν λογικῶν Κανόνων τῆς θεωρίας εἴη ἐπιβεβηκὼς, εἰμὴ καὶ προχείρως, καὶ ἐκ τῆ ἑτοίμε εἰς πρᾶξιν ἄγειν αὐτὲς ἐδυνήθη, διὰ πυκνῆς μελέτης καὶ συνασκήσεως, ἀλογίςως λήσεται τὰ πολλὰ διαπταίων, καὶ διὰ τῆς Ἐμφύτε λογικῆς, καίτοι διὰ τῆς Ἐπικτήτε δοκῶν, ἐκ ἀσφαλῶς τιὼ ἐπὶ παντὸς τῆ προκειμένε ζητεμένῳ ἐπιςήμῳ θηράσεται.

§. ιβ'. Οὕτω δέτοι φύσεως ἔχεσα ἡ Λογικὴ, ποικίλοις ἅμα, καὶ προσφυέσι γνωρίζεται τοῖς ὀνόμασιν. Ἀμέλειτοι, (ἐφ' ᾧ τὲς Κλεῖν αὐτιὼ, καὶ θύραν φιλοσοφίας, καὶ Νᾶ Ἰατρεῖον, καὶ τέχνιν τῆ νοεῖν, καὶ Εὑρετικὼ, καὶ τὰ ὅμοια διασεμνύνοντας, παρελθεῖν)· ταῦτα πρὸ τῶν ἄλλων καλεῖσθαι εἴωθε, Διαλεκτικὴ, Ὀργανικὴ, Κανονικὴ, Λογική. Καὶ Διαλεκτικὴ μὲν, παρὰ τοῖς ἀμφὶ τὸν Ἐλεάτιν Ζήνωνα, καὶ Σωκράτιν, καὶ Πλάτωνα, οἷς ἐ εἶδει Διαλόγε σύνηθες ἦν, λέγεσίτε καὶ γράφεσι, τὰ δοκῶντα προβάλλεσθαι· Καίτοι ἐπὶ τιὼ τῆ ἐξ ἐνδόξων ἐπιχειρεῖν δύναμιν, ὑπὸ τῆ Ἀριςοτέλες ὕςερον μετειλῆπται τέχνημα (1). Ὀργανικὴ δὲ παρὰ τοῖς περὶ Ἀριςοτέλιν αὐτὸν, καθ' ὃν ἄλλως, καὶ τρόπος εἴρηται (2) τῆ ἐπίσασθαι. Κανονικὴ δὲ παρὰ τοῖς ἀμφὶ τὸν Ἐπίκερον. Λογικὴ δὲ κοινῇ παρὰ πᾶσιν, ἀπὸ τῆ ἐνδιαθέτε λόγε, ὃν διεξάγειν καὶ ἐπανορθῶν ἔργον πεποίηται.

§. ιγ'. Αὕτη γὰρ δὴ μάλιςα ἡ τῆς Λογικῆς ἕξεως ἐςὶ χρῆσις, αὕτη ἡ ὄνησις. Στομᾶται γάρπως ἡμῖν δι' αὐτῆς ὁ συ-

(1) Βιβλ. Ἐξάτ. περὶ Σοφιτ. Ἐλέγχ.
(2) Μεταφ. Ἔλατ. Α'. Κεφ. γ'.

εὐδιάθετος λόγος, ἀμβλύτερόντε ἔχων ὀξιώτερα, καὶ ἀδρανὴς ὢν ἐπιῤῥώνυται, καὶ νωθὴς διεγείρεται. Εἰδὲ καὶ κατ' ἀκληρίαν φύσιος ἐκ ἠμοίρησεν ἀπὸ γεννήσεως, ἐπὶ τὸ μᾶλλον ἔτι ἰσχύειν προάγεται καὶ βελτίεται. Καὶ πρὸς ἃ μὲν ἂν ἔχοι ἐπιτυχικῶς ἀνατείνεσθαι καταμανθάνει, οἷς δ' ἂν ἀσόχως ἐπιχειροίη κρίνων, ἢ ἀποδεικνὺς, ἢ ὁπωσοῦν ἄλλως διανοούμενος, αὐτόθεν ἐπικρινεῖ δοκιμάζων τὰ ἐγνωσμένα πρὸς τὸ σάθμιον τῆς τῶν μεθόδων καὶ γνώμωνα. Πεποιθότως δὲ ἔτι καὶ ἐμβριθῶς, καὶ κατὰ τὰς λοιπὰς ἁπάσας τῶν ἐπιστημῶν χωρήσει (1), τῷ μηκέτι περὶ ἑαυτοῦ ὑπενδοιάζειν, μηδ' ἀγνοεῖν εἰ ὀρθῶς γιγνώσκει, μηδ' ἀπιστεῖν εἰ ἐπίσταται. (2).

§. ιδ'. Εὔχρηστος δὲ ἡ Λογικὴ κατὰ ταῦτα. ἐχ ὅπως εἰς ὁρισμὸν ἐπιστήμης, ἀλλὰ καὶ ἐν ταῖς πρὸς τὰς ἄλλας ἐντεύξεσι, καὶ ὁμιλίαις, καὶ ἐν βελαῖς, καὶ ἐν πράξεσι, καὶ ἐν ἅπασιν ἁπλῶς, οἷς ὁ ἐκ τοῦ ὀρθοῦ λόγου χαρακτηρίζεται ἄνθρωπος (3). Ὡς εἴγε καὶ οἱ μὴ καλῶς ἐγένοντο, μηδὲ προσηκόντως μετελθόντες τὴν πραγματείαν, οἱ μὲν τῷ εἰς παραλογισμὸν καὶ ἐξαπάτην τῶν ἄλλων τὰ πολλὰ αὐτῇ κατα-χρήσασθαι (4), οἱ δὲ τῷ ὑπὲρ τὸ δέον τὰ κατ' αὐτὴν ἐκλεπτολογῆσαι, καὶ εἰς λέχθιν πλατεῖαν ἐκ μὴ μετρίας τῆς ἰχνο-

(1) Οὔκεν ἔξω τοῦ ἀληθοῦς ἐστὶ τὸ „ὑπὸ τῶν Στωϊκῶν ἀρημένων, ὅτι τοῦ„της ἄνευ Σοφίας ἐπ' ἄκροισι θαμί„ζειν ἁμήχανον. Παρὰ Λαέρτ. Βιβλ. Ζ'. τμ. 46.

(2) Τοῦτο γὰρ βέλεσθαι καὶ Πλά„των δοκεῖ ἀποφηνάμενος, ὅταν μὲν „ἄνευ λόγου τὴν ἀληθῆ δόξαν τινός„τις λάβῃ, ἀληθεύειν μὲν αὐτοῦ τὴν „ψυχὴν περὶ αὐτὸ, γιγνώσκειν δὲ ἕ„τον γὰρ μὴ δυνάμενον δοῦναι τε, καὶ „δέξασθαι λόγον (οἷοσπερ ἂν ἄῤῥητος „Λογικῆς ἀμοιρῶν) ἀνεπιστήμονα εἶναι „περὶ τούτε. Προσλαβόντα δὲ λόγον, „δυνατόντε πάντα ταῦτα γεγονέναι, „καὶ τελέως πρὸς Ἐπιστήμην ἔχειν. Πλάτ. ἐν Θεαιτήτῳ.

(3) „Τὸ δὲ τῶν Θεῶν δῶρον (τὴν „Διαλεκτικὴν) ἑδένα τρόπον δοῦ προϊέ„σθαι, ἀλλὰ καὶ ἐν μελέταις, καὶ ἐμ„πυρίαις, καὶ τέχναις, αὐτὸ κρατύ„ναν ἄξιον. Ἆρα γὰρ ὅτι καὶ παρ' ὅ„λον τὸν βίον διατελεῖ χρησιμώτατον ὂν διαφερόντως, ἐν μὲν ταῖς ἐντεύ„ξεσι προσομιλοῦν τοῖς ἀνθρώποις, κα„τὰ τὰς κοινὰς ἐννοίας καὶ δόξας· „ἐν δὲ ταῖς εὑρέσεσι τῶν τεχνῶν τὰς „πρώτας ἀρχὰς αὐτῶν ἀνευρίσκον· „λογιζόμενον δὲ πρὸ τῶν ἄλλων, ὅπως „αὐτὰ χρὴ πράττειν· Προγυμνασίαν „δὲ, καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν „ἐπιστήμας, θαυμασίας οἵας μεθό„δους παρεχόμενον. Εἰδὲ δεῖ καὶ τὰ „πρὸ τούτων ἐννοεῖν, ἐκ ἔστιν ἑδὲν μό„ριον φιλοσοφίας, ἄνευ τοῦ κατὰ Δια„λεκτικὴν λόγου παραγιγνόμενον. Ἰαμβλ. Ἐπιστ. πρὸς Σώπατρ. παρὰ Στοβ.

(4) Οἱ Στωϊκοὶ, καὶ οἱ Σοφισταί.

ἰσχνότητος παρενεχθῆναι (1), ὧν τὰς μὲν τοῖς ψηφοπαίκταις (2), τὰς δὲ τοῖς καρκίνοις μαστωμένας (3), οὐκ ἀκόμψως ἐξεικασαν· Ἀλλὰ μηδεὶς διὰ τὰς καταχρησαμένας ἐκφαυλίζειν ἐπιχειρείτω τὴν ἕξιν. (4). Οὐδὲ γὰρ ἔστι τυχὸν, οὐδὲ τῶν ἄλλων ἐπιστημῶν εὑρεῖν εὐδαιμίαν, οὐδὲ τῶν τεχνῶν, οὐδὲ καθόλου πασῶν τῶν παρ' ἀνθρώποις θαυμαζομένων δυναμένων τε καὶ ἕξεων, ἧν οὐκ ἄν ἔχοιτις ἐκ τρόπου μοχθηρίαστε καὶ φαυλότητος, ἐπὶ τὸ χεῖρον παρενεγκεῖν, καὶ οὐκ ὠφελείας, βλάβης ὑ τῆς τυχούσης γινομένου δεῖξαι παράδειγμα (5).

§. ιέ. Ἀλλ' ἥδε μὲν ἡ Λογικὴ, καὶ τοιάδε, ἣν ὑφ' ἡγεμόνι τῷ τῆ λόγε χορηγῷ καὶ δοτῆρι ΛΟΓΩ ἀναβαλλόμεθα πραγματεύσασθαι. Καλὸν δὲ ἴσως καὶ τὰ μέρη τῆς πραγματείας εὐθὺς ἐξ ἀρχῆς ὑπ' ὄψιν ἀγαγεῖν τοῖς ἐντυξομένοις, ἵν' εὐθυμότεροι τῆς δι' αὐτῆς ἅψοιντο πορείας, εἰ τὰς ἐν αὐτῇ οἷον ἀναβαθμὰς προϊνώσκοιεν ὅσοιτε, καὶ οἵτινες ἔσονται, προακούσαντες. Ἔσονται δ' ἓν κατὰ ἀριθμὸν τῶν τῆς ψυχῆς Γνωστικῶν ἐνεργειῶν (Προδι. Γ', §. ή.), ἃς ἐκπεριελθεῖν ἁπάσας, καὶ τὸ ἐν αὐταῖς ὀρθὸν κανονίσαι τῆς ἐν χερσὶ διδασκαλίας ἔργον εἶναι εἴρηται. (§. έ. ή.). Αἱ δὲ ἐνέργειαι αὗται, ὡς μὲν κοινῇ τίθενται τρεῖς εἰσίν· Ἥτε κατὰ Πρόσληψιν, καὶ ἡ κατὰ Κρίσιν, καὶ τρίτη ἐπ' αὐταῖς ἡ κατὰ Διάνοιαν· αἷς καὶ τεταρτίω προσιθέασίτινες τὶω κατὰ τὶω Μέθοδον. Ἡμῖν δὲ πέντε τεθείσονται, τὶω κατὰ Σκέψιν ἐνέργειαν τῆς ψυχῆς, μεταξὺ τῶν ἄλλων ἀναγκαίως τε καὶ ἀπαραιτήτως ἐμφιλοχωρεῖν ἐπὶ πλείσων ἡγεμένοιστε, καὶ πειθομένοις. Καὶ κατὰ ταύτας δὴ, καὶ τὶω εἰς πέντε Μέρη κατατομὶω τῆ παρόντος ἡμῶν συγγραμματίε τῆδε, ἢ καλῶς ἔδοξεν ἔχειν, διαιτήσασι.

ΤΗΣ

(1) Οἱ σχολαστικοὶ ὕστερον.

(2) Ἀρκεσίλαος πικρὰ Στοβ.

(3) Ἀρίσων ὁ χῖος, παρὰ τῷ αὐτῷ.

(4) Ἐγένοντο οἱ εἰς τᾶτο δεισιδαιμονίας ἢ ἀνοίας ἐλάσαντες, ὡς ὑπειληφέναι τὸν Διάβολον γενέδαι τὸν τῆς Διαλεκτικῆς, καὶ δὴ καὶ τῆς ὅλης Φιλοσοφίας, εὑρετὴν, καθ' ὧν ὁ ἱερὸς Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν πρώτῳ Στρωμάτων τὰ ἱκανὰ πρὸς χειρίσατο.

(5) Καθόλε δὲ ὅγε νῦν ἔχων, ἐ „τῶν ἐπισημῶν ἔγκλημα δήπε θείη ἄ„τις αὐταῖς μὴ κατὰ τρόπον χρῶτο. „Ἀλλὰ τῆς τῶν χρωμένων κακίας ἔγ„κλημα εἶναι τᾶτο νομίσει. Πλατ. περὶ Μεσικ.

ΤΗΣ ΛΟΓΙΚΗΣ
ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ τῆς Πρώτης Ἐννοίας

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Τίςποτε ἐςὶν ἡ Πρώτη Ἔννοια. Καὶ ὅπως ἄρα ἐγγίνεται τῇ ψυχῇ.

§. α'.

Τὸ ἡμῖν αὐτοῖς περιὸν δύναμιν, ἥπερ ἀντιληπτικοὶ ἡμῶντε αὐτῶν, καὶ τῶν παρ' ἡμᾶς, ἄλλοτε ἄλλως γινόμεθα, (Προδ. Γ'. §. α'. δ'. ε'.), Νῶν ἀποκαλεῖν ἀξιῶμεν· Οὐ τὸ τῶ ὀνόματος πολύσημον ἀγνοοῦντες (Αὐτ. Σημ. §. ια'.) τὸ δὲ καὶ ταύτῃ τῆς ἐκδοχῆς ἐγκεκριμένον καλῶς ἐπιζάμενοι. Νῶ δὲ ἔργον, τὸ τῶ νοητῶ, ὅ, τί ποτ' ἂν ᾖ, ὡς παρόντος λαβέσθαι, καὶ ἀρρήτοις σιωπαῖς ὁμόσε αὐτῷ χωρῆσαι καὶ συμπλακῆναι· τὸ δὲ ἔργον Ἐννόημα. (1).

§. β'.

(1) „Ἡ ψυχὴ ἐσία Νοερὰ καὶ „λογικὴ ὑπάρχουσα, καὶ νοῦς, καὶ λο„γίζεται· δύναμιν μὲν ἔχουσα τὸν „Νῶν, κίνησιν δὲ τὴν νόησιν, ἐνέργειαν „δὲ τὸ νόημα. Πέρας γὰρ τοῦτο τῆς„τε τῆ Νοοῦντος καὶ τῆ νοουμένης νοή-

§. β'. Οὐ καθ' ἕνα δὲ λόγον, ποικιλοτρόπως δὲ (Αὐτ. §. ϛ'. η'.) τȣ̃ Νȣ̃ ἔχοντος πρὸς τοῖς νοητοῖς· Καὶ ποτὲ μὲν ἁπλῶς ȣ̃τω, καὶ ὥϛε μόνον συνιδεῖν αὐτὰ ἐπιόντος· ποτὲ δὲ καὶ παραβάλλειν χαίροντος, καὶ τὸ ἐν αὐτοῖς ἐμφερὲς, ἢ παρηλλαγμένον ἀνασκοπȣ̃ντος· Ἄλλοτε δ' ἄλλως συνάπτοντος, ἢ διαιρȣ̃ντος· ἢ ἐξ ἄλλȣ ἄλλο ἀφαιρȣ̃ντος, ἢ ἐπιφέροντος· ἢ εἰς τάξιν καὶ κόσμον, ὅς ἂν ἔχειν δόξειε καταλλήλως ἐκτάσσοντος· ἢ τῇ μνήμῃ ἐναποτιθεμένȣ αὐτὰ, καὶ ταμιεύοντος, (τȣ́των γὰρ ȣ̓δεὶς ἐϛὶν ὁ καθ' ἑαυτὸν μὴ συνιὼν γινομένων), πρώτιϛον αὐτȣ̃ τῶν ἔργων ὁμολογȣμένως ἐκεῖνο ἐϛὶ, δι' ȣ̃ μόνον τῷ νοητῷ ἐπιβάλλει, μηδὲν ἄλλο ἢ τȣ̃το αὐτὸ ἐπιθεωρῶν. Διὸ καὶ πρώτη Νȣ̃ ἐνέργεια δεόντως εἰρήσθω ἡ τοιάδε ἔννοια, ἣν ἁπλῆν μὲν μονονȣχὶ πάντες, πρώτην δὲ αὐτοὶ ὀνομάζειν ἀξιȣ̃μεν· ἵνα μὴ καὶ ἁπλῆν καὶ συμπεπλεγμένην ἔννοιαν τὴν αὐτὴν ἀναγκαζοίμεθα λέγειν· περὶ ἧς ὕϛερον.

§. γ'. Ἔϛι δ' ὡς ἐν τύπῳ ἑρμηνεῦσαι, Ἔννοια Πρώτη, ἡ, πρὸ οἱασȣ̃ν ἄλλης ἐνεργείας, εἰς ταυτὸ τȣ̃ Νȣ̃ καὶ τȣ̃ νοητȣ̃, κατὰ ψιλὴν ἐπιθεώρησιν σύνοδος. Γνωρίσματα δὲ αὐτῆς, οἷς περ τῶν ἄλλων διακρινομένη χαρακτηρίζεται· Α'. Τὸ πασῶν αὐτὴν προτερεῖν· ȣ̓ γὰρ μὴ ποιήσαι ἂν ἄλλο ἡ ψυχὴ κατὰ γνῶσιν ἐνεργȣ̃σα, πρὶν ἢ τὸ νοητὸν ἀπομάξῃται· Καὶ μήτ' ἂν κρίναι τι, μήτ' ἐθελήσαι, μηδ' ὅλως τι διανοηθείῃ, μὴ πρῶτον ἑαυτῇ προϛησαμένη καὶ προειληφεῖα αὐτό. Β'. Τὸ κατ' αὐτὴν εἰς ταυτὸ συνέρχεσθαι τῷ Νῷ τὸ νοȣ́μενον, ȣ̓ πραγματικῶς μὲν, παραϛατικῶς δὲ, κατὰ λόγον δήπȣ λόγȣ κρείττονα (1).

Γ'. Τὸ

σεως ἐϛὶν, ὡς περιοριϛικὸν τῆς πρὸς „ἄλληλα ὑπάρχον σχέσεως. Νοȣ̃σα γὰρ „ἡ ψυχὴ ἵϛαται τȣ̃ νοεῖν, ἐκεῖνο τὸ „νοηθὲν μετὰ τὴν αὐτȣ̃ νόησιν. Μάξ. „ὁμολ. Ἑκατοντ. Ε'. Κεφ. πα'.

(1) Ὅτι μὲν παρεῖναι δέον, καὶ παρίϛασθαί πως τῇ δυνάμει τὸ νοητὸν κατ' ἔμφασίντινα οἷον ἐξεικονιζόμενον, ἀνάγκη πᾶσα ὁμολογεῖν. Ἄλλως γὰρ, εἰ καὶ τȣ̃ μὴ παρόντος ἡ ψυχὴ τὴν ἔννοιαν εἶχεν, ȣ̓δὲν ἂν ἐκώλυεν ἡμᾶς τȣ̃ μὴ τῶν πάντων τὰς ἐννοίας πλȣτεῖν. Τὶ γὰρ ἐκείνȣ μᾶλλον, ἢ τȣ́τȣ, πάντων ἐπίσης ἀπεῖναι τῆς ψυχῆς ὑποτιθεμένων; Ὅπως δὲ παρέϛαι τȣ̃το ἵνα νοήσῃ; ἀλλὰ τȣ̃το, ȣ̓δενὸς ἔλαττον τῶν ἀποῤῥήτων ὄν, τȣ̀ς φιλοσοφȣ̃ντας ἀείποτ' ἔλαθε, καὶ λήσεταίγε οἶμαι, ὄφρα χθονὸς καρπὸν ἔδονται. Διὰ τȣ̃ ὑπὸ τῆς σφραγίδος ἐκμαγείȣ, ἑρμηνεῦσαι τὸ γινόμενον εἰσὶν οἱ ἀπετόλμησαν. Διὰ τῶν Κατοπτρικῶν ἐμφάσεων ἄλλοι. Διὰ τῶν εἰδῶντε, καὶ τῶν ἰδεῶν, ἃς ȣ̓δ' αὐτοὶ ἔχȣσιν εἰπεῖν ὁποίας, ἕτεροι. Ἀμεινόνμοι δοκεῖ μεταβολὴν ἁπλῶς τινα ἐπὶ τῆς ψυχῆς λέγειν συμβαίνȣσαν, καθ' ἣν, ἀλλοίως μὲν ἂν ἔχοι τοδί, φέρε τὸ βιβλί-

Γ'. Τὸ ψιλήτινα τυγχάνειν τοῦ παρισταμένου ἐπιθεώρησιν· Ἄνευ καταφάσεως δηλονότι, ἢ ἀποφάσεως. Οὕτω πρώτως νοοῦμεν ἥλιον, ἄνθρωπον, τὴν ψυχὴν, τὴν νόησιν κτ. ἐπεὶ δὰν τούτων ἑκάστῳ ἡ ψυχήπως συνέλθῃ καὶ γένηται ἕν, μηδέντι περὶ τούτων ἀποφαινομένη. Ἤτοι μηδὲν ὁτῳοῦν τούτων, ὡς οἰκείως ἔχον προσάπτουσα, μηδέντε τούτων μηδενὸς ἀπάγουσα ὡς ἀλλότριον. (1).

§. δ'. Ὀνόματα δὲ αὐτῇ, Ἐπιβολὴ Νοῦ, καὶ Προσοχὴ, καὶ Ἀντίληψις, ἢ Ἀνάληψις, ἢ Πρόσληψις, ἢ καὶ Πρόληψις, ἢ φίλον μάλιστα καλεῖν τοῖς ἐκ τῆς στοᾶς (2), καὶ τοῖς περὶ τὸν Ἐπίκουρον. (3). Ὡς δὲ ἐκ τοῦ ὅρου περὶ ὃν ἡ ἐνέργεια περατοῦται, Εἶδος μὲν τοῖς περὶ Ἀριστοτέλην (4), Ἰδέα δὲ τοῖς ἀμφὶ τὸν Πλάτωνα (5). Εἰσὶ μὲν οὖν οἱ πάντα ταῦτα ἀδιαφόρως ἐξειληφότες, ὡς ἰσοδυνάμως δηλοῦντα ταυτό. (6). λέγεται μέντοι καὶ τούτων τινὰ μετάτινος διαφορᾶς.

βιβλίον νοοῦσαν, ἀλλοίως δὲ τόνδε τὸν ἄνθρωπον. Ἡ δὲ μεταβολὴ καὶ τὸ μεταβάλλον ἅμα ἔσται, ὡς εἰς ταυτὸ οὕτως ἥκειν τὸ νοοῦντε, καὶ τὸ νοούμενον. Μεταβολὴν δὲ νοητέον, οὐ τὴν κατὰ μέγεθος, οὐδὲ γὰρ ἐκτέταται. οὐ τὴν κατὰ σχῆμα, οὐδὲ γὰρ μεμόρφωται. Οὐ τὴν κατὰ κίνησιν, οὐδ' ἄλλην τινὰ σωματικὴν ἀλλοίωσιν, οὐδὲ γὰρ ἂν πάθοιτι τοιοῦτον ἡ ψυχὴ οὖσα ἀσώματος. Ἀλλὰ μεταβολὴν ὅλῳ τῷ γένει ἑτέραν, καὶ τῇ φύσει τῇ αὐλῷ πρέπουσαν.

(1) Ἐγένετο καὶ ὃς ὑπείληφεν ἀεί τινα ἐνθεωρεῖσθαι κατάφασιν, ἢ ἀπόφασιν καὶ ἐν αὐταῖς ταῖς πρώταις ἐννοίαις, (Κρουσάζιος Λογ. Σελ. 8), πρὸς ὃν ἱκανῶς ἔδοξεν ἀπαντήσας Βαϋμεϊστέριος, (Λογ. §. 62.) ὡς τὰ πολλὰ λέγων οὕτως ἐξ ἔθους συμβαίνειν, οὐκ ἀεὶ δέ. Ἀλλ' αὐτὸς πυθοίμην ἄν, εἴποτε ψύλλης δακούσης, ἄλλοτι παρὰ τὸ ἀλγεινὸν τοῦ δήγματος ᾔσθετο κατ' ἐκεῖνο ὁ Κρουσάζιος, Καὶ εἰ τὸν τρόπον τότε τοῦ αἰσθήματος ἐφρόντισε κρίναι. Καὶ εἰ ὀδόντων ἡ ψύλλα ηὐμοίρησε, καὶ ὅσων κτ. οὐδὲν τοιοῦτον. Ὁ παῖς ἤδη τὸ πρῶτον τῇ φλογὶ τὴν χεῖρα προσεγγίσας, ᾔσθηται μὲν τὸ δριμὺ τῆς καύσεως, ἄλλο δὲ ἐπιεικῶς οὐκ εἶχε κρίνειν οὐδέν. Μετὰ ταῦτα συμπροσλαμβάνει ἐκ προλήψεως συνάμα τῷ φέγγει, τὸ τῆς φλογὸς καυστηρόν· πολύγεμὴν διαφέρει τὸ ἅμα ἐννοεῖν τινὰ, τοῦ κρίνειν. Ἀλλὰ περὶ τούτου καὶ ἐν ἄλλοις ἴσως.

(2) Παρὰ Πλουτ. Ἀρεσκ. Βιβ. Δ'. Κεφ. ιά.

(3) Παρὰ Λαέρτ. εἰς τὸν βίον.

(4) Ἐν τοῖς περὶ ψυχ. Πολλ.

(5) Πολλαχ. τῶν Διαλόγ.

(6) Φάντασμα, καὶ Ἔννοιαν, καὶ Εἶδος, καὶ Ἰδέαν, συνωνυμεῖν ἅπαντα τῷ Λωκίῳ δοκεῖ, ὑποπαραιτεῖται τοιγαροῦν εὐθὺς ἐν ἀρχῇ, τὴν πυκνὴν χρῆσιν τοῦ τῆς ἰδέας ὀνόματος, ᾧ δι' ὅλου χρήσεσθαι καταναγκασθήσεται τοῦ συγγράμματος. Ἐν τῷ περὶ τοῦ Νοῦ Προδιοικ. §. 8.

§. έ. Τὸ μὲν γὰρ τῆς Ἐπιβολῆς, τὸ αὐτίκα τῆς ἐννοίας ἔοικε δηλᾶν, τῆς μὴ ἐπὶ πολὺ τῷ νοητῷ ἐνδιατριβάσης, ἣν ἄλλητις ἐκ τῶ παρὰ χρῆμα διαδέχεται ἔννοια. Προσοχὴ δὲ Ἐπιμονήτις, καὶ Παράτασις ἐστὶν Ἐπιβολῆς· ἔστω ὁ τὲς στρατιώτας ἐν τοῖς καταλόγοις ἐξαριθμῶν, ἐπιβάλλει μὲν ἑνὶ ἑκάστῳ ἐν τῷ μέρει τὸν λογισμὸν, ἐξ ἄλλε δὲ μεταβαίνων εἰς ἄλλον ἀθρόως παρέρχεται· ἦν δέτινι τέτων ἐπισήσας ἐπὶ ποσὸν, καὶ τὸ νοερὸν οἷον ἐπισηρίξας, ἀνασκοποίητε αὐτὸν, καὶ περιεργάζοιτο, προσέχειν ἐπ' αὐτῷ λέγεται.

§. ς'. Ἔτι τὸ κατὰ τὸν Νῶν ἐπιὸν, ἤτοι ἔστως ἐπέρχεται, ὡς ἄλλοτε μηδέποτε πρότερον ἐπελθόν· οἷον ἡ τῆς βροντῆς ἔννοια τῷ πρώτως ἀκέσαντι· ἢ τῆ ψύχει παγέντος ὕδατος, καὶ τῶν τῆς χιόνος νιφάδων, τῷ πρώτως ἰδόντι· ἢ τῆ ἐκ πλοίρων κυρτῶντε ἐναλλάξ καὶ κοίλων τὰ ἐκτὸς πολυγώνε, τῷ πρώτως φανταθέντι, ὥςε δὴ νεηλιώτινα καὶ ἀήθη τλιὺ ἐμποιεμένλω ἰδέαν φαίνεθαι· Καὶ τῆτο εἰ δοκεῖ (τί δ' ἐχί;) Ἀντίληψις, καὶ Ἀνάληψις, καὶ Πρόσληψις, κοινῷ ὀνόματι προσειρήθω. Ἡ γᾶν καὶ ἄλλοτε ἄπαξ ἢ πολλάκις ἡ ψυχὴ τοιόνδέτι ἐγένετο προσειληφεῖα, καὶ τῆτο μάλισα Πρόληψις λεγέθω. (1). Τὰ μὲν ἓν τῶν παίδων αἱ ἀρχῇ νοήματα προσλήψεις εἰσί· Καὶ αἱ κατὰ τὰ μαθήματα δὲ τῶν μαθητιώντων πρῶται Ἀναλήψεις ὡσαύτως. (2). Ἐκ δὲ προσλήψεων ἐφεξῆς γίνονται προλήψεις. Πεφύκασι δὲ αἱ προλήψεις, καὶ ἐξ ἑτέρων προλήψεων, ἀμοιβαδὸν πως συνεπιπάθαι. Ὅσαι μάλισα ἐγγύτατα ἀλλήλων συγκυρήσειαν· οἷον ὁ τὸν ἄνθρωπον θεασάμενος δεύτερον, καὶ τὸ δένδρον συμπρολήψεται, ὑφ' ἓ τὸ πρῶτον αὐτὸν ἐθεάσατο. Τῶν δὲ Προλήψεων ἰσχυρότεραι ὡς εἰκὸς, καὶ αἱ πλεονάκις προειλημ-

(1) Καὶ Οὐόλφιος ἄλλο μέντι ἔναι φησὶ τὴν πρόσληψιν apprehensionem, ἄλλο δέτι τὴν ἰδέαν, ἣν αὐτὸς καλᾶ notionem. Καὶ τὴν μὲν apprehensionem ἐνέργειαν λέγει τᾶ Νᾶ, δι' ἧς ἐν τῇ ψυχῇ ἡ ἰδέα παράγεται. τὴν δὲ notionem, τὴν προσοχὴν, ἣ προσέχει ὁ Νᾶς τῇ ἰδέᾳ τῇ ἐν αὐτῷ παρημμένῃ. Οὐόλφ. Λογ. Μέρ. ά. Τμήμ. ά. Κεφ. ά. §. 35. Τοιαύτη δ' ἔν καθ' ἡμᾶς ἡ Πρόληψις. Καίτοι οἱ Στωϊκοὶ, καὶ οἱ Ἐπικούρειοι ὁλοχερέστερον ἐκλαμβάνοντες ἦσαν τὲνομα, ἀντὶ πασῶν τῶν κατ' αἴθησιν προσλήψεων.

(2) Οὐ μέντοι κατάγε τὸ Πλάτωνι δοκᾶν, καθ' ὃν αἱ Μαθήσεις Ἀναμνήσεις εἰσὶ, διὰ τὴν πλαττομένην τῶν ψυχῶν προϋπαρξιν.

λημμένας· Διὸ καὶ μᾶλλον δυσκίνητοι αἱ τῶν γεγηρακότων. Ἡ μὲν ἓν κατὰ λόγον πρόληψις ἀγαθὴ καὶ σπουδαία, ἡ δὲ μετ' ἀλογίας, καὶ πάθει τινὶ πολλάκις συνέκδημος, μοχθηράτε τὰ πλεῖστα καὶ φαύλη, καὶ εἰς ἀτοπωτάτας Κρίσεις καὶ Δοξασίας (Προδι. Β'. §. κϑ'. λ'. κξ'.) τὸν σωεχημένον ἐκτραχηλίζουσα.

§. ζ'. Ταῖς Ἀντιλήψεσιν, ὥσπερ δὴ καὶ ταῖς λοιπαῖς ἁπάσαις τῆς ψυχῆς ἐνεργείαις καὶ διαθέσεσι, συμπροῖσα ἐστὶ, καὶ ἡ εἰρημένη (Προδι. Γ'. §. ά. β'.) λογικὴ συνείδησις, ἣν ἐπαντίληψιν ἕτεροί καλοῦσιν (1) ὡς ἄρα ἀντίληψιν οὖσαν ἐπὶ ἀντιλήψεως. Ἀλλ' ἡ μὲν ἀντίληψις αὐτὸ τὸ κατ' ἰδέαν παρισάμενον ὅρον ἔχουσα, οἷον τὸν ἥλιον, ἀνεπτυγμένως τελεῖται, καὶ ἐνεργείᾳ, ἡ δ' ἐπαντίληψις περὶ τὴν ἀντίληψιν, ὡς περὶ νοητὸν φερομένη, συνεπτυγμένως ἔχει ὡς τὰ πολλὰ, καὶ δυνάμει. Οὐ γὰρ ἡ ψυχὴ ἐνεργείᾳ καὶ ἐκ προθέσεως ἀεὶ ἐπαντιλαμβάνεται· Ἔδει γὰρ, εἴπερ, καὶ τῆς ἐπαντιλήψεως προσεπαντίληψιν ἄλλην εἶναι· Καὶ ταύτης ἔτι, εἰ ἔτω χρὴ λέγειν, ἐπιπροσεπαντίληψιν· Καὶ οὕτως ἐπ' ἄπειρον. Διόμοι καὶ προσφυέστερον εἶναι δοκεῖ συνείδησιν λέγειν, οἷον συνεπτυγμένην εἴδησιν· συϊσμὸν γὰρ σφίσιν ἑαυτοῖς καὶ ἃ δυνάμεθα νοεῖν, ἐς' ἂν ἐϑέλωμεν· Ἀντιλαμβανόμεθα δὲ ὧν ἤδη ἐνεργείᾳ τὰς ἐννοίας ἐν τῇ ψυχῇ φέρομεν.

§. η'. Ἐπὶ τῶν Ἀντιλήψεων, καὶ τῶν προλήψεων ἡ συνείδησις ἐστὶ διττή, ἀλλὰ μετὰ διαφορᾶς. Ἐπὶ μὲν γὰρ τῶν Ἀντιλήψεων τῶν μὴ κατὰ πρόληψιν, συοίδαμεν καὶ ὡς ἤδη τὸ κατ' αὐτὰς νοητὸν ἐννοοῦμεν, καὶ ὡς ὕπω πρότερον· ἐπὶ δὲ τῶν ἰδιαίτατα προλήψεων, καὶ ὅτι ἤδη, καὶ ὅτι πρότερον, καὶ ὅτι τυχὸν καὶ πολλάκις.

(1) Τῆς κατὰ τὰς περὶ Καρτέσιον Λογικῆς συνειδήσεως ὀνόματι μόνῳ διαφέρουσαν τὴν ἐπαντίληψιν ὁ Γερμανὸς εἰσήνεγκε Λεϊβνίτιος Apperceptionem ὀνομάσας. Περὶ ἧς Ἄνοχος ἐν Στοιχ. τῆς κατὰ Λεϊβνίτ. Φιλοσοφ. Σελ. 3. καὶ 4. καὶ Σελ. 25. (Βαϋμεϊστ. Ἐν τῇ Φιλοσ. τῇ Ὁρισ. Ὁρισμ. χξβ'.). Ὁ δέτοι Λώκ. (Ἐν τῷ περὶ τῆς Νῆ βιβλ. β'. Κεφ. ά. §. 4.). Αἴϑησιν Ἐσωτερικὴν, καὶ δύναμιν Ἐπιστατικὴν, ἣ προσοχὴν συνωνύμως καλεῖν ἀξιοῖ. ἡμῖν ἀλλ' ἓν τὸ μὲν τῆς ἐσωτερικῆς Αἰϑήσεως, τὴν ἀντίληψιν τῶν ἐντὸς τῆς Σώματος διαθέσεων ἰδιαίτερον σημανεῖ, οἷον πείνης, δίψης. τὸ δὲ τῆς ἐπιστατικῆς, ἢ προσεκτικῆς δυνάμεως, τὸ ἐπίμονον τῆς γνωστικῆς, περὶ οἱανδήποτε τῶν νοημένων διάσκεψιν (§ έ.).

§. θ'. Αἱ τῶν προλήψεων ἐπαναλήψεις, ἐὰν μὲν ὑπὸ ἐξωτερικῆς ὦσιν αἰτίας διεγειρόμεναι, οἷον κατ' αἰσθητικὴν φέρε περίπτωσιν, αὐτὸ τοῦτο προλήψεις εἰσίν. Ἐὰν δὲ ἐξ αὐτῆς τῆς ψυχῆς οἴκοθεν, μετὰ συνειδήσεως τοῦ καὶ πρότερον αὐτὰς ὡς εἴρηται (§. η'.) ἀνειλῆφθαι, μνῆμαι. Εοίκασιν οὖν αἱ μνῆμαι εἶναι ἐκ τῶν προλήψεων· ὡς εἴπερ ἡ ἐγγενομένη ποτὲ πρόληψις, εἴτε τῷ χρόνῳ, εἴτ' οὖν καὶ ἐκ συμπτώματος πάθους ἐξίτηλος γένοιτο, ὥστε ἀναλαμβανομένην ὕστερόν ποτε, μηδ' ἴχνος γοῦν συνεπιφέρειν τῆς τοῦ προειλῆφθαι ἤδη καὶ πρότερον συνειδήσεως, ταῖς Ἀναλήψεσι τακτέα ἐστὶν ἐναρίθμιος. Οὐδεὶς γὰρ μνήμην λέγεται ἔχειν, οὔτε τοῦ πρώτως ἀναλαμβανομένου, οὔτε τοῦ δευτέρως μὲν, ἀσυνειδήτως δὲ ὅμως, ὅτι καὶ πρότερον. Τοιγαροῦν γίνεταί ποτε καὶ ἐκ προλήψεως πρόσληψις· ὥσπερ δὴ καὶ ἀνάπαλιν ἀεί ποτε.

§. ι'. Πότερον δὲ παθητικήτις ἥδε δύναμις ἐστὶν ὁ Νοῦς, ὡς ἁπλῶς τὸ νοητὸν προσπεσὸν ἀπομάξασθαι, καθάπεροῦν καὶ τὸ ἐκμαγεῖον ὁ κηρός· ἢ τὸ ἐνεργὸν πλουτεῖ, τῶν νοημάτων ἑαυτῇ καθισταμένη παραίτιος; Ἀλλὰ τοῦτο δὴ ὑψηλοτέρας ἂν εἴη, καὶ οὐ κατὰ τὴν παροῦσαν ἀκριβοῦν ἐθέλειν, τοῦ λόγου πρόθεσιν. Πλὴν ὅσον ἑκάτερον ἐπὶ τοῦ Νοῦ ὑποτιθέναι εὔλογον, αὐταῖς προσέχοντας ταῖς ἑαυτῶν νοήσεσιν. Ἐφ' ὧν μὲν γὰρ ὑπὸ τῶν ἐκτὸς ἡ ψυχὴ, καὶ μηδ' ἑκοῦσα πολλάκις, ἀλλ' ἔστιν ὅτε καὶ δυσχεραίνουσα, εἰς τὸ νοῆσαι ἐνάγεται, παθητικῶς ἔχειν ἔοικε κατ' αὐτά. Ἐφ' ὧν δ' ἂν παρ' ἑαυτῆς τὰς ἐννοίας οἷον αὐτουργοῦσα ἀνακινοίη, καὶ διατάσσοι, καὶ παντοίως, ᾗπερ ἂν αὐτῇ δόξειεν, ἀναθεωροίη, καὶ ἀναπλάττοι, ἐνεργητικῶς. Πρὸς γὰρ ἐκεῖνα ἑτεροκινήτως ἔχουσα, παθαίνεσθαί πως δοκεῖ· πρὸς δὲ ταῦτα αὐτοκινήτως, καὶ δρᾷ ἐπιδήλως. Εἰκὸς δὲ ἄλλως τε, τὴν μεταξὺ τῆς τε ἀκράτου ἐνεργείας τῶν Θείων, καὶ τῆς τῶν ἁπλῶς ἐνύλων τε καὶ σωματικῶν ψιλῆς τοῦ πάσχειν δυνάμεως, μεσιτεύουσαν τῆς λογικῆς ψυχῆς φύσιν, κοινωνεῖν καθ' ἑκάτερον, καὶ οὐδ' ἀκινήτως πάντῃ, οὐδὲ μενοῦν ἑτεροκινήτως ἔχειν ἐν ἅπασι. Λέγω δὲ τὴν περὶ ἧς ὁ λόγος κίνησιν, οὐδὲν ἄλλ' οὖσαν, ἢ ἀπὸ νοήσεως εἰς νόησιν μεταβολὴν καὶ μετάβασιν. (Ὅρα σημ. §. γ'.).

§. ια'. Ἡ μὲν οὖν περὶ τὸ παθητικὸν τοῦ Νοῦ, καὶ τὸ δραστήριον διαπεφωνήκασι, ταύτῃ δὴ, καὶ πλέον ἔτι, καὶ περὶ τῆς τῶν ἐννοιῶν ἀρχῆς διηνέχθησαν οἱ φιλοσοφοῦντες, ἄλ-

λοθεν

λοθεν ἄλλος ἐναπογεννᾶσθαι ταύτας τῇ ψυχῇ εἰσηγούμενοι (1). Ἀλλ' ἡμῖν καὶ περὶ τούτου ὅ, τι ἐν τοσῷδε ζόφῳ ξυνορᾷν δοκεῖ, τοιοῦτον ἐστί. Τὴν ψυχὴν ἐν τῷ νοεῖν ἀλλοίωσίν τινα ὑφίστα-

(1) Α'. Οὐκ' ἂν ἄπο γένοιτο σκοπῦ οἶμαι, καὶ αὐτὰς τὰς δοξασίας τῶν παλαιῶντε καὶ νεωτέρων συντόμως ἐνταῦθα παραθέσθαι. Λευκίππῳ μὲν οὖν, καὶ Δημοκρίτῳ, (παρὰ Πλουτ. Ἀρεσκ. Βιβ'. Δ' Κεφ. η'.), καὶ τῷ Ἐπικούρῳ μετ' ἐκείνους, (Λουκρητ. Βι. Δ'. περὶ φύσ. τῶν ὄντων) οὐδὲν ὅτι μὴ Εἴδωλ' ἄττα σωματικὰ τὰ νοήματα ἦν, ἀπὸ τῶν ἐν τῷ παντὶ σωμάτων οἷον ἀποξεόμενα, κύκλωτε περιϊόντα, καὶ τοῖς μὲν αἰσθητηρίοις πρῶτον ἀπαντῶντα, ἑξῆς δὲ καὶ τῷ Ἐγκεφάλῳ ἐμπίπτοντα, καὶ τὴν ἐν αὐτῷ ψυχὴν εἰς τὴν αὐτῶν ἀντίληψιν διαμορφοῦντα. Διαφέρει δὲ οὐδὲν τὰ τῶν Νεωτέρων Ἐπικουρείων (Ὠββεσίουμοι νόει, καὶ ἄλλων τοιούτων) περὶ τούτου ὕστερον εἰρημένα, ἢ ὅσον, ἀντι τῆς τῶν παλαιῶν Εἰδωλοποιΐας, κινήσεις, οὐδ' αὐτοὶ ἅστινας σαφῶς ἔχοντες εἰπεῖν, πλήνγε δὴ σωματικὰς ταύτας, τῷ ἐγκεφάλῳ παρεμποιουμένας εἰσάγουσι, καὶ ἐνεργήσεις μόνον, καὶ ἀντενεργήσεις (ὡς αὐτοὶ φάσι) (Ὠββέσ. Στοιχ. φιλοσ. Κ. κέ. Ἀρ. β'.) τὰς ἐν ἡμῖν ἐννοήσεις εἶναι διεκπαιδεύουσιν. Ἀμέλειτοι τὸ ἄϋλον καὶ ἀσώματον τῆς λογικῆς φύσεως ἐκσεσυρικόσιν, ἐνύλους συμβαίνει πλάττειν καὶ τὰς ἐννοίας αὐτοῖς, δραματουργοῦσιν ἀκόλουθα τὰ τοῦ πλάσματος. Ἀλλὰ γὰρ ταῦτα ἐκθέσθαι ἶσον καὶ ἀπελέγξαι.

Β'. Ὁ δὲ Ἀριστοτέλης σωματικῆς κρείττονα κινήσεως τὴν λογικὴν ψυχὴν ἀποδείξας (περὶ ψυχ. Βιβλ. Α'. Καὶ Βιβλ. Γ'.) τὸ κατὰ τὸν Νοῦν μόριον, ἐντεῦθεν καὶ τὰς κατ' αὐτὸ ἐνεργείας, μηδαμῶς εἶναι κινήσεις σωματικὰς ἀπεφήνατο. Καίτοιγε μηδεμιᾶς (ὡς αὐτῷ δοκεῖ) νοήσεως οὔσης, ἥτις μὴ ἐκ προηγησαμένης τῷ σώματι τινὸς ἐξῆπται κινήσεως. Ὅθεν καὶ τὸ θρυλλούμενον ἐκεῖνο, Μηδὲν εἶναι ἐν τῷ Νῷ, ὃ μὴ πρότερον ἐν τῇ αἰσθήσει, ἠξίωται. τὸ δὲ δόγμα οἱ ὁπαδοὶ αὐτοῦ ἑρμηνεύσοντες, εἰς ποικίλας δόξας ἐτράποντο. Οἱ μὲν γὰρ ἐναποκεῖσθαι τῇ ψυχῇ τῶν νοητῶν τὰ Εἴδη ὑπέθεντο, διεγείρεσθαι δέπως αὐτὰ κινούμενα ὑπὸ τῶν Αἰσθήσεων. (τῶν Ἀράβων τινὲς, καὶ Ἄλβερτ. ὁ Μέγ. Παρὰ τῷ Πίκῳ Τόμ. Α'. Σελ. 50.) οἱ δὲ καὶ παράγεσθαι αὐτὰ ὑπὸ τοῦ ἐνεργείᾳ Νοῦ, τοῦ ἀφορῶντος μὲν ἐπὶ τὰ Ἔντυπα (ὡς φασὶ) τῶν εἰδῶν, ἐξαϋλοῦντος δὲ οὐκ οἶδ' ὅπως ἐκεῖνα, καὶ τῷ Παθητικῷ καὶ Δυνάμει Νῷ, ἤδη νοητὰ καθεστῶτα, καὶ Ἔκτυπα τοῦ λοιποῦ λεγόμενα, καθυποβάλλοντος. (Ἄλλοι τῶν Ἀράβ. καὶ ὁ ἐξ Ἀφροδι. Ἀλέξ. Βιβ. Α'. Περὶ ψυχ. καὶ οἱ σχολαστ. τὰ πολλά). Καὶ ταῦτα μὲν ὁ Περίπατος. Ἀπαρέσκει δ' ἐν τούτοις τῶντε Νόων ἡ διάκρισις, καὶ τὸ περιττὸν τοῦ Ἐνεργείᾳ· καὶ τοῦ Δυνάμει μόνου εἰς τοῦτο τάχα ἂν ἐπαρκέσαντος· Καὶ τῶν εἰδῶν ἡ οὐσίωσίστε, καὶ ἀπὸ τοῦ ἐνύλου ἐπὶ τὸ ἄϋλον μετουσίωσις.

Γ'. Διὰ τῶν Αἰσθήσεων ὡσαύτως καὶ τοῖς ἐκ τῆς Στοᾶς ἐδόκει τὰς ἐννοίας διαπορθμεύεσθαι· Ὅ, τε κατὰ βραχὺ παρ' αὐτοῖς τοῦ Ἡγεμονικοῦ καταγραφόμενος χάρτης, τῷ κατ' Ἀριστοτέλην Ἀβακίῳ (ὥσπερ γὰρ ἐν γραμματείῳ (φησὶν) ᾧ μηδὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον. Ἀριστ. περὶ ψυχ. Βιβ. Γ'. Κ. δ'.) σχεδὸν παραπλήσιος. Πλὴν ὅτι τὸν Νοῦν δισσεύειν, κατ' ἐκεῖνον, οὗτοι παρέντες, διπλοῦντι εἶδος τῶν Ἐννοηματι-

κῶν

θαι ἡγέμεθα, ἔμενεν κατὰ τὰς ἐπὶ τῶν σωμάτων ἀλλοιώσεις, ἅσπερ γινώσκομεν, τοιαύτῃ δὲ, ἧς ἂν φύσις ἀμιγὴς ὕλης ἐπιδεκτικὴ γένοιτο, καὶ οἵαν εἵποιμεν μεταβολὴν ἔσαν αὐτῇ ἀπὸ κατασάσεως εἰς κατάσασιν· ὥσε τῇδε μὲν ἔχειν νοῆσαν

κῶν χαρακτήρων διασέλλειν ἄλλως ἠξίει· τὰς μὲν Δημώδεις τέτων εἶναι, καὶ κοινὰς ὑποτιθέντες, τὰς δὲ τῶν κρειττόνων, καὶ τῇ γνώσει διαφερόντων ἰδίας, ὡς τὸ πάλαι τοῖς παρ' Αἰγυπτίοις ἱεροφάνταις τὰ γράμματα. Ταύτῃ γάρτοι τῶν ἐννοιῶν τὰς μὲν προλήψεις ἐκάλεν, ὧν φυσικῶς, ὡς ἔφασκον, ἡ πάροδος τῇ ψυχῇ καὶ ἀνεπιτεχνήτως, τὰς δὲ Ἐννοίας ἰδιαίτερον, τὰς δι' ἐπιμελείας ἐγγινομένας, καὶ ἐκ μαθήσεως. (Πλατ. Ἀρεσκ. Βιβ. Δ'. Κεφ. α'.). Ἐν οἷς ἅπασι καὶ τέτο ἄντικ ἐπὶ τῆς τῶν Στωϊκῶν ταύτης ἰδεολογίας ἐπισημήναιτο, ὅτι τὰς ἐννοίας τῶν προλήψεων ταύτῃγε διακρίναντες, ὅπως τῇ ψυχῇ, ἐξ αὐτῶν συμβαίνει μορφῶθαι, τετέσι τὸν τὸ Ἡγεμονικὸν, κατ' αὐτὰς, χάρτην γράφεθαι, ἀδὲν ἐδίδαξαν.

Α'. Ὁ δὲ Πλάτων ἐμφύτκς τῇ ψυχῇ τὰς ἰδέας ἁπάσας δοξάσαι λέγεται, τῇ τῶν ἰδεῶν ἴσως ἐπωνυμίᾳ, μόνας τῶν καθόλε λόγων τὰς ἐννοίας, τῶν ἐν τοῖς ἄσι θεωρεμένων ὑπονοεῖν παρεχόμενος. Αἴθησις γὰρ, καὶ φανταστία μόνων ἀντιλαμβάνεται τῶν καθ' ἕκασα. Ἐνῆκε γὰρ ἡμῖν (ὡς ὁ ἐκείνε λόγος) τῆς καθόλε ἀληθείας ἡ φύσις τὰ σπέρματα, τοῖς κατ' αὐτὴν ἐμφύτοις λόγοις πλτίσασα· Παρῆκε δὲ τὰς τῶ σώματος ἀπηρτημένας δυνάμεις περὶ τὴν ὕλην εἰλεῖθαι, καὶ τοῖς ἐν μέρει ἐπιχολάζειν, ὧν τὰς προσλήψεις, ἰδέας, ὥσπερ καὶ αὐτὰ ὄντα, ἀπηξίκ καλᾶν. Ὅθεν αὐτῷ, καὶ αἱ μαθήσεις ἀνάμνησεις, (Πλάτ. ἐν Φαιτ.) συνωδὰ διανοεμένῳ τῷ περὶ τῆς τῶν ψυχῶν προϋπάρξεως, ᾧ προκατέληπτο, δόγματι. Οὐδὲ γὰρ ἦν ἄλλως, τὰς λογικὰς ψυχὰς πρὸ τὲ ἐν τῷ τῇδε σκήνα ἐνοικισμὲ, ζωῆς ἀξιώσανται, μὴ καὶ πλέως νοημάτων παρυποδέθαι, ὧν ἂν ἀμυδράτινα τὰ ἴχνη, καὶ ἐνσωματωθεῖσαι ἤδη ἐνδιασώζοιεν. Ἐξ ὧν, παρὰ τὴν ἐν τῷ Νοερῷ Κόσμῳ διατριβὴν τῶν ψυχῶν, καὶ τὰς ἐνταῦθα περιόδες, καὶ αὐτὸ τὸ τῶν ἐμφύτων ἰδεῶν δόγμα ἀναποδείκτως, καὶ προϊκα ἀσάγεθαι, μηδὲ τῇ πείρᾳ ἄλλως συμβαῖνον, παντὶ τῷ ἀκριβῶς σκοπήσαντι συνιδεῖν ῥάδιον.

Ε'. Ἐν δὲ τοῖς Νεωτέροις τὲ τῶν ἐμφύτων ἰδεῶν δόγματος ὅλαις δυνάμεσι προέῃ ὁ Γάλλος Καρτέσιος (Μελέτ. Γ'. Ἀριθμ. ια'. καὶ ἀλλ.) τρισσὰ ἐννοιῶν διασαλάμενος Εἴδη, τῶν μὲν Ἐμφύτων, τῶν δὲ Ἐπεισάκτων, τῶν δὲ Πεποιημένων. Καὶ Ἔμφυτος μὲν αὐτῷ, ἡ ἀπὸ γενετῆς ἡμῖν ἐγκατασπαρεῖσα Ἰδέα, οἵα ἡ τὲ Θεὲ, ἢ τὲ ὄντος ἐν γένει, καὶ τῶν προσεῖναι ἀχωρίσως νοκμένων τῷ ὄντι, ἀσίας, ὑπάρξεως, ἑνότητος, ἀληθείας, ἀγαθότητος, σχέσεως τάξεως, καὶ τῶν παραπλησίων. Ἐπάσακτος δὲ, ἡ διὰ τῶν ἐκτὸς αἰθήσεων ἐπεισαγομένη, οἵαν τῶν αἰθητικῶν καλκμένων ποιοτήτων, χρωμάτων, χυμῶν, ὀσμῶν, ἤχων, θερμότητος, ψυχρότητος, καὶ τῶν τοιέτων. Τέτων δὲ τὰς μὲν ἐμφύτας ἅμα γεννωμένοις τὸ Θεῖον ἐνίησι· τὰς δ' ἐπεισάκτας, ἐξ ἀφορμῆς τῶν ἐμποικμένων τοῖς αἰθητηρίοις προσβολῶν διηνεκῶς παρεισάγει. Πεποιημένη δὲ ἔννοια, ἦτοι Ἐπίπλασος, ἦν, ἐξ ὧν ἤδη κατὰ τὰς ἀνωτέρω μεμόρφωται, ἡ ψυχὴ ἀναπλάτ-

νοῦσαν τόδε, τῇ δὲ δὲ τόδε· Καὶ ἀλλοίως μὲν, διακεῖσθαι, ἐν ᾧ τὸ πῦρ φέρε γνωρίζει, ἀλλοίως δ' ἐν ᾧ τὸ ὕδωρ, τὸν αὐτέρα, τὸ ἀληθὲς, τὸ βάρος· κτ. Καὶ πάλιν ἀλλοίως μὲν περὶ τέτων τινὸς, ἀσφαλῶς τε κρίνεσαν, καὶ βεβαίως, ἀλλοίως

ναπλάττει· ἤτοι κατὰ πρόθεσιν τὴν ἑαυτῆς, ὡς ὅτε ἐκεῖσα τραγέλαφόν τινα ἐνδάλλεται, ἢ ὄρος χρυσῆν, κτ. εἴτε καὶ ἀβελήτῳ τινὶ καὶ ἀκαίρῳ ἐπιῤῥοίᾳ τῆ ζωτικῆ πνεύματος, κατὰ τὰ ἐγκεκολαμμένα ποτὲ τῷ ἐγκεφάλῳ ἴχνητε καὶ ἐνδάλματα, ἃ κατὰ κόσμον φερομένε, ὡς ὄναρ συμβαίνει· ὁπότε ὄνοντις ὑπόπτερον, φέρε, καθορᾶν δοκεῖ, πηγάσειόν τι χρῆμα, ἤτι τοιῆτον. Ἐξ ὧν ἄντις εὐμαρῶς συνίδοι, μηδὲν ὅλως τὴν ψυχὴν ἀϊ τὸ νοᾶν ἑαυτῇ συμβαλλομένην, ὅτι μὴ παίζεσαν. Πᾶσαν γὰρ ἔννοιαν ὑπὸ τῆ Θεῆ ἀποφερομένη, μόνων ἑαυτῇ παραίτιος καθίσταί πως, τῶν οἷς παρανοῆσα νοημάτων πρὸς ἐδὲν δέον προχρήσεται.

ϛ'. Ὁ δὲ δὴ Μαλεβράγχης (ἐν τῷ περὶ Ἐξετάσ. Ἀληθ. Μερ. Β'. Βιβλ. Γ'. Κεφ. ζ'.) τὰ τῆ ὁμογενῆς, ὃν ἄλλως διὰ πλείσε ἐποιεῖτο, παραδιορθέμενος, εἰς ἀλλόκοτόν τινα ὑπόληψιν περὶ τῆς τῶν ἐννοιῶν ἀρχῆς φιλοσοφῶν παρενήνεκται. Τετραχῶς γὰρ κατ' αὐτὸν ἡ ψυχὴ τοῖς νοητοῖς ἐπιβάλλει. Ἤτοι γὰρ πρῶτον, ἐν αὐτῷ οἷον ἐνδῦσα, τὸ νοητὸν ἡ ψυχὴ νοεῖ, ὥσπερ καὶ φῶς ὀφθαλμὸς, ἐν αὐτῷ τῷ φωτὶ θεᾶται καταλαμπόμενος· ἔτω γὰρ καὶ ὁ Νῆς τὸ ΟΝ νοᾶ τὸ Ἀκρότατον, ἅ μηδὲν ἔχει ἐξεικονίσαι καὶ βεῖξαι τὴν Φύσιν· (Ἀλλ' ἔτω δήπε νοᾶν δι' ἐποπτείας τὸ Θεῖον, μόνοις ἀποκεῖσθαι τοῖς μακαρίοις, μετὰ τὴν ἐνθένδε λῆξιν, ἡγεμεθάτε καὶ πεπισεύκαμεν, τοῖς ἐν τῷ φωτὶ τὸ Φῶς ὀφομένοις, ὡς γέγραπται· τὸν δὲ παρόντα ἕλκεσι βίον, Θεᾶ ἔννοιαν ἔχειν, ἐκ μόνης τῆς τῶν ὁρωμένων καλωνῆτε κτάξεως, καὶ κατὰ μόνην λογικὴν ἐπισασίαν ψυχῆς, δέδοται.) Ἡ δεύτερον (φησὶ) νοᾶ τὸ Ὂν δι' ἰδέας· τετέσι δι' εἰκόνος οἷον Ἀρχετύπε, τῆς ἐν τῷ Θεῷ καὶ αὐτῆς ἐνοπτανομένης· Καὶ τῷδε δὴ τῷ τρόπῳ, ἅπασαν (φησὶν), αἱ κοινότατα τῶν ἐννοιῶν εἰσὶ ληπταί. Οἷον ἡ τὲ ὅλε, ἡ τὲ μέρες, ἡ τῆς ἐκτάσεως, ἡ τῆς διακρίσεως, ἡ τῆς τάξεως, ἡ τῆς ἀληθείας, καὶ αἱ λοιπαὶ ὅσας ἐμφύτες ἐκάλει Καρτέσιος. (Ἀνωτ. Ἀρ. Ε'.) Τρίτον δὲ νοερῶς τινῶν ἀντιλαμβάνεται ἡ ψυχὴ κατὰ Συνείδησιν (φησὶ) προσβολῶντινων ἐπαιδαγομένη, ὅς αἴτε ἔξω, καὶ αἱ ἔσω Αἰσθήσεις, ὑφίσανται· οἷον ἡδονῆς, λύπης, ἄλγες, πείνης, δίψες, ναυτίας, χρωμάτων ποικίλων, χυμῶν παντοίων, καὶ ὀσμῶν, καὶ ἤχων, ἃ ἓν ἁπλῶς ἐπεισάκτες τὰς ἐννοίας ὁ ἀνωτέρῳ (Ε') ἐτίθετο· ταύτας δέτοι ἐδ' ἕτος ἰδέας ἠξίε καλεῖν, συγκεχυμένας δὲ μᾶλλον προσλήψεις τε καὶ συναισθήσεις, ἢ συνειδήσεις. Σύνοιδε μὲν γὰρ ἑαυτῇ πως ἡ ψυχὴ προσδιατιθεμένη τῷ ἀνθρώπῳ ἡδομένῳ, ἢ λυπεμένῳ, ἢ ἀλγῶντι, ἢ πεινῶντι, ἢ διψῶντι, ἢ ναυτιῶντι, ἢ τί ὁρῶντι, ἢ τινὸς γευομένῳ, ἢ ὀσφραινομένῳ, ἢ ἀκόοντι, διὰ τὲ σώματος, καὶ τὰς ἐκ τῶν τοιῶνδε διαθέσεων ἐμποικμένας αὐτῇ ἀλλοιώσας σαφῶς ἐπιγινώσκει· ἐμὴν ἀλλ' ἐκ ἔχει καὶ αἰδέναι, ὅπως γε τὸ σῶμα παρὰ τῶν ἐπ' ὄντων, ἢ καὶ αὐτὴ διὰ τὲ σώματος, διατίθεται εἰς τὴν τῶν τοιάτων ἐπίγνωσιν· ἐδ' εἰ αἱ αὐταὶ ἀδιαφόρως τοῖς πᾶσιν ἐπεγείρονται ἔννοιαι, ὡς ἐδὲ τῷ αὐτῷ ἀνθρώπῳ φαὶ ἐπιβάλλεσιν αἱ αὐταὶ, ᾧ νῦν μὲν

λοίως δὲ ὑπονδοιάζουσάν τε, καὶ ἀποροῦσαν· Ἑτεροίως τε αὖ βουλομένην, ἢ μὴ, ἀσμενιζομένην περί τι ἢ δυσχεραίνουσαν, χαίρουσαν ἢ ἀθυμοῦσαν. κτ. Τοῦτο δέ τοι τὸ τῆς τοῦ Νοῦ καταστάσεως πολυειδὲς ὡς εἰπεῖν καὶ πολύτροπον, ῥᾷς ἂν συνίδοι πᾶς τις

μὲν ἡδέως, νῦν δ' ἀηδῶς τὸ αἰσθητήριον κινεῖται, ὑπὸ τοῦ αὐτοῦ φέρε βρώματος, καὶ οὗ τῷ σώματι συνδιατίθεταί πως καὶ ἡ ψυχὴ, ἄλλοτε ἄλλως διακειμένη. Τέταρτος δὲ, καὶ τελευταῖος αὐτῷ ὁ τρόπος, καθ' ὃν ἡμῖν αἱ τῶν ἄλλων (φησὶ) ψυχαὶ, καὶ εἴτινα εἰσὶ παρὰ τὰς ψυχὰς εἴδη ἕτερα ἀμιγῆ ὕλης διαγιγνώσκονται· ὅπερ οὖν ἰδιάζον ἐστὶ τῷ Μαλεβράγχου δόγματι, τοῦτο ἐστὶ, τὸ μηδὲν ὅλως καθ' ἑαυτὴν οἵαντε οὖσαν τὴν ψυχὴν ἐννοεῖν, ταῖς δὲ παρὰ τοῦ ὑπερφώτου φωτὸς, ᾧπερ οὐσιωδῶς (κατ' αὐτὸν) συνῆπται, καταυγαζομένην φωτοβολίαις, τοῖς νοητοῖς ἐπιβάλλειν, ὅ καὶ Ἰάμβλιχος, καὶ Πλωτῖνος πάλαι, καὶ οἱ λοιποὶ τῶν Πλατωνικῶν, ἐν ταῖς παρ' αὐτοῖς Θεουργικαῖς μυήσεσιν ἐδόκουν ὑποτιθέναι. „Ἦν γὰρ δηλαδὴ κἀκείνων ὁ λόγος οὗ„τος, ὡς ἄρα συνυπάρχει ἡμῶν αὐ„τῇ τῇ οὐσίᾳ ἡ περὶ Θεῶν ἔμφυτος „γνῶσις .... Εἰ δὲ δεῖ τ' ἀληθὲς εἰ„πεῖν, οὐδὲ γνῶσις ἐστὶν ἡ πρὸς τὸ Θεῖον „συναφὴ, διείργεται γὰρ αὕτη πως „ἑτερότητι· Πρὸ δὲ τῆς ὡς ἑτέρας ἕτε„ρον γινωσκούσης, αὐτοειδὴς ἐστὶ καὶ „ἀδιάκριτος, ἡ τῶν Θεῶν ἐξῃρτημένη „μονοειδὴς συμπλοκὴ .... περιεχόμεθα γὰρ ἐν αὐτῇ μᾶλλον ἡμεῖς, καὶ πληρούμεθα ὑπ' αὐτῆς. .... (Ἰάμβλ. περὶ Μυστηρ. Κεφ. Γ'.) Καὶ πρὸ δὴ τούτων Ὅμηρος ἐν οἷς ῥαψωδεῖ·

„Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
„Οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶντε θεῶντε. (Ὀδυσ. σ').

Ἀλλ' ἥδε μὲν οὖν καθ' ἡμᾶς ἡ δόξα ὁπαδῶν τυγχάνει χηρεύουσα· εἰμήπου τινὸς εὐμοιροίῃ ἶσα τῷ Μαλεβράγχῃ φανητιῶντος. Εἰκότως δέ· ἐφ' ᾧ γὰρ τ' ἄλλα ἐάσαι οἷς ἀτοπεῖ, τὸν μὲν Νοῦν, οἱασοῦν ὅλως δυνάμεως ἀποστερεῖ· τὴν δὲ ψυχὴν, καὶ πρὸ τῆς ἐν τῇ μακαριότητι λήξεως, ἀποθειάζει τῇ οὐσιώδει συναφείᾳ, καί τοι ἐν διηνεκεῖ σαλευομένην ἀθλιότητι, ὡς σαφῶς ἐλέγχει τὰ πράγματα. Οὐκ ἦν δὲ ἄλλως εἰκὸς μὴ ἐν ὑπερτελεῖ καὶ ἀκροτάτῃ διάγειν εὐδαιμονίᾳ, τῷ ὑπερτελείῳ καὶ ἀκροτάτῳ ΘΕΩ οὐσιωδῶς ἑνουμένην, καὶ ὑπ' αὐτοῦ ἀδιαλείπτως φωτιζομένην. Ὅπερ δὴ γέρας τῆς ἐλπιζομένης ἀπόκειται λήξεως. Τὸ δέ τοι ἔσχατον, ὅτι καὶ τῶν ἀτόπων ἐννοιῶν, ἡ δόξα αὕτη, τὸν ἀπειράγαθον Θεὸν ἀποφαίνει παραίτιον· Ἃ δὴ πάντα τῶν τῆς ὑγιαινούσης φιλοσοφίας δογμάτων ἐστὶν ἀλλότρια.

Ζ'. Ὁ δὲ Ἀρνάλδος (Γάλλος δὲ καὶ οὗτος ἦν) καὶ ὁ Γερμανὸς Λεϊβνίτιος, τὸ ἐνεργὸν τοῦ Νοῦ καὶ δραστήριον ἀποκαταστῆσαι δεῖν ἐγνωκότες, δημιουργὸν ἑαυτῆς εἶναι τῶν ἐννοιῶν τὴν ψυχὴν εἰσηγήσαντο. Διαφόρως δέ. Ὁ μὲν γὰρ κινηθείσης ὁπωσοῦν ὑπὸ τῶν ἐκτὸς τῆς Αἰσθήσεως, ἤτοι τοῦ Ὀργάνου, καὶ τῆς γενομένης ἐν τούτῳ προσβολῆς, ἔσγ' ἐπὶ τὸν ἐγκέφαλον διαδοθείσης, πέφυκέπως ἡ ψυχὴ παράγειν (φησὶ) τὴν κατάλληλον ἔννοιαν, ᾗ τῆς ἀλλοιώσεως ἀντιληφθήσεται τῆς ἐπισυμβάσης τῷ σώματι. (Ἀρνάλδ. ἐν τῷ περὶ Ἀληθ. καὶ ψεύδ. ἰδεῶν συγγρ.). Ἐξ οὗ οὐδὲν πλέον μαθεῖν ἐξέσται, ἢ ὅτι ἐπὶ τῇ τῶν ἐννοιῶν παραγωγῇ συνεπιδρᾷπως ἡ ψυχὴ παθαινομένῳ τῷ σώματι. Καὶ ὅτι ἐκ τούτου ἐκείνῃ τὸ ἐνδόσιμον πρὸς ἐνέρ-

πᾶς τις ἐν ἑαυτῷ τὸν λογισμὸν ἐπιστήσας. Ἐοίκασι γοῦν τὴν τοιάνδε τῶν καταστάσεων μεταβολὴν τῇ ψυχῇ ἐνομολογεῖν καὶ οἱ τὸν Νοῦν εἰπόντες, νῦν μὲν ἑαυτοῦ κρείσσονα γίνεσθαι, νῦν δὲ χείρονα, νῦν δ' ἰσοστάσιον ἑαυτῷ, ὡς ἄρα τὸ μὲν διὰ τῆς

ἐνέργειαν· ὅπερ ἐπὶ τῶν δι' αἰσθήσεως νοουμένων ὀρθῶς ᾗπου λέγεται, ἐπὶ δὲ πάντων ἁπλῶς, ὅσα διαφόρως καθ' ἑαυτὴν ἡ ψυχὴ φύσιν ἔχει ἀνακυκλεῖν, οὐκέτι. Ἐφ' οἷς, καὶ τί ἐστὶν ὅπερ ἡ ψυχὴ παράγει; τὴν ἰδέαν ἄρα; καὶ πῶς αὐτὴν, ἣν ἠγνόησε; πάντα βαθεῖ ζόφῳ πεπύκασται. (Ὅρα Ἀντών. Γενουήνσ. ἐν τῇ Μεταφ. ἀκριβέστερον ταῦτ' ἐπικρίνοντα.) Ὁ δὲ Λεϊβνίτιος τὸν Νοῦν ἀποφαίνεται, θεσμοῖς ἑπόμενον τῆς ἑαυτοῦ φύσεως, ἀδιαλείπτως προβάλλειν ἑαυτῷ τὰς ἐννοίας, ἄλλην μετ' ἄλλην, ὥσπερ δὴ καὶ τὸ ὀργανικὸν σῶμα, ὧν ἂν εὐμοιρήσειε κινημάτων ἑαυτῷ καθίσταται παρακτικόν. Ἀεὶ δὲ τὸν ἀποχρῶντα λόγον (ὡς αὐτὸς φησὶ) τῶν ἐφεξῆς νοήσεων μὲν τῆς ψυχῆς, κινημάτων δὲ τοῦ σώματος, ἐν ταῖς ἀμέσως ἡγησαμέναις νοήσεσιν, ἢ κινήσεσιν, εἶναι περιεχόμενον. Εἶναι γὰρ τὰς δευτέρας διὰ τὰς πρώτας, καὶ διὰ τὰς δευτέρας τὰς τρίτας, καὶ ἑξῆς ἐχομένως, ἀντιστοιχούσης ἀεὶ συμφώνως τῆς τῶν νοημάτων ἀλληλουχίας, δι' ἧς (φησὶν) ὁ νοερὸς παριστάνεται κόσμος, τῇ τῶν κατὰ τὰς σωματικὰς Αἰσθήσεις κινημάτων προόδῳ ὁμολόγως συμπροϊὼν, ᾗπερ ὁ κόσμος διατυποῦται ὁ Αἰσθητός. Καὶ ταύτην οὖν τὴν τῶν ἑτεροφυῶν ἐνεργημάτων ἁρμονικὴν σύμπνοιάντε καὶ συμφωνίαν, Ἁρμονίαν προδιεταγμένην ἐκάλεσεν, (ὅρα τὰ ἐν τοῖς πρακτ. τῶν ἐν Λειψίᾳ Σοφ. Ἀνδρ. ἐν Ἔτ. ᾳχυδ'. Καὶ Βιλφιγγέρον ἐν τῷ περὶ τῆς Προδιατεταγμ. Ἁρμον. §. ιέ. καὶ ιζ'. καὶ ιη'. Καὶ Οὐόλφ. ἐν τῇ Λογ. ψυχολ. τμήμ. γ'.) ἧς ὅσον ἐπ' ἀμφοῖν τῶν φύσεων, ἰδίᾳ τε δὴ, καὶ πρὸς ἀλλήλας θεωρουμένων, τὸ πλημμελὲς καὶ ἀνάρμοστον, ἄλλοι κρινόντων· Καὶ γὰρ καὶ ἡ τῶν τοιούτων ἰσχνοτέρα ἀκρίβωσις, βαθυτέρας ἐστὶν ὑπόθεσις θεωρίας, ἢ κατὰ τὴν νῦν ἡμῖν προκειμένην, τοῦ ὁποιανοῦν λαβεῖν ὑποτύπωσιν, ὅθεν δὴ αἱ ἔννοιαι τῇ ψυχῇ, καὶ ὅπως ἔχουσι λαμβάνουσαι τὴν ἀρχήντε καὶ πάροδον.

Η'. Ἀλλ' ἔοικε δὴ τοῦ πράγματος πρὸ τῶν ἄλλων μάλιστα εὐστοχήσας ὁ Ἄγγλος Λώκιος (ἐν τῷ περὶ Νοῦ τοῦ Ἀνθρωπείου Βιβλ. Β'. Κεφ. ά. β'. κξ'.) Οὐχὶ τὰ ἀπὸ κοιλίας, ὅ λεγεται, ἀπομαντεύσας, τῷ δὲ φύσει συμβαίνοντι ἐφ' ἱκανοῦ ἐπιστήσας. Δισσῶν γὰρ οἷον ἐκ πηγῶν ἡ ψυχὴ τὰς ἰδέας ἁπάσας ἅπαξ ὅσας φέρει, ἀρύεται, ἔκτε τοῦ σώματος δηλονότι, κἀξ ἑαυτῆς· τοῦ μὲν, δι' ὧν πάσχει ὑπὸ τῶν ἐκτὸς προσβολῶν, τῆς δὲ, δι' ὧν ποιεῖται νοερῶν Ἀντιλήψεων· Καὶ ἁπλῶς εἰπεῖν, τὰς μὲν δι' Αἰσθήσεως, τὰς δὲ δι' ἐπιλογισμοῦ καὶ Ἐπιστασίας, ὧν δὴ πρὸς μὲν ἐκείνας, καὶ παθητικῶς ἔχουσα ἐστὶ, πρὸς δὲ τούτων τινὰς, καὶ ἐνεργητικῶς. Καὶ Α'. (φησὶν (Βιβλ. Β'. Κ. Α'. §. 3.) Αἱ Αἰσθήσεις ὑπὸ τῶν ἐκτὸς παντοίως κινούμεναι, διαπορθμεύουσι τῇ ψυχῇ διαφερούσας Ἀντιλήψεις τοῦ λευκοῦ, τοῦ μέλανος, κτ. καὶ πάσης ἁπλῶς Αἰσθητικῆς ποιότητος· τὸ δὲ διαπορθμεύειν, τὸ εἰσιέναι (λέγει) ποιεῖν εἰς τὴν ψυχὴν ἀπὸ τῶν Αἰσθητῶν τὸ ποιητικὸν γινόμενον τῶν διαφερουσῶν Ἀντιλήψεων. Β'. δὲ πηγὴ (Αὐτ. §. 4.) ἡ Ἀντίληψις αὐτῷ τῶν τῆς ψυχῆς ἐνεργημάτων, ἐπὶ τῶν ἰδεῶν, ἃς ἐκ τῶν Αἰσθήσεων ἐπιδέχεται· Αἱ δὴ ἐνέργειαι ἐπειδὴ ἀντικείμενον γίνονται τῆς κατὰ ψυχὴν προσο-

τῆς τῶν κρειττόνων ἐννοίας γινόμενον, τὸ δὲ διὰ τῆς τῶν χειρόνων, τὸ δὲ διὰ τῆς ἑαυτοῦ, καὶ τῶν κατ' αὐτόν.

§. ιβ'. Τούτου οὖν οὕτω συμβαίνειν καθάπερ εἴρηται ἡμῖν ὁμολογουμένου, Α'. ἐκεῖνο εὐθὺς ἀπαντᾷ ἐπιεικῶς εὔλογον, ὅτι καὶ τὸ οὐσιῶδες τῶν τοιῶνδε τῆς ψυχῆς ἀλλοιώσεων ἀγνοοῦντας, ἀλόγιστον ἂν εἴη τὸ διαπορεῖν, εἰ συμβαίνουσιν; οὐδὲν γὰρ πλέον διακρίνειν πάρεστι, τῆς ὑπὸ τοῦ ἐρυθροῦ χρώματος τῷ ὀφθαλμῷ ἐμποιουμένης μεταβολῆς τὴν κατὰ τὸ πράσινον· ἀλλ' ἤδη τὸ ἀλλοιοῦσθαί πως τὴν δύναμιν σαφῶς εἰδότες, τὸ ὅπως, ὡς οὐκ ἐφικτὸν, ἀκριβοῦν παρίεμεν. Οὐ γὰρ θέμις εἰς αὐτὰ εἰσβάλλειν τὰ πρώτιστα τῆς φύσεως, καὶ ἁπλούστατα.

§. ιγ'. Β. Ὅτι αἱ τοιαίδε καταστάσεις, ἃς ἡ ψυχὴ νοοῦσα παντοίως ὑπέρχεται, αὐταὶ ἂν εἶεν αἱ καλούμεναι ἰδέαι, καὶ τὰ Εἴδη τὰ πολυθρύλλητα· ἃ μηδεμίαν, τῷ ὄντι εἰπεῖν διασώζει ἐμφέρειαν πρὸς τὰ δι' αὐτῶν νοητὰ, μηδὲν πλέον, ἢ, ἡ ἀλλοίωσις ἡ διὰ τῶν φωνῶν τοῖς ὠσὶν ἐμποιουμένη πρὸς τὰ φωνούμενα (1).

§. ιδ'.

προσοχῆς καὶ ἐπιστασίας, ἐμποιοῦσι τῷ Νῷ ἕτερόντι ἰδεῶν εἶδος, ἃς οὐκ ἂν ἔχοι τὰ ἐκτὸς ἐμποιῆσαι. Τοιαῦται αἱ ἰδέαι τῆς ἀντιλήψεως, τῆς νοήσεως, τῆς ἀμφισβητήσεως, τῆς πίστεως, τοῦ συλλογισμοῦ, τῆς γνώσεως, τῆς θελήσεως. Καὶ τὴν τοιαύτην δύναμιν, οὐκ ἀπροσφυῶς ἄντις (φησὶν) Αἴσθησιν ἐσωτερικὴν ὀνομάσειε, καλείσθω γεμὴν (προστίθησι) δύναμις Ἐπιστατικὴ, ἢ προσοχή. Ἀλλ' ἃ μὲν, καὶ Λώκιος περὶ τῆς τῶν ἰδεῶν ἀρχῆς ἀποφαίνεται, ὡς ὁλοσχερέστερον εἰπεῖν, ταῦτα.

(1) Οἱ ἐκ τοῦ περιπάτου οὐκ οἶδ' ἥντινα τῶν νοημάτων μεταξὺ καὶ τῶν πραγμάτων ὁμοιότητα ὁρᾷν ἐδόκουν, οἵαν οὐκ ἔχειν ὡμολόγουν τὰς φωνὰς πρὸς τὰ νοήματα. Εἰσάγουσι δὲ, ὡς φίλον αὐτοῖς, καὶ τὸν Ἀριστοτέλην οὕτω δοξάζοντα. „Τὰ μὲν γὰρ νοήματα φασὶν (Ἀμμών. εἰς τὸ περὶ Ἑρμην) Ἀριστοτέλης, ὁμοιώματα καλεῖ τῶν πραγμάτων, τὰς δέγε φωνὰς „οὐκ ἀξιοῖ καλεῖν ὁμοιώματα τῶν νοημάτων ἀλλὰ σύμβολα καὶ σημεῖα. Καὶ τὰ γράμματα τῶν φωνῶν ὡσαύτως· Ἀλλὰ γὰρ εἴτι καὶ λέγοιεν, ἐμὲ δὴ περὶ τῆς ὁμοιότητος ταύτης οὐκ ἄν ποτε πείσαιεν, οὐδ' ἢν πείσαιεν, ὃ λέγεται· ὁποίαν γὰρ τὴν ὁμοιότητα τὸ τοῦ ἡλίου νόημα πρὸς τὴν τοῦ φωτὸς ἐκείνου σφαίρωσιν ἔχει, οὐ συνορῶ· οὐ δὲ πλάσαι δύναμαι. Καὶ Βλεμμίδης δὲ Λογ. Κ. κστ'. „Τὰ νοήματα (φησὶ) „τῶν πραγμάτων εἰσὶν εἰκόνες ἐν τῇ „ψυχῇ, καὶ ὅταν ἀκριβῶς ὁμοιωθῇ τοῖς „πράγμασι τὰ νοήματα ... τότε καὶ „ἀληθῆ νοήματα λέγεται· ὅτε δὲ μὴ „οὕτως ἔχει, ψευδῆ. Ἀντιπεριπίπτει δὲ λαμπρῶς ἑαυτῷ ταῦτα λέγων. Ἐπειδὴ γὰρ τῶν συνθέτων νοημάτων, τουτέστι τῶν ἐν ἀποφάνσεσιν, ὁ αὐτὸς ἐν τῷ αὐτῷ Κεφαλαίῳ μόνων τὸ ἀληθεύειν καὶ ψεύδεσθαι εἶναι φησὶ, τῶν δὲ ἁπλουστέρων

§. ιδ'. Γ'. Ὅτι κατὰ τόν δε τὸν λόγον ἀμέσως συνάπτεται τῇ νοητικῇ δυνάμει τὸ νοητόν· (§. γ'. σημ.) ἅμα γὰρ εἶναι θέλει τὸ μεταβάλλον τῇ ἀλλοιώσει καθ' ἣν μεταβάλλει. Αὕτη δὲ τὸ νοητὸν ἐστί· νοητὸν γὰρ κυρίως ἡ τῆς ψυχῆς ἣν ἔχει κατάσασις· ἡ δὲ νόησις, τὸ τιὼ ψυχιὼ ἐστὶ συνειδέναι, ὅτι τοίως, ἢ τοίως διάκειται.

§. ιέ. Δ'. Ὅτι μυριαχῶς ὁ Νῆς ἐνδέχεται νοεῖν, ὅτι καὶ μυριαχῶς ἀλλοιῆσθαι.

§. ις'. Ε'. Ὅτι ὅσαι τῶν ἀλλοιώσεων ὑπ' ἀλλήλων ἀναιρεῖσθαι πεφύκασι, ταύτας ἅμα ὑπελθεῖν ὁ Νῆς ἀδιωάτως ἔχει. Διὸ καὶ τὰ ἀντιφάσκοντα συλλαμβάνειν ἀδιωατεῖ· οἷον κύκλον τετράγωνον, ἃ γὰρ ἔχει κατὰ τὸ αὐτὸ ἀλλοιωθῆναι μὲν ὡς ἐπὶ τῆς ἐννοίας τῷ κύκλῳ πέφυκε, καὶ ἔτω πάλιν μηδαμῶς ἀλλοιωθῆναι.

§. ιζ'. ς'. Ὅτι ὅσαι διαφέρεσαι μὲν εἴδει κατασάσεις ψυχῆς εἰσὶν, ἐχ ὑπ' ἀλλήλων δὲ ἀναιρέμεναι, ἐκ τύτων τῆς οἷον εἰς ταυτὸ συνεμπτώσεως, ἑτεροίατις ἄλλη καθισαμένη, ἑτεροῖοντι παρέχεται καὶ τὸ νοητόν· οἷαπερ καὶ ἐκ πλειόνων ἀλλοίων εἰς ἓν συμπιπτεσῶν ἐν τοῖς σώμασι κινήσεων, ἑτέραν τῷ εἴδει ἐνεγείρεται κίνησις, οἷον ἐκ τῶν κατὰ πλάγιαν, ἡ κατὰ τιὰ διαγώνιον, καὶ αἱ ἐκ τῶν ὀρθειῶν καμπύλαι.

§. ιη'. Ἐντεῦθεν, τόγεμοι δοκῆν, καὶ ἡ περὶ τῆς τῶν ἐννοιῶν ἀρχῆς ἐπιλυθήσεται ζήτησις· Εἰ δὲ μὴ, ἀλλ' ἐνταῦθα γε δήπε ζήσεται. Τὶ γάρ τὸ τῶν ἰδεῶν τῇ ψυχῇ παρεκτικὸν, ἀλλ' ἢ τὸ τῆς μεταβολῆς τῶν ἐν αὐτῇ καταςάσεων παρακτικόν; τὸ γὰρ ἀλλοίως αὐτιὼ καθισᾶν δυνάμενον, τοιάνδε καὶ σωιδεῖν ἑαυτιὼ παρέχεται, οἵανπερ ἂν καταςήσειεν· ἡ δὲ, ἀγνοεῖν μὴ πεφυκεῖα ὅπως καθέσηκε, παρὰ τῷ τιὼ κατάσασιν διδόντος, εἰς τὸ τοιάνδε ἤδη ἑαυτιὼ καθεσηκεῖαν νοεῖν προάγεται.

§. ιθ'. Τρία δὲ τὰ τῇ ψυχῇ μεταβολὰς παντοίας δυνάμενα ἐνεργάσαθαι. Α'. ὁ Δημιεργὸς αὐτῆς. Β'. αὐτὴ ἑαυτῇ. Γ'. τὸ σῶμα τὸ περὶ αὐτιώ· Ὁ μὲν διὰ τὸ παντεργικόν· ἡ δὲ διὰ τὸ Αὐτοκίνητον· τὸ δὲ διὰ τὸν σωθήσαντα θεσμὸν

σέρων καὶ κατὰ πρόσληψιν ἀφαιρεῖται, δῆλος ἐστὶν ἐκ τύτε τὰ εἴδη ἑδὲν ὅμοια τοῖς πράγμασιν εἶναι βκλόμενος. Ἐὰν γὰρ καὶ ταῦτα ἀκριβῶς ὁμοιωθῇ τοῖς πράγμασιν, ἀληθῆ ἔσαι· ἐκ ἔτι δὲ τύτο, ἐδ' ἂρ' ἐκεῖνο.

μὸν, καὶ εἰς ἓν τὰς δύο Φύσεις συναίψαντα. Καὶ τρεῖς ἄρα τῷ Νῷ αἱ τῶν ἰδεῶν πηγαὶ αὗται εἰσὶν, ἐξ ὧν ἅπάσας αὐτὸ τὰς ἐννοίας ἀρύεται. (1). Τὰ μὲν γὰρ νοεῖ ὑπὸ τὸ, ὥπερ συνῆπται, σώματος ἀλλοιόμενος· τὰ δὲ, ὑφ' ἑαυτῷ τρεπόμενος· τὰ δὲ ὑπὸ τὸ τὸ εἶναι δόντος, καὶ τὸ ὧδέ πως εἶναι παρέχοντος, καὶ τὸ ἐνεργεῖν ὡς ἂν αὐτῷ δόξειε.

§. κ'. Ὁ μὲν ἓν Δημιουργὸς, ὁ ἕτω τιὶ ψυχιὶ κατασκευάσας, καὶ τὸ ἕτω παλίντροπον εἰς τὸ νοεῖν αὐτῇ πρυτανεύσας, καὶ πάντων μὲν ἁπλῶς ἂν ὑμνοῖτο τῶν ἐν αὐτῇ νοημάτων, Αἰτία πρωτεργός τε καὶ προκαταρκτικὴ, οἷα δὴ καὶ πάντων τῶν ὄντων, καὶ γινομένων· Ἀλλ' ἐπὶ τὸ παρόντος ἰδιαίτατα τῶν ἐννοιῶν παραίτιον αὐτὸν φαμὲν, ὅσας ἔτε διὰ τὸ σώματος ὁ νὸς ἂν ἔχοι λαβεῖν, ἔτ' ἐξ ἑαυτοῦ· Ἀλλ' ἢ ἐκ μόνε τῷ Δεδημιεργηκότος, τῷ αὐτὸν ἀμέσως ἀλλοιῶντος, καὶ εἰς νόησιν διαμορφῶντος, ὧν ἂν ἐθελήσειεν. Τοιαὶ δὲ αἱ κατὰ τὰς ἐκάσεις τοῖς θεοφορεμένοις ἐνεγειρόμεναι ἔννοιαι, αἱ ἐκ τῷ προφητικῷ φωτὸς, αἱ ἐκ τῷ διορατικῷ, αἱ ἐκ τῆς Ἀποκαλύψεως, εἴτε δὴ τῆς κοινῆς, καὶ πάντας ἀφορώσης, εἴτ' ἴδιόν τινος, ἢ τισὶν ἀποκαλυπτομένης· ὧν αἱ μὲν τὰ ὑπερφυῆ παριτῶσι, καὶ ὑπὲρ λόγον, αἱ δὲ τὰ ἐσόμενα, αἱ δὲ τὰ ἄποπτα, καὶ πορρωτάτω· ὧν ἔτ' ἄρ αἰσθήσεως ποτὲ ὑπεργία, ἔτε λογισμῶν διώαμει, τὸ εἰκός τε καὶ συμβαῖνον ἀνασκοπέντων, ἐξικέσθαι ἐδεὶς ἂν ἰσχύσειε. Διὸ καὶ πρὸς αὐτὰς ἡ ψυχὴ ἔχει παθητικῶς (§. ι'.) οἷα δὴ κατ' αὐτὰς ὑπὸ τῷ Θεῷ παθαινομένη τιὶ ἀρίστιν ἀλλοίωσιν. Καλείσθω δὲ αὕτη τῶν Ὑπερφυῶν Ἐννοιῶν πηγὴ· ἐν μέρει τε ἀποκείσθω ὡς Θειοτέρατις ἔσα, καὶ τὰ τῆς Φιλοσοφίας ὅρια ὑπερβαίνεσα.

§. κά.

(1) Μὴ ποτε δὲ τὰς τρεῖς ταύτας τῶν ἐννοιῶν πηγὰς ὑποτιθέναι βέλετας καὶ ὁ Ἀπόστολος; (Α'. πρὸς Κορινθ. Κεφ. Β'.) ἐν οἷς περὶ τῆς σοφίας λαλεῖ, τῆς ἐν τοῖς τελείοις, τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης; τὸ γὰρ, „Ἃ „ὀφθαλμὸς οὐκ εἶδε, καὶ ὃς οὐκ ἤκου„σε, τὴν Γ'. ἡμῖν τῶν ἐννοιῶν ἀρχὴν ἢ παρίστησι τῶν διὰ τὲ σώματος· τὸ „δὲ, ἐπὶ καρδίαν Ἀνθρώπε οὐκ ἀνέ„βη, τὴν Β'. τῶν ἐξ αὐτῆς δηλ. τῆς ψυχῆς δι' ἐπισασίας τε, καὶ δι' ἐπιλογισμῶ νοημένων· Τὸ δὲ τέως, „Ἃ ἡμῖν „ὁ Θεὸς ἀπεκάλυψε διὰ τὲ πνεύματος „αὐτὲ, τὴν Α'. καὶ ὑπερτάτην, τῶν „ἀμέσως νοεῖσθαι παρεχομένων ἐξ αὐ„τὲ τῷ Δημιεργῷ.

§. κά. Δευτέρα πηγὴ ἐννοιῶν, αὐτὴ ἑαυτῇ ἡ ψυχὴ ἐστίν. Ἑαυτὴν δηλονότι προσαφορῶσα, δι' ἧς περ ἔλαχε δυνάμεως, ἣν Συνείδησιν ὡς εἰρηται (§. ζ.) καὶ ἐπαντίληψιν ὑπὸ τῶν ὕστερον ἀκούσαν, δύναμιν Ἐπιστρεπτικὴν οἱ παλαιοὶ ἐκάλεν (1). Μὴ ἔσα γὰρ πρὸς ἑαυτὴν ἡ ψυχὴ ἀνεπίστροφος, ἑαυτὴν τε θεᾶται, καὶ ὅπως ἔχει γινώσκουσα σύνοιδέ τε καὶ συναισθάνεται, καὶ ἄττα δύναται, καὶ ἃ ἐνεργεῖ, καὶ οἷς περ ἐνδιατρίβει, καὶ περὶ ἃ διανοητικῶς ἀναστρέφεται. Οὖσα δὲ καὶ αὐτοκίνητος, (ὡς αὐτόθεν ὡσαύτως οἶδεν) ποικίλως ἑαυτὴν εἰς νόησιν ἀλλοιοῖτε καὶ τρέπει· Διὸ δὴ καὶ ἀφ' ἑτέρε ἐφ' ἕτερον νοητὸν μεταβαίνει, καὶ ἃς ποιεῖται μεταβάσεις οὔδις ἐπίσταται· παρατίθησίτε τὰ νοήμενα, καὶ ἄλλα ἄλλοις παντοίως παρεξετάζει· Καὶ τὰς μὲν τῶν ἰδεῶν συνεπιπλέκει ἀλλήλαις, ὡς ἐκ πολλῶν μίαν συνιεῖν· τὰς δὲ ἀναλύει, ὡς ἀπὸ πολλῶν μίαν ἀφαιρεῖν· τὰς δὲ ἀναπεμπάζεται, ὥστε ἀπάσας εἰς τὸ μέσον παρελθεῖν· τὰς δὲ οἷον λανθανέσας εἰς φῶς ἐξάγει, καὶ ἐξ ἄλλων ἄλλας ὑποσυνάπτει. Καὶ μυρίας ἔν γε τῷ τὰς ἐννοίας καρπᾶται, οἷον τὴν ἑαυτῆς, τὴν τῷ νοεῖν, καὶ κρίνειν, καὶ διανοεῖσθαι, καὶ προσέχειν, καὶ μνημονεύειν, καὶ πείθεσθαι, καὶ δισάζειν, καὶ βεβαίως ἔχειν, καὶ ἀμφισβητεῖν, καὶ τ. παρὰ δὲ ταύτας, καὶ τὰς ἕξης, οἷον τὴν ἔννοιαν τῆς ὑπάρξεως, τῆς διαμονῆς, τῆς οὐσίας, τῆς δυνάμεως, τῆς ἐνεργείας, τῷ πάθες, τῷ αἰτίᾳ, τῷ αἰτιατῷ, τῆς ἑνότητος, τῆς διαιρέσεως, τῆς πληθύος, τῆς τάξεως, τῆς ἀληθείας, τῷ ψεύδες, τῷ ὅλε, τῷ μέρες, τῆς ἁπλότητος, τῆς συνθέσεως, τῆς ἡδονῆς, τῆς λύπης, κζ. ἢ πάσας δὲ τὰς Καθόλε λεγομένας, περὶ ὧν ὕστερον· ὧν τὰς μὲν προτέρας, οἰκοθεν τε καὶ ἄνωθεν τῆς παρὰ τῷ σώματος συνδρομῆς ἡ ψυχὴ καρπᾶται, ἐπὶ δὲ τῆς τῶν δευτέρων ἰδεοποιίας, καὶ αἱ παρὰ τῶν ἐκτὸς αἰσθητικαὶ ἀλλοιώσεις τὸ παρ' ἑαυτῶν συνεισφέρεσιν. Εἴποι δ' ἄντις εἰκάσας, ἰθαγενεῖς ἐκείνας εἶναι τῇ ψυχῇ ἐννοίας· ταύτας δὲ, οἷον πολιτογραφεμένας. Αἱ γὰρ διὰ τῶν αἰσθήσεων ἀνεπισάτως διεγειρόμεναι, ἁπλῶς ἐπήλυδες.

§. κβ. Δῆλον δὲ Α'. ὅτι περὶ μὲν τὰς ἐκ μόνης ἐπισασίας, ἅτε δὴ αὐτοκινήτως ἡ ψυχὴ φερομένη, τὴν ἣνπερ ἔχει πρὸς τὸ ἐνεργεῖν ἐνδείκνυται δύναμιν. (§. ι.). Περὶ δὲ τὰς ἄλ-

(1) Πρόκλ. ὁ Διάδοχ. εἰς τὴν Πλάτ. Θεολογ.

ἄλλας, καθ' ἃς ἔξωθεν τὸ πρῶτον κινηθεῖσα, ἐντεῦθεν τὸ ἐνδόσιμον καρπᾶται τὸ πρὸς ἐνέργειαν, πῇ μὲν παθητικῶς ἔχει, πῇ δ' ἐνεργητικῶς. Ἐκ πάθους γὰρ ἀρξαμένη εἰς ἐνέργειαν ἀποτελευτᾷ. Οἷον ὑπὸ τοῦ ἐν μέρει κατ' αἴσθησιν κινηθεῖσα, εἶτα τὰς διαφορὰς τὰς ἐπ' αὐτῷ ἀποξέσασα, τὸ καθόλου μεμόρφωται. Καὶ τιὼ ἐκ τῆς ἐνεργείας τοῦ δρῶντος διάθεσιν προσλαβοῦσα, τὴν τῆς ἐν αὐτῷ δυνάμεως ἀντιλαμβάνεται καὶ ἐπίκρισιν αὐτεργεῖ.

§. κγ'. Β'. Καὶ τῶνδε δὴ τῶν ἐννοιῶν τοῖς κτίσμασιν ἔνδεσι μηδαμῶς μετεῖναι εἰκός, ἀνεπιστρόφως πρὸς ἑαυτὸ τῆς ψυχῆς λαχόντων, ὑπὸ μὲν τῶν ἐκτὸς κατ' αἴσθησιν ποικίλως ἀλλοιουμένης, παρ' ἑαυτῆς δὲ ἀφυῶς εἰς τοῦτο ἐχούσης, μηδὲ ἐξ ἐπιλογισμοῦ καὶ Ἐπισασίας, τὰ τοιαῦτα κρίνειν καὶ διανοεῖσθαι δυναμένης· Ἐν ᾧ μάλιστα ἡ λογικὴ φύσις ἐκείνων πλεονεκτεῖ διαφέρουσα.

§. κδ'. Γ'. Καὶ τὰ βρέφη δὲ, ἀμοιρέντα τῶν τοιούτων ἐννοιῶν ὑποτιθέναι δεῖ, μήπω τὸ ἐπισατικὸν γυμνασθέντα, ἢ μόναις ταῖς ὑπὸ τῶν ἐκτὸς προσβολαῖς καὶ ταῦτα προσέχοντα, αἷς ἀλλοιοῦσθαι ἔτι τιὼ ψυχικῷ ἀήθως συμβαίνει, καὶ παντοίως παθαίνεσθαι. Εἰ μήτις μόνῳ καὶν τούτοις ἐμφιλοχωρεῖν ὑπείληφε συναίμα τῇ κατὰ τιὼ ἀφλῷ αἰσθήσει, κἂν ἀμυδρὰν τιὼ συναίσθησιν τῆς ἰδίας ἑαυτῶν ὑπάρξεως, ἥν εἴτις καὶ τὰ ἔμβρυα συναισθάνεσθαί πως λέγοι, ἐ συνορῶ τὸ ἀδύνατον (1).

§. κε. Δ'. Ἀλλὰ καὶ τὸς περὶ τιὼ ἄσκησιν τοῦ ἐπισατικοῦ ὀλιγώρως ἔχοντας, χαλεπῶς τε ἔχειν καὶ δυσκινήτως περὶ τὸ τοιοῦτον εἶδος τῶν νοημάτων, συμβαίνει. Διὸ αἰσθήσει τὰ πλεῖστα κινέμενοι, ὀλίγιστα δὲ κατ' ἐπιλογισμὸν νοοῦντες, ὅτι ἔγγιστα τῆς ἀλογίας καθίσανται.

§. κς'. Πηγὴ δὲ τέως ἰδεῶν ἡμῖν, τριτη μὲν τῇ τιμιότητι, τῇ δὲ χρήσει πρώτη, τὸ σῶμα τόδε σαφῶς ἐστιν, ὥπερ ἡ ψυχὴ κατά τινα ἀτέκμαρτον μὲν, ἀληθῆ δὲ ὅμως καὶ τοῖς πᾶσι

(1) Ὁ γὰρ ὁ Λώκιος ὑπολαμβάνει (Βιβλ. Β'. Κεφ. Α'. §. 21.). ζωφύτε δίκην τὸ Ἔμβρυον συνεσάλθαι, ἀπροσλήπτως πάντη καὶ ἀναισθήτως, ἐν τῷ τῆς μήτρας ὑγρῷ ἐννηχόμενον, δυσπαράδεκτον ἐμοὶ δοκεῖ, καὶ μάλιστα μετὰ τὸν τέλεον διοργανισμόν. Συλλαμβάνεται γὰρ αἰσθήσεως ἄμοιρα, γεννᾶται δ' ἔν αἰσθητικὰ τὰ ζῶα ἤδη πεφυκότα, καὶ μὴ μόνον ἀπὸ γεννήσεως αἰσθητικῶς κινεῖσθαι ἀρχόμενα.

πᾶσι δῆλον θεσμὸν ἔτως ὑπὸ τῆ Δημιεργῆ συνῆφθαι, ὡς ῥᾴσα μὲν ἐξ αὐτῆς ἐκείνω, ῥᾴσα δ' ἐξ ἐκείνε ταύτη ἀνάπαλιν τοιάσδε τινας διαθέσεις τε καὶ ἀλλοιώσεις προσεμποιεῖσθαι, οἵας ἡ ἐκ τῶν ἑτεροφυῶν ἀπήτει τῆ ἀνθρώπε σύστασις. Ταῖς γὰρ ὑπὸ τῶν ἔξω γινομέναις προσβολαῖς κινεῖται μὲν τὸ σῶμα, ἐπιγίγνεται δὲ διὰ τῶν εἰς τόδε συντελέντων ὀργάνων τῆ ψυχῆ τις ἀλλοίωσις· ἡ δὲ ἀλλοιωθεῖσα ἤδη· μὴ κατὰ τὸ αὐτὸ καὶ ἀντιληφθῆναι, φύσιν ἐκ ἔχει, τῆς ἥν προσφάτως μετείληφε καινῆς κατασάσεως. (§. ιή.). Ἀλλὰ γὰρ ἥπερ εἴρηται (§. γ'. Σημ καὶ §. ιβ'.) ὅπως τῷ σώματι ὁπωσῆν διατιθεμένω ἡ ψυχὴ συμπαθαίνεται, τῆτο μὲν ἐπ' ἀκριβὲς ἴσως ἀδέποτ' ἐνέσαι μαθεῖν· καὶ γὰρ ἀδ' ὅπως ψιλῷ ψυχῆς νοΰματι τὸ σῶμα κινεῖθαι πέφυκε παντοίως, καὶ ἐκ τόπε εἰς τόπον μεταφέρεθαι, ἐπιεικῶς ἄντις διερμηνΰσειεν. Ἀνάγκη δ' ἂν, καὶ τῆ τρόπε ἀγνοεμένε, τῷ μὲν, ἐξ ἐκείνης τὰς προαιρετικὰς ἐφῆκειν τῶν κινήσεων ὁμολογεῖν, τῆ δὲ, ἐκ τέτε ἀνάπαλιν τῶν ἐννοιῶν τὰς σωματικὰς, τῆτε διηνεκεῖ ἑαυτῶν συνειδήσει πειθομένες, καὶ τῆ ἀπορρήτω συνέδω τῶν διοσῶν Φύσεων ἀτενίζοντας, ἃς εἰς μίαν συνελθέσας ἑσίωσιν ὑποκειμένε ἑνὸς, ἀνάγκη καὶ συμπαθεῖν ἀλλήλαις ἐν πολλοῖς, καὶ ἀμοιβαίως συνδιατίθεθαι.

§. κζ'. Καὶ ταύτη γε ἄρα διὰ τῶν αἰσθήσεων τῆ ψυχῆ ἅπασαι ὁμολογεμένως αἱ τῶν καλεμένων αἰσθητικῶν ποιοτήτων ἰδέαι διαπορθμΰονται. Οἷον διὰ μὲν ὁράσεως αἱ τῆ φωτὸς, καὶ τῶν χρωμάτων· διὰ δὲ ἀκοῆς, αἱ τῶν ἠχων· διὰ δὲ γΰσεως, αἱ τῶν χυμῶν· διὰ δὲ ὀσφρήσεως, αἱ τῶν ὀσμῶν· διὰ δὲ ἁφῆς, ἡ τῆς θερμότητος, ἡ τῆ ψύχες, καὶ αἱ παραπλήσιαι. Αἷς συγκαταλεκτέον, καὶ τὰς κατ' ἐνδοτέραν τινὰ Αἴσθησιν παρεμποιεμένας ἐν ἡμῖν διαθέσεις, οἷον πείνης, δίψης, ναυτίας, ἴλιγγος, ἐκλύσεως, ἄλγες κτ. αἱ τῆς ἁφῆς κυρίως εἰσὶ καὶ αὐταὶ, καθολικωτέρας πως ἔτης, καὶ μάλιστα ἐφαπλεμένης πασῶν τῶν ἄλλων αἰσθήσεων. Πρέσεργε δ' ἂν εἴη, ἐπὶ τῶν ἔτω διὰ τῆ σώματος ἐμποιεμένων τῆ ψυχῆ ἐννοιῶν, τὰ ἑξῆς προσσημειῶσαι.

§. κή. Α΄. Αἱ ἐν τοῖς σώμασιν ἐνεῖναι λεγόμεναι ποιότητες αὗται, οὐδὲν ὅ, τι μὴ δυνάμεις εἰσὶν, αἷς τὸ αἰσθητήριον ὁπωσοῦν διατίθεται. Αἱ δὲ τοῦ αἰσθητηρίου διαθέσεις, ἔςγ' ἐπὶ τὸν ἐγκέφαλον διὰ τῶν νεύρων διοχετευόμεναι αὐτὸν ἀλλοιοῦσι· Τῇ δὲ τῷ ἐγκεφάλῳ ἀλλοιώσει συνδιατίθεταί πως ἡ ψυχή. Διατεθεῖσα δὲ, ἑαυτὴν ὅπως διάκειται ἐπιγιγνώσκει. (§. κϛ΄.). Καὶ αὕτη δὴ, ἡ διὰ τῆς τῶν αἰσθήσεων ὑπουργίας ἔννοια, τὸ καλούμενον Αἴσθημα. Οὔτ' ἄρα ἡ ἐπὶ τῶν ἐκτὸς σωμάτων γινομένη κίνησις τὸ κατ' αἴσθησιν κυρίως ἐςὶ προσληπτὸν, οὔθ' ἡ δι' αὐτῆς τῷ αἰσθητηρίῳ ὀργάνῳ ἐπικοινωνουμένη, οὔθ' ἡ διὰ ταύτης ἔςγ' ἐπὶ τὸν ἐγκέφαλον ἥκουσα· Ἀλλ' ὁ τρόπος τοῦ διὰ τούτων ἐμποιουμένου τῇ ψυχῇ καταςήματος. (Ὅρα Προδι. Β΄. §. ι.).

§. κθ΄. Β΄. Ὅτι οὐ πᾶσα ἁπλῶς κίνησις σωματικὴ, ψυχικῆς ἐννοίας ἀπαραιτήτως πρόξενος γίνεται. Οὐ γὰρ ἡ τῆς καρδίας φέρε, οὐδ' αἱ τῶν ἀρτηριῶντε καὶ φλεβῶν συςολαίτε καὶ διαςολαὶ, οὐδὲ αἱ τελούμεναι κινήσεις ἐπὶ τῆς τῶν σιτίων πέψεως καὶ ἀναδόσεως, καὶ τῆς τῶν ὑγρῶν ἐκκρίσεως, καὶ κυκλοφορίας· οὐδ' ἁπλῶς ὅσαι τῆς φυτικῆς τε καὶ ζωτικῆς τῶν ἐν ἡμῖν δυνάμεων εἶναι λέγονται. Οὐδὲ γὰρ ἦν ἴσως τῆς τοῦ εἶναι χρείας τοῖς ἀνθρώποις συνεφαπτόμενον, τὰς τοιάς δε κινήσεις οὔτε συνορᾷν πεφυκέναι, οὔτε πρὸς τὸ δοκοῦν δύνασθαι παράγειν· Διὸ οὐδὲ τῶν ἐφ' ἡμῖν αὗται εἰσίν.

§. λ΄. Γ΄. Οὐδὲ αἱ κατὰ τὰ αἰσθητήρια συμβαίνουσαι κινήσεις ἅπασαι, νοήσεις ἐν ἡμῖν ἐνεγείρειν οἷαιτε εἰσὶ, μὴ εἴσω τοῦ ἐγκεφάλου ὅσον ἀπόχρη διαδῦσαι, καὶ τοῦτον οὕτω διαθεῖσαι, ὥςε τὴν ψυχὴν προσέχουσαν, καὶ τὴν πρὶν κατάςασιν ἀμειψαμένην, παθεῖν τὴν ἀντίληψιν. Τοῦ γὰρ ὀργάνου, ἤτοι ἠρέμα ἀλλοιωθέντος, ἢ τὴν ἀλλοίωσιν εἰς ὅσον ἔδει μὴ προαγαγεῖν ἐξιχύσαντος, ἀναισθητοῦμεν πολλάκις, καὶ ἐν ὕπνοις, καὶ ἐν κώμασι, καὶ ἐν ἰλίγγοις, κἂν ταῖς πρὸς ἄλλοις συντονωτέραις τῆς ψυχῆς προσοχαῖς τε καὶ ἐπιςάσεσι.

§. λά. Δ΄. Αἱ διὰ τῶν αἰσθητηρίων ἔννοιαι, τοῦ ὀργάνου κατὰ τὸ δέον κινηθέντος, ἐξ ἀνάγκης παρίςανται τῇ ψυχῇ, μὴ ἀντιληφθῆναι τούτων μὴ δυναμένῃ, ἀλλὰ καὶ ἀκουσίως

τὰ

τὰ πλεῖσα παραδεχομένη αὐτάς. Τὸ γὰρ ἀποτρέψαι φέρε ἄλλοσέ ποι, ἢ μύσαι τὰς ὀφθαλμὰς, καὶ τὰ ὦτα βύσαι, παρ' ἡμῖν ἧπερ ἐστὶν ἀλλοιωθέντων δὲ, τῶν μὲν ὑπὸ τῦ φωτὸς, τῶν δὲ ὑπὸ τῦ προσπεσόντος ἤχυ, (ὅσον ἀπόχρη ὑπὸ τῆς ἀλλοιώσεως τὴν ψυχὴν διατεθῆναι) μὴ τὸ μὲν ἰδεῖν, τῦ δὲ ἀκῦσαι, ἀμήχανον. Διὸ καὶ τῷ ὄντι πάθημα ἐστὶ τῆ ψυχῆ ἅπαν αἴσθημα (1).

§. λβ'. Ε'. Πρῶται τῶν Ἐννοιῶν, αἱ διὰ τῶν αἰσθήσεων, τῷ ἀνθρώπῳ προσγίνονται, τάχα μὲν καὶ Ἐμβρύῳ ἔτι ὄντι, ἀλλοιώσεώς τινος εἰ μηδαμῆ ἄλλη, τῆ γῆν ἀφῆ (§. κδ'.) αὐτῷ ἐπισυμβαινέσης. Τεχθέντι δὲ, δι' αὐτῆς μὲν ψύχες ἁδὺς, εἶτα θερμότητος πειρωμένῳ, δι' ὁράσεως δὲ τῦ φωτὸς ἀντιλαμβανομένῳ, δι' ἀκοῆς δὲ ἤχων, καὶ διὰ τῶν λοιπῶν ὡσαύτως τῶν ἀναλόγων· ἀμυδρῶς πως ἀλλ' ἓν, μήπω τῆς ψυχῆς ταῖς ἀντιλήψεσι ταῖς δὲ προσεθιθείσης, μηδὲ σχεθέσης αὐτὰς εὐθὺς ἐξ ἀρχῆς, καὶ διὰ τὸ μνημονικὸν, (ὃ φλαῦρον κομιδῆ καὶ ἀθενὲς τὰ πρῶτα εἶναι εἰκὸς) ἀποταμιευέσης.

§. λγ'. ς'. Τῷ ἀριθμῷ τῶν αἰσθητηρίων, καὶ τὰ αἰσθήματα τῷ εἴδει συνεκπληθύνεται. Ἑνὸς γὰρ διεφθορότος, οἷον ἀκοῆς, ἢ ὁράσεως, τῶν δι' ἐκείνε τὴν πάροδον ἐν τῆ ψυχῆ ἐχεσῶν ἐννοιῶν, ἐξ ἀνάγκης ὁ πηρωθεὶς ἀποστερηθήσεται, μηδαμόθεν ἐξὸν αὐτὰς πορίσασθαι ἄλλοθεν. Εἰ δὲ δυεῖν, ἢ τριῶντις ἀπὸ γενετῆς αἰσθήσεων στέροιτο, οἷον ὁράσεως, καὶ ἀκοῆς, καὶ ὀσφρήσεως, βιῴη δ' ἐπὶ μόνη ἁφῆτε καὶ γεύσει, (ὃ τυχὸν ἐκ ἀδύνατον.) οὐ πολύτι οἶμαι ζωφύτε ὁ τοιῦτος διοίσει, τάς γε κατ' αἴσθησιν ἀντιλήψεις. Πλεονεκτήσειε δὲ πάντως τῶν ἄλλων, εἴτω καθ' ὑπόθεσιν, καὶ αἰσθησίστις ἄλλη ἐκ περισσίας ὑπὸ τῦ Δημιεργῦ κληρωθείη, καὶ ἰδεῶν πλήθες ἑτεροειδῶν ἁμοιρήσειεν ὁ τοιῦτος, διακρίνειν οἷός τε

(1) Τὸ Αἴσθημα πάθος τι εἶναι, Καὶ Ἀριστ. ὁμολογῦ περὶ ψυχ. Βιβ. Β'. Κ. ε'. Καὶ Καρτές. περὶ Ἀρχ. Μέρ. Δ'. §. ρπθ'. Καὶ Λώκιος Βιβ. Β. Κ. ά. §. 25. Καὶ Γραβεζάνδιος Εἰσαγ. ἐς φιλοσ. Βιβλ. Β'. Μέρ. Α'. Κεφ. ς'. §. 388. 389. Καὶ (εἰ μήτις τυχὸν τὰς περὶ Λεϊβνίτ. καὶ Οὐόλφ. ἐξέλοι) κοινῆ πάντες.

ὧν ἐπὶ τῶν σωμάτων, ἅττα ἑδεὶς ποτὲ ἑδὲ εἰκάσαι δυνήσεται. Τὶς δ' οἶδεν, εἰμή πᾳ τοιαῦται τινὲς δυνάμεις ἐπὶ τῶν ἀλόγων ζώων εἰσὶ, δι' ὧντινα καὶ κρίνει, ἐφ' οἷς εἰκότως θαυμάζειν αὐτὰ προαγόμεθα; Ἀλλὰ γαρ ταῦτα μηδὲν πλέον ψιλῆς ὑπονοίας ἰσχυέτω λεγόμενα (ὅρα Προδι. Β'. §. ια'.). λεγέσθω δὲ, ὡς ἂν δῆλον ᾖ, διάτινων αἰσθητηρίων αἰσθήματ' ἅττα ὡρισμένως, καὶ μὴ δι' ἄλλων, πεφυκέναι ἐγγίνεσθαι.

§. λδ'. Ζ'. Ἐπὶ τῆς αὐτῆς αἰσθήσεως, τοῖς τῶν ἀλλοιώσεων εἴδεσι, τὰ τῶν αἰσθημάτων εἴδη κατὰ τλὺ ψυχλὺ συμποικίλεται. Μυρίαι γὰρ χρωμάτων βαφαὶ, καὶ χημάτων παραλλαγαὶ, καὶ κινήσεων τρόποι, ἅπερ ἂν ἄλλως καὶ ἄλλως τύχοι τὸ ὁρατικὸν κινήσαν, παρίσανται τῇ ψυχῇ. Ὡσαύτως καὶ ἤχων διαφοραὶ ἀριθμὸν ὑπερβάλλουσαι, καὶ ὀσμῶν, καὶ χυμῶν. Ἔνθεντοι καὶ ἄλλος ἄλλα τὰς αἰσθητικὰς ἂν ἐννοίας πλεονεκτοίη, κατάγε τὸ τῆς περὶ τὰ αἰσθητὰ πείρας διάφορον. Ἔσιν ἓν κἀντεῦθεν τὰς κατὰ νἓν αἰσθήσεις διαφέρειν, καὶ ταῖσγε κατ' αἴσθησιν δυνάμεσι τὸ ἴσον ἔχοντας. Διὸ καὶ ἡ κατὰ ψιλὺ ἰσορίαν δι' αἰσθήσεως γνῶσις, ἐχ ὅπως ἐκ ἀσυντελὴς εἶναι κέκριται, ἀλλὰ καὶ χρειώδης, ἧς εἰσὶν οἱ ἑδένα λόγον ἐοίκασι ποιεῖν, κακῶς εἰδότες. Στοιχειώδης γάρ τις ἔσαμοι δοκεῖ αἰσθήσεων ἀποθησαύρισις αὕτη, καὶ πρώτη οἷον ἐπισήμης προκαταβολὴ, καὶ θεμέλιος. (Προδι. Γ'. §. ις'.

§. λέ. Η'. Τῶν αἰσθημάτων τὰ μὲν διὰ μιᾶς, καὶ μόνης αἰσθήσεως ἐγγίνεται τῇ ψυχῇ· οἷον φῶς μὲν καὶ χρώματα διὰ μόνης ὁράσεως, ἦχοι δὲ διὰ μόνης ἀκοῆς, κτ. τὰ δὲ διὰ πλειόνων· οἷον σωμάτων μέγεθος, καὶ σχῆμα, καὶ ἁφῇ λητὰ, καὶ ὁράσει. Κίνησις δὲ καὶ ὁράσει, καὶ ἀκοῇ, καὶ ἁφῇ. Καὶ ἀριθμῷ δὲ ἔννοια ἐγείρεται διὰ πασῶν. Συμβαίνει δὲ τῶτο οἷμαι ὅτι τῶν εἰρημένων ἑκάστη ἐπὶ τῷ κοινῷ ἁπαντᾷ τῷ ἰδίῳ· οἷον ἐν τῷ μὲν μεγέθει ἡ μὲν ὅρασις τὸ χρῶμα ἐυρίσκει, ἡ δ' ἁφὴ τὸ τερέμνιον. Κίνησις δὲ καὶ ἤχοις συνῆπται, καὶ χροιαῖς, καὶ τερρότητι. Ἀριθμητὰ δὲ πάντα. Περιττὸν ἓν σιὼ Ἀριστοτέλει, παρὰ τὰς ἰδιαζούσας, αἰσθησίντινα ὑποτιθέναι κοινήν.

§. λς'.

§. λς'. Θ'. Αἱ τῶν Αἰσθήσεων κινητικαὶ δυνάμεις ἐπὶ τῶν σωμάτων συνημμένως εἰσὶν, ἀλλ' αἱ ὑπὸ τούτων ἐκείναις ἐνεργειρόμεναι κινήσεις διακεκριμένως ἔχουσιν. Ἡ γὰρ αἴσθησις ὑπὸ τοῦ ἐπ' αὐτῆς ἐνεργεῖν πεφυκότος διατεθεῖσα, πρὸς τὸ λοιπὸν ἀκινητεῖ. Οὕτω τὰ ἐν τῷ ῥόδῳ προσληπτὰ, ἄλλο ἄλλοθεν διαβιβάζεται τῇ ψυχῇ, τὸ μὲν ὁρατικῷ κατὰ τὴν ἐπὶ τοῦ ἄνθους φαινομένην χρόαν ἀλλοιωμένῳ, τῷ δὲ ἁπτικῷ κατὰ τὸ ἐν αὐτῷ ἔνδροσον καὶ ἁπαλὸν, τῷ δὲ ὀσφραντικῷ κατὰ τὸ εὔοσμον.

§. λζ'. Ι'. Ἐπεὶ δὲ τὰ πολλὰ ἐχὶ μίαν, μιᾶς δὲ πλείας τῶν αἰσθητικῶν κινήσεων κατὰ τὸ ἐφεξῆς συμβαίνει ἐγείρεσθαι, καὶ κατ' αὐτὰς δὴ ἀκολέθως καὶν τῇ ψυχῇ τῶν αἰσθημάτων ἄλλο μετ' ἄλλο ἐμπαρεισάγεσθαι, ἐντεῦθεν καὶ ἔνιοτέτι αἴσθημα δι' ἑνὸς τῶν ὀργάνων προαισθόμενον, παραπόδας αὖθις καὶ τὸ ἄλλοτε συμπροαισθὸν αὐτῷ κατὰ τὴν ψυχικὴν ἀνακινεῖται. (§. ς'.). Νοηθείη δ' ἂν τὰ ἔτω φαίνεσθαι ὁπαδὰ ταῦτα αἰσθήματα, κατὰ τὰς παρὰ τοῖς παλαιοῖς λεγομένας τῶν δαιτυμόνων Σκιάς. (1). Διακρινέσθω δὲ, ὡς τὸ μὲν αἴσθημα κυρίως ὄν, τὸ δὲ φάντασμα. Φάντασμα γὰρ τὸ ποτὲ μὲν αἴσθημα γεγονὸς, ἄλλοτε δὲ κατὰ τὸν λεγόμενον τρόπον, καὶ ἄνευ τῆς τότε ἐξωτερικῆς κινήσεως, ὑπὸ τῆς ψυχῆς γινόμενον ἀνατύπωμα.

§. λή. ΙΑ'. Διακριτέον τῷ Αἰσθήματος, καὶ τῷ κατ' ἐπιλογισμόντινα ἐπ' αὐτῷ ἔννοιαν τῆς ψυχῆς, τῷ διανοητικῶς ἐπιφερομένῳ· Οἷον τῆς μὲν τραχύτητος ἁφῇ αἰσθανόμεθα· τὸ δὲ τὰ μόρια τῆς ἐπιφανείας, τὰ μὲν τῶν ἄλλων ἐξέχειντε καὶ προπίπτειν, κατὰ τὸ μᾶλλον καὶ ἧττον, τὰ δ' εἰς κοίλωμα ὑφιζάνειν, τοῦτο ἐπιλογισμῷ· Καὶ τὸ μὲν βάρος τῷ χρυσῷ αἰσθητὸν, τὸ δὲ τῶν ἀναισθήτων αὐτῷ μορίων πύκνωμα, ἐπιλογιστόν.

§. λθ'. ΙΒ'. Πότερον δὲ ἆρα, αἰσθήματα τὰ ὑπὸ τῶν αὐτῶν σωμάτων διεγειρόμενα, πᾶσι προαισθάνεται πάντη τὰ αὐτά; Ἀλλ' εἰ καὶ τῶν Αἰσθητηρίων ὀργάνων αἱ ἀλλοιώσεις, ἅπασιν ἐπισυμβαίνεσιν ἐπ' ἀκριβὲς αἱ αὐταί. Οὐδὲν γὰρ

(1) Ὅρα παρὰ Πλατ. περὶ τῶν Σκιῶν ἐν τοῖς Συμποσ. Προβλ. Βιβ. Σ'. Προβ. ε'.

ἦν ἄλλο τὸ αἰθημα, ἢ τῷ ἐπὶ τῇ τῶν Αἰθητηρίων ἀλλοιώσει καταξήματος τῆς ψυχῆς ἐπίγνωσις, (§. κς΄.). Ἑκάστου ἓν τιὼ καθ' ἑαυτὸν καταίσασιν ἐπικρίνειν ἔχοντος, τιὼ δὲ τῷ ἑτέρᾳ μηδενὸς, τὶς ἂν ἡμῖν τὰς τῶν πολλῶν ἀλλοιώσεις παραθέμενος, τὸ ζητέμενον οἷοτ' ἂν ἢ ἐπιλύσαθαι; (1).

(1) Δύο τινὲς τ' αὐτὸ σῶμα θεώμενοι, τὴν ἐπ' αὐτῷ χροιὰν ἐρυθρὰν καλεῖσθαι ἀκούσιν. Ἑκάτερος ἓν, ἑσάκις ἂν τὴν ἧς ἤδη ἀντιλαμβάνεται αἴσθησιν, κατὰ τὴν ἑαυτῦ ψυχὴν αἴσθηται ἐπανιοῦσαν, χροιὰν ἐρυθρὰν θεῖσθαι φήσει. Πότερον δ' ἆρα τὸ αὐτὸ αἴσθημα τυγχάνειγε ὄν, ὅσιρ ὑπὸ τῷ αὐτῷ ὀνόματι ἄμφω διερμηνεύεσι; τατέσιν ἆρ' ἑκατέρᾳ ἡ ψυχὴ, ἀμφοτέρων ἐρυθρὰν θεῖσθαι τὴν χροιὰν λεγόντων, τὸν αὐτὸν διατίθεται τρόπον; ἐκ ἔσιν ὅλως ἀδεμιᾷ μηχανῇ διορίσασθαι. Τὰ δ' αὐτὰ, καὶ περὶ τῶν κατὰ τὰς λοιπὰς Αἰθήσεις ἀντιλήψεων ῥητέον. Γραβεζάνδ. Λογ. Μέρ. Α'. Κ. ε'. §. 399.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ ἐννοιῶν εἰδῶντε διαφορᾶς, καὶ τρόπων παντοίων.

§. μ'.

Τῶν ἐννοιῶν αἱ μὲν ὕλης πάντῃ ἀπηλλαγμέναι ἴχνους παντὸς παριστάμεναι τῇ ψυχῇ, εἰλικρινῆ νοήματα καλοῦνται, καὶ ἔννοιαι καθαραί· οἷαι ἡ τοῦ ΘΕΟΥ, ἡ τῆς ψυχῆς, ἡ τοῦ ἐν αὐτῇ νοῦ, ἡ τῆς βουλήσεως, καὶ τῶν ἐξ ἐπιστασίας (§. κα'.) ἄλλαι συχναί. Αἱ δὲ οὐκ ἄνευ ὑλικοῦτινος ἐκφερόμεναι πάθους, προσλήψεις μὴ καθαραί· οἷαι μάλιστα, ἃς ἐκ τῆς τρίτης τῶν ἰδεῶν ἀρχῆς (§. κϛ'.) ἀρυόμεθα.

§. μα'. Διτταὶ δὲ αὗται· αἱ μὲν γὰρ διάτινος τῶν ἐν τοῖς αἰσθητηρίοις κινήσεως, καὶ ταῦτα αἰσθήματα (§. κη'.), τὰ μὲν τῆς ἔξω, τὰ δὲ τῆς ἐνδοτέρας αἰσθητικῆς δυνάμεως (§. κζ'.) εἶναι λεγόμενα. Αἱ δὲ κατ' ἐπιστροφὴν ψυχῆς, ἐπὶ τὰ ἄλλοτέποτε γεγονότα τῶν αἰσθημάτων, καὶ ταῦτα φαντάσματα. (§. λζ'.). Οἷς ἐὰν προσῇ, τό, τε ὑπὸ τῆς ψυχῆς οἴκοθεν κινουμένης ἀνακαλεῖσθαι, καὶ δὴ καὶ ἡ κατὰ συνείδησιν ἐπαντίληψις τοῦ καὶ ἄλλοτε προσειλῆφθαι τὰ αὐτὰ (§. θ'), καὶ μνῆμαι. Ἀλλ' αἱ μνῆμαι οὐδὲν ἧττον εἰσὶ, καὶ τῶν ἀϋλωτέρων ἐπενθυμήσεων. (1).

§. μβ'. Ἔτι αἱ μὲν τῶν ἐννοιῶν ἁπλαῖ, αἱ δὲ μὴ ἁπλαῖ. (2). Καὶ ἁπλαῖ μὲν αἱ πρώτισται καὶ στοιχειώδεις, ἃς εἰς ἁπλουστέρας ἄλλας ἀναλύειν ἀμήχανον. Τὴν γὰρ τῆς νοήσεως φέρε ἔννοιαν, ἢ τὴν τῆς θερμότητος πρόσληψιν, ἢ τῆς

 λευκό-

(1) „Εἰ γάρ τις εἴποι μὴ τῇ ψυχῇ „τὴν μνήμην ἀνήκειν, τῷ δέτοι σώμα„τι· καὶ ὅλως τῆς τοῦ Ἐγκεφάλου „συστάσεως αὐτὴν ἐξηρτῆσθαι, μείζοσι „δήπου ἐνσχεθήσεται ταῖς ἀπορίαις.... „Μὴ γὰρ ἐξὸν οὕτως αὐτῷ μνήμην ὅ„λως ἀποδοῦναι ταῖς χωρισταῖς σωμά„των οὐσίαις, καὶ ἡ τῶν Νόων ἐκείνων „νόησις ἀθρόα οἰχήσεται. (Γραβε„ζάνδ. Στοιχ. τῆς Φιλοσ. §. 193.). „Ἐννόειμοί τι νοερὸν ὄν, τὸ μηδεμίαν „κατὰ τὸ δοκοῦν μηδὲ σώζειν παροῦσαν, „μηδὲ ἀποῦσαν, ἐξ ὧν πρὶν ἔσχεν, ἀ„νακαλεῖν ἰδέαν δυνάμενον, καὶ ἐπι„σήμου τινὸς ἀνοίας ἕξεις ἐπίνοιαν. (Αὐτ. §. 104.).

(2) Διὰ δὴ τοῦτο, οὐχ ἁπλῆν τὴν ἔννοιαν ἐν γένει, οὐδ' ἁπλῆν πρόσληψιν (ὡς κοινῇ εἰώθασιν) ὀνομάζειν αὐτοὶ ἀξιοῦμεν, ἀλλ' ἔννοιαν πρώτην (§. β'.).

λοκότητος, καὶ τὰς παραπλησίας, εἰς τί ἄντις καὶ ἀναλύσειε; Μὴ ἁπλαῖ δὲ αἱ ἐξ ἁπλουστέρων, καὶ εἰς ἁπλουστέρας. Οἷον ἡ τῆς ψυχῆς, ἐν ᾗ νοῦς καὶ βούλησις ἐνθεωρεῖται· ἡ τῆς φλογὸς, ἐν ᾗ καὶ φῶς, καὶ θέρμη, καὶ ἔκτασις, καὶ χῆμα, καὶ κίνησις· ἡ τῆς χιόνος, ἐν ᾗ ψῦχος, καὶ λοκότης.

§. μγ'. Τῶν δὲ μὴ ἁπλῶν, αἱ μὲν σύνθετοι, αἱ δέπως ἄλλως συμπεπλεγμέναι. (1). Καὶ σύνθετοι μὲν, ὡς αἷς φύσει, καὶ ἐξ αὐτῶν τῶν πραγμάτων, ἡ τῶν ἁπλουστέρων συνέλευσις· Καὶ τούτων, ἤτοι ἀπαραιτήτως συνιουσῶν, καὶ ἐξ αὐτῆς, ὡς φαίναι, τῆς οὐσίας τοῦ νοουμένου· ὡς ἐπὶ τῆς φλογὸς, ἡ τοῦ φωτὸς καὶ τῆς θέρμης· ὡς ἐπὶ τῆς ψυχῆς, ἡ τοῦ νοῦ καὶ τῆς βουλήσεως· ἢ μὴ ἀπαραιτήτως· ὡς ἐπὶ τῆς αὐτῆς ψυχῆς, τό, τε δύφυᾶ εἶναι, καὶ τὸ φιλόσοφον, καὶ τὰ παραπλήσια. Συμπεπλεγμέναι δὲ, ἐφ' ὧν ἡ τῶν ἁπλουστέρων ἐπιπλοκὴ, οὐχὶ φύσει, ἀλλ' ἤτοι ὑπολήψει, ἢ ἐπινοίᾳ, ἢ χρέσει, ἢ τέχνῃ, ἢ περιστάσει, ἢ συγκυρήσει, ἢ τῇ ἐπαλλήλῳ ἐπαναλήψει.

§. μδ'. Καὶ τῇ μὲν ἐπαλλήλῳ ἐπαναλήψει, ὡς ὅτε τὴν αὐτὴν ὁμοειδῆ ἰδέαν, κατὰ τὸ συνεχὲς προάγομεν. Οὕτω μεγέθει μέγεθος, καὶ χρόνον χρόνῳ, καὶ κίνησιν κινήσει παρασυναπτοντες, ἀπέραντόν τινα ἀνοῦμεν ἔκτασιν, καὶ αἰῶνας ὅλους, καὶ κίνησιν ἀΐδιον ἰδεώμεθα· Ἢ κατὰ τὸ διωρισμένον τὴν αὐτὴν ἰδέαν πληθύομεν· Καὶ τοιαῦται αἱ περιληπτικαὶ ἅπασαι ἰδέαι, ἡ τοῦ δήμου, ἡ τοῦ στρατοῦ, καὶ ἐν γένει ἡ τοῦ ἀριθμοῦ καὶ τοῦ πλήθους. Ἐφ' ὧν αἱ ἐπαναλαμβανόμεναι ἔννοιαι κυρίως εἰπεῖν ἁπλούστεραι ἐκ εἰσὶν, ἐλάσσονες δὲ, ἢ βραχύτεραι, τῷ λόγῳ δηλονότι τῶν νοουμένων. Τάττε ἐξ αὐτῶν πληρώματα, ἢ χύματα, ἢ ἀθροίσματα, ἢ ὅπως ἂν ἄλλως δόξειεν ἀποκαλεῖν, ἢ μᾶλλον τὸν τοῦ συνθέτου λόγον, ἢ τὸν τοῦ ὅλου ὑποδεδέχαται. Ἐπὶ ταῖς δὲ, καὶ τὸ σχῆματὶς τὸ ἐκ τῶν περάτων συμπαραλαβὸν, τὸ τοῖς μὲν ὑπάρχεσι τῶν μεγεθῶν φύσει παρὸν, τοῖς δ' ἀναπλαττομένοις, πρὸς

(1) Τριττόντι εἶδος τῶν κατὰ σύνθεσιν, ἢ συμπλοκὴν (ταῦτα γὰρ ἀδιαφόρως ἐξείληφεν.) ἰδεῶν ὁ Λώκιος τίθησιν· (Βιβλ. Β'. Κεφ. ιβ'.). Τὰς μὲν τῶν τρόπων (ὡς αὐτὸς φησὶν) οἷον τριγώνε, εὐγνωμοσύνης, θανάτε, γάμε, κτ. τὰς δὲ τῶν ἐσιῶν, οἷον μαλίβδε, Σωκράτες· τὰς δὲ τῶν σχέσεων, οἷον πατρὸς, προσάτε, κτ. (§. 3-7.).

πρὸς τὸ δοκεῖν χεδιαζόμενον, τὰς παντοίας ἕξει τῶν χημάτων, ἐν πηλικοισδὴ τοῖς μεγέθεσι φαντασίας.

§. μέ. Συγκυρήσει δὲ συμπεπλεγμένη ἔννοια ἐξὶ, καθ' ἣν ἐννοιῶν ἄλλων διαφερεσῶν, καὶ χωρὶς ἀλλήλων ἐνοεῖσθαι πεφυκειῶν, τὰ εἴδη κατὰ τὸ αὐτὸ συγκυρεῖ. Καὶ γὰρ διὰ τὸ σύνεγγυς τῶν γενομένων ἤδη ποτὲ κατ' αὐτὰς τῇ ψυχῇ ἀλλοιώσεων, εἴποτε καὶ ὕσερον αὐτῇ ποτε θατέρα προαισθοι, συνεφέλκεταί πως καὶ τιὼ ἑτέραν. (§. ς'.). Οἷον εἴτις τῷ ἵππῳ ἀποσειθεὶς, κύρακος ἅμα κρώξαντος κατὰ τὸ αὐτὸ ἐπακέσειεν, ἐ ῥάδιον ἐπειτὰ τῷ μὲν κρωγμῷ ἄλλοτε ἀκέσαι τῷ κίρακος, τῆς δὲ πτώσεως μὴ ἔννοιαν λαβεῖν, ἧς τότε πέπονθεν. (1). Ἐντεῦθεν ὁ παρὰ Ῥωμαίοις ξένος τῷ ἀνθρώπῳ λέων· καὶ ὁ τῷ λέοντος ἰατρὸς ἄνθρωπος (2) ἐξ ἑτέρᾳ ἕτερος γνωριζόμενος. Ἐκ δὲ τῆς τοιᾶσδε τῶν ἰδεῶν συμπεριπτώσεως, καὶ ἡ τῶν Διαλέκτων μάθησις ἥρτηται· Συμπροσπιπτέσης δηλονότι, τῇ κατὰ τὸν ἦχον τῆς φωνῆς ἰδέᾳ, τῆς κατὰ τὸ ἐκφωνέμενον. Δι' αὐτῆς δὲ καὶ τὸ μνημονικὸν, εἴτε θεωρίαις πρὸς διανόησιν, καὶ ἐν πράξεσι πρὸς βελτιὼ, ἐ μικρὰ ἐπιβοηθεῖται.

§. μς'. Συμπεπλεγμένας δὲ ἔννοιας περισάσει, καθ' ἣν παρασυμβαίνει τις, τῇ ἐκ ἄλλως ἀσυμπλέκτῳ ἐννοίᾳ, καὶ ἄλλη ἡ ἐκείνῳ εἴδει τρέπουσα, καὶ ὁπωσδὴ ἑτεροίαν ἀναδεικνῦσα. Οὕτως ἐπὶ τῇ τῦ ἀνδροφόνῳ ἐννοίᾳ, συμβὰν ὅτι καὶ ὁ ἀναιρεθεὶς πατὴρ ἐκείνῳ ἦν, τιὼ τῦ πατραλοίᾳ ἰδέαν ἀποφερόμεθα. Ἐπὶ τῇ τῦ κλέμματος, εἰ τύχοι ἱερὸν εἶναι, καὶ τῷ Θεῷ ἀνατεθειμένον τὸ συληθὲν, τιὼ ἱεροσυλίαν νοῦμεν. Ἀπειραχῶς δὲ τὰς ὅτω συμπεπλεγμένας ἐννοίας, ἐπὶ τῶν κατὰ ἄνθρωπον πράξεων συμβαίνει ποικίλλεθαι.

§. μζ'. Τέχνη δὲ συμπεπλεγμένη ἔννοια, ἐφ' ὧν ἡ πολλῶν ἐννοιῶν ἐπιπλοκὴ ἐκ τέχνης συνίσαται· τοιάδε ἡ τῦ οἴκου, ἡ τῆς νηὸς, ἡ τῦ ὡρολογίου, καὶ ἁπλῶς αἱ τῶν τεχνεργημάτων. Ἦν ἐπὶ τῶν θεατρικῶν πυροφαύσεων, τὰ διὰ

(1) Καταχρησικώτερον αὖται αἱ συγκυρᾶσαι ἰδέαι θεωρεῖθωσαν ἐνταῦθα· ὅτι μηδὲ ἰδέαν μίαν κυρίως εἰπᾶν συνισῶσιν, ἀλλ' εἰσὶν ἰδεῶν πλειόνων, ἢ τῷ παντὶ διαφερεσῶν (πῶς ἅπω;) συμπαρεκτάσεις. Ὅρα Γραβεζάνδ. Λογ. 334.

(2) Παρ' Αὔλῳ Γελλίῳ ἐν Νυξ. Ἀττικ. Βιβλ. Ε'. Κεφ. ιδ'.) Hic est Leo hospes Hominis; hic est Homo medicus Leonis.

φλογὸς ποικιλοχρόȣτε καὶ πολυσχήμȣ θεάσαιτό τις τεχνιτευόμενα, πρὸς τῇ φύσει συνθέτῳ (§. μγ΄.) τῆς φλογὸς ἐννοίᾳ, καὶ συμπεπλεγμένην ἐκ τέχνης ἀποίσεται, τὴν διὰ τὰς χροιὰς, καὶ τὰ σχήματα.

§. μή. Σχέσει δὲ, ἐπειδὰν ἰδέαν ἰδέα συνεκφέρει καὶ συμπαρίστησιν· ȣ̓μενȣν τῷ ψιλῇ συγκυρήσει ἀλλήλαις ἀπαντᾶν (§. μέ.), ἀλλ᾽ ὅτι ἐξ ἀνάγκης ἀλλήλων εἰσὶν ἐχόμεναι· οἷον τῷ ὑῷ συνεπινοȣ̃μεν καὶ τὸν πατέρα, καὶ τὸ ἴσον τῷ ἴσῳ, καὶ τὸ ἄνω τῷ κάτω.

§. μθ΄. Τῇ δὲ ἐπινοίᾳ (*) κατὰ διαφόρȣς τȣ̃ φανταστικȣ̃ ἀνατυπώσεις, διαφέρȣσαν ἡ ἰδέα τὴν ἐπιπλοκὴν ἴσχει· τῇ

(*) Διττὴ (φασὶ) λέγεται ἡ ἐπίνοια· ἡ μὲν, οἷον ἐπέννοιάτις ȣ̓σα καὶ ἐπενθύμησις, ἡ τὰ ἐκ τῆς φύσεως συνημμένα διαχωρίζȣσα, καὶ ἰδιοσυστάτως ἐπινοȣ̃σα ἑκάτερον, οἷον τὴν ψυχὴν χωρὶς τȣ̃ σώματος, καὶ τὸ σῶμα χωρὶς τῆς ψυχῆς· τό, τε σῶμα ἐστερημένον τȣ̃ χρώματος, καὶ τὸ χρῶμα διῃρημένον τȣ̃ σώματος. Ταύτην δὲ πρώτως καὶ κυρίως ἐπίνοιαν καλεῖσθαι βȣ́λονται. Ἡ δὲ λοιπὴ, ψιλὴ (φασὶν) ἐπίνοια ὀνομάζεται, ἥτις διανοίας ὑπάρχει ἀνάπλασμα, ἡ τὰ μηδαμῇ μηδαμῶς ὄντα, ὡς ὄντα λογιζομένη· οἷον πτερωτὸν ἄνθρωπον κτ. καὶ ἐκ τῶν ὅλων δὲ μέρη λαμβάνȣσα, καὶ συντιθεῖσα μετ᾽ ἀλλήλων, καὶ ὑφιστῶσα τὰ πάντῃ ἀνύπαρκτα, οἷον Κένταυρον, κτ. .... Διαφέρειν δὲ τῆς φαντασίας τὴν ψιλὴν ταύτην ἐπίνοιαν, ὅτι ἡ μὲν φαντασία τῶν ὄντων ἐστὶν ἀναπόλησις, ὅταντις τὸ ὁραθὲν ἀναπολῇ καὶ φαντάζηται· Ἡ δὲ ψιλὴ ἐπίνοια τῶν μηδαμῶς ὄντων ἐστὶ διατύπωσις. Καὶ ταῦτα μὲν ἄλλος ἀπ᾽ ἄλλȣ παραλαβόντες, (ὅρα Βλεμ. ἐν Ἐπιτομ. Λογ. Κεφ. ε΄. Ἐξ ȣ̃ οἶμαι καὶ Κορυδ. ἐν τῇ Λογ.) ἀκρίτως κατέχȣσι, καί τοι μὴ πάνυ πρὸς ἀκρίβειαν τὴν τȣ̃ ὀρθȣ̃ λόγȣ ἀπεξεσμένα.

Α΄. γὰρ τὸ ἰδιοσυστάτως τὴν λογικὴν ψυχὴν νοεῖσθαι ἄνευ τȣ̃ σώματος, ἐν ἴσῳ τάττειν τῷ καὶ τὸ χρῶμα τȣ̃ σώματος διῃρημένον ἐπινοεῖσθαι, ȣ̓κ οἶμαι Ἀνδρὸς εἶναι, τȣ̃ τὴν ψυχὴν ȣ̓σίαν ἄϋλον ὑποτιθεμένȣ, καὶ ἀθάνατον, οἵας δὴ δόξης αὐτῶν τινες τυγχάνειν ἐοίκασι. (Βλεμμίδ. αὐτόθι.). Ἡ μὲν γὰρ χωριστὴ, καὶ ἰδιοσύστατος ἐστὶν ȣ̓ μόνον ἐπινοȣμένη, ἀλλὰ καὶ γινομένη διὰ τῆς ἀναλύσεως· τὸ δὲ χρῶμα, ἅτε δὴ συμβεβηκὸς ὄν, ἀχώριστον ἐστὶ φύσει, καὶ ἐν ἑτέρῳ τὸ εἶναι ἔχον κατ᾽ ȣ̓σίαν τὴν ἑαυτȣ̃. Διὸ καὶ τῷ παντὶ διέστηκε (καὶ κατὰ τὴν αὐτῶν τȣ́των δόξαν) ἡ ψυχὴ, καὶ τὸ χρῶμα ἰδιοσυστάτως ἐπεννοȣ́μενα· Καὶ ȣ̓δενὶ θέμις ἐπὶ τὴν αὐτὴν ἀνάγειν ἐπίνοιαν, κατὰ τόνδε τὸν λόγον, τȣ́των ἑκάτερον, εἰμὴ πρῶτον περὶ τῆς ψυχῆς κατὰ τὸν Δικαίαρχον, καὶ τȣ̀ς λοιπȣ̀ς θνητοψύχȣς, φρονεῖντε καὶ λέγειν ἕλοιντο τὰ μὴ δίκαια. Β΄. ȣ̓δὲ τὴν ψιλὴν παρ᾽ αὐτοῖς λεγομένην Ἐπίνοιαν, οἷαν τὴν τȣ̃ πτερωτȣ̃ ἀνθρώπȣ, τῆς τȣ̃ ἀχρόȣ σώματος, ἢ τῆς μὴ ἐνσωμάτȣ χροιᾶς, ὀρθῶς διανοȣ́μενοι διαστέλλειν δεῖν οἴονται. Ἐν τίνι γάρποτε τὰ τῆς Διαστολῆς ἔξει τὸ εὔλογον; ὅτι φασὶν ὁ πτερωτὸς ἄνθρωπος, ἐστὶν ἀνύπαρκτος· τί δαί; τὸ χρῶμα, τὸ μὴ ἔντινι σώματι, ἆρ᾽ ὑπαρκτόν; ȣ̓δεὶς ἂν φαίῃ. Ἐμοὶ γὰρ δοκεῖ

τῇ μὲν ὄναρ διὰ τῶν κατὰ τὸν ἐγκέφαλον ἀλλοιώσεων· τῇ δὲ καὶ ὕπαρ, διὰ τῶν ἐκ βελτικῆς προθέσεως, ποικιλλομένη πολλαχῶς. Ἤτοι γὰρ συναρμογῇ τῶν μὴ συμβαίνειν ἐν τοῖς πράγμασι πεφυκότων· καὶ τέτων ἢ ὁλικῶν ἐσιῶν ὄντων, ὡς εἴτις τὸ Κύπριδος τέθριππον ὑπὸ τῶν περιστερῶν ἑλκόμενον ἀναπλάσειεν· ἢ γῶν μερικῶν, καὶ ὁλοχερές τινος ἀναπληρωτικῶν καθισαμένων, ὡς ἐπὶ τῆς τῶν Κενταύρων φαντασίας, τῆς τῷ Πηγάσῳ, κζ. ἢ ἐξ ἑσίας καὶ τρόπε, ὡς εἴτις ἐνδάλλοιτο ὄρος σαλδόμενον, ἵππον χλωρόν· ἢ ἐκ τρόπων τῶν περὶ τινὶ αὐτινὶ ἐσίαν παρηλλαγμένων· ὡς εἴτις τὰς τῆς Κλεοβελίνης Κόρας, ἀναπολοίη, αἳ

. . . . . διάνδιχα εἶδος ἔχεσαι,
ἢ μὲν λάβκαὶ ἔασιν ἰδεῖν, ἢ δ' αὖτε μέλαιναι. (1).

Ἢ ἐπιπολαπλασιασμῷ μέλες τῷ αὐτῷ· οἷον ὅτε τὸν Βριάρεων ἐνοῦμεν, ἢ τὸν Γηρυόνεω. Ἢ ἀφαιρέσει, ὡς ὅτε μῆκος καὶ πλάτος μόνον θεωρῦμεν, μὴ προσεπιλογιζόμενοι τὸ βάθος ἐπὶ τῷ σώματος. Πρὸς ὃν δήπε τρόπον καὶ αἱ τῶν καθόλε ἀνάγονται ἔννοιαι, καὶ αἱ τῶν συμβεβηκότων· ὧν τὰ μὲν χωρὶς τῶν κατὰ μέρος, τὰ δὲ χωρὶς τῶν ἰδίων ὑποκειμένων, διὰ νοερᾶς καθ' ἑαυτὰ παρίσαται ἀφαιρέσεως, περὶ ὧν ἐν ἄλλοις· ἔνθα σημειωτέον καὶ τῦτο, ὡς αἱ κατ' ἀφαίρε-

δοκεῖ καὶ τῶν Κενταύρων αὐτῶν, τὴν ἰδιοσυκάτως ἐπινοκμένην χροιὰν, οἵαν κατ' ἐπέννοιαν τιθέασι θεωρᾶδαι, μακρῷ τυγχάναν ἀδυνατώτερον. Γ'. δὲ ἀδὲ τὴν ὑπεξαίρεσιν τῆς ψιλῆς αὐτῶν Ἐπινοίας ἀπὸ τῆς φαντασίας, ἀδεὶς ὀρθῶς φιλοσοφεῖν ἠρημένος ἀποδέξεται. Εἰ μὴ γὰρ διὰ τῦ φαντασικῦ ἢ αἱ τοιαῦται πλασματώδεις τελέντα διατυπώσεις, ἐπάτωσαν πόθεν; καὶ δὶ ὁποίας ἄρα τῦ γνωσικῦ δυνάμεως; τί δ' ἐρῦσι καὶ περὶ τῶν ἐν ὕπνοις φαντασιῶν; ἀδὲ γὰρ ἀδ' ἐκείνων αἱ πλεῖσαι τῶν ὄντων εἰσὶν ἀναπολήσεις, τῶν δὲ μὴ ὄντων ἀνατυπώσεις καὶ ἀναπλάσματα, καίτοι τῆς φαντασικῆς δυνάμεως ὁμολογεμένως καὶ αὐτὰς πάθη τυγχάνεσας.

Τοιγαρῦν ἡμῖν Α'. ἡ καθ' ἑαυτὴν τῆς ψυχῆς ἔννοια ἢ χωριτὴ, ἰδιοσυκάτως νοκμένης, Ἔννοια ἔσα ἀληθὴς, καὶ κυρίως τοικύτη, καὶ τῶν Ἐπινοιῶν ἄδεις ἔξω τεθάσεται. Β'. ἡ τῷ συμβεβηκότος, χωρὶς τῆς ἑσίας ἐν ᾧ ἐσὶ, κατ' ἀφαίρεσιν νοκμένη, κυρίωστε καὶ ἀληθῶς ἐπίνοια ῥηθήσεται, τρόπῳ μόνῳ τῶν ἄλλων ἐπινοιῶν διαφέρεσα. (§. Ἀνωτ.). Γ'. Καὶ τῶν τοιῶν δὲ ἐπινοιῶν αἱ πλεῖσαι, φαντασίαι τινὲς εἰσί. Φαντασία γὰρ, πᾶσα ἢ κατὰ τὸ φανταστικὸν, κἂν ὕπαρ, κἂν ὄναρ τύχοι, γινομένη ἀνατύπωσις· καὶ αὕτη εἴτε τῷ ὄντος, καὶ ἀληθὴς ἔσα, εἴτε τῷ μηδαμῇ μηδαμῶς ὑπάρχοντος, καὶ ἀναπεπλασμένη ἐρήσεται.

(1) Παρὰ Λαέρτ. εἰς Βίον Κλεοβ.

φαίρεσιν ἔννοιαι πολλάκις καὶ ἄχρι τῶν ἁπλουστάτων ἐξήκουσιν, ὡς καὶ περὶ τούτου εἰρήσεται· ἢ ἐπεκτάσει, οἷον ὅτε γίγαντα οὐρανομήκη· ἢ μειώσει, οἷον ὅτε πυγμαῖον, σπιθαμιαῖον· ἢ καθ' ἑκάτερον, οἷον ὅτε μακροσκελῆ μικροκέφαλον τὸν αὐτόν· ἢ μεταθέσει, οἷον εἴτις ἐπ' ἀνθρωπίνου φανταισθείη προσώπου, τοὺς μὲν ὀφθαλμοὺς ἔνθα τὰ ὦτα, καὶ ταῦτ' ἀνάπαλιν, ἢ ἐπενθυμήσει, ὅταν ἐννοήσαντές τι, ᾗ καθ' αὑτὸ ἔχον ἐστὶν, ἐπιθεωρῶμεν αὐτὸ κατὰ δευτέραν (ᾗ φασὶν) ἐπίνοιαν, καὶ ᾗτινος σχέσεως λελαχὸς, ἣν αὐτῷ ὁ νοῦς ὁ ἡμέτερος περιῆψεν· οὕτως ὁ ἄνθρωπος νοεῖται ὡς ἀνωτέρω, ὡς κατωτέρω· ὡς μέσον, ὡς ἄκρον· ὡς ὑποκείμενον, ὡς κατηγορούμενον. Καὶ πολλαχῶς δὲ ἴσως καὶ ἄλλως. Καλείσθων δὲ τούτων, αἱ μὲν ὄναρ, ἀβούλητοι καὶ εἰκαῖαι· αἱ δὲ ὕπαρ κατὰ τὸ δοκοῦν ἰδέαι, καὶ ἐθελούσιοι. Ἐναπαιτεῖται δὲ ταῖς ἐπινοίαις ταύταις, ταῖς κατ' ἀνάπλασιν οὕτω συμπλεκομέναις τὸ δυνατὸν· ἐνείη δ' ἂν αὐταῖς τοῦτο, μηδὲν ἀντιφάσκον παριστανούσαις· τὸ γὰρ τοιοῦτον ὡς πορρωτάτω γίνεται τῆς ἐπινοίας, καὶ αὐτόχρημα ἄνοια. (1). Οἷον εἴτις βιάζοιτο ἐπινοῆσαι κύκλον τετράγωνον, καὶ εὐθύγραμμον δίγωνον. Διαστολῆς οὖν χάριν τὰς μὲν ἐννοίας ἐροῦμεν τῶν ἀδυνάτων, τὰς δὲ τῶν ἀνυπάρκτων. (2). Προσέχειν δὲ δεῖ ἐπ' αὐτῶν, τοῦ μὴ ἀπὸ τοῦ δυνατῶς ἔχειν, ἐπὶ τὴν ἤδη καὶ ἐνεργείᾳ ὕπαρξιν τοῦ ἐπινοουμένου κούφως τε καὶ ἀλόγως μεταπηδᾷν. (Προδιατ. Β'. §. κ'.). Προσδεῖ γὰρ τῷ δυνατῶς ἔχοντι καὶ λόγου, ἢ πείρας, τοῦ δείξοντος ὅτι καὶ ἐνεργείᾳ ὑφέστηκεν.

§. ν'. Ἔννοιαι δὲ τέως ὑπολήψει συμπεπλεγμέναι, ἅς, ᾗ δόξης ἔχει καὶ ἐμπειρίας ἕκαστος περὶ τὰ πράγματα ἀναπλάττεται· οἷον ἄλλη μὲν ἡ τῆς σοφίας ἰδέα παρὰ τῷ πεπαιδευμένῳ, καὶ ἄλλη παρὰ τῷ παιδείας ἀποτρόφῳ, μακρῷ διαφέρουσα. Καίγε οὐδεὶς ἐπιεικῶς οὕτως ἰδεᾶται τὸ πάθος, καθάπερ ὁ παθών. Καὶ τὸ εὐδαιμονεῖν ἄλλος ἐν ἄλλῳ,

(1) „Ἡ γὰρ ψευδὴς γνῶσις, ὡς τοῦ „μὴ ὄντος οὖσα γνῶσις, ἄγνοια μάλ„λον, ἤπερ γνῶσις ἐστίν. Δαμασκ. „Φιλοσοφ. Κεφ. α'. περὶ Γνώσ. Οὐδὲ „γὰρ ἂν γνοίης τό γε μὴ ὄν, οὐ γὰρ „ἐφικτόν. οὔτε φράσαις. Παρμεν. πα„ρὰ Πρόκλ. εἰς τὸν Πλάτ.

(2) „Διαφέρει γὰρ πάμπολυ τὸ „ψεῦδος τοῦ ἀδιανοήτου. Γαλην. πε„ρὶ τῶν Ἱπποκρ. καὶ Πλάτ. Δογμ. Βιβλ. β'.

λῳ, ὡς ἄν ἕκαστος ἔχοι ῥοπῆς καὶ κλίσεως τίθεται· ὁ μὲν ἐν τῇ περιουσίᾳ τῶν χρημάτων, ὁ φιλοχρήματος, ὁ δὲ ἐν ταῖς παρα τῶν ἄλλων τιμαῖς, ὁ δόξης ἡττώμενος. Καὶ οὐχ ὅπως δὲ κατὰ ἄνθρωπον, ἀλλὰ καὶ κατὰ ἔθνη ὅλα, παρὰ τὴν διαφορὰν τῆς τε ἀγωγῆς, καὶ τοῦ ἐθισμοῦ, καὶ τῶν παρ' ἑκάστοις νομίμων, μυρίας ἄντις εὕροι τῶν ἐξ ὑπολήψεως ἰδεῶν τὰς παραλλαγὰς, περί τε τοῦ δικαίου, καὶ τοῦ καθήκοντος, καὶ τοῦ καλοῦ κρίνουσιν· ὃ κἂν ἐκ μόνης τῆς τοῦ κάλλους ἰδέας εἰκάσαιτις ῥάδιον· ταύτην γὰρ ἄλλως μὲν Ἕλληνες ἀνατυποῦνται, ἄλλως δὲ Σῆρες, ἄλλως δὲ οἱ Αἰθίοπες κξ'. (1). Μᾶλλον δὲ οὐδ' ἄν δύοτις ἔχοι οἶμαι παραγαγεῖν τῶν πάντων ἀνθρώπων, τοὺς τὴν αὐτὴν περὶ τοῦ κάλλους ἰδέαν ἐπ' ἀκριβὲς φέροντας. Καὶ περὶ τῶν παραπλησίων ὡσαύτως.

§. νά. Σεσημειώσθω ὅτι τῶν κατὰ συμπλοκὴν ἐννοιῶν, δημιουργοὶ ἐσμὲν αὐτοὶ τὰ πολλὰ, κατά γε τὸ ἡμῖν δοκοῦν, (§. μζ'. μθ') καὶ παρὰ τὴν φύσιν ἐνίοτε τῶν πραγμάτων αὐτὰς εὑρεσινοοῦντες. Ἁπλῆν δὲ ἔννοιαν, ἣν οὐκ ἄν ἔχοι ποθὲν λαβὼν, ταύτην ἐξ ἑαυτοῦ ἀναπλάσαι τινὰ, οὐδεμιᾷ μηχανῇ ἀνυστόν· οὐδὲ γὰρ αὐτουργῶν ταύτας ὁ νοῦς πορίζεται πρὸς τὸ δοκοῦν, ἀλλ' ἤτοι ἑαυτὸν ὡς ἔχει ἀνασκοπῶν, (§. κά.), ἢ ὡς ὑπὸ τοῦ σωματικοῦ σκήνους ἠλλοίωται. (§. κς'.). (2).

§. νβ'. Σεσημειώσθω δὲ καὶ τόδε, ὅτι περὶ τὰς ἁπλᾶς τῶν ἰδεῶν (§. μβ'.) ἄνθρωποι ἔχουσιν αὐτομαθῶς. Καὶ εἰμήτις παρ' ἑαυτοῦ, ἢ τῷ ἐντὸς αὐτοῦ καταστήματι τῆς ψυχῆς προ-

(1) „Ἄνθρωποι συμφωνοῦντες εἰ τύ„χοι περὶ τοῦ εἶναι τινὰ σωματικὴν εὐ„μορφίαν, περὶ τῆς εὐμόρφου καὶ κα„λῆς γυναικὸς στασιάζουσι. Τοῦ μὲν Αἰ„θίοπος τὴν σιμοτάτην, καὶ μελαν„τάτην προκρίνοντος· τοῦ δὲ Πέρσου τὴν „γρυποτάτην καὶ λευκοτάτην ἀποδε„χομένου· Ἄλλου δὲ τὴν καὶ μέσην κα„τά τε τὸν χαρακτῆρα, καὶ κατὰ „τὴν χρόαν, καλλίονα λέγοντος. Σέξτ. Ἐμπειρ. κατὰ Μαθημ.

(2) Δῆλον δὲ παραπλήσια δύνασθαι ἐν τῷ νοερῷ κόσμῳ τοῖς ἐν τῷ φυσικῷ τὸν ἄνθρωπον. Ἐν οὐδετέρῳ γὰρ καινῶν ὄντων παρακτικῆς δυνάμεως ἔτυχεν· Ἀλλ' ἤτοι τοῦ ἀθροίζειν τὰ ὄντα, ἢ παρατιθέναι αὐτὰ, ἢ ἀποδιϊστᾷν καὶ διαχωρίζειν· Τοιγαροῦν ὡς μίαν συμπεπλεγμένην πλείονας ἁπλουστέρας, ἢ καὶ συμπεπλεγμένας ἰδέας συμβάλλειν ἀλλήλαις ἡ ψυχὴ δύναται· τῇ μὲν, ὡς ἐν τοῖς ἐκτὸς αὗται συνημμένως ἔχουσι· τῇ δὲ καὶ ὡς ἄν αὐτῇ συνάψαι δόξειεν αὐτάς· Τοιαύτη ἡ ἰδέα τοῦ κάλλους, τῆς εὐγνωμοσύνης, ἡ ἑνὸς ἀνθρώπου, ἡ ἑνὸς στρατοῦ, ἡ τοῦ παντὸς συντάγματος. Τούτων γὰρ ἕκαστον ὡς ἓν ἰδεᾶται ὁλικῶς, καὶ δι' ἑνὸς σημαίνει ὀνόματος. Λώκιος περὶ τοῦ Νοῦ, Βιβλ. β', Κεφ. ιβ'. §. ι.

προσέχων (§. κά.), ἢ ταῖς παρὰ τῶν ἐκτὸς ἐμποιωμέναις αὐτῷ διὰ τῶν αἰσθήσεων ἀλλοιώσεσιν (§. κς'.), ἐκ ἂν παρ' ἄλλε ποτὲ τὲ διδάσκοντος αὐτὰς ἐπιδέξαιτο. Διὸ καὶ πρὸς τὸν ἐκ γενετῆς τυφλὸν περὶ χρωμάτων λέγειν, ὡς ἔντι ὂν τῶν ἀδυνάτων πεπαροιμίασαι· τὰς δὲ συνθέτες (§. μγ'.) καὶ συμπεπλεγμένας (§. μδ'. μέ. κξ'.), καὶ παρ' ἄλλε διδαχθῆναι, τὸν τὰς ἁπλᾶς, ἐξ ὧν ἐκεῖναι πρειληφότα, ἐδὲν ἀδυνατον (1). Οἷον τὸν ἐξ Αἰθιόπων, διδάξειέτις οἷος τις ὁ παγετός ἐσί, τί τὸ ὕδωρ, καὶ τί τὸ ψερρὸν εἶναι, καὶ τὸ ψυχρὸν, καὶ τὸ διαφανὲς, καὶ τὸ κρυσαλλοειδὲς ἄλλοθεν ἐκ ἀγνοῆντα· ἀγνοῆντα δὲ ἐχ οἷοντε. Ἀναγκη γὰρ ἐκεῖνα συμπεριλαβεῖν ἐξ ὧν τὲτο, ὥντε ἄνδ, ἔτ' ἂν γίγνοιτο, ἔτ' ἂν νοοῖτο. Διόπερ εἰκότως τὰς ἁπλες έρας τῶν ἐξ αὐτῶν τλὺ σώθεσιν, ἢ σωεπιπλοκλὺ ἐχεσῶν, χαρακτῆράς τε καὶ γνωρίσματα, ἐχ ὅπως οἱ καθ' ἡμᾶς, ἀλλα καὶ οἱ Πάλαι καλεῖν εἰώθασι (2).

§. νγ'. Ἐντεῦθεν ἔν καὶ ἐπὶ ἄλλας ἰδεῶν διαφορὰς ἐσι μεταβῆναι, τῶν ὡς ἐκ τὲ τρόπε διακρινομένων, καθ' ὃν τὴν γνῶσιν ἡμῶν ὑπέρχονται. Ἀλλὰ προληπτέον δὴ πρῶτον, ὅτι πᾶσα ἔννοια γνωρίμόντι ἐσὶ τῇ ψυχῇ· μᾶλλον δὲ, καὶ κατ' ἐνέργειαν ἤδη γινωσκόμενον, ἵνα δὴ τὲτο ᾖ, ἔννοια δηλονότι· (§. γ'. κξ'.). Οὐδὲ γὰρ δι' ἄλλο καλεῖται καὶ ἔννοια, ἢ ὅτι ἔνεσι τῷ Νῷ. Τὸ δὲ τῷ Νῷ ἐνεῖναι, ἐδὲν ἕτερον σημαίνει ἢ τὸ γινώσκεθαι· ὡς τόγε ἐνεῖναι μὲν, ἀγνοεῖθαι δὲ λέγειν, αὐτὸ τὲτο καὶ ἐνεῖναι ἅμα διατείνεθαι ἂν εἴη, καὶ μὴ ἐνεῖναι· Καὶ ἀγνοεῖθαι κατὰ τὸ αὐτὸ καὶ γιγνώσκεθαι.

§. νδ'. Προληπτέον δεύτερον, τὸ ἐδὲν ἧττον ἐκ τῆς πείρας φανερὸν, ὡς ἐκ ἀεὶ ἰσομέτρως τὸ γνωρίμοις εἶναι πάρεσιν ἡμῶν ταῖς ἐννοίαις· Ἀλ' αἱ μὲν μᾶλλον εἰσὶ γνώριμοι, τῆς ψυχῆς εἰλικρινῶς καὶ ἀνενδοιάσως τλὺ κατ' αὐτὰς γνωσικλὺ ἀλλοίωσιν ὑφισαμένης· Αἱ δὲ ἧττον, μὴ σαφῶς ξυνορᾶν

(1) Καὶ κατὰ ταῦτα δὴ αἱ μὲν ἁπλαῖ, αἱ κατὰ τὰς Στωϊκὰς ἂν ἔεν προλήψεις, ἃς φυσικῶς λαμβάνομεν (ὡς ἐκεῖνοι φασὶ) καὶ ἀνεπιτεχνήτως· Αἱ δὲ σύνθετοι καὶ συμπεπλεγμέναι, αἱ κατ' ἐκείνας ἔννοιαι, αἱ δὲ ἐπιμελείας ἐγγινόμεναι ἡμῖν, καὶ ἀπὸ μαθήσεως. Παρὰ Πλετάρχ. Ἀρεσκ. Βιβλ. Δ'. Κεφ. ά.

(2) „Πῶς ἐγνικότατα τὰ εἴδη, καὶ τοῖς χαρακτῆρσι διεγνότα. Ναζιανζ. Δόγ. λδ'.

ρᾶν ἐχούσης, ἀλλ' οἷον ὑφορωμένης, καὶ ὑποπτευούσης τὴν ἥνπερ δοκεῖ ἔχειν διάθεσιν· Εἰκάσαις ἂν τὸ ἐπὶ τῶν πρώτων γνώριμον, ἡλιακῷ φωτὶ, τῷ ἐν σταθερᾷ μεσημβρίᾳ, αἰθρίας οὔσης, ἐῤῥωμένῳ κινοῦντι τὴν ὄψιν· Τὸ δ' ἐπὶ τῶν δευτέρων, φωτὶ λυκαυγεῖ, βραχὺ ὅσον ἐπιφώσκοντι, καὶ τὰ ὁρατὰ οἷον κρυπτοδεικτοῦντι. Καὶ τὸ μὲν γνώσεως ἐνάργειαν ὀνομάσαις, καὶ τὰς ταύτῃ παρισταμένας τῶν ἐννοιῶν ἐναργεῖς, καὶ σαφεῖς· τὸ δὲ δεύτερον ἀμυδρίαν, καὶ τὰς οὕτω κρυπτοδεικνυμένας ἐννοίας, ἀμυδράς τε καὶ συνεσκιασμένας. Ἀνάγκη δὲ πολλὰς ὑποτιθέναι μοίρας, καθ' ἃς τοῦ ἐπὶ τῶν ἐννοιῶν γνωρίμου κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπίτασιν ἐπιδεχομένου καὶ ὕφεσιν, ἡ ἀπὸ τῆς ἐναργείας ἐπὶ τὴν τοῦ ἀμυδρῶς νοουμένου ἀσάφειαν κάθοδος βαθμηδὸν χωρεῖ, καὶ ἡ ἀπὸ ταύτης ὁμοίως ἄνοδος ἐπ' ἐκείνην. Ἀεὶ γὰρ, καὶ ἐπὶ πάντων αἱ ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία μεταβάσεις, κατὰ πρόοδόντινα συνεχῆ προϊέναι πεφύκασι.

§. νέ. Τοιγαροῦν ἐναργὴς ἔννοιά ἐστι, καθ' ἣν τοῦ νοητοῦ ἀκραιφνῶς ἡ ψυχὴ καθικνεῖται, παντὸς ἄλλου, ὃ μὴ αὐτὸ ᾖ, ἢ μὴ τοιοῦτο, διαστέλλουσα· τοιαύτη ἡ τοῦ φωτὸς ἔννοια, ἡ τοῦ σκότους, ἡ τοῦ ἀνθρώπου, καὶ ἁπλῶς αἱ τῶν γνωριμωτάτων. Ἐφ' ὧν δὲ παρισταμένων τῷ γνωστικῷ ἐνδοιάζειν ἔπεστι, μὴ ἄρα μὴ αὐτὸ ἐκεῖνο ᾖ τὸ δοκοῦν, ἢ μὴ τοιοῦτον, ἀμυδρὰ ἡ ἔννοια, καὶ ἀσαφής· οἷον τοῖς δοκοῦσι ῥόδου πνοῆς οἷον ὑπαισθάνεσθαι· ἢ κινούμενόντι ἀπὸ πολλοῦ τοῦ διαστήματος, οἷον ὑποβλέπειν· ἢ φωνῆς οὐκ ἀήθους μὲν ἀκούειν, οὐμὴν δὲ ὥστε καὶ τίνος δήποτε ἐπιδήλως αὕτη φωνὴ διακρίνειν δύνασθαι. Τοῖς συμβάλλουσι τόν δε μὲν τὸν Ἄρη εἶναι ἐν πλάνησι, τόν δε δὲ τὸν πόλον ἐν ἄστρασι, μὴ ἀκριβοῦσι δὲ, αἱ ἔννοιαι πᾶσαι ἀμυδραί εἰσιν. Οὕτωπως συνεσκιασμένως καὶ ἀμυδρῶς γνωρίζειν δοκῶ τὸν ἔτι πόῤῥωθεν ἥκοντα, ἐναργῶς δὲ καὶ ἐμφανῶς αὐτὸν καθορῶ προσιόντα, μηδ' εἰ βουληθείην περὶ αὐτοῦ ἐνδοιάζειν ἔχων, μήτοιγε μὴ οὗτος εἴη αὐτὸς ὁ ὁρώμενος.

§. νϛ'. Ταῖς ἐννοίαις τὸ ἐναργέσιν εἶναι αὐτόθεν ἐστὶν, ὅθεν καὶ τὸ γνωρίμοις (§. νδ'.). Τὸ δὲ γνωρίμοις εἶναι ταῖς μὲν ἁπλαῖς, οἴκοθέν ἐστι· Διὸ καὶ περὶ αὐτὰς ἔχομεν αὐτομαθῶς (§. νβ'.)· ταῖς δὲ συνθέτοις, καὶ συμπεπλεγμέναις ἐκ τῶν ἁπλῶν· Αὗται γὰρ ἐκείνων χαρακτῆρες εἰσὶ, καὶ γνωρίσματα. (§. Αὐτ.). Τὸ ἄρα τῆς ἐπὶ τῶν ἁπλῶν ἐναργείας

γνώρι-

γνώρισμον, προκαταρκτικόν ἐστιν, ἕτω φαῦναι, καὶ στοιχειῶδες· ἐπὶ δὲ τῶν μὴ ἁπλῶν, οἷον μετοχικόν· ἅτε δὴ ἐκ τῶν ἁπλουστέρων, ὡς ἤδη γνωρισμάτων καὶ χαρακτήρων αὐταῖς γινομένων, ἐπικοινωνέμενον.

§. νζ'. Ἐξ ὧν (εἰ μὴ προσοχθίσαις τοῖς ὀνόμασιν) ἔχοις ἂν καὶ ἔννοιαν, γνωρισικλῶ μὲν, ἀγνώρισον δὲ ἀποκαλεῖν, τὴν ἁπλουστέραν τῶν ἐναργῶν δηλονότι, καὶ ἀφ' ἑαυτῆς πλουτοῦσαν τὸ γνώριμον. Καὶ ἔννοιαν τινὶ ἑκάτερον ὄσαν, γνωρισικλῶτε τινὶ αὐτινὶ, καὶ γνωρισινὶ· τοῦτο μὲν, ὡς ἐξ ἁπλουστέρων συνισαμένιν, ἐκεῖνο δὲ, ὡς καὶ ἑτέρᾳ ἐννοίᾳ συντελοῦσαν εἰς σύνθεσιν. Γνωρισινὶ δὲ μόνον, καὶ ἤκιστα γνωρισικλῶ, ἐκ ἂν εἰποῖεν ἔχοιμι ἄλλως, παρὰ τὴν ἰδέαν τοῦ σύμπαντος τῶν ὅλων ἀθροίσματος.

§. νη'. Τὸ ἄρα ἀμυδρὸν τῆς ἁπλῆς ἐννοίας ἐξ ἑαυτῆς μόνον, ὡς καὶ τὸ ἐναργές. (§. νς'). Ἔστι γὰρ παρὰ τινὶ τοῦ ἐναργοῦς ὕφεσιν (§. νδ'.), τινὶ εἴτε ἐκ τῆς τῶν ὀργάνων ἀφυΐας, εἴτε ἐκ τῆς τῶν ἐμποιουμένων τούτοις προσβολῶν ἀτονίας, ἢ ἐκ τῆς τοῦ νοῦ ἀπροσεξίας παρεμποιουμένου. (1). Τὸ δ' ἀσαφὲς τῆς ἐκ τῶν ἁπλουστέρων, ἐξ αὐτῶν τούτων, ἤτοι ἀμυδρῶς ἐχόντων, ἢ ἐλλιπῶς ἐπαθροιζομένων. (§. νζ'). Ὥσπερ κατὰ διττὸν τρόπον δυσανάλεκτος ἂν γένοιτο καὶ ἡ φωνὴ ἡ ἐγγράμματος· ἤτοι παρὰ τὸ κακόγραφον τῶν χαρακτήρων, ἢ παρὰ τὸ ἀνδέον. (2).

§. νθ'.

(1) „Παραίτια δὲ τῆς τῶν ἁπλῶν ἰδεῶν ἀσαφείας, ἤτε τῶν ὀργάνων ἀμ„βλύτης· καὶ τὸ ἐκ παραδρομῆς „τὴν ψυχὴν τῷ νοητῷ ἐπιβάλλειν· καὶ „τὸ ἄτονον τῆς ὑπὸ τῶν ἀντικειμένων „τῷ αἰσθητηρίῳ ἐμποιουμένης προσβο„λῆς· Καὶ τὸ ἀδενές, καὶ ἧκιστα σέ„γον τῆς μνήμης. Λώκ. Βιβλ. Β'. Κεφ. κδ'. §. 3.

(2) Οἱ περὶ τὸν Οὐόλφιον (Λογ. §. 80.) ἐναργῆ τὴν ἔννοιαν καθόλου ἀπέδωκαν, ἐν ᾗ γνωρίσματα πάρεσιν ἔχειν ἀποχρῶντα εἰς τὴν τοῦ νοουμένου ἀπὸ παντὸς ἄλλου διάκρισιν. Ἀμυδρὰν δὲ, ἐν ᾗ ἀπάρεσι. Δῆλον δὲ, ὡς τοῦθ' ἕτω περὶ τῶν ἁπλῶν ἐννοιῶν νοηθὲν ἐκ ἐῤῥώωται. Ταύτας γὰρ τὸ ἐναργὲς προκαταρκτικόν τε ἐστὶ, καὶ στοιχειῶδες. (§. νς'.), τὸ δ' ἀμυδρὸν καὶ ἀσαφὲς παρὰ τὴν τοῦ ἐναργοῦς ὕφεσιν, (§. νη'.), ἐκ ἀπὸ γνωρισμάτων, κατὰ τὰς ἐξ αὐτῶν συνθέτως χαρακτηριζομένας, ἅτε δὴ μόνον γνωρισικαῖς, ἧκισα δὲ γνωρισαῖς (§. νζ'.) ἄσαις, καί τοι καὶ πάνυ γινωσκομέναις, (§. νγ'. νδ'.). Τῷ ὄντι δὲ, ἅπερ ἀπὸ γνωρισμάτων πάσῃ ἐννοίᾳ προσῆν ἡ ἐνάργεια, ἀδὲν ἂν ἦν πέρας εὑρεῖν ἐννοιῶν, ἃ τῶν γνωρισμάτων ὑποτιθεμένων ἔχειν ἄλλα γνωρίσματα. Εἰς ἀπειρίαν γὰρ ἄτοπον τοῦ πράγματος προβαίνοντος, ἀδ' ὅτου πράγ-

§. νθ'. Ἡ ἐναργὴς ἔννοια καὶ ἀκριβὴς ἂν λέγοιτο, ἡ διακεκριμένη· Ταύτηγε δηλονότι, ἣ τὸ νοητὸν παντὸς ἄλλε διασέλει, καὶ χωρὶς τίθησιν. (§. νέ.). Ἡ δὲ ἀμυδρὰ τῷ ἴσῳ λόγῳ καλοῖτο ἂν καὶ συγκεχυμένη, ὡς μὴ τὰ νοέμενα κατὰ τὸ δέον ἀποδιϊξᾶσα, συγκυκῶσα δὲ ἀλλήλοις αὐτὰ καὶ συμφύρεσα, καὶ τῇ μὲν ἄλλο ἀντ' ἄλλε ἐξεικονίζεσα, τῇ δὲ μεθ' ὑποδισαγμᾶ τὸ παρισάμενον εἰκάζεσα (§. Αὐτ.). Οἱ μὲν ἦν ὡς ἐκ τῆς τῶν γνωρισμάτων διαζολῆς ἀπ' ἀλλήλων τὸ ἀκριβὲς, ἢ διακεκριμένον τῆς ἐννοίας διερμηνεύοντες (1), τιὼ πρώτη γένοιτο ἔννοια, ἀδ' ἐχάτη. Ὁ γὰρ ἐξ ἀπεράντε, καὶ ἀδὲν τέρμα ἐχέσης ἐννοιῶν προόδε, ἀεὶ προτέρων ἄλλων προαπαιτεμένων καὶ ἁπλεςέρων, ἀποφερόμενος καρπὸς, ἄνοια ἐςὶν ὁμολογεμένως. Ἀλλὰ γὰρ συνοΐδε τᾶτο καὶ ὁ Γερμανὸς φιλόσοφος· ἓ χάριν καὶ ἐπὶ τῆς τῶν ἐννοιῶν ἀναλύσεως, πέρας ἔγνω θέσθαι καὶ ὅρον, ἔναι δὴ καὶ τὰς μὴ περαιτέρω ἀναλυομένας διδάσκων. (Λογ. §. 96.) irresolubiles. Τί ἦν; (πυθοίμην γὰρ ἄν.) ἐναργᾶς ἐκεῖναι; εἰ μὲν γὰρ, ἓκ ἄρα τὸ ἐναργὲς ἁπάσῃ ἐννοίᾳ διὰ τὰ γνωρίσματα, ὡς ἐτίθετο. (§. 80.). Ἐναργὴς γὰρ καὶ ἡ ἀγνώριτος. Εἰ δὲ μὴ ἐναργεῖς, πῶς ἐκ μὴ ἐναργῶν ἔσαι ἐναργεια; Οἶμαι γὰρ ἐγὼ (οἶμαι δὲ καὶ πᾶστις.), ὡς ἀδεὶς ποτὲ ἀναγνώσεται τὸ γράμμα ΑΒΒΑ, ὅτῳ ἀγνοεμένη ἐστὶν ἡ τᾶ Α, καὶ τᾶ Β δύναμις.

(1) Οὗτοι δὴ οἱ περὶ τὸν ἐν Φιλοσοφίᾳ κλεινὸν Οὐόλφιον (Λογ. Μέρ. Α'. Τμῆμ. Β'. Κεφ. ά.)· ὅς τις καὶ τὸν Γάλλον εὐθύνει Καρτέσιον, ὡς μὴ καλῶς τὴν ἐναργῆτε καὶ διακεκριμένην, ἀπὸ τῆς ἀμυδρᾶς καὶ συγκεχυμένης ἰδέας διασελάμενον· Καὶ τῆς ἐναργᾶς ἔτω καὶ διακεκριμένης, ἐκ εὑρίσκει (ὡς αὐτὸς φησὶ §. 88.) τῇ ἐννοίᾳ ἐμμείναντα. Ἡμῖν δὲ ὅμως ἐμμενετέον ἔναι δοκεῖ τῇ ἐκδοχῇ τῶν ὀνομάτων, ἣν (ἔτις τὲς περὶ αὐτὸν Οὐόλφιον ἐξέλοι) σχεδὸν οἱ πάντες ἐνέκριναν. τοσέτῳ δὲ μᾶλλον, ὅσῳ καὶ μᾶλλον αὐτὰ ἐπείγει τὰ πράγματα. Οὐδὲ γὰρ φιλοσοφᾶντας ἄλλως περὶ φωνῶν δέον ζυγομαχᾶν. Καὶ ὁητέον ἄρα τὴν μὲν ἐναργῆ καὶ εὐκρινῆ, τὴν δὲ μὴ ἐναργῆ καὶ συγκεχυμένην. Ἔχει γὰρ ἔτως. Ἡ τᾶ ἐρυθρᾶ, φέρε, χρώματος ἰδέα, τοῖς ὁρᾶν δυναμένοις, ἐναργὴς ἐστίν· ἡ δ' αὐτὴ καὶ εὐκρινής. Τᾶ χάριν; ὅτι πάσης ἄλλης ἰδέας παρήλακται, καὶ ἀδέντι πρὸς ἀδεμίαν ἄλλην ἔχει κοινόν. Ἀλλ' ἀχὶ φασι· συγκεχυμένη δὲ ἐστίν. Ἀνθ' ὅτευ δή; Ὅτι φασὶ (Οὐόλφ. Αὐτ. §. 88.) τὰ γνωρίσματα τὰ ἀπὸ τῶν ἄλλων αὐτὴν ἐννοιῶν διακρίνοντα, παρασῆσαι ἐπ' αὐτῆς καὶ δεῖξαι ἓκ ἔχομεν. Ἀλλὰ τί δ' ὦ γαθοὶ ἀ γνωρισμάτων ἀμοιρᾶ; Ἀρ οἷοντε λέγειν ὅτι τὰ μηδαμῶς ὄντα ἓν αὐτῇ συγκέχυται, τῇ ὁμολογεμένως ἐκ τῆς ἐναργείας ἄλλοθεν πλατέσῃ τὸ περιφανὲς καὶ ἀρίδηλον; ἐκ ἔχει δέ. Ἐπεὶ καὶ καθ' ὑμᾶς αὐτὲς irresolubilis ἐςὶν. (§. Αὐτ.). ὅπερ ἐςὶ μεθερμηνευόμενον, ἀναλύσεως ἀνεπίδεκτος, οἷα δὴ καὶ συνθέσεως ἔσα ἄμοιρος. Ἀλλὰ περὶ μὲν τῆς ἁπλῆς, τάχ' ἄντις αὐτὲς καὶ δυσωπήσαι, γνωρισμάτων ἀνυπάρκτων μὴ ἐμπαρεισάγειν τὴν σύγχυσιν. Τί δὲ περὶ τῆς συνθέτε ἐννοίας ἐρᾷμεν; ἢ ὅτι ἀδ' αὐτὴ, ἐναργὴς

τλὼ μὲν ἐν ταῖς ἁπλαῖς ἐναργῆτε καὶ ἀκραιφνῆ καὶ δήλιν, ὡς ἀδιαγνώριτον ἔσαν (§. νζ.) συγκεχυμένιν ὀνομάζειν καταναγκάζονται· τλὼ δὲ ἐκ τῶν ἁπλῶν, ὡς διὰ χαρακτήρων γνωριζομένιν, ἐὰν μὴ ἔτοι διακεκριμένως ἀπ' ἀλλήλων ὦσι νοέμενοι, καὶ οἷον ἐν μέρει καταλεγόμενοι, ἐναργῆ μὲν καὶ ταύτλιν, συγκεχυμένιν δὲ ἐδὲν ἧττον, ἢ (ὡς λέγειν φίλον αὐτοῖς)

γὴς ἔσα, συγκεχυμένη ἂν εἴη ἐδέποτε· ὡς ἄρα διὰ τὴν ἐναργειαν παντὸς ἄλλα τὸ νοητὸν ἀντιδιαστέλλεσα. Οἷον ἡ τὲ τετραγώνε, οἰκδηποτῶν ἄλλε χήματος. Ἀλλ' ἐνὸς ἑκάστε φασὶ τῶν γνωρισμάτων διακριδὸν ἡ ἔκθεσις ἐναπαιτᾶται, ἵνα δὴ τᾶτο ᾖ· τατέσι διακεκριμένη ἡ ἔννοια. Λῆρος σαφὴς τῷ προσέχοντι. Γνωρίσματα τὲ τετραγώνε ταὐτά ἐσι. Τὸ εἶναι χῆμα· τὸ ἐπίπεδον· τὸ ἐν αὐτῷ τὰ πέρατα εἶναι γραμμὰς εὐθείας· τῷ ἀριθμῷ τέτταρας· τῷ μεγέθει ἀλλήλαις ἴσας. Καὶ γωνίας δὲ τὰς ἐκ τῶν γραμμῶν, ἐν ἑνὶ σημείῳ συνιεσῶν ἀνὰ δύο, συνιεμένας, τῷ μὲν πλήθει ταῖς γραμμαῖς ἰσαρίθμες, τῷ δὲ εἴδει ὀρθάς· ταῦτα· τάτων ἓν τῶν γνωρισμάτων, ἤτοι κατὰ μίαν προσληπτέον ἂν εἴη τὴν ἰδέαν ἑκάσε, ὥσε χωρὶς ἑκάσην ἀναθεωρεῖν· καὶ τᾶτο ἀδὲν ἕτερον ἂν εἴη, ἢ τῆς τὲ τετραγώνε ἰδέας ἀνάλυσις, ὡς καὶ αὐτοί φασι. Καὶ ἡ μὲν ἂν εἴη γραμμῆς ἰδέα, ἡ δὲ γωνίας, ἡ δὲ ἰσότητος, καὶ ἄλλη ἄλλε τῶν εἰρημένων· ἐδεμία δὲ κυρίως τὲ τετραγώνε ἰδέα, ἀλλὰ τῶν ἐξ ὧν αὐτό· ἢ ἅμα, καὶ ὑφ' ἓν αὐτὰς συμβαλέσθαι δέοι κατὰ τὸ αὐτὸ συνιάσας, εἰ μέλλοιτις σύνθετον τῷ ὄντι ἰδέαν φέρειν, οἵα περ ἐσὶν ἡ κατὰ τὸ τετράγωνον· Ἀλλ' ἔτω δὴ ἡ τῶν γνωρισμάτων πληθὺς εἰς ἓν συνελεύσετα. Ὅλως γὰρ, ὥσπερ ἡ τῶν πολυμιγέων φθόγγων, καὶ δίχα φρονεόντων εἰς ταυτὸ ἄθροισις τὴν συμφωνίαν συνίησιν, ἡ δὲ κατὰ τάτων ἕκασον ἐν μέρει ὑπήχησις, λύει· Παραπλησίως ἡ τῶν ἁπλουστέρων ἰδεῶν ἀπ' ἀλλήλων ἐνεργείᾳ διάκρισις, τὴν σύνθετον ἔννοιαν λύει, ἡ δὲ εἰς ἓν σύνοδος συνίησιν. Συνιεῖσα δὲ καὶ διακρίνει, καὶ τῶν ἁπλῶν, καὶ τῶν μὴ ἁπλῶν· τῶν μὲν, ὅτι ἐκ ἐν τῇ τῶν ἁπλουστέρων συμπλοκῇ, ἐκείνων ἡ σύνεσις· τῶν δὲ, ὅτι ἐκ ἐν συμπλοκῇ τοιᾷδε, ἀλλ' ἅπερ ἄρα, διαφερόσῃ. Ἀλλ' ἐρᾶσι τυχὸν, ὡς ἐν συμπλοκῇ μὲν τῇ ἐξ ἁπλουστέρων, τὴν σύνθετον καὶ αὐτοὶ τιθέασιν, ἀξιῶσι δὲ, ἐχὶ τὸ χωρὶς ἀλλήλων τὰς ἁπλουστέρας ἐκτίθεσθαι, τὸ δὲ διακρίνεσθαι ἀπ' ἀλλήλων· ἔτως ἀμέλα, ὡς αὐτὰς δήλας εἶναι, ὅσαι τε εἰσὶ, καὶ ἢ ἀλλήλων διεννόχασι, καθάπερ δὴ καὶ ἐπὶ τῆς συμφωνίας τὰς φθόγγως, ὥσε δεῆσαν ἔχειν καὶ καταλέξαι. Ἀλλαμὴν οἱ ἐναργῆ τὴν συμπεπλεγμένην ἔχοντες ἔννοιαν, τοιῷδε λόγῳ τὰς ἐν αὐτῇ ἁπλουστέρας ἐξ ἀνάγκης ἐπιγινώσκεσιν· Εἰ μὴ γὰρ, τὸ ἐναργὲς αὐτοῖς οἰχήσεται τῆς ἐννοίας. Ἡ ἄρα ἐναργὴς ἔννοια ἀείποτε ἔσαι διακεκριμένη. τᾶτο δ' ἦν ἄρα καὶ τὸ ἐξ ἀρχῆς ζητέμενον. Τί ἔν ἐσι τὸ τὴν ἐν συμπλοκῇ ἔννοιαν συγκεχυμένον ἀποτελᾶν, ἅποτε τοιαύτη ἐσίν; ἢ δῆλον ὅτι τὸ, καὶ τὴν ἁπλῆν· τᾶτο δὲ ἦν ἡ ἀσάφεια. Πλὴν ὅσον, ἐπὶ μὲν τῆς ἁπλῆς, τὸ ἀσαφὲς καὶ συγκεχυμένον ἐκ ἐξ ἄλλης ἐννοίας, ἐπὶ δὲ τῆς συνθέτε καὶ συμπεπλεγμένης, ἐκ τῶν ἐν αὐτῇ ἁπλουστέρων. (§. νη'.).

τοῖς) συγκεχυμένως ἐναργῆ ἀξιῶσι καλεῖν· διακριδὸν δὲ τῶν χαρακτήρων τῶν ἐν αὐτῇ νοεμένων, ἐναργῆτε καὶ διακεκριμένιν· ἢ (κατ' αὐτὲς εἰπεῖν) ἐναργῆ διακεκριμένως. Ὅτι δὲ ἐκ ὀρθῶς ταῦτα λέγουσιν, αὐτόθεν φανερόν. Ἡ γὰρ ἁπλῆ ἐναργὴς μὲν ἔσα, συγχύσεως πάντη ἐστὶν ἀνεπίδεκτος· τὶ γὰρ ἐν αὐτῇ καὶ συγχέοιτο ἁπλῆ ἔση; τὶ δὲ καὶ δι' αὐτῆς, πλατέση καὶ τιὼ ἐνάργειαν; ἀμυδρὰ δὲ τυγχάνεσα, τιὼ μὲν παρὰ τῶν γνωρισμάτων ἐδαμῶς· ἐδὲ γὰρ ἔχει· τιὼ δὲ ἐκ τῆς ἀδηλίας μόνιν ὑποσήσεται σύγχυσιν (εἰ καὶ ταύτιν ἔτω θέμις ἀποκαλεῖν)· καθότι ἐκ ἀδιακτος, ἐδὲ πεποιθότος τῇ νοητῇ δι' αὐτῆς ὁ νῆς περιδράσεται. Ἡ δ' αὖ ἐξ ἁπλῶν συμπεπλεγμένη, ἢ σιώθετος, ἀμυδρὰ μὲν τυγχάνεσα, συγκεχυμένη ἐστὶν ἐξ ἴσε, ὡς μὴ παρεχομένη τὸ νοητὸν, οἷον ἐστὶν ἀτρεκῶς σιωιδεῖν· ἐναργὴς δὲ ἔσα, διακεκριμένη ἔσαι ἐξ ἀνάγκης, ὡς πάντα συμπεριλαμβάνεσα, ὧν ἐν τῷ ἀθροίσματι κεῖται ἢ τῇ κατὰ σιώθεσιν ἢ συμπλοκιὼ νοητῇ εἰδοποίησις. Ἐν ᾧ καὶ τὸ ἐναργῶς παρίσαθαι τῆτο ἔχει· ἔτω γὰρ, καὶ ἐκ ἄλλως, παντὸς ὅ ἂν μὴ τῆτο, μηδὲ τοιῆτον ᾖ, διακρίνεται. (νέ. ιϛ'.). Ἡ ἄρα ἐναργὴς ἀεὶποτε καὶ δύκρινὴς ἡμῖν ἔννοια ἔσαι, κἂν ἁπλῆ τύχοι ἔσα, κἂν ἐκ τῶν ἁπλῶν τὸ πλήρωμα ἔχεσα. Ἡ δὲ ἀμυδρὰ ἀεὶποτε συγκεχυμένη, καὶ ἀδιάκριτος (1).

(1) Τὴν ἐναργῆ ἔννοιαν, καὶ διακεκριμένην ἀεὶποτε εἶναι δεῖν ἠξίωσε καὶ Γραβεζάνδιος· (Λογικ. Κ. Γ. §. 345.) τόγε μὴν ἀνάπαλιν ἔτος ἠρνήσατο, προσιθεὶς, μὴ μέντοι καὶ πᾶσαν εὐκρινῆ τὴν αὐτὴν ἅμα καὶ σαφῆ ἔσεσθαι. τῇ γὰρ σώματος εὐκρινῆ μὲν, φησὶ, φέρομεν τὴν ἰδέαν, ἀσαφῆ δέ. Οὐ γὰρ τὴν ἰσίαν τῇ σώματος σαφῶς εἰδέναι ἔχομεν, ὥσπερ δ' ἄλλε ἑνὸς μηδενός. Καὶ ἔσιν ἧπερ τὸ λεγόμενον περὶ τῆς ἰσίας ἀληθές. Ἐνταῦθα δὲ ἐδὲν ἔοικε τῆτο κωλύειν, τῇ μὴ σαφῆ τὴν ἔννοιαν ἡμᾶς τῇ σώματος ἔχειν, κατάγε τὰ ἰδιώματα ταῦτα, ἅπερ ἐν αὐτῷ προειλήφαμεν, οἷον τὸ τριχῇ διατατὸν, καὶ τὸ ἀδιαχώρητον ἕναι ὑπὸ ἄλλε σώματος, καὶ τὸ διαιρετὸν κτ. Διὰ γὰρ τάτων ἀριδήλως τὸ σῶμα νοῆμεν, καὶ ἐδὲν δέος μὴ ἔτω νοῆντες σφαλλοίμεθα. Οὗτος δὲ ὁ τῆς ἐναργῆς ἰδέας ἐσὶ χαρακτήρ. Κατὰ ταῦτα τοίνυν τὸ ἐναργὲς, δι' ὧν καὶ τὸ εὐκρινὲς τῇ ἐννοίᾳ πρόσεσι. Κατὰ δὲ τὴν ἰσίαν, συνάμα τῇ ἐναργείᾳ καὶ τὸ εὐκρινὲς τὸ σῶμα συνεκπίπτει νοήμενον· ὥσε καὶ ἔτω, τὸ ἐναργῆ καὶ εὐκρινῆ τυγχάνειν τὴν ἰδέαν, εἰσὶν ἀντισρέφοντα. Καὶ ἐχ ὅπως εἰ ἐκεῖνο καὶ τῆτο, ἀλλὰ καὶ ἀνάπαλιν. Ταῦτα δὲ νοείσθω καὶ περὶ τῆς ἀσαφῆς, καὶ συγκεχυμένης.

§. ξ'. Τῆς δ' συνθέσεως καὶ συμπλοκῆ ἐννοίας ἰδιάζουσα διαίρεσις ἐστὶν, ἡ εἰς τὸ πλήρη, καὶ μὴ πλήρη. Καὶ πλήρης μὲν, ἡ ἐκ πάντων ἀνελλιπῶς τῶν ἐδοποιούντων γνωρισμάτων τὸ νοητὸν συγκροτεμένη· οἷον ἡ τῦ τετραγώνε, ὅτι σχῆμα ἐπίπεδον ἐστὶ νοεμένε, ὑπὸ τέσσαρσι πλευραῖς ἀλλήλαις ἴσαις, καὶ τέσσαρσι γωνίαις ὀρθαῖς. Μὴ πλήρης δὲ, ὑπ' ἤτι τῶν γνωρισμάτων, ἢ τινὰ ἀλογεῖται· οἷον ἐάντις τὸ τῶν τεττάρων πλευρῶν ἰσότητα μόνην συμβάλληται, παραμελήσας τῆς τῶν γωνιῶν ὀρθότητος,

§. ξά. Ὥσπερ ἓν ἀναργῆ καὶ συγκεχυμένῳ ὑπόνοιαν τινὰ αὐτὸ λέγειν ἐκ ἀξιῶμεν, (§. νθ'.), οὕτως δὲ διακρινῆ, καὶ μὴ πλήρη· ὅτισιν ἔδοξεν. (1). Ἡ γὰρ μὴ πλήρης ἔλλειπής· ἡ δ' ἐλλειπὴς ἀμυδρά· (§. νή.)· ἡ δ' ἀμυδρὰ, συγκεχυμένη. (§. νθ'.). Οὕτως ἐκ διακρινής ἐστιν ἡ τῦ σώματος ἔννοια κατὰ μόνον τὸ τριχῆ διαστατὸν γνωριζομένε· ὑπάγεται γὰρ ἕτως νοε-

(1) Διακεκριμένην καὶ τὴν μὴ πλήρη, ἕναι βέλεται ὁ Οὐόλφ. (Λογ. §. 92.). Κακίζει γᾶν τὸν Λεϊβνίτιον, ὡς τὴν διακεκριμένην καὶ πλήρη ἅμα ὑποτιθέμενον· Ἐκείνε δὲ οἱ διασῶται συνηχᾶσι ταυτά. (Βαϋμειϊτέρ. (§. 89.). Καὶ Εὐγένιος Λαυρίζιος (§. 89. ϗ ἄλλ). Ἀλλὰ τὶς ἡμῖν ἂν γένοιτο ἐλλιπὴς ἔννοια, καὶ εὐκρινὴς ἡ αὐτή; Ἡ τῦ Κανονικῦ φησὶ πενταγώνε (Οὐόλφ. Αὐτ.) ἢ σχῆμα ὑπὸ πέντε ἴσων εὐθειῶν περατέμενον, εὐκρινὴς μὲν, ἐλλιπὴς δ' ἐχ ἧττον. Πῶς δ' ἐλλιπής; ὅτι, φησὶν, ἐδεὶς ἐν αὐτῇ λόγος περὶ τῆς καὶ κατὰ τὰς γωνίας ἰσότητος. Ἀλλ' ἐν τάτῳ μοι δοκᾶ παράγεσθαι ὁ Φιλόσοφος, μὴ προσέχων τῇ δυνάμει τῦ ὀνόματος· πλήρη γὰρ καὶ ἀνελλιπῆ ἐχεῖ τὴν πάντα τὰ τῦ νοητῦ ἰδιώματα συμπεριλαμβάνεσαν νοητέον, ἃ γὰρ ἂν ἅπερ πλήρης ἂν ἦν τυχὸν ἡμῖν ταύτηγε ἐδεμία. Φανερὸν δὲ, ἐπεὶ καὶ τὴν ἰσότητα τῶν γωνιῶν καταλέξας, ἀδ' ἐντεῦθεν ἅντις πλήρη τὴν ἰδέαν (completam ὡς αὐτὸς βέλεται) ἕξα τὸ πενταγώνε· ἐνδᾶ γὰρ καὶ ἕτως αὐτῇ τῦ τῆς γωνίας μεγέθες, παρεκτὸς τῶν ἄλλων, ἦν ἐπὶ μόνων τῶν πενταγώνων ἀνάγκη μοιρῶν ἕναι 105. Ὁ ϗ μᾶλλον ἐσὶ χαρακτὴρ τῦδε τῦ σχήματος, ὑπὲρ αὐτὴν τὴν Γωνίας ἰσότητα· Τῆς μὲν γὰρ, ἅπαντα ὅσα κανονικὰ παισὶ Γεωμετρῶν καλεῖται σχήματα, ηὐμοίρησε, λέγω τῆς ἰσότητος· τῆς δὲ ἑκατονπενταμοίρε γωνίας μόνον ἐν αὐτοῖς τὸ Πεντάγωνον. Ἀλλ' ὅπερ ἔφην, ἃ τᾶτο πλήρη ἔννοιαν ὀνομάζομεν, τὴν δὲ τῶν γνωρισμάτων παρισάνεσαν, ἢ καὶ αὐτὸς ἀπέδωκεν (§. 92.) ὅσα ἀπόχρη τὸ νοητὸν ἡμῖν, ἐν ᾗ ἄνποτε κατασάσει τεθῇ, παρασῆσαι, ϗ παντὸς ἄλλε διαπεῖλαι. Ἀλλὰ γὰρ τοιαύτη πάντως ἡ τῦ ὑπὸ πέντε ἴσων εὐθειῶν περατεμένε πενταγώνε ἔννοια. Ἡ γὰρ τῶν πλευρῶν πεντὰς μετὰ τῆς ἰσότητος, καὶ μηδενὸς ἄλλε προσπαραληφθέντος, ἐπίσης αὐτὴν διέκρινέτε, καὶ διεπλήρωσε. Εἰ γὰρ μὴ ἐπλήρε, ἀδ' ἂν διέκρινεν. Πλήρωμα γὰρ ἰδέας, τὰ ἀποχρῶντα ἃς τὴν ἀπὸ τῶν ἄλλων αὐτῆς διάκρισιν.

νοεμένῳ, καὶ τὸ κενὸν διάστημα, καὶ τὸ κατὰ τὰς μαθηματικὰς στερεόν. Οὗ χάριν καὶ τὸ ὀγκηρὸν εἶναι προσιθάναι δεῖ, ἢ τὸ ἀδιαχώρητον, ἢ τί τοιοῦτον, εἰς πλήρωμα μὲν τῆς ἰδέας, διαφυγεῖν δὲ τῆς συγχύσεως. Παραπλησίως καὶ τῷ ἀ τέσσαρσι πλευραῖς τε καὶ γωνίαις μόνον ἀνοδύντι τὸ χῆμα τὸ ἐξ αὐτῶν, παραμελοῦντι δὲ τῆς κατ' αὐτὰς ἰσότητος, ἢ ἀνισότητος, πλήρης ἡ ἰδέα ἐκ ἔσης, καὶ κατὰ τὸ ἑπόμενον, καὶ συγκεχυμένη, ὡς ἐπίσης ἔτω καὶ τὸ ὀρθογώνιον οἱάτε ἴσα παριστᾶν, καὶ τὸ τετράγωνον, καὶ τὸ ῥομβοειδὲς, καὶ τὸν ῥόμβον, καὶ ὅσα τετράπλευρα ἀ τοῖς τραπεζίοις.

§. ξβ'. Παρὰ τὰς ἐλλιπεῖς, καὶ πλήρεις (§. ξ.), εἰσὶν αἱ τῶν ἀνοιῶν ἐκ ἀπεικότως ῥηθεῖσαι πλεονάζουσαι· διὰ τὸ παρὰ τὰ ἀποχρῶντα εἰς εἰδοποίησιν τῇ νοημάτῃ, καὶ ἕτερόντι γνώρισμα συνεπιφέρειν· τριτῶς δὲ· ἤτοι γὰρ τὸ ἐπιφερόμενον, ἀντινι τῶν λοιπῶν συνεπλυγμένως ἐμπεριέχεται· οἷον εἴτις τινὶ θεῖαν καθάπερ Μάρκος Οὐάρρων (1) ὡς μῆκος ἁπλατὲς νοεῖν ἐθέλοι, καὶ ἀβαθές· ἢ τὸ νοητὸν ἕτερόντινα παρισάνον χαρακτῆρα, δασυλεξέραν αὐτῷ καθίστησι τινὶ διάγνωσιν, οἷον εἰ πρὸς τῷ τριχῇ διαστατῷ μετὰ τῷ ἀδιαχωρήτῳ, καὶ τῷ ἑτεροκινήτῳ εἶναι, προσεπιβάλλοι τις τῷ σώματος· ἢ τελευταῖον, τὸ πλεονάζον γνώρισμα εἰς ἔννοιαν ἐχνοτέραν τὸ νοητὸν μεθίστησι, καὶ μᾶλλον διωρισμένῳ. Οἷον (εἰ ἀληθὲς τὸ περὶ τῷ Δημοκρίτῳ λεγόμενον (2), ἐπὶ τοῖς τῷ γάλακτος, ἢ τοιῷτο, κοινοῖς γνωρίσμασιν, ἐάντις συμβαλὼν περιτλὸν, εἰς ἔννοιαν ἑτεροίαν μεταστήσῃ τὸ πρὶν νοητὸν, καὶ διακρῖναι (κατ' ἐκεῖνον) οἷός τε ᾖ, ὅτι καὶ Αἴγος πρωτοτόκε, καὶ μελαίνης. Καὶ ἐπὶ τοῖς τῷ θήλεως ὡσαύτως· χαῖρε κόρη, χαῖρε γυῖαι. Τέτων αἱ μὲν κατὰ τὸν πρῶτον τρόπον, λεγέσθωσαν ἔννοιαι περιτλῶς γνωριζόμεναι· Αἱ δὲ ἐκ περισσίας· Αἱ δὲ κατὰ διασολλὶ, ἢ εἰδοποίησιν. Διαφέρεσι δὲ τῶν πρώτων καὶ δευτέρων αἱ τρίται. Ἐπὶ γὰρ ἐκείνων, ταῖς μὲν τῷ περιτλῷ, ταῖς δὲ τῷ περιόντος γνωρίσματος τῇ προσπαραλήψει, ἐκ ἀμείβεται τῇ ἐννοίᾳ τὸ Εἶδος· διὰ δὲ τῶν τρίτων καὶ μάλα. Ἄλλη γάρτις ἡ τῆς κόρης ἔννοια, καὶ ἡ τῆς γυναικὸς ἄλλη. Καὶ κατὰ τόν δὲ δὴ τὸν ἕκατον τρόπον.

(1) Παρὰ Αὔλῳ Γελλίῳ Νυκτ. Ἀττικ. Βιβλ. Α'. Κεφ. κ'.

(2) Ἀθηνόδωρ. παρὰ Λαέρτ. εἰς βίον Δημοκρίτ.

προσθέσει διαςαλτικȣ̃ τινος γνωρίσματος, καὶ αἱ ἀοριςαίνȣσαι ἐπὶ πλείονα ἔννοιαι μεθίςανται ἐπὶ τὰς μᾶλλον ὡρισμένας. Οἷον προσθέσει τῆς ἐνυλίας, ἡ τῆς ȣ̓σίας ἔννοια συςέλλεται εἰς τὴν τȣ̃ σώματος· προσθέσει τȣ̃ αἰσθητικȣ̃ εἰς τὴν τȣ̃ ζώȣ· προσθέσει τȣ̃ λογικȣ̃, εἰς τὴν τȣ̃ ἀνθρώπȣ.

§. ξγ΄. Τῶνδε ȣ̓ν ȣ̓τω κειμένων, συμβαίνει τȣ̃ αὐτȣ̃, ὡς τὰ πολλὰ, τὸν μὲν ἔννοιαν ἔχειν ἐναργῆ καὶ διηρθρωμένην, τὸν δὲ ἀμαυράν τε καὶ ἀδιάρθρωτον, κατὰ τὸ μᾶλλον καὶ ἧττον· τὸν δὲ, ȣ̓δὲ τὴν ἀρχήν τινα ȣ̓δόλως. Οἷον ὁ μὲν τȣ̃ τῆς ἡλιακῆς ἀκȣ́σας ἀκτῖνος καθ᾽ αὑτὴν πολυχρόȣ, κἂν ἐκγελάσειεν· ὁ δὲ εἰκάσει τυχὸν, ὥσπερ ἐπὶ τῶν λοιπῶν σωμάτων ὑπείληφεν, ȣ̓τω κἂν αὐτῇ ἐνεῖναι τὰ χρώματα· Ὁ δὲ καὶ ἀναλύσειεν, εἰ δεήσει, καὶ χωρὶς δείξειε, τὰς προκαταρκτικῶς αὐτῇ ἐνȣ́σας χρωματικὰς δυνάμεις, ἀφ᾽ ὧν τῶν ὑπὸ φωτὶ σωμάτων, κατὰ λόγον ἧς ἔχει φύσεως, ἑκάςῳ ἐπικοινωνεῖται τὰ τοῖς ὀφθαλμοῖς ἀναπεμπόμενα σελαγίσματα. Ἔνθεντοι, καὶ ἐξ ὧν ἔχομεν αὐτοὶ, τὰς τῶν ἄλλων τεκμαίρεσθαι διανοήσεις, παραιτησόμεθα, ἀφεξόμεθα δὲ τȣ̃ περὶ αὐτῶν κρίνειν, πρὶν ἢ τὰς παρ᾽ ἐκείνοις παρατηρῆσαι καὶ διαγνῶναι, ἃς περὶ ἑκάςȣ τῶν προκειμένων πρώτας φέρȣσιν ἐννοίας τε καὶ προλήψεις, πρὸς ὃ μάλιςα συντελεῖ ὁ τȣ̃ ὁρισμȣ̃ τρόπος, περὶ ȣ̓ ὕςερον.

§. ξδ΄. Ἀλλὰ καὶ τὸν αὐτὸν τȣ̃ αὐτȣ̃ ἐνδέχεται, πῇ μὲν εὐκρινῆ, καὶ σαφῆ, καὶ δήλην, πῇ δ᾽ ἀμυδρὰν, καὶ συγκεχυμένην φέρειν τὴν ἔννοιαν. Οἷον τὸ χιλιογώνιον εὐκρινέςατα πάρεςι νοεῖν, ᾗ σχῆμα, τὸ ὑπὸ χιλίων πλευρῶν, καὶ ἰσαρίθμων τῶν γωνιῶν, ἴσων ἀλλήλαις ἐκπερατȣ́μενον. Ἔςι δὲ καὶ τȣ̃το σαφῶς εἰδέναι, ὅτι αἱ ἐν αὐτῷ γωνίαι, αἱ πᾶσαι ἅμα, χιλίαις ἐννεακοσίαις καὶ ἕξ ἐπὶ ἐννενήκοντα ὀρθαῖς, ἴσαι εἰσί. Ἔτι δὲ δὴ, καὶ ὅτι τȣ́των ἑκάςη ἴση ὀρθῇ τε, καὶ ὀρθῆς ἐννέα μὲν δεκατημορίοις, ἐννέα δὲ ἑκατοςημορίοις, ἕξ δὲ χιλιοςοῖς· εἰδέτις καὶ φανταςθῆναι πειραθείη τῶν τε πλευρῶν τὸ πλῆθος, τῶν τε γωνιῶν τὸ μέγεθος ὅσον, βαθεῖαν τινὰ ἐπικαθημένην εὑρήσει τὸ φανταςικὸν τὴν ἀχλὺν, ἀνηνύτως διατυπῶσαι τὸ ἴνδαλμα ἐπειγόμενον· τὸ γάρ τοι πλῆθος δυσφάνταςον, καὶ οἷον ὀχλῶδες προσπίπτει, ἀθρόον τῇ δυνάμει χῦμα, ἀδιακρίτως συνεπιφορȣ́μενον. Ὡσαύτως καὶ τȣ̃ τῶν ὅλων συντάγματος, ἐναργῆ μὲν οἱ πάντες τὴν ἔννοιαν φέρομεν·

μεν· τὶ γὰρ ἂν ἄλλο ἔξω τῆς παντὸς ὑπολειφθείη, ἀνθ' ὅτις τὸ πᾶν ἐκλάβοιτο κατ' ἰδέας σύγχυσιν; ἀλλὰ φαντασία γὰρ τὸ πᾶν τόδε ἀκρινεῖ καὶ διηρθρωμένη, ἀνατυπώσασθαι ἐχ οἷοντε.

§. ξέ. Καὶ τὸν αὐτὸν δὲ τέως τῆς αὐτῆς κατὰ λόγον τὸν αὐτὸν, νῦν μὲν ἐναργεσέραν ἀποφέρειν τιὼ ἔννοιαν, νῦν δὲ ἀμυδροτέραν ἐκ ἀνένδεκτον. Ἐπισυμβαίνει γάρτις καὶ τοῖς ἡμῶν ἐννοήμασιν οἷον φθοράτε καὶ γένεσις, καὶ νῦν μὲν ἐπὶ τὸ κρεῖττον μεταβολὴ καὶ βελτίωσις, νῦν δ' ἐπὶ τὸ χεῖρον ἐπιτροφὴ καὶ ἐπάνοδος· καὶ καθάπερ δὴ θαμὰ ἐπιμελείας ἀξιόμενα ἀκμάζει καὶ θάλλει, ἔτως ἀμεληθέντα τῷ χρόνῳ ἀπορρεῖ, καὶ ἐξίτηλα γίνεται. Παρατηρεῖν ἓν ἄξιον, ὅθεν ἡ τῶν ἐννοιῶν ἡμῖν τιὼ ἀρχιὼ οἶδεν ἀσάφειάτε καὶ σύγχυσις· καὶ ταύτιω ἐπιδιορθῆν πειρᾶθαι, ὅλῃ δυνάμει ἐπὶ τὸ σαφὲς καὶ ἀκρινέσερον ἐπανάγοντας.

§. ξς'. Α'. Οὖν λυπραί τινες καὶ ἀβληχραὶ ἡμῖν ἐμποιῆνται αἱ ἰδέαι, ἢ μὴ ὅσον ἔδει τῆς αἰθήσεως κινηθείσης, ἢ μὴ ἐῤῥωμένης, ἢ τῆς ψυχῆς ἐπὶ πολλὰ ἅμα, ἢ ἐπ' ἄλλα τινὰ προσεχέσης, (Προδιατ. Β'. §. θ'.) ἢ ὁπότε διὰ πολλῶν αἰθημάτων τιὼ συμπλοκιὼ ἔχεσαι, ἃ διὰ πασῶν, ὡς ἔδει τῶν αἰθήσεων, εἰσκομίζονται. Β'. δὲ ἀτελεῖς καὶ ἀμφίβολοι, καὶ ὅσαι τῆς μνήμης ἀθενεσέρας ἔσης, μηδὲ τὰ αὐτῇ ἐναποτιθέμενα σέγειν ἐπὶ πολὺ δυναμένης, μηδὲ συχναῖς ἐπιβοηθεμένης ταῖς ἐπαναλήψεσιν, ὅσον ἃ τέλεον ἀπέσβησαν, ἀμυδρόντι ἴχνος ἐνδιασώζεσαι. (Προδι. Β'. §. ιέ.). Γ'. Φαντασίας ἀκρινεῖς ἃ ῥάδιον γίγνεθαι, ἐπὶ τῶν πολυπληθῶν, καὶ πολυμιγῶν, καὶ πολυσυνθέτων. Δ'. Ἐπὶ τῶν ἀπεραντομεγεθῶν, ἢ διὰ τὸ τῆ μεγέθες ἐλάχιστον τιὼ αἰθήσεως ἀκμιὼ διαφευγόντων, ἢ τῶν πάνυ πόῤῥωθεν ἀπαντώντων. Ε'. τῶν ἐκ διδασκαλίας κοινωνεμένων ἡμῖν ἐννοιῶν, ἀμαυρὰ ἐγγεάφεται καὶ συγκεχυμένα τὰ ἴχνη, ἢ ὅτε πολλαὶ αἱ ἰδέαι ἐπαλλήλως ἐπιφορῆνται, ἢ ὅτι περισάσεις ἀλλότριοί τε καὶ ξέναι, καὶ μηδὲν πρὸς τὸ παρὸν τείνεσαι παρεισάγονται. ς'. ἢ ὅτι ἀδιασρόφῳ καὶ προθυσέρᾳ τῇ τάξει τὰ λεγόμενα ὑποβάλλεται, ἢ διὰ φωνῶν ὁμωνύμων συγχεῖται, ἢ τέως διὰ παραβολῶν, καὶ αἰνιγμάτων, καὶ γρίφων τοῖς ἀκροωμένοις προτίθεται, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκόοντες μὴ συνιῶσι. Τὰ μὲν ἓν τῆς τῶν ἐννοιῶν παραίτιαι συγχύσεώς τε

καὶ ἀσαφείας, χεδόντι ταῦτα. Ἰέναι δὲ δεῖν τέτοις ἀπεναντίον, τὰς τὸ σαφὲς καὶ διηκριβωμένον τῶν νοημάτων διώκοντας, εὐνοῆσαι ῥᾴδιον.

§. ξζ. Περὶ τῆς τῶν πρώτων ἐννοιῶν κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι διαφορᾶς, καὶ πάλαι ἠπόρηται. Εἰ καὶ ταύταις ἑκάτερον ἐν τῷ μέρει παρασυμβαίνειν ὑπολητέον, ἢ μηδέτερον, ἢ θάτερον, τὸ γᾶν ἀληθεύειν, ἀνεπιδέκτοις μόνε ὄσαις τᾶ ψεύδεσθαι; Τᾶ τοίνυν ἀληθᾶς καὶ τᾶ ψεύδες, τᾶ μὲν κατὰ τὸ σύμφωνον, τᾶ δὲ κατὰ τὸ διάφωνον ὡς εἴρηται (Προδι. Γ. §. γ'.), ὅπερ ἐστὶν ἐν χέσει τινὶ, τὸ εἶναι ἐχόντων (1), καθὸ τῇ κατ' αὐτὰς προσλήψει τὸ προσληπτὸν ἀεὶ σύμφωνόν ἐστι, ταύτηγε αἱ ἔννοιαι ἀείπως ἀληθεύσαι εἰσί. Μαρτυρεῖ δὲ ἡ ὁπαδὸς ἑκάστη ἐνδοτάτη συνείδησις, δι' ἧς καὶ ἐπὶ τῶν πλασματωδῶν αὐτῶν ἰδεῶν, εὐθὺν ἕτερον ἕκαστος ἑαυτὸν οἶδε νοοῦντα, παρ' αὐτὸ τὸ νοέμενον. Ἀλλὰ γὰρ καταχρησικωτέρατις ἂν εἴη ἡ τοιαύτη ἀλήθεια, ὥσπερ δὴ καὶ ἡ κατὰ τὴν συμφωνίαν χέσις ἐφ' ᾗ κρηπίζεται· χέσις γὰρ τᾶ αὐτᾶ πρὸς ἑαυτὸ κατὰ τὸ αὐτό, ὁποίατις κυρίως ἂν γένοιτο; Καὶ δέον ἄρα τὰς ἐννοίας πρὸς τὰ παρ' ἑαυτὰς ἐξετάζειν, καὶ ὅπως πρὸς αὐτὰ ἀληθείας ἢ ψεύδες ἔχεσι φιλοκρινεῖν. Παραβάλλοιντο δ' ἂν ἔτως αἱ παρ' ἡμῖν ἔννοιαι, πρῶτον μὲν ταῖς περὶ τῶν αὐτῶν παρὰ τοῖς ἄλλοις ἀνθρώποις. Β'. ταῖς φωναῖς, ἢ τοῖς γράμμασιν, ἢ τοῖς νεύμασιν, ἢ τοῖς ἄλλοις οἱοισδηποτῶν σημείοις, οἷσπερ διασημαίνονται. Γ'. αὐταῖς ταῖς τῶν ὄντων Φύσεσι. Κατὰ ταῦτα τοίνυν τῆς παραθέσεως γινομένης, εἴτις τὸ ὑπὸ ἑτέρε νοητὸν συμβάλλειν οἷον ἐστὶ, διατείνοιτο (οἷον τλὺ ἐγκόσμιον ψυχλὺ τλὺ κατὰ Πλάτωνα, τλὺ ἐντελέχειαν τλὺ κατ' Ἀριστοτέλλυ,) ἐὰν μὲν σύμφωνον τῇ κατ' ἐκείνες φέρῃ, ἀληθεύουσαν ἕξει τλὺ ἔννοιαν, ψευδομένλυ δὲ, εἴπερ διάφωνον. Καὶ πάλιν τοιαῦτα ἐννοῶν, οἷαπερ ἐκδηλᾶν τὰ ὀνόματα, ἢ τὰ γράμματα, ἢ τὰ τεθέντα ἄλλα σημεῖα νενόμισαι, ἀληθεύσει τὰς ἐννοίας, ἕτερα δὲ παρὰ τλὺ τῶν σημείων δυάμιν ἀναπλάττων, οἷον εἰ σφαιροειδᾶς χήματος λεγομένε, αὐτὸς σφαῖραν ἐνδάλλοιτο τὸ

(1) „Ἐν χέσει τινὶ τῶν νοημάτων, „ἢ τῶν φωνῶν τῇ πρὸς τὰ πράγματα, „τὸ τοιᾶτον ἀληθᾶς ἀποτελᾶται καὶ „τὸ ψεῦδος. (Ἀμμῶν ἐς τὸ περὶ Ἑρμην.)

τὸ σημαινόμενον, ψεύσεται. Καὶ τρίτον ἀπαραλλάκτως τοῖς ἐν τοῖς ἔξω ἀρχετύποις κατὰ τὸ γνωστικὸν τὰς τῶν ἐννοιῶν φέρων εἰκόνας, ἀληθεῖς εἰρήσεται τὰς ἐννοίας ἔχειν· εἰ δὲ παρηλλαγμένας, ψευδεῖς· οἷον εἰ κέφον, καὶ μὴ ἐλασικὸν ἐννοεῖ τὸν ἀέρα, παρ' ὃ φύσει πέφυκεν. Ἀλλ' ἐπὶ τούτων ἁπάντων ῥάδιον συνιδεῖν, ὅτι κρίσις τις ἐμφιλοχωρεῖ ταῖς ἐννοίαις ὑπολανθάνουσα διὰ τὴν γινομένην παράθεσιν. Διὸ καὶ τῇ δυνάμει τῆς τοιᾶσδε κρίσεως τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἐκείναις παροπηδεῖ. Ἁπλῆς δ' ἐννοίας καθ' ἑαυτὴν καὶ ἀχέτως θεωρεμένης, ὥσπερ δὴ καταφάσεώς τε καὶ ἀποφάσεως (§. γ'.) ἔστοι καὶ ἀληθείας κυρίως εἰπεῖν, ἢ ψεύδος, ἡ φύσις ἐστὶν, ἀνεπίδεκτος (1).

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ.

Διαφοραὶ ἄλλαι ἐννοιῶν, συγκεκριμένων καὶ Ἀφῃρημένων.

§. ξή.

Ὅντε παρὰ τῶν ἐκτὸς (§. κς'. κζ'.) διὰ τῶν αἰσθήσεων, καὶ ὧν παρ' ἑαυτοῖς τὸν νοῦν ἐφισάνοντες (§. κά.) φέρομεν ἀντιλήψεων, εὐδεμίαν ὀρθῶς ἄντις ἐπισήσας εὑρήσει καθ' ἑαυτὴν ἰδιάζουσαν, καὶ μονήρη, ἔτω φαίνοι, καὶ ἀπρόσμικτον ταῖς λοιπαῖς, ἔτ' ἐν τοῖς ἔξω αὐτοῖς τελοῦσαν εἰς ἅπερ ἀνάγεται, ἔτ' ἐν τῇ γνωστικῇ δυνάμει, καὶ τοῖς κατ' αὐτὴν ἐννοήμασιν, ἐπὶ πολὺ μένειν θέλουσαν. Ἐν ἀρχῇ μὲν γὰρ, κατὰ μίαν ἴσως ἡ ψυχὴ τὰς ἁπλουστέρας ἀπηνέγκατο τῶν ἐννοιῶν, ἥπερ ὑπὸ τῶν πραγμάτων ἔτυχε κινηθεῖσα, ἢ

(1) Ὅρα Ἀριστ. περὶ τὸ τέλος τῶν πρὸ τῶν Κατηγορ. Καὶ Κεφ. περὶ τῶν Ἀντιθέτ. Καὶ βιβλ. γ'. περὶ ψυχ. Κ. ε'. Καὶ εἰς τὸ περὶ Ἑρμην. Ἔνθα Ἀμμωνᾶς. ἐν ὑπομν. „Ἡ μὲν ἓν ἀληθεια καὶ τὸ ψεῦδος, ἐν δὲσι τῶν ἁ„πλῶν θεωρηθήσεται. Περὶ μόνα δὲ „τὰ σύνθετα νοήματα, (νοητέον τὰς „κρίσεις) καὶ τὰς συνθέτους φωνὰς „(τατέστι τὰς προτάσεις) θεωρηθήσε„ται. Ὅρα καὶ Νικηφ. Βλεμμ. Ἐπιτ. Λογ. Κεφ. κς'. Καὶ ἐν τοῖς Νεωτέροις Λώκιον περὶ τῆ Νῆ Βιβλ. Β'. Κεφ. λβ'.

παρ' ἑαυτῆς ἐναχθεῖσα εἰς νόησιν· οἷον πρῶτα τῷ ἐν τῇ Φλογὶ φέγγει τὸ τῆ βρέφθ προσέχε ψυχάριον, καὶ τῇ ὄψει ἐνησμενίσατο. Εἶθ' ὅτι καὶ κινεῖσθαι πεφυκὸς συνεῖδε τὸ Φλόγιον, μηδ' ἀτρεμεῖν· Ἄλλοτε δὲ καὶ τὸ χῆμα τὸ εἰς ὀξύτητα ἀπολῆγον περιεργότερον ἐμβλέψαν σωέβαλε. Καὶ ποτε καὶ ὅτι πόρρω αὐτῆ ἐστὶ τὸ ὁρώμενον κατενόησε, καὶ τάχα καὶ ἐγγὺς αὐτῷ γενέσθαι προήχθη, καὶ χεῖρα ὠρέξατο. Πελάσαν δὲ εἰ τύχοι, καὶ ἐφαψάμενον, ἀδοκήτῳ τῷ κακῷ ἐπλήγη ὑπὸ τῆς καύσεως, καὶ τὸ ἐντεῦθεν ἐκκλίνειν ἐδιδάχθη, ὡς ἀλγηδόνος παραίτιον, τιὼ ἐγγύτητα. Εἶδε δέποτε πρῶτον παρατετηρηκὸς, καὶ ὅτι πνοῆς ῥιπῇ, ἢ ὁπωσῦν ἄλλως ἐπηρεασθὲν ἀπέσβη τὸ Φῶς, καὶ εἰς τὸ μηκὲτ' εἶναι ἐτράπη. Ἄλλοτε πάλιν, ὅτι ἀνήφθη Φλογὸς ἄλλης τῇ ἐπαφῇ, καὶ ὡς ἄρα εἰς τὸ εἶναι ἡ Φλὸξ ἀποκατέστη, ἥτις ἦν πρότερον. Ταύτας ἅτωπως ἐν μέρει, καὶ κατὰ μίαν, ὡς εἴρηται, τιὼ ψυχιὼ εἰκὸς ἐν ἀρχῇ προσειληφέναι τὰς ἀντιλήψεις, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Τῇ γεμιὼ τῆ χρόνῳ προόδῳ, ταῖς αὐταῖς προλήψεσιν ἐπιβαλοῦσα συχνὰ, καὶ τὰς μὲν ἅμα, ἢ πεφύκασιν, ἀπαντώσας ἕρεσα, τὰς δὲ, καὶ κατὰ τὸν ῥηθέντα νόμον τῆ συνινδάλλεσθαι τὰς συμπροσπεσέσας ποτὲ φαντασίας (§. λζ'.), συμπλέκειντε ἤδη καὶ συνεπινοεῖν αὐτὰς προσεδιδεῖσα, ἐκέτι δὴ ἁπλῶς τῶν ἕκαστα προσλαμβάνειν φιλεῖ, οἷα τιὼ ἀρχιὼ, σωημμένως δὲ, καὶ οἷον κατὰ συσήματα. Καὶ ἔτως ἓν τῶν ἐννοιῶν τὰς μὴ ἁπλᾶς (§. μβ'.) συνεπορισάμεθα, τάς τε Φύσει δηλαδὴ συνθέτας (§. μγ'.), καὶ τὰς ὁπωσῦν ἄλλως συμπεπλεγμένας (§. μδ'.), καθ' ἃς ἐφ' ἡμῖν τὰ πλεῖστα ἡ τῶν ἁπλουστέρων συνεπιπλοκὴ, καὶ συνέλευσις. Πολλῶν γὰρ ἅμα ἐπὶ τούτων ἑκάστης προσβολῇ μιᾷ συνεπιθραττόμεθα. Οἷον ἐπὶ τῆς Φλογὸς ἅμα ἐκείνων, καὶ Φωτὸς, καὶ τῆ καυσικῆ, καὶ τῆ χήματος, καὶ τῶν λοιπῶν συναντιλαμβανόμεθα. Καὶ ἐπὶ τῶν ἄλλων παραπλησίως. Καὶ ταύτας δὴ τὰς ἐννοίας συγκεκριμένας ἔδοξε καλεῖν, ἐδού ἄλλο ἢ συμμιγῆτινα, καὶ ποικίλα τῶν ἁπλουστέρων ἰδεῶν ὅσας συγκρίματα.

§. ξθ'. Ἐπὶ ἓν τῶν τοιούτων συγκριμάτων, ὧν εἴδη παντοῖα ἐστὶ, τὰ μὲν Συνθέσει (§. μγ'.) τὰ δὲ Ἐπαναλήψει (§. μδ'.) Συγκυρήσει (§. μέ), Περισάσει (§. μς'.), Τέχνῃ (§. μζ'.), Σχέσει (§. μή'.), Ἐπινοίᾳ (§. μθ'.), Ὑπολήψει (§. ν'.) καὶ

ἅμα

ἄλλα ἴσως, ἅπερ ἄντις ἐπὶ τοῖς δε προσσημειώσειεν, ἀεί ποτέτι προϋποτίθεται, τὸ θεμελίε δίκιω, ἢ βάσεως ὑφισάμενον, καὶ τὰ συγκρινόμενα ἐκεῖνα (εἴτε ἁπλεςέρας ἐννοίας εἴποις, εἴτε γνωρίσματα, εἴτε ἴδια, εἴτε προσόντα, ἢ πάθη, ἢ μέρη, ἢ ὅ,τι ἄλλο δόξεις καλεῖν) προϊχόμενον, καὶ κατ' αὐτά πως εἰδοποιέμενον, γνωριζόμενον, διοριζόμενον, ἑνὶ λόγω, ὁτίποτε, καὶ οἷον ἐξὶ παρισάμενον. Ἐπειδὴ γὰρ ἀπότινος ἀεὶ αἰτίε ὁ Νῶς, ἤτοι παρ' ἑαυτῦ, ἢ παρ' ἄλλε τὰς ὥσπερ ἔχει ἰδέας οἶδεν ἀποφερόμενος, ὑπεῖναι καίτι ἐξ ἀνάγκης εισβάλλει, πρὸς ὅπερ ἀνάγειν, καὶ ᾧ προσαπονέμειν ὡς ἀρχῇ καὶ αἰτίᾳ δεήσει, τὰ εἴτε καθ' αὑ, εἴτε καὶ ἅμα ὡς ἐξ ἐκείνου αὐτῷ παρισάμενα. Καὶ τῦτο δὴ, τὸ ἐκ οἷ ὅ,τι μὲν ὄν, ἑφ' ἑκάσης δὲ ὅμως συγκεκριμένης ἡμῖν ἁπάντων ἐννοίας, Οὐσίαν ἐώθαμεν ἀποκαλεῖν πρώτιω, καὶ πρῶτον ὑποκείμενον. Οἷον τόδε τὸ ἐν ἐπισήμῳ τῇ βαρύτητι βρίθον, καὶ μαρμαῖρον ἐν αὐγοειδεῖ τῇ ὠχρότητι, καὶ εἰς ἰὸν μὲν ἥκισα τρεπτὸν, ἐν πυρὶ δὲ ἀδαπάνως χωνδτὸν, ὑπὸ σφύρᾳ δὲ ἀθραύσως ἐλατὸν, καὶ εἰς λεπτότητα ὑπερφυῆτινα προακτὸν, ἐν δὲ τῷ βασιλικῷ λεγομένῳ ὕδατι ἀναλυτὸν, ἔννοιά τις ἐξὶ συγκεκριμένη, καθ' ἣν ἐκ οἷ ὅ,τι ὡς ὑποκείμενον τέτων ἁπάντων προεπινοεῖται, ἐν ᾧτε, καὶ περὶ ὅ ταῦτα περίεσιν.

§. ὁ. Οὕτω δέτοι ἀπαραιτήτως ἔοικεν ἔχειν τὸ τοιόνδε οἷον ὑπέρεισμα ἐπὶ τῶν συγκεκριμένων ἐννοιῶν, ὥσε καὶ ἐπὶ τῶν συγκριμάτων ἐκείνων, οἷς κυρίως τοιῦτον ὑπεξιν ἐδέν, ἢ νοεῖται, (δεῖται γὰρ ὁλικῶς καὶεῖνα θεμελίου τινὸς, ᾧ ἂν ἱδρύοιτο)· τλὶ ψυχλὶ αὐτόπως ἀπαιτεῖν, καὶ μηδὲν ὄν, ἀπαιδδύτως τὰ πολλὰ ἀναπλάττειν (§. μθ'.). Ταύτῃ δὴ καὶ τὸ χῆμα τὸ ςερεὸν, καὶ πάντῃ πάντως περιφερὲς, καὶ ἡ μετάβασις ἡ ἀπὸ τόπε εἰς τόπον, καὶ ἡ λύπη ἡ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, καὶ ὅσα τοιαῦτα, συγκεκριμέναι ἔννοιαι δοκεῖσιν εἶναι, ἡ μὲν τλὶ σφαῖραν νοεῖν παρέχεσα, ἡ δὲ τλὶ κίνησιν, ἡ δὲ τὸν φθόνον, καθὰ καὶ ἡ ἀνωτέρω παρεῖχε, νοεῖν τὸν χρυσόν. Ἀλλ' ἐπὶ μὲν ἐκείνε (τῷ χρυσῷ δηλονότι) δεικτικῶς προσληφθέντος, τὸ ἐκ οἷ ὅ,τι τῦτο, ὅ φαμεν οἷον ὑπέρεισμα, ἕκατόντι εἶναι νοεῖται καθ' ἑαυτὸ ὑφεσὼς, πρὸς ἑδὲν ἔτι ἄλλο ἐπαναγόμενον· ἤγε μλὶ σφαῖρα, ἡ θεμελίε δίκιω τῷ χήματι τῷ ςερεῷ, καὶ πάντῃ πάντως περιφερεῖ ὑφεδράζεδαι νοεμένη, ἤτε κίνησις, ἡ τῇ ἀπὸ τόπε εἰς

τόπον

τόπον μεταβάσει ὑποτιθεμένη, θεμελίȣ ἄλλȣ χρήζȣσι περαιτέρω, ἐφ' ᾧ ἂν ςηριχθεῖεν· τȣ̃δε φέρε τȣ̃ χρυσȣ̃, ἢ ἄλλȣτȣ σώματος· Ὥσπερ δὴ καὶ τῆς ψυχῆς ὁ φθόνος.

§. οα'. Τὰς αἷς τὸ ἔσχατον συνεκλαμβάνεται ὑποκείμενον, ἐννοίας κυρίως συγκεκριμένας ἀποκαλεῖν ἀξιῶ· τὰς δὲ πρὸς ἄλλοτι περαιτέρω ἀφορώσας, κακείνȣ πρὸς ὑπόςασιν ἐνδεῶς ἐχȣ́σας (δεδόσθω δὲ διαςολῆς χάριν) συγκρινομένας· ταύτας γὰρ συνθέτȣς μὲν, ἢ συμπεπλεγμένας (§. μγ'.) οἶδα, συγκεκριμένας δὲ ȣ̓́πω τελείως· ὡς μὴ τέλεον εἰληφείας, ἀλλ' οἷον ἐν τῷ γίγνεσθαι ἔτι ἐχȣ́σας τὴν σύγκρισιν, καὶ ȣ̓δὲν πλέον ȣ̓́σας ἢ κατ' ἐπίνοιαν. Τὸ μὲν γὰρ, ἐκ τῆς εἰς ταὐτὸ τῶν ἁπλȣςέρων συνδρομῆς πάρεςι ταῖς ἐννοίαις, τὸ συνθέτοις εἶναι, ἢ συμπεπλεγμέναις, τὸ δὲ, καὶ ἐκ τῆς βάσεως, ἤτοι τȣ̃ ὑποκειμένȣ (§. ξθ'. ο'.), τὸ εἶναι συγκεκριμέναις. Διὸ καὶ ἡ ἐν πλήρει τῷ συγκρίματι, καὶ ἐν συνθέσει, ἢ ἐν συμπλοκῇ ἡ αὐτὴ ἔςαι, ἀνάπαλιν δ' ȣ̓́. Καὶ γὰρ, καὶ ἡ τȣ̃ ἀνθρώπȣ ἐν εἴδει, ᾗ ζῶον λογικὸν, συγκρινομένη μὲν ὑπάρχει, ȣ̓ συγκεκριμένη δὲ, ὡς ἡ τȣ̃δε τȣ̃ ἀνθρώπȣ· οἷον ἡ τȣ̃ Σωκράτȣς. Ταύτης γὰρ τὸ νοητὸν ἐν πράγμασιν ὅλως, καὶ πρᾶγμα αὐτόχρημα· Ἐκείνης δὲ κατ' ἐπίνοιαν ἔτι, καὶ τῷ ὄντι ἐννόημα. Διακριτέον δὲ μεταξὺ τῶν κατ' ἐπίνοιαν (§. μθ'.) τὰς τὴν συγκεκριμένην πράγματι ἀπομιμȣμένας. Αὗται γὰρ ἐν ὑποςάσει πλαττόμεναι εἰσὶ, καίτοι πλαττόμεναι. (1).

§. οβ'. Εἰσὶν ȣ̓̃ν καὶ ἔννοιαι συγκεκριμέναι ἐκ συγκεκριμένων· αἱ μὲν φύσει, οἷον ἡ τȣ̃ Σωκράτȣς ἐκ τῆς ψυχῆς, καὶ τȣ̃ σώματος· ἡ ἑκάςȣ τῶν συνθέτων σωμάτων ἐκ τῶν ςοιχείων, ἐξ

(1) Ταραττέσθω δὲ μηδεὶς, εἰ τὴν τȣ̃ ἀνθρώπȣ ἔννοιαν ἡμεῖς, ταῖς μὴ τέλεον συγκεκριμέναις, κατ' ἐπίνοιαν δὲ ȣ̓́σαις συγκαταλέγοντες αὐτὴν, ἔπειτα τὴν τȣ̃ Βριάρεω, καὶ τὰς κατ' αὐτὴν καίτοι πλασματώδεις, τὰς συγκεκριμένας ἀπομιμεῖσθαι φαμέν. Εἴτις γὰρ ἀκριβῶς ἐπιςήσειε, τὴν τȣ̃ καθόλȣ ἀνθρώπȣ ἰδέαν, ȣ̓δὲν πλέον εὑρήσει ȣ̓̃σαν, ἢ κατ' ἐπίνοιαν. τόδ' ἔτι μᾶλλον, καὶ ἐπίνοιαν, τὴν τὸ ἐν ὑποςάσει εἶναι ἀποκλείȣσαν· τὸ γὰρ ἐν ὑποςάσει, καὶ κατὰ μέρος· ὥςε εἴη περ ἄν, ἡ μὴ κατ' ἐπίνοιαν, ἐν ὑποςάσει δὲ τȣ̃ καθόλȣ ἀνθρώπου ἔννοια, καθόλȣτε ἡ αὐτὴ, καὶ μὴ καθόλȣ· τὸ μὲν διὰ τὴν ὑπόθεσιν, τὸ δὲ διὰ τὴν ὑπόςασιν. Διὸ καὶ ἀδυνάτως ἄν ἔχοι, ὡς ἀντιφάσει περιπίπτȣσα. Ἡ δὲ τȣ̃ Βριάρεω πλαττομένη ἐπίνοια, κἂν ἄλλως τερατώδηςτε καὶ ἀλλόκοτος, ἀνύπαρκτος μὲν ἐςὶν, ἀδύνατον δὲ ȣ̓δεὶς ἄν εἴποι, ἕως ȣ̓̃ μὴ δείξει καὶ ἀντιφάσκȣσαν.

ἐξ ὧν αὐτῷ ἡ σύνθεσις· αἱ δὲ μὴ Φύσει, οἷον ἡ τῦ οἴκε ἐκ ξύλων, καὶ πλίνθων, ἡ τῆς πόλεως, κξ. Καὶ ἔννοιαι συγκεκριμέναι ἐκ συγκρινομένων, ἤτοι Φύσει πάλιν, οἷα ἡ τῆσδε τῆς ψυχῆς ἐκ Νῦ, καὶ βελήσεως, ἡ τῦδε τῦ σώματος ἐξ ὕλης καὶ εἴδους· ἢ μὴ Φύσει, οἷον ἡ τῆσδε τῆς χρυσῆς σφαίρας, ἡ τῦδε τῦ φιλοσόφυ.

§. ογ'. Καὶ χωρεῖ δὲ βαθμηδὸν ἡ τῶν ἐννοιῶν πρόοδος, ἀπὸ τῶν ἁπλουστέρων ἀρχομένη, καὶ διὰ τῶν συγκρινομένων ἰοῦσα, ἐπὶ τὰς αὐτοτελῶς συγκεκριμένας. (§. οα'. οβ'.). Εἶτα δὲ τούτων ἔτι μᾶλλον καὶ μᾶλλον ἀλλήλαις συμπλεκομένων, ἔσχ' ἐπ' αὐτῷ τέως προάγεται τῷ ὁλικωτάτῳ ἰδέαν τῦ παντὸς σωτάγματος. Καὶ γὰρ ἀπὸ τῦ νοεῖν τε καὶ βούλεθαι εἴτις ὁρμηθείη, ἐπὶ τὰς ἐννοίας τῆς νοητικῆς καὶ βουλητικῆς, τῶν δυνάμεων ῥᾷστα ἂν μεταβαίη· ἐξ ὧν τῷ αὐτῷ ψυχῷ συμβάλοιτο. Ἐκ δὲ ταύτης, καὶ τῦ σώματος, τῷ τῦ καθ' ἑαυτὸν ἀνθρώπυ συγκεκριμένῳ ἤδη αὐτοτελῶς καὶ πλήρη κομίσαιτο ἔννοιαν. Ἐξ ἑαυτῦ δὲ, καὶ τούτυ, κἀκείνυ, πληθυὼ ἀνθρώπων ἀναλογιώσεται· ἐντεῦθεν δὲ καὶ σύμπαν τὸ ἀνθρώπινον. Συνεπιπλέξας δὲ καὶ τὰ παρὰ τὸν ἄνθρωπον ζῶα πάντα συλλήβδην, καὶ φυτὰ, καὶ μέταλλα σὺν τούτοις, καὶ ὅσα ἐπὶ γῆς, καὶ ὅσα ὑπὸ γῆν, τῆς οἰκεμένης ἡμῖν ταύτης σφαίρας ἀντιληφθήσεται. Οὕτω δὲ προϊών, καὶ τὰ τῶν στοιχείων εἴδη συνάμα τῇ γῇ συλλαβών, συνεπαθροίσας τε τούτοις καὶ τῶν ἐρανίων ὅσα συστήματα, καὶ τὰ ἐν αὐτοῖς ἅπαντα, τῷ ὁλοχερῆ τέως ἰδέαν ἕξει τῦ τῶν ὅλων πληρώματος· τῷ συγκεκριμένῳ μὲν καθεστῶσαν, διὰ δὲ πληθυόμενον καὶ μέγεθος (§. ξδ'. ξς'.) ἔσαν δυσφάνταστον.

§. οδ'. Τῶν ἐν ταῖς καθ' οἱανδήτινα σύγκρισιν συνισαμέναις, ἁπλουστέρων ἐννοιῶν, αἱ μὲν ἀπαραιτήτως ἀλλήλαις ἐπὶ τὸ αὐτὸ συνίασι· τετέχνιν ἀναγκαίως. Αἱ δὲ μὴ ἀπαραιτήτως, ἀλλ' ἐνδεχομένως (§. μγ'.). Καὶ τῶν ἀπαραιτήτως, αἱ μὲν κατά τινα ἀλληλοχίαν, θατέρας θατέρᾳ συνηρτημένης τε καὶ συνεπινοουμένης· οἷον ἐν τῷ Σωκράτει ἡ τῆς ψυχῆς, καὶ ἡ τῦ σώματος, τῆς μὲν εἰδοποιούσης, τῦ δὲ εἰδοποιουμένυ. Ὁμοίως ἡ τῦ λογικῦ, καὶ ἡ τῦ γελαστικῦ. Ἐν τῇ ψυχῇ ἡ τῦ Νῦ, καὶ ἡ τῆς βελήσεως. Ἐν τῷ σώματι ἡ τῦ μεγέθυς, καὶ ἡ τῦ σχήματος· ἐν τῷ τριγώνῳ, ἡ τῶν τριῶν πλευρῶν, καὶ ἡ τῶν τριῶν γωνιῶν. Αἱ δὲ ἕτως, ὡς μηδετέραν

ραν

ραν ἔχεθαι μηδετέρας· οἷον ἐν τῷ σώματι ἡ τῦ μεγέθυς, καὶ ἡ τῦ βάρυς. Ἐπὶ τῆς χιόνος ἡ τῦ ψύχυς, καὶ ἡ τῆς λευκότητος. Ἐπὶ τῦ ῥόδυ ἡ τῆς χρόας, καὶ ἡ τῆς ὀδμῆς. Ὡσαύτως δὲ, καὶ τῶν μὴ ἀπαραιτήτων, ἤτοι θατέρας ἐχομένη ἐστὶν ἡ ἑτέρα· οἷον ἐν τῇ ψυχῇ ἡ τῆς θεωρίας, καὶ ἡ τῆς πράξεως· ἐν τῷ σώματι, ἡ τῦ σφαιροειδὲς εἶναι, καὶ ἡ τῦ κύλιςον· ἢ ἑτέρα ἑτέρας· οἷον ἐπὶ τῦ Σωκράτυς, ἡ τῦ Ξανθίππης γαμέτιν εἶναι, καὶ ἡ τῦ φιλόσοφον.

§. οέ. Ἐκ τῶν εἰρημένων τίνες αἱ ἀφῃρημέναι καλέμεναι ἔννοιαι συνιδεῖν ῥάδιον. Εἰσὶ γὰρ ἁπλῶς, ἐφ' ὧν τὰ νοητὰ μὴ πεφυκότα χωρὶς εἶναι καθ' ἑαυτὰ, χωρὶς ὅμως θεωρῆται νοέμενα. Πλατεῖ γὰρ καὶ ταύτιν, πρὸς ταῖς ἄλλαις, παρὰ τῦ Δημιυργῦ ἡ λογικὴ ψυχὴ λαβῦσα τιὼ δύναμιν (§. βʹ. καέ. μθʹ.), καὶ καθάπερ ἐκ τῶν ἁπλυςέρων τὰς συμπεπλεγμένας ἐννοίας ἐκ ἀδυνατεῖ κατὰ τὸ δοκῶν ἀναπλάττειν (§. ναέ.), ἕτως ἐκ τῦ ἐναντίυ ἀπὸ τῶν συμπεπλεγμένων τε καὶ συνθέτων, τὰς ἁπλυςέρας οὐ μέρει οἵατε ἐςὶν ἐπιθεωρεῖν. Διὸ καὶ τὰ κατ' ἀφαίρεσιν νοέμενα, ἔργον ἐπινοίας τιθέναι (§. μθʹ.) εὔλογον.

§. οζ. Ἔννοια τοιγαρῦν ἀφῃρημένη, ἢ κατ' ἀφαίρεσιν ἂν εἴη, Αʹ. ἡ προσληπτικὴ τῦ ἐχάτυ ἐκείνυ, καὶ θεμελίυ δίκιν ὡς εἴρηται (§. ξθʹ.) ὑποκειμένυ, εἰποτέτις ἄνθ τῶν ἐπ' αὐτῷ ἱδρυμένων συλλαβῖν αὐτὸ ἐκβιάζοιτο, καὶ ἀμυδραῖς ἐπινοίαις εἰκάσαι. Οὐδεὶς γὰρ ἐπιεικῶς ἂν ἔχοι, ἐθ' ὅ,τι, ἐθ' οἷον ἐςὶν ἐκεῖνο συμβαλεῖν καὶ περινοῆσαι, ἢ ὅτι τοῖς ἐν αὐτῷ καὶ περὶ αὐτὸ νοεμένοις, ὑφίσαται πως, καὶ ὑποβέβηκε, νόθοις λογισμοῖς ἀτεχνῶς ληπτόν· τὸν δὲ τρόπον τῦτον, καὶ ἡ τῆς ἀνειδέυ καὶ ἀσχηματίςυ ὕλης ἀπονενόθευται νόησις.

§. οζ. Βʹ. Καὶ τὰ ἐκ πλειόνων ἁπλυςέρων συγκρίματα ἀνάπαλιν, ἄνευ τῦ ἐχάτυ αὐτῶν ἐκείνυ θεμελίυ νοέμενα, (§. οʹ.), ἐπειδὴ τοιαῦτα ἐν τοῖς ἔσιν εἶναι ὁ πέφυκε (§. οέ.), δεῖται δὲ περαιτέρω τῦ ἐφεδράσοντος, ἀφῃρημέναι ἔννοιαι εἰσίν· οἷον κύκλος, ἄνθρωπος, κοινῇ ἕτω καὶ ἀορίςως. Ταύτας μὲν ἓν τῶν συγκεκριμένων κυρίως ἀποδιαςέλλοντες (§. οάʹ.) συγκρινομένας λέγεθαι ἠτησάμεθα· ἅς ποτὲ μὲν καθ' ὁμοιότητα τῶν συγκεκριμένων ἐκφέρομεν, ἄνθρωπον φάσκοντες, καὶ κύκλον· ποτὲ δὲ καθ' ὁμοιότητα τῶν ἀφῃρημένων· ὡς ὅτε λέγομεν ἀνθρωπότητα, καὶ, εἰ τῦτο ἔξεσι, καὶ κυκλότητα.

§. οή.

§. οή. Γ. Καὶ τῶν ἁπλουστέρων δὲ, μιᾷ ἑκάστῃ ἐννοίᾳ ἐπειδὰν χωρὶς ἐπιβάλλωμεν, ἄνευ τοῦ ὑποκειμένου ἀναπολοῦντες αὐτὴν, ἐν ᾧ ἐστὶν, εἴτε ἀπαραιτήτως, εἴτε καὶ μὴ (§. οδ'.), καὶ ἄνω δὲ τῆς ἄλλης, ἧς, εἰ τύχοι, καὶ κατάτινα ἀλληλοχίαν παρήρτηται (§. Αὐτ.), ἀφῃρημένως, ἢ κατ' ἀφαίρεσιν ἐννοεῖν λεγόμεθα. Οὕτω δύναμιν νοητικὴν νοοῦμεν καθ' ἑαυτὴν, καὶ κίνησιν χωρὶς τοῦ σώματος, καὶ τὰ παραπλήσια. (1).

§. οθ'. Ὥσπερ οὖν συγκεκριμένας ἐννοίας (§. ογ'.), μᾶλλον καὶ μᾶλλον ἔχειν ἐστὶν, οὕτω τοι καὶ ἀφῃρημένας ἄλλας ἀπ' ἄλλων, ἀπὸ τῶν ἧττον ἀνάπαλιν χωροῦντας ἐπὶ τὰ μᾶλλον ἁπλούστερα· οἷον εἴτις ὑποκειμένου τοῦ Σωκράτους, ἀπαγωγῇ τῆς κατ' αὐτὸν πρώτης οὐσίας (§. οζ'.) καὶ τῶν αὐτῇ προσιδιαζόντων, ἐννοήσειεν ἁπλῶς ἄνθρωπον. Εἶτα καὶ τὸ λόγου μετέχειν καὶ νοῦ παρεπόμενος, τὸ ζῷον καθ' ἑαυτὸ, ἢ σῶμα ἔμψυ-

(1) Εἰς ταῦτα φέρει καὶ τὰ τῶν σχολαστικῶν. Εἶδη γὰρ καὶ παρ' αὐτοῖς ἀφαιρέσεως. Α'. τὸ τῆς φύσεως ἀπὸ τοῦ ἔχοντος. Β'. τὸ τῆς μορφῆς, ἣν φασὶν, ἀπὸ τοῦ ὑποκειμένου. Γ'. τὸ τῆς μορφῆς, ἀπὸ ὕλης μορφῆς· ὧν τὸ μὲν Α'. ἐπὶ τὸ καθ' ἡμᾶς Β'. (§. οζ'.) ἀναχθείη· τὸ δὲ Β'. καὶ Γ'. ἐπὶ τὸ Γ'. (§. οη'). Διττὴν δὲ τὴν τῶν μορφῶν, ἢ τῶν (ὡς αὐτοὶ φαμὲν) γνωρισμάτων ἀφαίρεσιν θεωρᾶσι, τὴν μὲν ὡς ἐκ τῶν νοητῶν, ὧν ἑκάτερον ἑκατέρου παρήρτηται, ὡς περὶ τῆς ἐν τῇ χιόνι λευκότητος, καὶ τοῦ ψύχους ἐλέγετο (§. οδ'.), τὴν δὲ ὡς ἐκ τῆς νοούσης δυνάμεως, ἡνίκα συνεπτυγμένως θατέρῳ συνεπινοεῖται θάτερον, οἷον ἐπὶ τῆς ἐν τῷ Θεῷ φασὶ σοφίας καὶ δυνάμεως. Δῆλον γὰρ ὅτι καὶ ἡ σοφία πανδυνὴς, καὶ ἡ δύναμις πάνσοφος. Ἀλλ' ἐχοιτις ἂν οἶμαι τούτων προθῆναι καὶ μέσην, ἐφ' ὧν ἑτέρωθεν μόνον ἡ περιοχὴ καὶ συνεπινόησις· οἷον ἐπὶ ἀνθρώπου τοῦ αἰθητικοῦ καὶ τὸ ἔμψυχον συμπαρίσταται ἐνθεωρούμενον, ἀνάπαλιν δ' ἄν. Ἁπασῶν δὲ μεγίστην ἀφαίρεσιν ἀποκαλεῖν δίκαιον, τὴν τῶν γνωρισμάτων, ἐν οἷς καί τις ἐνεπινοεῖται ἀντίθεσις. Οἵαν αὖθις ἐπὶ τῶν θείων σέβομεν, οἰκτιρμῶν βάθη, καὶ δικαιοσύνης κρίματα χωρὶς ἐξυμνοῦντες, τῶν μὲν οἰκτειρόντων τε, καὶ τὰ ἐπταισμένα ἀφιέντων, τῆς δὲ ἀδεκάστου ἔσης, καὶ τὰς προσηκούσας ποινὰς ἐπαγούσης· Καίπερ εὖ εἰδότες τε καὶ πειθόμενοι, τάτων μηδέτερόν ποτε γίνεσθαι παρὰ θάτερον. Ἐν ὀργῇ γὰρ ἐλέους μνησθήσῃ. Τὴν ἐν τοιαύτην, ἐάν ἔτω διαίρεσιν, ὡς ἀφαίρεσιν τινὰ Εἰδικὴν ἀποκαλεῖν ἀξιώσειαν οἱ περὶ τὸν Σκότον, καὶ ἀφαίρεσιν, εἰ βάλοιντο, ὡς ἐκ τοῦ πράγματος, τατέσιν ὡς ἐκ τῶν ἐν αὐτῷ τῷ πράγματι νοουμένων τελειοτήτων, συνθέσθαι ἔχοιεν ἂν οἶμαι τάτοις, οἱ ἐκ τοῦ Θωμᾶ, λογομαχεῖν περὶ ὀνομάτων ἀφέμενοι. Χωρὶς γὰρ εἶναι δὲ αὐτῆς νοᾶται, ὧν αἱ καθ' ἡμᾶς νοήσεις ἀσυμβάτως ἔχουσιν. Ἀλλ' ὅσον καὶ ἴχνος σχολαστικῆς ὑποδεῖξαι λεπτονοίας, ἄλις.

ἔμψυχον αἰσθητικὸν, ἀναπολήσειεν· Ἐφεξῆς δὲ καὶ τέτων ἀλογήσας, τὸ σῶμα εἶναι· Καὶ ἀπὸ τῦ σώματος τλὺ ἕκτασιν ἀφελὼν, τὸ βάθος, πρᾶγμα τι δηλαδὴ ἀόριστον· τλὺ τῦ Σωκράτες ἔννοιαν τῷ δὲ τῷ τρόπῳ ταῖς ἐπαλλήλοις ἀφαιρέσεσι κατὰ μικρὸν ἕτως εἰπεῖν ἀποσκελετεύσας, ἐπὶ τλὺ γυμνλὺ καὶ ξηρὰν ἰδέαν τῦ ὄντος τέως ἀφίξεται.

§. π'. Σημειωτέον τλὺ ἐκ τῆς Ἀφαιρέσεως τῶν ἐννοιῶν χρῆσιν, ἡλίκητις ἐστίν. Ἔστι γὰρ ἐπιεικῶς μεγίστη πρῶτον ἐξ αὐτῆς ἡ ὄνησις τῇ ψυχῇ, εἰς ἀκριβῆτε καὶ διηρθρωμένλν τῶν πραγμάτων περίνοιαν. Αὐτῇ γὰρ ξενοῖς καθάπερ ὁρίοις κατειλημμένη. καὶ τὰ ἐκ πλειόνων εἰδοποιέμενα χαρακτήρωντε καὶ γνωρισμάτων, οἷα δὴ καὶ ὄψιν τὰ πολυμερῆ καὶ ποικίλα τῶν ὁρατῶν, ἐπιβολῇ μιᾷ ἐπελθεῖν κατὰ τὸ ἀκριβὲς ἀδυνατέσῃ, θαυμασὸν ὅσον σωτελὲς ἐστὶ τὸ ἔργον τόδε τῆς ἀφαιρέσεως. Ἐνδίδωσι γὰρ τῷ ἐπισατικῷ τῦ Νῦ, ἐπ' ἀδείας ἑνὶ ἑκάστῳ τῶν πολλῶν χωρὶς προσενδιατρίβειν, καὶ, καθ' ἕς τὸ ὂν ληπτὸν τυγχάνει, τὲς λόγες ἅπαντας ἀνασκοπεῖν.

§. πά. Β'. δὲ καὶν ταῖς κατ' Ἐπισήμλν θεωρίαις, ἐ μικρὰ συμβάλλεται ἡ τῶν ἐννοιῶν ἀπ' ἀλλήλων ἀφαίρεσις. Ἐπειδὴ γὰρ ἕκασα τῶν ἐν τοῖς ὖσι παθῶν, παντοίων ἐστὶ λόγωντε, καὶ τρόπων, καὶ χέσεων ἐπιδεκτικά, χολῇ γ' ἄντις τὰς διαφορὰς τὰς τέτων λογικῶς ἀποδείξειεν, εἰμὴ πρότερον ἀπὸ τῶν διαφερόντων διακρίνας, σήσειέτε χωρὶς, καὶ καθ' ἑαυτὰ διασκέψαιτο· οἷον ἄλλα μὲν ὄθείας πάθη, ἄλλα δ' ἐπιφανείας, ἄλλα δὲ σώματος. Καὶ τὰ τῶν ἐπιφανειῶν αὖθις τοῖς χήμασι συμποικίλλεται. Ἄλλα γὰρ τριγώνε, ἄλλα δὲ τετραγώνε, κύκλε δὲ ἄλλα. Καὶπὶ τῦ τριγώνε δὲ, τὰ μὲν τῷ ὀρθογωνίῳ προσιδιάζει, τὰ δὲ τοῖς λοιποῖς εἴδεσι. Καὶ ἐκ τῶν πλθρῶν ὡσαύτως. Καὶ ἀνάγκη ἄρα ἀπ' ἄλλων ἐπ' ἄλλα τὸν νῦν ἐπιστρέφειν, τλὺ περὶ ἑκάστε Ἐπισήμλν ἰδίως ληψόμενον, καὶ τάγε φύσει συνημμένα, χωρὶς ἀναθεωρεῖν· ὃ μόνον ἐστὶ λαβεῖν ἐκ τῆς ἀφαιρέσεως.

§. πβ'. Γ'. Καὶ τὰς κοινοτάτας δὲ τῶν ἐννοιῶν ἐκ ἄλλως, ἢ δι' ἀφαιρέσεως ἀναπλάττειν πεφύκαμεν, καὶ ἀνατυπᾶθαι· καὶ ταύτης ἄνθ', κατὰ τὰ κτλύη, ἐκ ἂν ἔχοιμεν φαντάζεθαι τῶν καθ' ἕκασα πλέον ἐδὲν, ἢ ἐπέκεινα. Δι' αὐτῆς δὲ μάλισα τῶν ἀλόγων πλεονεκτῆντες, τὲς καθάλετε καὶ ἀνω-

τάτω

τάτω λόγῳ ἀνθωρίσκομεν τῶν ὄντων, οἵστε διαφέρει, καὶ τίσιν ἕκαστα κοινωνεῖ ἀναδιδασκόμεθα· τάτε ἔτω κοινωνοῦντα, ἐφ' ἂν δεήσοι, εἰς ἓν συμπεριλαμβάνοντες, κρίνομέντε περὶ τῶν πολλῶν, καὶ διανοέμεθα τὰ ἐπιβάλλοντα, ἡνωμένως τε καὶ ἀμερίστως, οἷον περὶ τῦ ἀνθρώπυ, περὶ τῦ κύκλυ, μηδὲν δεόμενοι, τῆς καὶ ἄλλως ἥκιστα δυνατῶς ἐχέσης, τῶν κατὰ μέρος ἁπάντων ἐξαριθμήσεως· ὃ μέγιστόν ἐστι δήπου καὶ τῦτο εἰς θήραν ἐπιστήμης βοήθημα. Ἀλλ' ἐν τέτοις μὲν ἡ τῆς Ἀφαιρέσεως χρῆσις.

§. πγ'. Θεωρητέον δὲ καὶ τινὰ καταχρησιν. Ἡ δὲ συντόμως, ἐν τῷδε κεῖται· Εἴτις τὸ ἤδη ἀφαιρεθὲν, οἷον τὸ τῦ ἀνθρώπυ εἶδος, τὸ τῦ κύκλυ σχῆμα, τὸ τῆς γραμμῆς μῆκος, τὸ μὲν ἄνευ τῦ Σωκράτες, ἢ τῦ Πλάτωνος, κξ. τὸ δὲ ἄνευ τῦ κυκλοειδῶς περατυμένυ σώματος, τὸ δὲ ἄνευ τῦ πλάτυς· Εἴτε καὶ τὸ μετὰ τινὰ ἀφαίρεσιν ὑπολείπεθαι δοκῶν, οἷον τὸ πρῶτον ἐπὶ ἑκάστυ ὑποκεῖθαι νοέμενον, τινὰ ὑπόστασιν, τινὰ ἀνείδεον ὕλιν, καὶ οἱασδήποτε μορφῆς ἀπογυμνωθεῖσαν, ἔτως ἔχειν ἀτεχνῶς ἐν τοῖς ὄσιν ἠγοῖτο, ὥσπερ καὶ ταῖς ἐπινοίαις ταῦτα αὐτῷ παρίσαται. Ἐοίκασιν ἓν ὀρθῶς ἐπισημειώσαντες, οἱ πρώτιν εἶναι δεῖν ἐνέργειαν (§. γ'.) τῦ γνωστικῦ τινὰ κατ' ἀφαίρεσιν ὑποτιθέμενοι· ἄνευ δηλαδὴ τῆς κατὰ τινὰ κρίσιν διαιρέσεως· τετέσιν ἄνευ καταφάσεώς τε καὶ ἀποφάσεως τὸ νοητὸν προσλαμβάνεσαν, εἰ μὴ ψεύδες μέλλοι, καὶ ἀλόγου τερατοπλασίας ἀθύνεθαι. Ἐξ ὃ καὶ τὸ περιφερόμενον ἐκεῖνο, τῶν ἀφαιρέντων ὅτι πορρωτάτω τὸ ψεῦδος ἀπελήλαθαι, ὡς μηδὲν δηλονότι ἀποφαινομένων· (§. ξζ'.) τοῖς δὲ διαιρῦσι πολλάκις ἁμαρτεῖν παρὰ πόδας, ἐδὲν ἧττον ἀληθῶς ἢ χρησίμως λελέχθαι δοκεῖ (ὅρα Προδιατ. Β'. §. ιή'.).

ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

Περὶ ἐννοιῶν βάθους τε καὶ πλάτους.

Ἤτοι

Περὶ ἐννοιῶν τῶν ἐπὶ μέρους, καὶ Καθόλου· Ἔνθα καὶ περὶ τῶν πέντε καθόλου ἐννοιῶν ἐκ τῆς Πορφυρίου Εἰσαγωγῆς.

§. πδ'.

Τὰ, δι' ὧν ἑκάστη τῶν ἀνοιῶν συνίσταται, καὶ συναπαρτίζεται γνωρίσματα, βάθος τῆς ἐννοίας καλεῖν εἰώθασι, καὶ περίληψιν. Ἐπεὶ δὲ τούτων τὰ μὲν ἀπαραιτήτως ἐνεῖναι νοεῖται (§. οδ'.), τὰ δὲ μὴ ἀπαραιτήτως, ταύτητοι καὶ τὸ βάθος τὸ μὲν ἀναγκαῖον λέγειν ἔγνωσαν, τὸ δὲ ἐκ τοῦ ἐνδεχομένου ὀνομάζειν. Ἀναγκαῖον μὲν ἂν κατὰ τινὰ τοῦ σώματος ἔννοιαν, τὸ τριχῇ διαστατὸν εἶναι, καὶ ἀδιαχώρητον· ἀ γὰρ ἄλλως οἴοντε νοηθῆναι. Οὐκ ἀναγκαῖον δὲ τὸ εἶναι σφαιροειδὲς, καὶ θερμὸν, ἢ λευκόν· καὶ γὰρ καὶ ἄλλως. Ἐκεῖνα μὲν οὖν, καὶ οὐσιώδη καλεῖν ἀξιοῦμεν, ταῦτα δὲ καὶ ἐπουσιώδη. Ἑκατέρου γεμινὶ μετάτινος διαφορᾶς· τὰ μὲν γὰρ ὄντως ἐστὶν οὐσιώδη, ὡς αὐτῶν ἄνευ τινὸς οὐσίαν μηδὲ εἶναι, μηδὲ νοεῖσθαι ὅλως, διὸ καὶ πρώτους ἅπαντις οὐσιώδη καλέσειεν αὐτά· οἷον ἐπὶ τοῦ τριγώνου τὸ τρεῖς ἔχειν γωνίας, καὶ πλευρὰς τρεῖς· καὶ ἐπὶ τοῦ πενταγώνου, τὸ πέντε. Τὰ δ' ὄντως, ὡς εἶναι μὲν μηδαμῶς, νοεῖσθαι δὲ καὶ μάλα. Ἐξ ὧν καὶ ἐπουσιώδη αὐτὰ πολλοῖς ἀποκαλεῖν ἀρέσκει· ἡμῖν δὲ οὐσιώδη μὲν ἐστὶν, ἀλλὰ δευτέρως· τοιαῦτα δή, τὸ τὰς μὲν τρεῖς γωνίας ἐν ἐκείνῳ, δυσὶν ὀρθαῖς συνεξισοῦσθαι, τὰς δ' ἐν τούτῳ πέντε, ὀρθαῖς ἕξ. Καὶ τῶν ἐπουσιωδῶν δὲ, τὰ μὲν πράγματι ἐσὶ χωριστὰ, οἷον τοῦ Σωκράτους τὸ διαλέγεσθαι, τὰ δ' ἀχώριστα, οἷον τὸ φαλακρὸν εἶναι.

§. πέ. Ἁπάσαις ταῖς διαγνωριζομέναις ἐννοίαις (§. νς'. ιζ'.) τὸ βάθος συμπληροῦσιν αἱ ἐξ ὧν γνωρίζονται ἁπλέστεραι. Καὶ ταῖς ἐν συνθέσειτε, καὶ συμπλοκῇ (§. μγ'. μδ'.) αἱ ἐξ ὧν συντίθενται, καὶ συμπλέκονται. Καὶ ταῖς ἐν συγκρίσει

σει δὲ ἐποίᾳ δήποτε, (§. ξή.) αἱ ἐξ ὧν συγκρίνονται. Καὶ ταῖς γε μᾶλλον (§. οβ΄. ογ΄.), καὶ τὸ βάθος ἐπὶ τὸ μᾶλλον χωρεῖν εἰκὸς, ταῖς δὲ ἧττον, ἐπὶ τὸ ἧττον· τὰς δ' ἁπλᾶς ἁτας (§. μβ΄.), ὡς πάντῃ ἀγνωρίσιας (§. μγ΄.), καὶ ἀβαθεῖς εἶναι ἀκόλουθον.

§. πς΄. Καθ' ὃ δὲ ἡ ἔννοια πρὸς πολλὰ τῶν ὄντων ἔχει προσεφαρμόζεσθαι, τὰ μιᾷ καὶ μόνῃ νοερᾷ ἐποπτείᾳ κατ' αὐτὴν περιλαμβανόμενα, τοῦτο πλάτος τῆς ἐννοίας εἶπον, καὶ ἔκτασιν. Οὕτως ἐπὶ Πλάτωνα, καὶ Σωκράτην, καὶ τὰς λοιπὰς, ἡ κατὰ τὸν ἄνθρωπον πλατύνεται ἔννοια. Ὁ γὰρ ἄνθρωπον νοήσας ἐ τόνδε μόνον, ἢ τόνδε, πάντας δὲ διαφόρως, ἢ τοιούτους, συνείληφε. Καὶ ἐπὶ πάντα δὲ ὁμοίως κύκλον ἐκτείνεται ἡ κατὰ τὸν κύκλον. Καὶ ἐπὶ κίνησιν πᾶσαν, ἡ κατὰ τὴν κίνησιν. Καὶ δῆλον ἄρα, ὡς ἐδὲν ἄλλο τὸ κατὰ τὰς ἐννοίας πλάτος συνίσησιν, ἢ ἡ τούτων αὐτῶν πρὸς τὸ πολλάκις ἅμα, καὶ τούτων ἔκασιν ἐν μέρει παρισᾶν, ἀορισία.

§. πζ. Παντὶ τῷ ἐπισήσαντι, τίνι, ἥπερ ἂν τύχοι, ἔννοιαν συνιδεῖν ῥάδιον κατὰ τὸ μᾶλλον καὶ ἧττον πλατυνομένην, ἥπερ ἀντισρόφως αὐτῷ κατὰ τὸ ἧττον καὶ μᾶλλον βαθύνεται· τῆς γὰρ ἀνθρώπου, φέρε, ἧς ἐν τῷ ζῶντε καὶ λογικὸν εἶναι τὸ βάθος, ἐὰν μὲν ἀφαιρεθῇ τὸ λογικὸν, ἐπὶ πάντα ἁπλῶς οἷς μέτεσι ζωῆς, ἀορισήσει τὸ πλάτος· Ἐὰν δὲ ἀνάπαλιν ἐπὶ τῷ λογικῷ σωζομένῳ, προσεθῇ καὶ τὸ ἐκ τῆς Φιλοσοφίας γνώρισμα, τῷ βάθει πλεονάσαντος, ἡ ἔκτασις μειωθήσεται, καὶ ἐπὶ τοὺς τινὰς τῶν πάντων ἀνθρώπων δηλῶν, τοὺς Φιλοσοφοῦντας δηλονότι μόνους, συσαλήσεται.

§. πή. Καὶ ἀντιπεπονθέναι τοιγαροῦν τὰς ἐννοίας ἔτω συμβαίνει, ὀλιγοβαθεῖς μὲν τὰς πολυπλατεῖς καθεσώσας, ὀλιγοπλατεῖς δὲ τὰς πολυβαθεῖς τἐναντίον. Διὸ καὶ ἀβαθῶν τῶν ἁπλουσάτων (§. πέ.) ὄσων, ἁπλατεῖς ἔσονται αἱ μάλισα συνήθετοι· ὧν τὸ μὲν αὐταῖς δι' ἀφαιρέσεως γίνεται (§. οθ΄.), τὸ δὲ διὰ συγκρίσεως. (§. ογ΄.). Οἷον δι' ἀφαιρέσεως τῶν ἰδιαζόντων τῷ Σωκράτει ἀπὸ τούτε, πάρεσι νοεῖν ἄνθρωπον ἁπλῶς· τῆς δὲ τῷ λογικῷ, τὸ ζῶον· τῆς δὲ τῷ αἰσθητικῷ καὶ ἐμψύχε, τὸ σῶμα· τῆς δὲ τῷ τριχῇ διαστατῷ, τίνι ὐσίαν· τῆς δὲ τῷ αὐθυπάρκτου τὸ ὄν, τὸ ἁπλούσατον τῇ νοήσει, καὶ κατὰ πάντων νοούμενον, καὶ λεγόμενον. Ἐπανιὼν δέτις, καὶ τῷ μὲν ὄντι τὸ αὐθύπαρκτον προσιθεὶς, τῷ

δ' αὐθυπάρκτῳ τὸ τριττὸν τῆς διασάσεως, τῷ δὲ, τὸ ἔμψυχον καὶ τὸ αἰσθητικὸν, τοῖς δὲ τὸ λογικὸν, τῷ δὲ τὸ φιλόσοφον, καὶ τὸ ὑὸν εἶναι Σωφρονίσκε, καὶ τ' ἄλλα, διὰ τῆς ἐσίας ἕτω, καὶ τῶ σώματος, καὶ τῶ ζώε, καὶ τῶ ἀνθρώπε, χωρήσας, ἐπὶ τὸν Σωκράτιν αὖθις ἡμῖν ἐπανέλυσεν.

§. πδ'. Καθ' ἑκάτερον δὲ, βάθος λέγω, καὶ πλάτος (§. πδ'. πς'.), ὡς ἄντι ὅλον ἐπιθεωροῖτο ἡ ἔννοια. Μέρη δὲ, βαθυνομένης μὲν, τὰ γνωρίσματα· πλατυνομένης δὲ, τὰ πρὸς ἃ ἀναγέται πράγματα. Διὸ καὶ πρὸς μὲν ἐκεῖνα, ὡς ἐν αὐτῇ οὐσίαν νοέμενα, καὶ ὅλον ἐνεργείᾳ ἀκέει· πρὸς δὲ ταῦτα, ὡς ὑπ' αὐτὴν ἀναγόμενα ὅλον δυνάμει· οἷον πρὸς μὲν τὸ λογικὸν, καὶ τὸ ζῶον, ὅλον ἐνεργείᾳ, πρὸς δὲ τὸν Σωκράτιν, καὶ τὸν Ἀλκιβιάδην, ὅλον δυνάμει ὁ ἄνθρωπος· τὰ μὲν γὰρ ἐν αὐτῷ, τὰ δ' ὑπ' αὐτόν. Καὶ κείνων μὲν ἄνδ' ἔτ' ἂν γένοιτο, ἔτ' ἂν νοοῖτο, χωρὶς δὲ τέτων καὶ μάλα.

§. υ'. Ἡ πάντῃ ἁπλατὴς ἔσα, καὶ ἕντι καὶ μόνον ὡρισμένον παρισάνεσα ἔννοια, ταυτὸν δ' εἰπεῖν ἡ τέλεον συγκεκριμένη (§. οα'.), ἐπὶ μέρες καλεῖται· τό, τε κατ' αὐτὴν νοητὸν, καθ' αὑτὸ μὲν ὑφεσὼς, ἄτομον λέγεται· οἷον ὅδε ὁ λίθος, ὁ Ἀσὴρ ὁ Σείριος. Ἐὰν δὲ, καὶ τῶν λόγε ᾖ μετεχόντων, καὶ πρόσωπον· οἷον ὁ Σωκράτης. Μὴ καθ' αὑτὸ δὲ ὑφίσαθαι πεφυκὸς, ὑποσάσεώς δέ τινος ἐπιδεὲς ὂν ὡς ἐρείσματος (§. ο'.) τῇ ἀτομικῇ τῇ κλήσει ἐπισημαίνεται μόνον· οἷον ἕτος ὁ κύκλος, τόδε τὸ βάρος, ἥδε ἡ κίνησις, ἕτος ὁ ἦχος, ἀτομικὰ πάντα, ἐ γὰρ ὑποσάσεις, ὡς ἑτέροις ἐνυφισάμενα· Πολλῇ γὰρ ἂν δέοι τῇ εἶναι πρόσωπα. (1).

§. υα'.

(1) Τέτταρα φέρεται τῇ ἀτόμε τὸ σημαινόμενον. Α'. γὰρ ἄτομον, τὸ διὰ τὸ ἀμερὲς εἶναι, ἀδιαίρετον. τοιαύτη πᾶσα ὑπόσασις ἄὐλος· καὶ τὸ παρὰ τοῖς Γεωμέτραις σημεῖον· καὶ τὸ χρονικὸν νῦν. Β'. δὲ, τὸ διὰ τερρότητα δύστμητον, ἢ καὶ ἄτμητον πάντῃ ἐν τοῖς σώμασιν· οἷον ὁ Ἀδάμας· Καὶ τοιαῦτα δὴ, καὶ τὰ Λευκίππε ἄτομα, καὶ Δημοκρίτε. Γ'. Φασὶ (πάνυ καταχρησικῶς λέγοντες) καὶ τὸ Εἰδικώτατον Εἶδος ἄτομον, οἷον ἄνθρωπος, ἵππος, παρὰ τὸ ἐς ἄδη κατωτέρω μὴ τέμνεθαι. Δ'. τὸ κυρίως ἄτομον, ὃ τέμνεται μὲν, ἐ σώζα δὲ μετὰ τὴν τομὴν τὸ πρότερον Εἶδος· οἷον ὁ Σωκράτης. Νοητέον δὲ τᾶτο ἕτως. Ἐὰν γάρτις τὸ ζῶον εἰς τὸ λογικὸν διέλῃ, καὶ τὸ ἄλογον, τὴν τῇ ζώε αὐτῇ ἔννοιαν, ἑφ' ἑκατέρᾳ τῶν ἀντιδιαιρκμένων μερῶν, καὶ μετὰ τὴν διαίρεσιν ἔξει ἐντελῆτε, καὶ πλήρη· τὸ γὰρ ζῶον εἶναι, καὶ ἐπὶ τῇ λογικῇ ἀνελλιπῶς σώζεται, ἢ τοιᾶτον, καὶ ἐπὶ τῇ ἀλόγε.

Ὁμοίως

§. γά. Τῶν ἐπὶ μέρους ἐννοιῶν, τὰς μὲν μερικὰς ὀνομάζειν ἀξιῶσι, τὰς δὲ ἐνικὰς, ἀντιδιαστέλλοντες. Καὶκείνας μέν ἔντι, φασὶ, παρισῶν τὸ τυχὸν ἀορίστως· οἷον ἄνθρωπός τις,

Ὁμοίως τὸν ἄνθρωπον ἐπ' ἀκριβὲς, κἂν τῷ Σωκράτει νοῶμεν, κἂν τῷ Πλάτωνι, κτ. Τὰ δὲ Σωκράτης εἰς σῶμα καὶ ψυχὴν διαιρεθέντος· ἢ ἅλως πως εἰς κεφαλὴν, καὶ χεῖρας, καὶ πόδας κατατμηθέντος, ἐπ' ἀδενὶ τῶν μερῶν τάτων ἡ ἔννοια σώζεται. Οὐ γὰρ ἡ ψυχὴ, ἀδὲ τὸ σῶμα τὰ Σωκράτες, ὁ Σωκράτης. Ἐπὶ τῶν ἀψύχων μέντοι μεγεθῶν, οἷον ἐπὶ τᾶ λίθε, ἡ τοιαύτη τᾶ ἀτόμε ἐκδοχὴ ἂκ ἔοικε προχωρᾶν· τᾶ γὰρ λίθε, καὶ τὸ ἥμισυ ἄτομον, καὶ τὸ πηλικονοῦν μόριον, σωζομένε τᾶ εἴδες καὶ μετὰ τὴν τομήν. Διὸ πληρέστερον ἀποδοθὲν ἄτομόν ἐστι τὸ ἐξ ἰδιοτήτων συγκροτάμενον, „ὧν τὸ ἄθροισμα ἂκ ἂν ὀφθείη ἐπὶ ἑτέρᾳ ποτέ. (Βλεμ. Λογ. Κεφ. α'.) Αἱ γὰρ ἰδιότητες αὗται, ἅμα ληφθεῖσαι, ἀδὲν ὅτι μὴ γνωρίσματα ἐσὶν ἐπικσιώδη (§. πδ'.), ἅ ἐπὶ τὸ αὐτὸ συνιόντα, „τὰ χαρακτηρισικὰ ἐσι, τὰ χαρακτηρίζοντα τὴν ὑπόσασιν. (Δαμασκ. Φιλοσ. Κεφ. λ'.) ἅπερ καὶ ὑποσατικὰ σήμαντρα διὰ τᾶτο προσαρηται. (Μάξ. ὁ ὁμολογ. Περὶ τῶν πραχθ. ἐν τῇ Α'. αὐτᾶ ἐξορ.) ὡς ἀφορισικὰ ὄντα συμβεβηκότα τῶν ἀριθμῷ ἀλλήλων διαφερόντων. Ἐπὶ μὲν ἓν ἀνθρώπων, ἐσι καὶ ἅ τυχὸν, ἐνδομυχέστερα ἴδια, προσωπικῶς γνωρίσαιεν ἕκασον, τὰ μὲν ἐκ τῆς ἰδιοκρασίας ἠρτημένα, τὰ δὲ ἐκ τῶν τῆς ψυχῆς ἑκάστε ἕξεώντε, καὶ παθῶν, καὶ τῶν ἄλλων διαθέσεων· Οἷς εὐλόγως ἄντις ἀναθείη καὶ τὴν ἀτομικὴν καλεμένην διαφορὰν, τὴν περισπέδασον μὲν ἓσαν ποκάκις, ἐ πάνυ δ' εὔληπτον. Ἀντὶ δὲ τάτων, καίτινα τῶν περὶ τὸν ἄνθρωπον ὁρωμένων, ὁποιονοῦν δεῖγμα παρασχεῖν ἀπόχρη ἀτομικῆς ὑπογραφῆς.

„Φολκὸς ἦην· χωλὸς δ' ἕτερον πόδα· τῷ δὲ οἱ ὦμω,
„Κυρτὼ, ἐπὶ ῥῆθος συνωχοκότε· αὐτὰρ ὕπερθε
„Φοξὸς ἦην κεφαλὴν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη. (Ἰλιάδ. β'.).

Ἱκανὰ γὰρ καὶ ταῦτα τὸν Θερσίτην δεῖναι τεκμηριώσαθαι. Συνδραμεῖν γὰρ ἅπαντα καὶ ἅλῳ προσώπῳ ἐ ῥᾴδιον. Γένοιτο γὰρ ἄντις ὁμώνυμος, καὶ ὁμότεχνος· χαλεπῶς δὲ ἅπαντα ταὐτῷ συγκυρεῖ. (Συνέσ. Ἐπισ. Πυλαιμέν.). Ἐδοξαν δὲ ἀποχρῶσαν τὴν συλογὴν τῶν ἀτομικῶν χαρακτήρων πεποιηκέναι διὰ τᾶ ἑφεξῆς ἔπος:

„Μορφὴ, χῆμα, γένος, χρόνος, ἄνομα, πάτρατε, χῶρος.

Καὶ ἔσι δήπως χαρακτηρισικὰ τῶν προσώπων ἐν ἀνθρώποις ταῦτα.

Τῆς δ' Ἀτομότητος ἐν τῷ πλήρειτε καὶ τελείῳ διορισμῷ κεῖθαι (§. ιγ'.) νομένης, καθ' ὃ καὶ ὀρθῶς ὥρισαν ἄτομον εἶναι τὸ δι' ὅλε διωρισμένον (Οὐόλφ. Λογ. §. 74), σημειωτέον ὅτι τῶν μὲν ἀτόμων κυρίως ὄντων καὶ λεγομένων, τῶν δὲ ἀτομικῶν (§. ιγ'.), τάτοις μὲν ὁ διορισμὸς ἐκ τᾶ ἤθη, κἀντῷδε εἶναι· οἷον ἡ ἐντῷδε ἅσα κίνησις, ἅμα καὶ ἡ ἤθη, ἀτομική. Ἐκείνοις δὲ, ἤτοι τοῖς ἀτόμοις, ἐκ τᾶ τόδε εἶναι· σωματικοῖς δὲ ἔσι, κἀντῷδε τῷ τόπῳ, κατάγε τὸ νῦν εἶναι, ὡς ἔχαν καὶ δακτύλῳ δείκνυθαι· οἷον ὅδε ὁ λίθος. Ἐφ' οἷς ἐπίσημον ἀτομότητος, καὶ τὸ ὑποπίπτειν αἰσθήσε· τὸ γὰρ αἰσθητὸν ἄτομον· ὑπερβαίνει γὰρ τὴν αἰσθήσεων δύναμιν ἡ πρόσληψις, ἡ τῶν Καθόλε.

εἰς τις τῶν Πλανητῶν· ταύτας δὲ τὸ οὖ δηλῶν ὡρισμένως· οἷον ὁ Πλάτων, ὁ Κρόνος. Βέλτιον δὲ ἴσως ὡρισμένως ἑκατέρας λέγειν (γνώρισμα γάρ τόδε τῆς ἁπλατοῦς ἐλήφθη κοινόν). (§. υ΄.). Ἀλλὰ τὰς μὲν μερικὰς ὡρισμένας φάσκειν τῇ φύσει, ἤτοι καθ' ἑαυτὰς, ἢ πῃ καὶ εἰσί· τὰς δ' ἑνικὰς, καὶ τῇ φύσει, καὶ ἡμῖν· τετέσι τῇ γνώσει.

§. υβ΄. Κωλύει δὲ ἁδὲ καὶ ἀπὸ τῆς μονάδος ἐπὶ τὸν ἀριθμὸν μεταβαίνοντας, τὸ ἐπὶ μέρους τε καὶ καθ' ἕκαστα τῆς ἐννοίας σωζόμενον παρατηρεῖν. Ἐπὶ μέρους γὰρ ἐπίσης τῇ τινὸς ἀνθρώπου, καὶ ἡ τινῶν ἀνθρώπων ἔννοια ἐσί· τῇτε τοῦ Σωκράτους, καὶ ἡ αὐτοῦ τότε, τῇ χρηστῇ συμπαρισαμένου Ξανθίππῃ.

§. υγ΄. Ἡ πρὸς πολλὰ κοινὴ (1) ὅσα Ἔννοια, ἢ ταῦτα ἅμα, καὶ τούτων ἕκαστον μιᾷ Νοῦ ἐποπτείᾳ δυναμένη παρισᾶν, καὶ ταύτῃ δὴ ἀορισθῆσα, καὶ πλάτος ἔχειν λεγομένη (§. πς΄.) καλεῖται Καθόλου. Οἷον ἡ τοῦ σώματος, ἡ πᾶν σῶμα ἀορίσως νοεῖν παρέχουσα, καὶ σῶμα ἕκαστον· ἡ τοῦ κύκλου, ἡ πάντα κύκλον, καὶ τόνδε τὸν κύκλον. Ἐν ᾧ καὶ ἡ τῶν περιληπτικῶν (§. μδ΄.) ἢ ἄλλως ὁπωσοῦν συνεκτικῶν, ἀπὸ τῶν Καθόλου διαφορά, συμφανής. Πόλις γάρ, οὐχ ὡς ἡ πᾶσα νοεῖται, καὶ οἶκος ἕκαστος· οὐδὲ μὴν ὅν στρατὸς ἐσὶν ἕκαστος τῶν στρατευομένων. Κύκλος δὲ, καὶ ἅπας ἁπλῶς ὁ ἀκριβῶς χηματογραφέμενος, καὶ ὁ νῦν ἤδη, καὶ ὧδε, καταγραφεὶς ἐδὲν ἧττον.

§. υδ΄. Ἐπειδὴ δὲ Καθόλου ἐσὶν ἡ ἔννοια, καθ' ὃ ἔχει πλάτος (§. υγ΄. πς΄.) καὶ ἀορισίαν, τοῦτο δὲ δι' ἀφαιρέσεως αὐτῇ γίνεται (§. οθ΄. πβ΄. πζ΄.)· Ἡ δὲ ἀφαίρεσις αὕτη, ἐπινοίας ἔργον ὁμολογεμένως ἐσίν. (§. οε΄.). Οὐκ ἄρα τὰ Καθόλου ὑφεσῶτα ἐσὶν ἐν τοῖς πολλοῖς, ἢ Καθόλου, πρὸ τῶν πολ-

(1) Κοινὸν λέγεται Α΄. τὸ προκαταλήψει γινόμενον ἴδιον· οἷον ὁ ἐν θεάτρῳ τόπος. Β΄. Καὶ ἓξ μερισῶς πολλὰ μετέχειν δύναται ἅμα· οἷον κοινὸς ἄρτος. Γ΄. Καὶ ἓξ ἀμερίσως ἐκ διαδοχῆς· οἷον κοινὴ ἐθνὴς. Δ΄. Καὶ ἓξ ὁλικῶς, καὶ ἅμα· οἷον τὸ κοινὸν θέαμα. Καθ' ὃν δὴ τρόπον, καὶ ὄνομα κοινὸν ἐσὶν ἐπὶ τῶν ὁμωνύμων, καὶ κοινὴ φύσις μετὰ τοῦ ὀνόματος ἐπὶ τῶν συνωνύμων (περὶ ὧν ἐν οἰκείῳ τόπῳ.). ἅτω δὲ καὶ ἡ Καθόλου ἔννοια κοινὴ ἐσὶ λέγεται· τοῦ γὰρ κατ' αὐτὴν νοητοῦ, ἅματε καὶ ὁλικῶς πολλοῖς μέτεσιν. (Ὅρα καὶ Βλεμ. παραπλήσια ἅττα χεδὸν ὑποτιθέμενον. Κ. ιγ΄.).

πολλῶν δὲ (1), ἢ μετὰ τὰ πολλὰ, κυρίως εἰπεῖν οὐχ ὑφέστηκεν, ἀλλὰ νοεῖται. Οὐδὲ γὰρ ἄλλο ἢ γνωρίσματά τινα ταῦτα ἐστὶν, ἐν μὲν τοῖς καθ' ἕκαστα καὶ ὑφεστῶσι μεριστῶς τε καὶ διωρισμένως ἐνυπάρχοντα· διὰ δὲ ὁμοιότητα, ἣν (εἰ τῶν ὑποστατικῶν ἀπογυμνωθείη χαρακτήρων κατ' ἀφαίρεσιν Νοῦ) διασώζει πρὸς ἄλληλα, ἀμερίστως τε καὶ ἑνιαίως, ᾗ κοινῇ προσήκοντα πολλοῖς θεωρούμενα.

§. υἱέ. Κατὰ τὴν διαφορὰν τῶν οὕτω κατ' ἀφαίρεσιν νοουμένων γνωρισμάτων, καὶ αἱ καθόλου ἔννοιαι διαστέλλονται. Ἤτοι γὰρ οὐσιῶδες, οἷς ἂν κοινῇ προσείη, ἐστὶ τὸ γνώρισμα, ἢ ἐπουσιῶδες. (§. πδ'.). Καὶ εἰ μὲν ἐκεῖνο, ἢ τὴν ἔννοιαν πλήρη (§. ξ.), τοῦ ἡμῖν ἐφικτοῦ τῆς οὐσίας λόγου παρέχεται, ἢ

 μὴ

(1) Τὴν θρυλλουμένην τῶν Καθόλου εἰς τὰ πρὸ τῶν πολλῶν, καὶ ἐν τοῖς πολλοῖς, καὶ ἐπὶ τοῖς πολλοῖς διαίρεσιν, διὰ τοῦ σφραγιστηρίου εἰκονίζειν εἰώθασιν, ἐξ οὗ πολλὰ κηρία μεταλαμβάνει τοῦ ἐκτυπώματος, ἅτις κατιδὼν ἔπειτα, διανοεῖται τὸν ἐν τῷ σφραγιστηρίῳ τύπον. Τὸ μὲν γὰρ σφραγιστήριον λέγεται (φασὶ) πρὸ τῶν πολλῶν· Τὸ δ' ἐν τοῖς κηρίοις ἐκτύπωμα (ὡς εἴπερ ἓν τοῦτο ἦν) ἐν τοῖς πολλοῖς. Τὸ δ' ἐξ αὐτῶν κατὰ διάνοιαν τοῦ ἰδόντος τὰ ἐσφραγισμένα κηρία, ὑποστὰν αὔλως, ἐπὶ τοῖς πολλοῖς, ἢ μετὰ τὰ πολλά. Παραπλησίως οὖν τὰ καθόλου, οἷον ἄνθρωπος, ζῶον, πρὸ τῶν πολλῶν μὲν εἶναι ἐν τῷ Δημιουργῷ, τῷ τοὺς Δημιουργικοὺς λόγους τῶν ὄντων συνέχοντι, καὶ προέχοντι· Ἐν τοῖς πολλοῖς δὲ, ὡς ἐν τούτοις ὄντα μεθεκτά· Επὶ τοῖς πολλοῖς δὲ, ᾗ λόγῳ ἐκ τῶν καθ' ἕκαστα συνακτὰ, καὶ κατὰ διάνοιαν νοητά. (Ὅρα Ἀμμ. ἐν ὑπομ. καὶ Βλεμ. Λογ. Κ. ια'.) Ἀλλὰ γὰρ τίνι ποτὲ λόγῳ καὶ τρόπῳ τῶν τριῶν τούτων, τὰ καθόλου, οἷον ὁ ἄνθρωπος, τὸ ζῶον, κξ'. ὑφεστῶτα εἶναι κυρίως τεθείσεται; Πρὸ τῶν πολλῶν; ἀλλ' οὐδὲν οὕτως εἶναι τίθεται, ὅτι μὴ ἀρχικήτις καὶ αἰτιώδης ἰδέα τοῦ δυναμένου αὐτὰ παραγαγεῖν. Ἀλλὰ μετὰ τὰ πολλά; ἀλλ' οὐδὲν ἕτερον καὶ οὕτως ὁμολογεῖται, ἢ ἰδέα τις ἀποτελεσματικὴ, τοῦ διανοίᾳ τὰ ὄντα ἀνατυποῦσθαι δύναμιν ἔχοντος. Λείπεται τοίνυν ἐν τοῖς πολλοῖς, ἵνα τὸ καθόλου κυρίως ᾗ ἐν τοῖς πράγμασιν. Ἀλλὰ γὰρ τὶς οὐ συνορᾷ, ὅτι ἄνθρωπος, καὶ ζῶον, καὶ τὰ λοιπὰ, ᾗ ἐν τοῖς ἀτόμοις ἐστὶ μεμέρισται, καὶ πεπλήθυνται, καὶ ὡρισμένα ἐστίν; Οὐδεμία γὰρ ἐν τοῖς πολλοῖς οὖσα φύσις ἀορισταίνει· πάντα δὲ, ᾗ ὑφέστηκεν, ὥρισται. (§. υἱ'.). Καθόλου ἄρα ἐστὶ τὰ νοήματα μόνα, δι' ὧν, τὰς τῶν ὄντων φύσεις, ἀπὸ τῶν μερικευουσῶν αὐτὰς περιστάσεων ἀπαλλάττοντες, ὡς ἀορίστως ἐχούσας πρὸς πολλὰ ἀναθεωροῦμεν. Ἄριστα τοιγαροῦν ὁ Βλεμμίδ'. (Αὐτόθι), „Καταλαβώντις ἐκ τῶν κατὰ μέ„ρος ἀνθρώπων τὴν αὐτῶν φύσιν, τὴν „ἀνθρωπότητα, ἐκ δὲ τῶν κατὰ μέρος „ἵππων αὐτὴν τὴν ἱππότητα, καὶ οὕτω „τὸν καθόλου ἄνθρωπον, καὶ τὸν κα„θόλου ἵππον ἐπινοήσας, καὶ τὸ καθό„λου ζῶον ἐκ τῶν καθ' ἕκαστα τῷ λόγῳ „συναγαγὼν, ... ὁ τοιοῦτος ἐν τῇ ἑαυ„τοῦ διανοίᾳ, τὰ γένη καὶ τὰ εἴδη αὔ„λως ὑπέστησεν ἐπὶ τοῖς πολλοῖς· του„τέστι μετὰ τὰ πολλὰ, καὶ ὑστερογενῶς.

μὴ πλήρη, ἀλλά τι μέρος μόνον ἐκείνης· Εἰ δὲ τὸ μέρος, ἤτοι τὸ καὶ ἄλλοις τισὶ κοινὸν ὄν, καίτοι τὰς φύσεις ἄλλως διαφέρουσιν, ἢ γοῦν τὸ ἰδιάζον, καὶ ἀπὸ τῶν φύσει διαφερόντων διακριτικόν. Εἰ δὲ ἐπουσιῶδες, εἴτε οὕτως, ὡς οἱ πολλοὶ, τὸ ἀναγκαίως μὲν ἐνὸν τῇ οὐσίᾳ, μὴ ἐξ ἀνάγκης δὲ συνεπινοούμενον ἐπουσιῶδες καλοῦσιν (ὅπερ αὐτοὶ τοῖς οὐσιώδεσι κυρίως (§. πδ΄.) συγκαταλέγομεν). Εἴτε κυρίως ἐπουσιῶδες καὶ ἀληθῶς, ὡς μηδενὶ τρόπῳ οὔτε τῇ συστάσει, οὔτε τῇ νοήσει τῆς οὐσίας ἐναπαιτούμενον, μηδ' ἀναγκαίως τῷ ἔχοντι παρακολουθοῦν, ἐνδεχομένως δὲ, ὡς εἶναιτε καὶ ἀπεῖναι, σωζομένης τῆς οὐσίας, δυνάμενον. Κἀντεῦθεν ἡ πεντὰς τῶν Καθόλου νοημάτων ἡμῖν ἀνακύπτει, ἅπερ αἱ πέντε θρυλλούμεναι τοῦ Πορφυρίου φωναὶ σημαίνουσι· τὸ Γένος, τὸ Εἶδος, ἡ Διαφορὰ, τὸ Ἴδιον, τὸ Συμβεβηκός.

ΠΕΡΙ ΤΩΝ
Ε. ΚΑΘΟΛΟΥ ΕΝΝΟΙΩΝ.

§. ϟϛ΄.

Γένος οὖν ἐστὶ γνώρισμα (1), οὐσιῶδες, οὗ καὶ τὰ ἄλλως τῇ φύσει διαφέροντα κοινωνεῖ· οἷον τὸ ζῶον εἶναι, ὃ κοινὸν ἀνθρώπῳ καὶ ἵππῳ κτ. τοῖς ὁμολογουμένως ἑτεροφυέσι· τὸ σχῆμα, ὃ κοινὸν κύκλῳ, καὶ τετραγώνῳ κτ.

§. ϟζ΄. Εἶδος δὲ ἐστὶ γνώρισμα, τὸ πάντων τῶν οὐσιωδῶν χαρακτήρων, καὶ τοῦ Γένους αὐτοῦ περιληπτικὸν (§. πδ΄.), οὗ κοινῇ

(1) Τὰ Καθόλου αὐτοὶ ὡς ἐννοίας ἐπιθεωροῦντες, οἷα δήπου καὶ εἰσί, (§. ϟδ΄.), διὰ τοῦ γνωρίσματα εἶναι τῶν οἷς ἐννοεῖται, διασαφεῖν αὐτὰ εὔλογον κρίνομεν. Ὁ δὲ Πορφύριος, καὶ οἱ μετ' αὐτὸν κοινῇ, ὡς φωνὰς (νοημάτων ἄλλως σημαντικὰς) τὰ καθόλου διασκοπούμενοι, ἐκ τοῦ διαφόρου, καθ' ὃν κατηγορεῖται (τουτέστι καθ' ὃν κατάτινος λέγεται) τρόπου, ἀποδεδωκότες ταῦτα διέστειλαν. Τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖσθαι φάσκοντες, τὰ δὲ ἐν τῷ ὁποῖον τί ἐστι, τὰ δὲ ἐν τῷ πῶς ἔχον ἐστί. Καὶ ἐν τῷ τί ἐστι μὲν, τὸ Γένος κατηγορεῖται (φασὶ), καὶ τὸ Εἶδος· τὸ μὲν κατὰ πλειόνων διαφερόντων τῷ εἴδει· (Καὶ γὰρ τῷ πυνθανομένῳ τὶ ἐστὶν ἄνθρωπος, καὶ τὶ ἵππος, ἃ τῷ εἴδει διαφέρει, ζῶον ἐστὶν ἀποκρινόμεθα.) τὸ δὲ Εἶδος κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ· τὶ γὰρ Σωκράτης, καὶ τὶ Πλάτων, τῷ ἐρωτήσαντι ἀπαντῶμεν ἄνθρωπος. Ἐν δὲ τῷ ὁποῖόντι ἐστὶν, ἡ Διαφορά· καὶ τὸ Ἴδιον, καὶ τὸ ἀχώριστον Συμβεβηκός· ἡ μὲν οὐσιωδῶς, τὸ δὲ ἐπουσιωδῶς, φασὶν, ἀλλ' ἀναγκαίως,

κοινῇ μετεῖναι νοεῖται τοῖς φύσει μηδὲν διαφέρουσιν· οἷον τὸ ἄνθρωπον εἶναι, ἐν ᾧ τὸ ζῶον, καὶ τὸ λογικὸν κατὰ βάθος ἐνθεωρεῖται, καὶ ὅσα ἄλλα ἐσιώδη ἀνθρώπῳ γνωρίσματα· καθ' ὅ,τε Φύσει Σωκράτης, καὶ Κλεινίας, καὶ οἱ λοιποὶ, ὁλικῶς εἰσί· τὸ ἵππον εἶναι, καθ' ὃ Ξάνθος τε, καὶ Βαλίας, κξ'. Λέγω δὲ ὁλικῶς κατὰ βάθος. (§. πθ'.). Ἐπεὶ ἐκείνων μὲν, ἡ ὅλη νοεῖται φύσις ἐκεῖνο εἶναι, τούτων δὲ τοῦτο. Καὶ ἰδεῖν, ὅ,τι μὴ ἐπεισιῶδες ἐπ' ἐκείνοις, ἢ τούτοις γένοιτο ἄν, ὃ μὴ ἐν τῇ ἀνθρωπείῳ φύσει, ἢ τῇ ἱππείῳ, ἐξ ἀνάγκης συνειλῆπται.

§. ρή. Διαφορὰ δὲ Γνώρισμα ἐσιῶδες πρῶτον, τὸ τὰ μὲν ἑτεροφυῆ διαιρέλον, συνάπτον δὲ κατὰ φυσικὴν κοινωνίαν τὰ τοῦ αὐτοῦ εἴδους μετέχοντα· καὶ καθ' αὑτὸ μὲν ἥκιστα, συνάμα δὲ τῷ κοινοτέρῳ χαρακτῆρι τῆς ἐσίας (§. ρς'.) ἤτοι τῷ Γένει, τῆς ὅλης τῶν δι' αὐτοῦ γνωριζομένων φύσεως γινόμενον συσατικόν. Οἷον τὸ λογικὸν, ὃ διαιρέλει μὲν τὸν ἄνθρωπον τοῦ ἵππου, συνάπτει δὲ Σωκράτει Κλεινίᾳ, καὶ συνάμα τῷ ζῴῳ, τὸν ἄνθρωπον συνίσησιν. (1).

§. ρή. Ἴδιον δὲ Γνώρισμα ἐσιῶδες (§. πδ'.) καὶ δευτερεῦον, ἀναγκαίως μὲν τῷ Εἴδει παροπηδὲν, ὡς δὲ ἐκ τῆς Διαφο-

ρᾶς

καίως, τὸ δὲ Συμβεβηκὸς ἐπεισιωδοῦσι καὶ ἐνδεχομένως· τοῦτο δὲ ἐστὶ, τὸ ἐν τῷ ἐρωτήματι ὁποῖον; μετὰ τὸ τί ἐστί. τί γὰρ ἄνθρωπος; ζῶον· ὁποῖον δὲ ζῶον; λογικόν· Αὕτη Διαφορά· ἢ γελαστικόν· τοῦτο δὲ Ἴδιον· ἢ σιμόν· τοῦτο Συμβεβηκὸς ἀχώριστον· Ἐν δὲ τῷ πῶς ἔχον ἐστὶ, τὸ χωριστὸν συμβεβηκός. Οἷον πῶς ἔχον ἐστὶ τὸ ζῶον τὸ λογικὸν, τὸ γελαστικὸν, τὸ σιμὸν, ὁ Ἐπίκουρος; περὶ ἡδονῆς διαλεγόμενον, ἐν τοῖς κήποις περιπατᾶν, κξ. Ἔχεις συντόμως τὰ Καθόλου ταῦτα γνωρίσματα Πορφυριακῶς ἕτω διασαφέμενα.

(1) Τὴν Διαφορὰν τινὲς, καθολικωτέραν εἶναι τοῦ Εἴδους βέλονται. Καὶ γὰρ τὸ λογικὸν καθολικώτερον ἐστὶ (Φησὶν ὁ Βλεμ. Λογ. Κ. θ'.) τοῦ ἀνθρώπου· φέρεται γὰρ ἐ κατὰ τοῦ ἀνθρώπου μόνον, ἀλλὰ καὶ κατὰ τοῦ Ἀγγέλου. Συνιδεῖν δὲ ὤφειλεν, ὅτι τότε διαφορὰ ἐκ ἔσαι ἀνθρώπου, ἀλλὰ τῆς διανοητικῆς φύσεως, ὥσπερ καὶ τὸ ἀιδητικὸν τῆς ζωτικῆς, καὶ τὸ ἔμψυχον τῆς ἐμψύχου· Οὐδαμοῦ μέντοι καθολικωτέρα τοῦ συνισαμένου ὑπ' αὐτῆς ἡ Διαφορὰ ἀναδείκνυται· ὡσαύτως ἂν καὶ ἐπὶ τοῦ Εἰδικωτάτου ἡ Εἰδικωτάτη ἔσαι ἀντίστροφος· οἷον τὸ πάντῃ ἐπίσης τοῦ κέντρου τὴν περιφέρειαν ἁφίσασθαι, ἐπὶ τοῦ κύκλου. Ἀλλὰ γὰρ αὐτὸς ὥσπερ ἐπιλαθόμενος μικρὸν ὕστερον (Βλεμ. Λογ. „Κεφ. ιβ'.). Διαφορὰ φησὶν ἡ φυσι„κήτε καὶ καθ' αὐτὴν καὶ εἰδοποιὸς, „ἥτις καλεῖται παρὰ τοῖς φιλοσόφοις „ἰδιαίτατα διαφορὰ, ἐστὶ καθ' ἣν ἕ„δος εἴδει διαφέρει.

ρᾶς τῆς ἐκείνε ἀπηρτημένον, κατὰ δεύτερόν πως λόγον αὐτῷ περιεῖναι νοούμενον· οἷον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι ἐπὶ ἀνθρώπε, καὶ τὸ γελαστικὸν, καὶ ἄλλα, διὰ τὸ λογικόν· Τὸ τὰς γωνίας ἴσας ὀρθαῖς ἴσας εἶναι ἐπὶ τοῦ Κανονικοῦ πενταπλόρε, διὰ τὸ ἐν ἰσότητι πενταγώνου. (1).

§. ρ'. Συμβεβηκὸς δὲ Γνώρισμα ἐπισιῶδες, τὸ προσεῖναι τῷ ἔχοντι, καὶ τότε ἀπεῖναι, ἀτρέπτε τῆς κατὰ τὸ εἶδος μενούσης οὐσίας, δυναμένου. Οἷον τὸ ἐπιῤῥεῖνόντινα εἶναι, ἢ μέλανα, ἢ φιλόσοφον, καὶ τὰ ὅμοια.

§. ρά. Παραθέσει τῇ πρὸς ἄλληλα τῶν Καθόλε τετωνὶ Γνωρισμάτων, τὰ μὲν πλείοσι κοινὰ ὄντα ὁρίσκεται, τὰ δὲ ἐλάττοσι, κατὰ τὴν τῶ πλάτες διαφοράν, (§. πζ'. πή.), οἷον τὸ ζῶον τῷ ἄνθρωπον εἶναι· Ἐκεῖνο γὰρ κοινὸν, καὶ τοῖς κτίλοσι· Καὶ ἀεὶ τὸ γένος, πλατύτερον τῶ ὑπ' αὐτὸ Εἴδες. Καὶ τὸ Γενικώτερον ἔτι καὶ μᾶλλον, οἷον τὸ ἔμψυχον εἶναι, τῶ ζῶον· Ἐκεῖνο γὰρ ὁμοιρεῖν λέγεται καὶ τὰ φυτὰ, παρὰ τὸ τρέφεθαι, καὶ αὔξεν, καὶ γεννᾶν ὅμοιον, ἀμυδροτάτω

(1) Τὸ Ἴδιον ἐπαμφοτερίζει φησὶ (Βλεμ. Λογ. Κεφ. γ'.) καὶ τὰ μὲν πολλὰ ἐπισιῶδες ἐστὶν, εὑρίσκεται δέπε καὶ οὐσιῶδες· οὐσὶ γὰρ καὶ οὐσιῶδη ἴδια, ἅτινες διαφορὰς μονοειδεῖς ὀνομάζουσι (Αὐτ. Κεφ. ά.). τοιῦτον ἓν ὑπάρχον τὸ Νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἐπισιῶδες εἶναι τίθησι τὸ γελαστικόν· διὰ τὸ μὴ παρὸν μὲν σώζειν, ἀπὸν δὲ φθείρειν τὸ Εἶδος, ὥσπερ ἐκεῖνο. Ἀλλ' εἰ τοῦτο, τίποτε τῶ ἀχωρίστε συμβεβηκότος διοίσει τὸ ἴδιον; Ἄλλωστε δὲ, καὶ πῶς, ἄγε κατ' αὐτὸν, ψυχικήτις ἓσα δύναμις τὸ γελαστικόν· (Αὐτ. Κεφ. ιγ'.), ἐντὸς θεωρεμένη, καὶ τὸ εἶδος χαρακτηρίζουσα (Κεφ. γ'.) εἶτα ἐπισιῶδες ἐστίν; Ἀλλὰ γὰρ ἔστι δύναμις, φησὶ, τῆς ἀλόγε ψυχῆς, ἐνεργεμένη διὰ τῶν μυῶν. Τί δ' ἡ ἄλογος ψυχὴ, ἐκ αὐτῆ ἡ λογικὴ τυγχάνει, ἢ ἐνεργοῦσα ἐξηρτημένως τῶ σώματος; Τοιαύτης δὲ ἔσης αἱ κατ' αὐτὴν δυνάμεις, ἐκ ἐσιώδεις ἐσὶν ἀνθρώπῳ, ἐν τῷ μετὰ σώματος βίῳ ἐξεταζομένῳ; Εἶτα ἐδ' ἐν ἐκείνῳ μόνῳ τὸ Γελαστικὸν θετέον, ἐν τῇ τῶν μυῶν κινήσει κατὰ τὸν γέλωτα. Ἀλλ' ἐν τῇ διαχύσει τῆς ψυχῆς, ἐπ' ἀδοκήτῳ τινὶ συμβαινόσῃ, μετάτινος ἐννοίας, καὶ κρίσεως τῆς παρὰ φαῦλον πως τιθεμένης τὸ παρισάμενον· τὸ δὲ τοιῦτο, τῇ διανοητικῇ δυνάμει ἐσὶν ἑπόμενον. Διὸ καὶ τὸ διανοητικὸν, καὶ γελαστικὸν ἐξ ἀνάγκης· καὶ ἀνάπαλιν, ὡς πάντες ὁμολογοῦσι, καὶ Βλεμμίδης αὐτὸς ἀχθόμενος, τὸ ἀντιστρέφειν τῷ εἴδει τῷ ἰδίῳ προσήκειν μὴ ἀπαναινόμενος. (Κ. γ'.) Ἀλλὰ τότων μὲν περιττὸς ἂν ἴσως ἦν ἐπὶ τῆ παρόντος ὁ λόγος, εἰ μὴ διέφερε τὰς λογικευομένας περὶ τῶν ἰδίων κρίναν ὀρθότατα. Ἐν τότοις γὰρ κεδὸν ἡ πᾶσα ἐπιστήμη στρέφεται, ἣν οἱονεὶ περὶ τὰ ὄντα ἐλπίζειν. Ἔργον γὰρ ἐπιστήμης τὰ πάθη ἀποδεικνύειν κατὰ τῶν ὑποκειμένων. Πάθη δὲ κυρίως τὰ ἴδια. Καὶ ἄγε τὰ ἴδια ἐπισιῶδη εἶναι τεθῇ, σχολῇ γ' ἄντις ἐπιστήμην περὶ τῶν ὄντων ἠράσκιτο.

τῳ τινὶ λόγῳ ἐμψυχίας κατακοσμέμενα. Καὶ τὸ σῶμα εἶναι ἐπὶ πλέον ἔτι, τῷ ἔμψυχον. Σώματα γὰρ καὶ λίθοι, καὶ τ' ἄλλα. Καὶ ἔτι πρὸς, τὸ οὐσίαν εἶναι, ἡ σῶμα· οὐσίαι γὰρ, καὶ αἱ Ἀσώματοι· Ἀλλ' ἡ πρόοδος εἰς τὸ ἄπειρον οὐ χωρεῖ.

§. ρβ'. Ταύτῃτοι τὸ μάντι Γενικώτατον Γένος εἴρηται· οἷον ἡ οὐσία· τὸ δὲ κατώτερον κατὰ τὸ μᾶλλον καὶ ἧττον, καὶ μέσον, καὶ ὑπάλληλον· οἷον τὸ σῶμα, τὸ ἔμψυχον, τὸ ζῶον. Ἅπερ Εἴδεσι μὲν πρὸς τὰ ἀνωτέρω, Γένεσι δὲ λόγον πρὸς τὰ κατωτέρω ἀμπίχεται· τὸ δὲ Εἶδος μόνον, τὸ τῶν ἀτόμων ἀμέσως ὑπεριδρυμένον· οἷον ὁ ἄνθρωπος· ὅπερ Εἶδος διὰ τοῦτο καλεῖται Εἰδικώτατον.

§. ργ'. Καὶ Φανερὸν δὲ, κατὰ τὰ εἰρημένα (§. πθ.) ὡς ἀεὶ τὰ ἀνωτέρω πρός γε τὰ ὑφ' αὑτὰ, ὅλα ἐστὶ δυνάμει· Καὶ ὁλικώτερα τὰ Γενικώτερα. Πάνυ δ' ὡλόγως· τῶν γὰρ ἀτόμων τὸ ἐνεργείᾳ ὑφεστάναι μόνων ἐστίν· (§. ή) ἦν δ' ὑπερέλθῃς ἀνιὼν, καὶ τὸ Εἶδος σκοπήσας, εἶτα τὸ Γένος, καὶ ἑξῆς, εἰσὶ τὰ Καθόλου νοήμενα, τῶν κατωτέρω ὄντα πρὸς τὸ ὑφεστάναι ἐπιδεῆ, καὶ διὰ τούτων προσαραληφθέντων, ἀφοριζόμενα· ὅπερ ἐστὶ μεριζόμενα, καὶ ταύτῃγε δὴ καὶ ἐν ὑποστάσει τὸ εἶναι καρπέμενα. Ἀνάπαλιν δὲ τὰ κατωτέρω, πρὸς τὰ ὑπὲρ αὐτὰ, ὅλα ἐστὶν ἐνεργείᾳ (§. πθ'.), καὶ τὰ μᾶλλον ἔτω καὶ ὁλικώτερα. Ἐν γὰρ τούτοις ἐκεῖνα ἐνεργείᾳ ἐνεισιν, ὡς συστατικὰ αὐτῶν γνωρίσματα, ὧν καὶ τῷ βάθει γίνεται συμπληρωτικά. (§. πέ.). Γνωρίσματα γὰρ Σωκράτους, Φέρε, παρὰ τὰ ἀτομικὰ ἐκεῖνα (Συμ. §. ή.), καὶ τὰ οὐσιώδη ταῦτα, οἷον τὸ ἄνθρωπον εἶναι· Ἀνθρώπῳ δὲ τὸ ζῶον· Ζῴῳ δὲ τὸ ἔμψυχον· Ἐμψύχῳ δὲ τὸ σῶμα. Σώματος δὲ τὸ οὐσίαν· Ὥστε εἶναι μὲν πλατύτερα τὰ ἀνωτέρω, εἶναι δὲ τὰ κατωτέρω βαθύτερα, καὶ τὸν τῷ ὅλου τε καὶ τῷ μέρους λόγον, καταίγε τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἀντιπεπονθότως ὡς εἴρηται (§. πη.) ἐναλλάσσοντα.

§. ρδ'. Ἐπειδὴ δὲ τῷ ὅλῳ παρόντος, παρεῖναι δεῖ καὶ τὸ μέρος· (ἴσον γὰρ τὸ ὅλον ἅπασιν ἅμα τοῖς μέρεσι τοῖς αὐτῷ), ἀνάπαλιν δ' ἔ· Ἀπόντος δὲ τῷ ὅλῳ, καθ' ὑπεξαίρεσιν τινὸς, ἢ τινῶν τῶν μερῶν, οὐδὲν ἐπείγει καὶ τὰ λοιπὰ, ἢ τὸ λοιπὸν ἀπεῖναι, ἀνάπαλιν δ' ἓν τῷ ἀπόντι μέρει ὁ τῷ ὅλῳ λόγος συνάπεσιν· Ἐκ τούτου ἔπεται καὶ τὰ κατωτέρω, ὡς ἐνεργείᾳ ὅλα (§. ργ'.) (τοῦτο δὲ ἐστὶ κυρίως) συνεισάγειν τὰ Καθόλου, τὰ δυνάμει μόνον ὅλα (ὅπερ ἐστὶ καταχρησικῶς) νοήμενα. Οἷον εἰ Σωκρά-

Σωκράτης, καὶ ἄνθρωπος. Καὶ εἰ τοῦτο, καὶ ζῶον. Ἐκεῖνα δὲ, εἰ ταῦτα, ἐκέτι· Οὐδὲ γὰρ εἴτι ζῶον, διὰ τοῦτο καὶ ἄνθρωπος· οὐδ' εἰ σῶμα, καὶ ζῶον. Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἀποφατικῶς δὲ τὰ δυνάμει ἀναιρεθέντα, ἤτοι τὰ ἀνωτέρω, συναναιρεῖ τὰ κατωτέρω, καὶ Ἐνεργείᾳ. Εἰ γὰρ ἐ ζῶον, δῆλον, ὅτι οὐδ' ἄνθρωπος· Καὶ εἴπερ ἐκ ἄνθρωπος, οὐδὲ Σωκράτης ἂν εἴη· ἕνεκεν δὲ καὶ ταῦτα ἐκεῖνα· τί γὰρ κωλύει τὸν μὴ ὄντα Σωκράτιλω ἄνθρωπον εἶναι; ἢ ζῶον, τὸν μὴ ἄνθρωπον; Καὶ ὅτως ἄρα κἀν τούτοις ὁ Διαλεκτικὸς σώζεται ὅρος, ὁ ἐκ μὲν τῷ ἐνεργείᾳ τὸ δυνάμει θετικῶς ἐξεῖναι εἰσβάλλειν, ἐκ δὲ τῷ δυνάμει ἀποφατικῶς τὸ ἐνεργείᾳ, διαγορεύων, ἐχὶ δ' ἀνάπαλιν.

§. ρέ. Ἐκεῖνα δὲ (§. ρά. ρβ'.) πάρεσι σημειῶν καὶπὶ τῶν Διαφορῶν, καὶ Ἰδίων, καὶ Συμβεβηκότων. Ἔσι γὰρ καὶ διαφορὰ Γενικωτάτη τις ἅσα, οἷον τὸ αὐθύπαρκτον ἐπὶ τῆς οὐσίας· Καὶ μέση, οἷον τὸ αὐθητικὸν ἐπὶ τῷ ζώῳ. Καὶ κατωτάτη ἡ Εἰδοποιός· οἷον τὸ λογικὸν ἐπὶ τῷ ἀνθρώπῳ. Καὶ πάλιν τῶν ἰδίων τὰ μὲν Γενικώτατα· οἷον τῆς οὐσίας τὸ μὴ ἐπιδέχεθαι τὸ μᾶλλον, καὶ ἧττον· τὰ δὲ μέσα, οἷον τῷ ζώῳ τὸ τρέφεθαι πεφυκέναι· τὰ δὲ εἰδικώτατα, οἷον τῷ ἀνθρώπῳ τὸ γελασικὸν εἶναι. Ὡσαύτως δὲ ἔσι μέντι συμβεβηκὸς Γενικώτατον, οἷον τὸ ποιὸν εἶναι· ἔσι δέτι μέσον, οἷον τὸ κεχρῶθαι. Ἔσι δέτι Εἰδικώτατον, οἷον τὸ λελευκάνθαι. Ἐφ' ὧν, ὥσπερ ἐπὶ τῶν κατ' οὐσίαν Γενῶντε καὶ Εἰδῶν ἡ κάθοδος ἄχρις ἀτόμων, κατιέναι ἔπεσι παραπλησίως, ἄχρι τῶν Ἀτομικῶν· τὸ γὰρ σὺ ἐμοὶ λογικὸν, καὶ τὸ σὺ σοὶ γελασικὸν, καὶ τὸ ἐν ἐκείνῳ λόγικὸν, ἀτομικὰ τὰ πάντα.

§. ρς'. Ἔτι ἐπὶ τῶν τριῶν τετωνὶ, εὕροις ἂν καὶ ἄλλ' ἄττα κοινῇ πολλοῖς ἐπισημειόμενα· οἷον τῶν Διαφορῶν, τὰς μὲν κοινῇ Διαφορὰς καλῶσι, τὰς δὲ ἰδίας· καὶκείναι μὲν τὰ συμβεβηκότα ἀνίκρυς ἐσὶν, αἱ δὲ τὰ ἴδια· τὰς δὲ ἰδιαίτατα· Αὗται δὲ κυρίως εἰσὶν αἱ Διαφοραί. Καὶκείνων μὲν, φασὶν, ἐσὶ τὸ ἑτεροῖοντι ἀποφαίνειν τὸ ὥπερ ἔνεισι, ταύτης δὲ ἤτοι τῆς ἰδιαίτατα, τὸ, ἕτερον· ἤτοι Εἴδει διαφέρον, ὅπερ, ἐμοὶ δοκεῖ, κὴ τοῖς κυρίοις τῶν ἰδίων προσήκει· ὅτι κὴ ταῦτα τιὼ ἐσίαν, καίτοι δευτέρως, ἥπερ εἴρηται, (§. μθ'.), γνωρίζειν ἔλαχον.

§. ρζ'. Ἔτι ταῖς Διαφοραῖς, τριττόντι οἷον ἔργον ἀποκληρῶσι· Διαιρετικὰς γὰρ εἶναι φασὶ τῶν Γενῶν· Συσατικὰς δὲ τῶν Εἰδῶν. Κατηγορικὰς δὲ τῶν Ἀτόμων. Οἷον τὸ λογικὸν,

καὶ

καὶ τὸ ἄλογον διαιρῆσι τὸ ζῶον· Καὶ τέτων τὸ λογικὸν συνίσησι τὸν ἄνθρωπον, καὶ κατηγορεῖται τῶν καθ' ἕκασα· ἤτοι προσάπτεται τῷ λόγῳ ὡς γνώρισμα κοινῇ προσῆκον Σωκράτει, καὶ Πλάτωνι, κτ.

§. ρη'. Ἀλλὰ καὶ τῶν Ἰδίων τέτταρες οἱ τρόποι ἀριθμῆνται· τὸ μὲν γὰρ μόνῳ τινὶ Εἴδει προσῆκον ἐσὶν, ἐ παντὶ δέ· Οἷον ἀνθρώπῳ τὸ γεωμετρεῖν· τὸ δὲ παντὶ, ἀλλ' ἐ μόνῳ, οἷον τὸ δίπεν· τὸ δὲ μόνῳ, καὶ παντὶ, ἀλλ' ἐκ ἀεί· οἷον τὸ γελᾶν· τὸ δὲ καὶ μόνῳ, καὶ παντὶ, καὶ ἀεὶ οἷον τὸ γελασικόν. Ἀλλ' ἐκείνων συμβεβηκότων μᾶλλον ὄντων, τετὶ μόνον κυρίως ἂν εἴη τὸ ἴδιον. Τῆτο δὲ τὸ κατὰ τὸν Δ'. τρόπον, καὶ τριχῶς φέρεται (1) παρὰ τοῖς Πλατωνικοῖς ἐκληφθεί. Ἀπὸ τῆς Διοργανώσεως, ὡς τὸ δικέφαλον, φασὶ τῇ Ἀμφισβαίνῃ. Ἀπὸ τῆς ἐνεργείας, ὡς τὸ λοξοβαδισικὸν τῷ Καρκίνῳ· Ἀπὸ τῆς δυνάμεως, ὡς τὸ καυσικὸν τῷ πυρί.

§. ρθ'. Τέλος δὲ καὶ τῶν συμβεβηκότων, τὰ μὲν εἰσὶ χωρισὰ τῶν ἰδίων ὑποκειμένων· οἷον τὸ περιπατεῖν, τὸ καθεύδειν· τὰ δ' ἀχώρισα, οἷον τῷ Αἰθίοπι ἡ μελανία· Καὶ τὰ μὲν ἄχετα, οἷα τὰ ἐρημένα· τὰ δὲ χετικά· οἷον τὸ δῆλον εἶναι, καὶ τὰ παραπλήσια. Ἐφ' οἷς καί τι λέγεται κατὰ συμβεβηκὸς, ὃ συμβεβηκὸς ἐκ ἔσιν· οἷον τὸ ἱμάτιον ἐπὶ τῦ ἀνθρώπου.

§. ρι'. Τὰ μὲν ἓν περὶ τῶν Καθόλε, καὶ τῶν κατ' αὐτὰ πέντε φωνῶν, ἢ φωνῶν, τὰ χρειωδέσερα χεδὸν ταῦτα. Ἐφ' οἷς ἐκεῖνο μοι πρᾶγμα δοκῶ προθήσειν ἑσόμενον ὅ, τις ἤδη (2) φθάσας παρῆνεσεν· ὡς τὸ μὲν τὶ Γένος ἐσὶν εἰδέναι, καὶ τὶ Εἶδος, καὶ τὰ λοιπὰ, μικρὸν ἔργον ἐπιεικῶς, καὶ τῷ παντὶ ῥάδιον, καὶ ἐδὲ πάνυτι καθ' ἑαυτὸ συντελές· τὸ δ' ἕκασα ἐπὶ τὰ οἰκεῖα γένη ἀνάγειν, καὶ τὰ τῶν γενῶν εἴδη ἐπισαμένως διακρίνειν, καὶ τέτων δὲ τὰς διαφορὰς, καὶ τὰ ἴδια, καὶ τὰ συμβεβηκότα σαφῶς τε καὶ ἀκριβῶς ἐπιθεωρεῖν, τῦτ' ἂν εἴη τῷ ὄντι τῦ παντὸς ἄξιον.

(1) Παρὰ τῷ Βλεμ. Λογ. Κεφ. ιγ'.
(2) Τέχν. τῦ νοεῖν. Μέρ. Α'. Κεφ. ζ'.

ΚΕΦ. ΠΕΜΠΤΟΝ.

Περι Ἀναπτύξεως τῶν Ἐννοιῶν· Ἔνθα,

Περὶ Ὁρισμῦ καὶ Διαιρέσεως.

§. ριά.

Ἔννοίας ἀνάπτυξιν ἀποκαλῶ, τὴν ταύτης εἴτε εἰς ἁπλεστέρας, ἐξ ὧν αὐτὴ τὸ βάθος συμπληροῦται (§. πδ'.) ἀνάλυσιν, εἴτ εἰς μερικωτέρας ἅλλας ἐφ' ὧν αὐτῆς τὸ πλάτος διήνεται (§. πς'.) διαίρεσιν. Οὕτως ἀναλύεται μὲν τὸ τρίγωνον εἰς τὴν τῦ χήματος ἰδέαν, καὶ τὴν τριῶν πλευρῶν, καὶ γωνιῶν τοσύτων. Διαιρεῖται δὲ εἰς τὸ ὀξυγράμμον τρίγωνον, καὶ τὸ καμπυλόγραμμον. Διὸ ἡ μὲν Ἀνάλυσις τῇ ἐννοίᾳ ὡς ὅλῳ ἐνεργεῖα εἰς τὰ ὑπάρχοντα παρεπηδεῖ, ἡ δὲ Διαίρεσις ὡς ὅλῳ δυνάμει εἰς τὰ ὑποτασσόμενα (§. πθ'.).

§. ριβ'. Ἀπ' ἐναντίας ἡ Ἀνάλυσις τῶν ἐννοιῶν χωρεῖ τῇ Συγκρίσει, ἃ γὰρ ἐκείνη σιωπᾷ τε, καὶ εἰς ἃ ἦγον, ἀπὸ τῶν ἁπλεστέρων ἐπὶ τὰ ἧττον ἁπλᾶ μεταβαίνουσα (§. οα'. οβ'. ογ'.) διϊσᾶ αὐτὴ, καὶ χωρὶς τίθησιν, ἀπὸ τῶν μᾶλλον συνθέτων ἐπὶ τὰ ἧττον ἐπαναλύουσα. Ὡσαύτως ἀντιβαίνει καὶ ἡ Διαίρεσις τῇ Ἀφαιρέσει· τῆς μὲν γὰρ ἦν ἀπὸ τῶν ἐπὶ μέρους ἐπὶ τὰ κοινὰ ἀνατρέχειν· (§. πβ'.), τῆς δὲ ἐσὶ, τὸ ἀπὸ τύτων ἐπ' ἐκεῖνα ἀναποδίζειν. Διὸ καὶ ἀντιπαθεῖ ὅλως, ἡ τῶν ἐννοιῶν διαίρεσις τῇ ἀναλύσει, ὥσπερ καὶ τῇ ἀφαιρέσει ἡ σύγκρισις.

§. ριγ'. Τῆς ἓν τῶν ἐννοιῶν Ἀναλύσεως, βαθμηδὸν ἡ πρόοδος κατὰ τὸ μᾶλλον καὶ μᾶλλον χωρεῖ ἐπὶ τὰ ἁπλέστερα, ὥσπερ δὴ καὶ τῆς ἀντιθέτε συγκρίσεως (§. ογ'.) ἐχώρει ἐπὶ τὰ ἐκ τῶν ἁπλῶν. Ἀναλύσει γὰρ ἁπανταχῦ τῶν γνωρισμάτων γνωρίσματα, τῶν πρώτων δεύτερα, καὶ τῶν δευτέρων τρίτα, καὶ ἑξῆς, ἄχρι τῶν ἁπλεσάτων· οἷον ἀνθρώπε γνωρίσματα τό, τε ζῶον εἶναι καὶ τὸ λογικόν· ζῶε δὲ τὸ ἔμψυχον, καὶ τὸ αἰσθητικόν· ἐμψύχου δὲ τὸ τρέφεσθαι, καὶ αὔξειν, ἢ φθίνειν, καὶ γεννᾶν ὅμοιον· ἀεὶ ἔτω πρόσω τῆς προόδε βαινέσης κατὰ δια-

διανοίας ἀφαίρεσιν (§. οέ. οϑ΄.), καὶ τῷ βάθει τῆς ἐννοίας συμπροϊούσης ἀνάλογον. Ἡ δὲ ἀβαθὴς ἔννοια (§. πέ.), ὡς ἀδιαγνώριστος, (§. μγ΄.), καὶ ἁπλουστάτη (§. μβ΄.), ἀνεπίδεκτος ἐστὶν ἀναλύσεως.

§. ριδ΄. Παραπλησίως δὲ πρόοδός τις θεωρεῖται καὶ τῆς Διαιρέσεως ἀπὸ τῶν μᾶλλον ἐπὶ τὰ ἧττον ἁπλᾶ, ὥσπερ καὶ τῆς ἀντιθέτου ἀφαιρέσεως (§. οϑ΄.) ἀντιθέτως ἀπὸ τῶν ἧττον ἐπὶ τὰ μᾶλλον. Διαιροῦντες γὰρ κατιμεν ἀπὸ τῶν ἀνωτέρω ἐπὶ τὰ κατωτέρω, κἀκτέτων ἔτι ἐπὶ τὰ ὑποβεβηκότα, καὶ ἑξῆς ἄχρι τῶν κατωτάτω· οἷον τῆς οὐσίας ἡ μὲν σῶμα, ἡ δὲ πνεῦμα· καὶ τοῦ σώματος τὸ μὲν ἔμψυχον, τὸ δὲ ἄψυχον· καὶ τοῦ ἐμψύχου τὸ μὲν αἰσθητικὸν, τὸ δ' ἀναίσθητον· ἀεὶ ἐπέκεινα τῆς προόδου γινομένης διὰ συγκρίσεως (§. ογ΄.), καὶ τῇ ἀπὸ τοῦ πλάτους τῆς ἐννοίας ξενώσει συμπροαγομένης ἀνάλογον. Ἡ γὰρ ἁπλατὴς ἔννοια (§. υ΄.), ὡς ἐντὶ καὶ μόνον παρισάνουσα, ἄτομός τε ἐστὶ, καὶ πάντῃ ἀδιαίρετος.

§. ριε΄. Χρεία δὲ τὰς ἐννοίας πολλάκις ἀναπτύσσειν ἐπιχειρεῖν καθ' ἑκάτερον. Καὶ ποτὲ μὲν τούτων τὰ γνωρίσματα ἐκτιθέναι, ἐν οἷς χαρακτηρίζονται, ποτὲ δὲ, τὰ ὑποβεβηκότα, καθ' ὧν ὡς μερῶν ἐπιθεωροῦνται· ὧν τὸ μὲν ὁρίζειν ἐστὶ, τὸ δὲ διαιρεῖν. Ἀλλὰ περὶ Ὁρισμοῦ τε, καὶ Διαιρέσεως, ὧν ἐκ οἷόν εἴτι ἄλλο εἰς πορισμὸν ἐπιστήμης σιωτελέστερον, ἐν μέρει διαληπτέον.

Περὶ Ὁρισμοῦ.

§. ριϛ΄.

Ὁ τοίνιυ Ὁρισμὸς, γνωρισμός τις ἀντικρυς ὧν τοῦ ὁριζομένου (1), οὐδὲν ἄλλ' ἢπερ ἡ εἰρημένη (§. ρια. κξ΄.) ἀνάλυσις ἐστὶ τῆς ἐννοίας εἰς τὰ ἐν αὐτῇ γνωρίσματα (2), δι' ὧν ἐναργῶς τε καὶ ἀκρινῶς τὸ νοητὸν (§. νέ. νϑ΄.) ἀναπτυχθὲν κατανοεῖ-

(1) Ὁ ὁρισμὸς οὐσιαστις ἐστὶ γνωρισμός. Ἀρισ. ὑστέρ. Ἀναλ. Βιβ. Β΄. Κεφ. γ΄.

(2) Ὅρος δὲ ἐστὶν (ὡς φησὶν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων) „λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντων ἐκ „φερόμενος. (Λαέρτ. ἐν βίον Ζήνων. Καὶ Σουίδ. ἐν Λέξ. ὅρος).

τανοεῖται, καὶ παντὸς ἄλλε διαιρέλεται, καὶ (ἐξ ἧς αὐτῷ καὶ τὄνομα ὁρισμὸς) ἀφορίζεται. (1).

§. ριζ'. Πρόκειται δὲ δι' ὁρισμῆ ἔννοιάντινα ἀνεπτυγμένιω (§. ρια'.) λαβεῖν, δυοῖν ἕνεκα· Ἤτοι γὰρ πρὸς δήλωσιν τῆ ὑπότινος φωνῆς συμαινομένε, ἢ πρὸς διασάφησιν, καὶ ἀκρίνειαν αὐτῆ τῆ νοητῆ, ὃ δὴ ἀσαφῆς τε καὶ ἧκισα ἀκρινῆς τῆς ἐννοίας γινώσκεται. Καὶντεῦθεν ἡ τῆ ὁρισμῆ κοινοτάτη διαίρεσις εἰς τὸν Ὀνοματώδη, καὶ τὸν Πραγματιώδη· τέτων γὰρ ὁ μὲν τιὼ τῆ ὀνόματος δύναμιν ἑρμιεῦσαι προτίθεται, ὁ δὲ τιὼ τῆ πράγματος φύσιν παραγυμνῶσαι σκοπεῖ· καὶκεῖνος μὲν τιὼ ἐννοιαν, ὁποίατις ἂν ᾖ, ὁμολογεμένιω προειληφὼς, φωνῆτινι προσδῆσαι ταύτιω ἐθέλει, ἥπερ ἂν ἐκφερομένη ἀεὶ ὑπακέοιτο· οἷον δορυφόρον ἀποκαλῶ πλανήτιω περὶ πλανήτιω ἕτερον, ὡς περὶ κέντρον φερόμενον· ἕτος δὲ ὁ πραγματιώδης, τιὼ φωνιὼ προενηρμοσμένιω ἤδη τῇ ἐννοίᾳ προϋποτιθεὶς, τὸ νοητὸν διαγνωρῖσαι σαφῶς, ὅ, τίποτ' ἐςὶν ἐπαγγέλλεται. Οἷον περίοδος τῆ δορυφόρε ἐςὶν, ἣν περὶ τὸν πλανήτιω τὸν αὐτῆ, περιπολῶν, ἐν χρόνῳ τεταγμένῳ, ἀπὸ τῆ αὐτῆ ἐπὶ τὸ αὐτὸ ἐπανιὼν διαπεραίνει.

§. ριή. Φέρεται μὲν ἓν ὀνοματώδης ὁρισμὸς καὶ ὁ Ἐτυμολογικός· οἷον Φιλίατις σοφίας ἐςὶν ἡ Φιλοσοφία. Αἵτε Μῆσαι ὅμῆ ἔσαι, εἰσί· καὶ Ἀπόλλων ὁ παρὰ τιὼ τῶν πολλῶν ἔλλειψιν,

(1) Λόγον σύντομον δηλωτικὸν τῆς φύσεως τῆ ὑποκειμένε πράγματος, ἀπέδωκαν οἱ παλαιότεροι, ὁρισμῷ τὸν ὁρισμὸν ἀναπτύξαντες. Λόγον μὲν, ᾗ φωναῖς ἐπιδεωρῶντες αὐτὸν ἐκφερόμενον. Σύντομον δὲ, διὰ τὸ ἀπέριττον. Δηλωτικὸν δὲ τῆς φύσεως κτ. πρὸς διαφορὰν γνωμῶν, φασὶ, καὶ παροιμιῶν, καὶ ἀποφθεγμάτων, οἵ λόγοι σύντομοι μὲν εἰσὶ, τὴν δὲ φύσιν μηδενὸς ἀναπτύσσοντες τῆς τῆ ὁρισμῆ ἐκπίπτουσι φύσεως· Οὐδὲν δὲ διαφέρα τὸν ὁρισμὸν εἴτε ἐννοηματικῶς, καθ' ἡμᾶς, εἴτε φωνητικῶς κατὰ τὲς παλαιὲς ἐκδέξαθαι· καὶ γὰρ καὶ αἱ φωναὶ σημαντικαὶ τῶν νοημάτων ὑποτίθενται, τάτε νοήματα πραγμάτων παρασατικὰ, ἢ ὡς πραγμάτων φανταστικά. Ἐκεῖνο δέμοι σημειῶσθαι ἐπὶ τῆ παρόντος, ὅτι καθάπερ ἡμεῖς τὸν ὁρισμὸν τῆς συνεπτυγμένης ἐννοίας ἀναπτύξιν ἄναγ φαμὲν, ἕτως οἱ πάλαι τὰ ὀνόματα συνεσαλμένης ὁρισμὲς κεκλήκασιν, ὥσπερ ἓν ὀνόματα ἐξηπλωμένα τὲς ὁρισμές· Ἐν τῷ σαφῆ δηλονότι, καὶ εὐκρινῆ τῆς ἐννοίας, τῆς δὲ ὧν ἔχει γνωρισμάτων ἀναπτυσσομένης, τὴν δύναμιν τῆ ὁρισμῆ ὑποθέμενοι. Ὁ γὰρ δηλῶσι (φασὶ) τὰ ὀνόματα σκοτεινῶστε, καὶ ἀσαφῶς, καὶ ἀδιακρίτως ... οἱ ὅροι καθαρῶς, καὶ σαφῶς καὶ διακεκριμένως δηλῶν πεφύκασι· διὰ τὸ χρᾶθαι διαφορᾶς (ταυτὸν εἰπεῖν γνωρίσμασι) καὶ ταύταις ἀσιώδεσιν. (ὅρα Βλεμ. Λογ. Κ. ά.

λειψιν, ἧς. Καὶ ὁ Συνωνυμικὸς δὲ, ὁ δι' ἰσοδυναμέντων ὅρων τὸ λεγόμενον ἀνακυκλῶν· οἷον ἀεὶ ὡσαύτως ἔχον ἐστὶ τὸ ἄτρεπτον, καὶ βίαιον τὸ ἀναγκαστικόν· Ἀλλὰ Γραμματικῶν ἔτοι μᾶλλον καὶ Λεξικοποιῶν, ἢ Φιλοσόφων. Ὁ δὲ τοῖς Φιλοσοφοῦσιν ἐν χρήσει ὢν τριττῆς ἰδέας ἐστίν. Ὁ μὲν γὰρ ἐστὶν ὁ ἐπὶ τῶν ἀκατονομάστων ὀνοματοθετῶν· οἷον ᾧ ἔστι κεφαλὴ, Ἀριστοτέλης φησὶν, εἰρήσθω κεφαλωτόν· ὁ δὲ, ὁ ἐπὶ τῶν πολλαχῶς λεγομένων τὸ ἄστατον τῆς σημασίας πηγνύς· οἷον Νῆν λέγω, τὸ ἐν ἡμῖν Φρονεῖν. Ὁ δὲ τέως, ἐφ' ὧν ἔστι μὲν ὄνομα, καὶ τὸ ἔν, ἡ μέντοι ἀνάπτυξις τῇ νοεμένῃ ἐ κατὰ βάθος ἀποδίδοται, ἀλλ' ὡς δῆλον εἶναι μόνον ἐξ ἐπιπολῆς, τί τὸ περὶ ἕ ὁ λόγος· οἷον ἐλαστικὴ δύναμίς ἐστι καθ' ἣν τὸ σῶμα πιεζόμενον αὐτομάτως ἀποκαθίσταται· καὶ βαρύτης καθ' ἣν ἐπὶ τὰ κάτω φέρεται. Οὐ γὰρ διὰ τῶνδε, ἡ τῆ ἐλατηρίᾳ φύσις, ἢ ἡ τῆ βάρει ἀναπτυσσομένη διασαφεῖται, τοσοῦτον δ' ἐπιφέρεται, ὅσον ἀπόχρη ἐλατήριον, ἢ βαρύτητα ὕστερον ἀκέοντας, ἐπί τινα δέον εἰδέναι τῷ λογισμῷ ἀνατρέχειν, καὶ τίνα μή· Τοιόσδε τις, καὶ ὁ τῆς ἐσίας ὁρισμὸς, ὡς τὸ ὑποκείμενον ἐστὶ τὸ πρῶτον, καὶ ἐκ οἷδ' ὅ,τι, ἐν ᾧ δυνάμεις ἔνεισί τινες, καὶ ἴδια, καὶ παθήματα, καὶ ἐνέργειαι. Ὁποῖον ἂν τοῦτο ᾖ.

§. ριθ'. Ἔστι δὲ ἐπίσημος ἡ τῆ τοιάτῃ ὁρισμῆ χρῆσις. Α'. γὰρ ἡμῖν, ἐπὶ τῶν ὀνόματος ἠμοιρηκότων, τὸ δι' αὐτῆ τοῖς ἄλλοις ἐπικοινωνεῖν, ἅττα νοῆμεν, προσγίνεται· Φαμὲν γὰρ ὅτι τάδε φέρε, καὶ τάδε παρατηρεῖται ἐπὶ τάτῃ κἀκείνῃ τῶν περὶ τὸν Κρόνον δορυφόρων, προαποδεδομένου ἤδη τῆ λόγῳ τῆ κατὰ τὄνομα· ἢ μὴ προληφθέντος, χολῇ γ' ἄντι ὁ ἀκέων συνήσειε.

§. ρκ'. Β'. δὲ καὶ περιφρασικῆς πολυλογίας ὁ ὀνοματώδης ὁρισμὸς ἡμᾶς ἀπαλλάττει· εἰπὼν γὰρ ὅτι ἄρτιος ἀρτίῳ προσεθεὶς, ἀριθμὸν ἄρτιον ἀπογεννᾷ, νοεῖν παρέχον ὃ βέλομαι, τὸν δίχα διαιρετὸν ἔτως ὀνομάζειν ἅπαξ προθέμενός τε, καὶ προδιασημιώας. Ὅση δ' ἂν ἦν ἡ ἀδολεχία, εἰ λέγειν ἔδει ὅτι ὁ δίχα διαιρετὸς ὢν ἀριθμὸς, τῷ δίχα ὄντι διαιρετῷ προσιθέμενος, ἀριθμὸν διαιρετὸν δίχα πέφυκεν ἀποτελεῖν!

§. ρκά. Γ'. Καὶ τὸ τῆς λογομαχίας ἀπέραντον ἴσησιν. Αὕτη γὰρ τὰ πλεῖσα ἐπὶ τῶν πλεοναχῶς συμβαίνει λεγομένων, ἣν μήτις διὰ τῆ ὁρισμῆ φθάσας, τῇ διασολῇ τῆς σημασίας,

μασίας, τὴν φαινομένην ἀντιλογίαν προϋπεξέληται. Οὕτως ἀρθείη ἂν ἡ Ἀριστοτέλους, φέρε, καὶ Μελίσσου μεταξὺ, τῶν περὶ τοῦ μοναδικοῦ τῆς ἀρχῆς διαφιλονεικούντων, συστᾶσα ἔρις, εἰ μόνον τῆς ἀρχῆς ἀποδοθείη ὡρισμένως τὸ σημαινόμενον. Εἰ μὲν γὰρ Ἀρχὴ καλεῖσθαι ὑποτεθείη, τὰ ἐξ ὧν ἑκάστῳ ἡ σύνθεσις, τὰ Ἀριστοτέλους ἀναμφηρίστως νικᾷ· οὐ γὰρ ἐξ ἑνὸς καὶ μόνου γένοιτο σύνθεσις. Εἰδὲ τῶν ὄντων τὸ ποιητικὸν, οὐκ ἐν δίκῃ δήπου οἱ περὶ Μέλισσόν τε καὶ Παρμενίδην, τὸν ὑπὲρ τῆς μιᾶς Ἀρχῆς ὑπ' ἐκείνου ὑπέστησαν ἔλεγχον· τὸ γὰρ Ποιητικὸν ἕν.

§. ρκβ'. Δ'. Ἐπὶ πᾶσιν ὁ τοῦ ὀνόματος ὁρισμὸς καὶ Ἀποδεικτικῆς Ἀρχῆς λόγον ἔχων καὶ δύναμιν, παντὸς κεῖται ἔξω ζητήματος. Καὶ γὰρ καὶ ὀνοματοθετοῦντι, οὗ οὐκ ἔστιν ὄνομα, παντὶ ἐφεῖται, ὡς ἂν ἐθέλοι ἑρμηνεύειν τὰ νενοημένα· ῥᾷστα τε ἐνδώσομεν, ᾗπερ ἂν βέλτιστα αὐτῷ δόξειεν ἔχειν, ὀνομάσαι τὸ παριστάμενον (1). Καὶ ἐπὶ τῶν πολυσήμων, εἴτις ἐφ' ἕντι τῶν πολλῶν ἀνακαλέσειε τ' οὔνομα, ἀνεπίληπτον καὶ τὸ τοιοῦτο. Καὶ ὁ τὸ πρόχειρον τέως, καὶ τοῖς πᾶσι γνώριμον εἰς δήλωσιν τοῦ λεγομένου προβαλλόμενος, ἵνα πρὸς ἐκεῖνο πᾶς τις ἀφορᾷ τοῦ ὀνόματος ἐπαΐων, οὐδ' οὗτος ἐλέγχῳ ὑποπεσεῖται. Ἀλλαμὴν καθ' ἕνα τῶν τριῶν τουτωνὶ τρόπων ὁ τοῦ ὀνόματος ἂν συντελέσειεν ὁρισμὸς (§. ριη'.) ἄλλως δὲ, ὡς ἂν αὐτὸς εἰδείην, οὐδαμῶς· οὐκοῦν ὑπ' εὐθύνην οὐχ οἷός τε γίνεσθαι.

§. ρκγ'. Παραφυλακτέον μέντοι κἀνταῦθα ὡς ἐπὶ καὶ ἄλλων πολλῶν τὸ τῆς παραχρήσεως. Α'. γὰρ οὐκ ἐπὶ πάντων δεῖν τοὺς ὀνοματώδεις προτιθέναι τῶν ὁρισμῶν ἡγητέον (2), τοῦτο γὰρ οὐδὲ χρειῶδες, πλὴν ἢ κατά τινα τῶν εἰρημένων τρόπων (§. ριη'.), οὐδ' ἄλλως δυνατόν. Ἐπεὶ εἰς ἄπειρον ἂν προέλθοι, εἴτις καὶ τῶν ὁριζόντων ὀνομάτων ἕκαστον, ὁριστὸν ἀεὶ ἐθέλοι καθιστᾷν.

§. ρκδ'. Β'. Ἐπὶ τῶν ὀνομαθεσιῶν μὴ πάνυ πόῤῥω βαίνειν τῆς συνηθείας ἀποτολμᾷν, μηδὲ κατὰ τῆς τῶν φωνῶν ἀναλο-

(1) „Ἡμεῖς δὲ οὐδὲν διαφερόμεθα „πρὸς τοὺς τὰ ὀνόματα ἐξαλλάττον„τας, τὸ δὲ πρᾶγμα αὐτῷ ὑποδείξο„μεν, ὅπερ ἔξεστι τῷ βουλομένῳ ὡς ἂν ἐθέλοι καλεῖν. Γαλην. πρὸς Θρασύβουλ. περὶ Ἀρίστ. Αἱρέσε.

(2) Ὡς ἄρα περιττός τις περὶ τοὺς ὁρισμοὺς ὢν διαβέβληται ὁ Πλάτων παρὰ Θεοπόμπῳ τῷ Ῥήτορι· ᾗ διέξεισιν Ἀῤῥιαν. ἐν τοῖς εἰς τὸ Ἐπικτ. ἐγχειρ. Βιβλ. Β'. Κεφ. ιζ'.

ναλογίας ἐλευθεριάζειν ἐντόπως. Ὁ μὲν ἓν τὸν ἓ πολὺ πρὸ ἡμῶν παρατηρηθέντα τῆς Ἀφροδίτης δορυφόρον, Ἐρώτιον ἀποκαλέσας, τῇ ἀναλογίᾳ τῶν ὀνομάτων προσεχηκέναι δῆλος ἐστίν· Ἀλλ' εἰσὶν ἐπιεικῶς ψυχροὶ χυμικῶν παῖδες, οἱ τοσέτων ἀλλοκότων τε καὶ ξένων ὀνομάτων τιὼ κατ' αὐτὲς πραγματείαν ἐμπλήσαντες, οὐδὲν ἐπάναγκες ὂν βαρβάροις ὀνόμασιν, ἢ ἀπὸ τῶν ἀλλοτριωτάτων σημασιῶν μετειλημμένοις, δι' αἰνιγμάτων οἷον συγκαλύπτειν τὰ εἰς διδασκαλίαν προβαλλόμενα τῶν μετιόντων· τὲς δὲ Διαλεκτικὲς Σάγασι λέγοντας, καὶ Τέρινθο, καὶ Γοργάδο, εἰς δήλωσιν τῶν παρ' αὐτοῖς συλλογιστικῶν χημάτων καὶ τρόπων, τὸ συμβολικὸν τῶν φωνῶν, περὶ ἓ ὕστερον, τῆς μέμψεως παραιτῆται.

§. ρκέ. Γ'. Τὸν ὡ κοινῇ παραδοχῇ τυγχάνοντα ὀνοματώδη λόγον, κατὰ τὸν τρίτον τῶν εἰρημένων (§. ριή.) τρόπον, μεταποιεῖν ἐθέλειν εἰκῇ, καὶ περὶ αὐτὸν καινοτομεῖν, τάχα δὴ καὶ περιττόν· ὅμως μέντοι τῷ βελομένῳ συγχωρητέον. Εὐθεῖα γραμμὴ κατ' Εὐκλείδιν, ἐστὶν, ἥτις ἐξίσε τοῖς ἐφ' ἑαυτῆς κεῖται σημείοις· Κατ' Ἀρχιμήδιν δὲ, ἡ ἐλαχίστη τῶν τὰ αὐτὰ πέρατα ἐχεσῶν. Κατὰ δὲ Πλάτωνα (1) ἧς ἂν τὸ μέσον ἀμφοῖν τοῖν ἐσχάτοιν ἐπίπροσθεν ἦ. Κατὰ δὲ τὸν Νεώτερον (2) ἧς τὸ μέρος ὁμοιον τῷ ὅλῳ. Ἕξει γὰρ τῷ τυχόντι ἰδιώματι προχρωμένες τιὼ διώαμιν τὲ ὅρε παραδηλᾶν, εἰ μόνον γνώριμον εἴη τὸ ληφθὲν, καὶ προσῆκον, μηδ' ἀπάγον καὶ ἀπαλλοτριᾶν τῆς ἐν ἕδει σημασίας τὸ ὄνομα. Ὅπε γὰρ τῆς συνηθείας ἐκ ἐφεῖται ἐκβαίνειν, πολλῷ τοι μᾶλλον τὸ ἀντιβαίνειν ταύτῃ ἀπείρηται. Οὐδεὶς ἓν δὲθεῖαν ἀποδιδὲς ἀνεκτὸς ἐσὶ, τιὼ, ἧς ἐφύπερθεν ἐάντι φῶς ἐπιτεθῇ, ἦσαν ἄσκιον· τὸ γὰρ ἄσκιον, διὰ τὸ ἁπλατὲς παρέψεται τῇ γραμμῇ, ὁποθενᾶν αὐτῇ τὲ φωτὸς ἐπιλάμψαντος· ὁ δὲ τὸ ἐπ' δὲθείας αἰτιώμενος, ταύτιω ἐπάχυνεν. Ὅς δ' ἂν καὶ δὲθεῖαν ἀξιώσειε καλεῖν τιὼ εἰς ἑαυτιὼ ἐπανιᾶσαν, καὶ καταγέλασος.

§. ρκς'. Δ'. Ὁρισμῷ ὀνοματώδει, τῷ ἅπαξ ἀποδοθέντι, ἐμμένειν χρεών· Ἐφ' ἡμῖν γὰρ ὂν τὸ ἀποδᾶναι, ἐκέτι ἐφ' ἡμῖν ἔσαν καὶ τὸ ἀθετῆσαι. Οἷον δεδόσθω μὲν, εἴτις ὑπὸ τῷ ὀνόματι τῆς θερμότητος νοεῖν ἐθέλοι τιὼ ἐνᾶσαν τῷ πυρὶ δύναμιν·

(1) Ἐν Διαλόγ. Παρμεν. (2) Λεϐνίτιος.

τȣ̃το δ' ὡς ἂν ἅπαξ τεθῇ, μεταλαβεῖν ἔπειτα, εἰς τὸ τῆς ἡμῖν ἐνεγειρομένης αἰσθητικῆς ἀντιλήψεως σημαντικὸν εἶναι ἅμα τὸ αὐτὸ, ȣ̓κ ἐπιτραπήσεται. Ὁ γὰρ ȣ̓́τως ἀςατῶν, καὶ ἀμφὶς βαίνων, προδήλως ἑαυτῷ ἀντιπεριπεσεῖται, εἰς ταυτὸ ἰέναι καταβιαζόμενος καὶ τὰ πάντῃ ἀσύμβατα.

§. ρκζ'. Ε'. Ἐξ ὀνοματώδȣς ὁρισμȣ̃ κειμένȣ ἐπιφέρειν ȣ̓κ ἔςι τὸ πραγματιῶδες τῆς τȣ̃ ὁριζομένȣ ὑπάρξεως. Ἡ γὰρ ȣ̓́τως ἂν ὑφεςήκοι καὶ τ' ἀντιφάσκοντα, ὧν λόγον τὸ κατὰ τὸ αὐτὸ εἶναιτε καὶ μὴ εἶναι ἀποδιδόαμεν. Αὐτόματον ȣ̓ν, φασὶν, ἐςὶ τὸ αἰτίας ἄνευ οἱασȣ̃ν ἐπὶ τῶν σωμάτων συμβαῖνον. Ἀποδέχομαίτοι τὸν ὁρισμὸν, τὸ ὁριςὸν ἀπαναινόμενος. Καὶ Τραγέλαφος ἐςὶν ὁ, ἐξ ἡμισείας ἑκάτερον, Τράγος δηλονότι καὶ Ἔλαφος. Εἰσβάλλω τὸ προτεθέν· Ἀλλ' ὑφεςᾶναι τι τοιȣ̃τον ἐν τοῖς ȣ̓̃σιν ȣ̓ δώσω. Τὰς γεμὴν ἐν τοῖς τοιȣ́τοις ὁρισμοῖς περιεχομένας σχέσεις ἀνάγκη ὁμολογεῖν· οἷον ὅτι ὁ Τραγέλαφος ἐςὶ διφυής. Οὕτως ἀποδοθὲν σεληναϊκȣ̀ς εἶναι τȣ̀ς ἐν τῇ σελήνῃ τὴν οἴκησιν ἔχοντας, τὸ μὲν τοιȣ́τȣς ἐκεῖσε ὑπάρχειν τινὰς, λῆρον πᾶς τις εὖ φρονῶν ἡγήσεται· τὸ δὲ τȣ̀ς ὑποβαλλομένȣς πολλῷ ἂν ἔγγιον ἡμῶν πρὸς ἥλιον ἔχειν, ȣ̓κ ἀρνήσεται. Ἀτόπȣ γὰρ ἀτόπῳ ἐκ τȣ̃ σύνεγγυς παρακολȣθȣ̃ντος, ἐπιγνωςέον τὴν οἰκειότητα.

§. ρκή. ς'. Ἐκ τȣ̃ ἀδιαζήτητον εἶναι τὸν ὀνοματώδη λόγον, ὡς εἴρηται (§. ρκβ'.), ȣ̓χ ȣ̓́τω καὶ περὶ τȣ̃ πραγματιώδȣς ὑποληπτέον· οἱ γὰρ πραγματιώδεις ὁρισμοὶ ζητȣ́μενοίτε εἰσὶ τὰ πολλὰ, καὶ ὑπ' εὐθύνην γινόμενοι. Οὐ γὰρ ὥσπερ ἀπὸ βȣλῆς ἐςὶ τὸ τοιόνδε σημαινόμενον τοιᾷδε τινὶ φωνῇ συνδεδέσθαι, ȣ̓́τω καὶ ταῦτα, ἢ ἐκεῖνα τὰ πάθη προσεῖναι νομιςέον τῷ πράγματι. Ἀλλὰ περὶ τȣ̃ πραγματιώδȣς ὁρισμȣ̃ ῥητέον ἐχομένως.

§. ρκθ'. Τῶν μὲν ȣ̓ν Νεωτέρων τισὶν (1) ὁρισμοὶ ὀνοματώδεις εἰσὶν ȣ̓ μόνον οἱ ἄχρι τȣ́τȣ ἡμῖν διαληφθέντες, (§. ριζ'. ριή. κξ'.). Ἀλλὰ καὶ πάντες ἁπλῶς, ὅσοι δήποτε τὸ ὁριςὸν ἐκ τῶν ἐνόντων αὐτῷ γνωρισμάτων (§. ριςʹ) χαρακτηρίζȣσι. Πραγματιώδεις δὲ μόνȣς φασὶν (ȣ̓́ς καὶ Γενετικȣ̀ς καλȣ̃σιν), οἷς

(1) Οὐόλφ. Λογ. §. 191. Ὃς τὸν Λεϊβνίτιον τῆς διαφορᾶς ταύτης εἰσηγήτορα πρῶτον διδάσκει γενέσθαι ἐν τοῖς Λειψιακοῖς πρακτ. Ἔτ. 1684. Σελ. 540.

οἷς διασαφεῖται ὅπως τὸ ὁριστὸν ἴσχει τὴν γένεσιν. Καὶ ὀνοματώδης τοίνυν αὐτοῖς ὁ τῷ σχήματι τῷ ἐπιπέδῳ, τῇ περιφερείᾳ, τῷ κέντρῳ, τῇ τῶν ἀπὸ τούτου πρὸς ἐκείνην προσπιπτουσῶν εὐθειῶν ἰσότητι, τὸν Κύκλον ἡμῖν ἐκτιθέμενος· Πραγματιώδης δὲ, ὁ τὸν αὐτὸν τῇ εὐθείᾳ, τῇ θάτερον μὲν τῶν ἐπ' αὐτῆς περάτων ἀκινητούσῃ, περὶ δ' αὐτὸ, ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἀγομένῃ, καταγράφων. Ἀλλὰ γὰρ ὅτι μὲν οἱ Γενετικοὶ οὗτοι πραγματιώδεις εἰσὶν, οὐδεὶς ἀντερεῖ, ὅτι δὲ καὶ μόνοι τῆς κλήσεως ἄξιοι, τοῦτ' ἔστιν ὅπερ ἥκιστα ἡμῖν δοκεῖ· Ὀνοματώδης γὰρ, ᾧ πρόθεσις ὡς εἴρηται, ἤτοι ὄνομα θέσθαι, ἢ τὸ πλεοναχῶς λεγόμενον διορίσαι, ἢ τὸ ὀνομαζόμενον ἐκ τοῦ τυχόντος ὡς γνώριμον παραλαμβάνειν· (§. ριη'.). Οἷς δ' ἂν ἡ τοῦ προκειμένου ἔννοια, ἄποπτός τε οὖσα, καὶ ἀσαφείᾳ συνειλημμένη, διὰ τῶν αὐτῷ περιόντων γνωρισμάτων, ἀναπτύσσοιτο, καὶ εἰς τὸ σαφές τε καὶ εὐκρινὲς ἀνακαλοῖτο (§. ριε'. ριστ'.) πραγματιώδεις ἀκούσουσιν ἡμῖν ὁρισμοὶ, ὡς οὐχὶ τὸ ὄνομα ἑρμηνεῦσαι σκοποῦντες, τὸ δὲ πρᾶγμα μάλιστα τὸ νοούμενον. Ἀλλὰ τὴν ὀνοματικὴν τήνδε διαφορὰν ἐκείνοις συγχωρητέον, ἐπειδὴ τὸν ὀνοματώδη τοῦ ὁρισμοῦ λόγον οὕτως ἀποδεδωκότες, ἀεὶ ἀποδοθέντι ἐμμένουσιν (1).

§. ρλ'. Ὁ πραγματιώδης Ὁρισμὸς οὐκ ἀεὶ τῆς αὐτῆς ἰδέας ἐστίν. Ἀλλ' ἤτοι ἐκ τῶν οὐσιωδῶν τοῦ ὁριζομένου συνίσταται, καὶ οὐσιώδης καλεῖται, ἢ ἐκ τῶν περὶ τὴν οὐσίαν, καὶ ἐπουσιώδης. Καὶ τοῦ μὲν οὐσιώδους εἴδη ὅ, τε Μεταφυσικὸς, καὶ Λογικὸς λεγόμενος·

(1) Εἴτις δὲ καὶ ταύτης ἔξω τῆς διαφορᾶς ἐθέλοι γενέσθαι, τριχῇ τὸν ὁρισμὸν διαιρείτω· εἰς Ὀνοματικὸν, Χαρακτηριστικὸν, ἢ γνωριστικὸν, καὶ Γενετικόν. Καὶ ὀνοματικὸς μὲν αὐτῷ ἔστω ὁ τὸ ἔτυμον τοῦ ὀνόματος ἀποδιδοὺς, ἢ τὸ σαλευόμενον τῆς σημασίας στηρίζων, ἢ τὴν δύναμιν ἐνδεικνύμενος. Χαρακτηριστικὸς δὲ, ὁ τὰ γνωρίσματα τοῦ ὄντος καταλέγων τὰ οὐσιώδη. Γενετικὸς δὲ ὁ τὸν τρόπον ὑποτιθεὶς τῆς τούτου γενέσεως. Πάρεστιν οὖν καὶ τῶν τριῶν δεῖγμα λαβεῖν ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ, οἷον ἐπὶ τῆς ἐκλείψεως τῆς σελήνης. Α'. ὅτι λεῖψις ἐστὶ τοῦ σέλαος ἐξ αὐτῆς. Β'. ὅτι σκοτασμὸς ἐστὶν αὐτῆς πλησιφαοῦς οὔσης. Γ'. ὅτι παρέμπτωσις ἐστὶ τῆς γῆς αὐτῆς μεταξὺ καὶ τοῦ ἡλίου· οἱ μὲν οὖν παλαιοὶ τὸν Β'. καὶ Γ'. πραγματιώδεις καλοῦσι, τὸν μὲν Μεταφυσικὸν, τὸν δὲ Αἰτιώδη καλοῦντες, οἷς καὶ πολλοὶ τῶν ὕστερον παρακολουθοῦσιν. Οἱ δὲ περὶ Λεϊβνίτιον καὶ Οὐόλφιον ὀνοματώδη μὲν φασὶ καὶ τὸν Β'. ὡς εἴρηται, μόνον δὲ πραγματιώδη τὸν Γενετικόν. Πᾶσι μέντοι καὶ τοῖς πραγματιώδη, καὶ τοῖς μὴ ἀποκαλοῦσι, Γνωριστικός τε καὶ χαρακτηριστικὸς εἶναι ὁμολογεῖται ὁ Β'.

μενος· ὁ ἐκ γένους, καὶ συσατικῆς διαφορᾶς, οἷος ὁ κοινότατος ὅτος, ἄνθρωπος ἐσὶ ζῶον λογικόν. Καὶ ὁ φυσικὸς εἰρημένος, ὁ ἐξ ὕλης τε καὶ Εἴδους· οἷος ἐκεῖνος, Ἄνθρωπος ἐσὶ σῶμα ὀργανικὸν, λογικῇ ψυχῇ εἰδοποιημένον.

§. ρλά. Τῶ δὲ ἐπεσιώδες Εἴδη τέτταρα, ὁ Αἰτιώδης, ὁ ἐκ τῶν Ἰδίων, ὁ ἐκ τῶν Συμβεβηκότων, καὶ ὁ Μεταφορικός. Καὶ Αἰτιώδης μὲν ἐσιν, ὁ ἐκ τῶν ἐξωτερικῶν αἰτίων ἀποδιδόμενος. Ἐξωτερικὰ δὲ αἴτια τὸ ποιητικὸν, καὶ τὸ τελικὸν, καὶ τὸ παραδειγματικόν. Καὶ ἐκ μὲν τῶ ποιητικῶ, καὶ τῶ παραδειγματικῶ· οἷον ἄνθρωπός ἐσι ποίημα Θεῦ λογικὸν, κατ' εἰκόνα τῶ κτίσαντος αὐτόν. (1). Ἐκ δὲ τῶ παραδειγματικῶ μόνω, ἄνθρωπός ἐσι μίμημα, καὶ ἀπεικόνισμα τῆς λογικῆς Φύσεως. (2). Ἐκ δὲ τῶ τελικῶ, καθ' ὃ μὲν ἀφορᾷ τέλος· Ἄνθρωπός ἐσι θείᾳ σώματος κόσμος, τῶν θείων ἔργων γεννηθεὶς θεωρητής. (3). Καθ' ὃ δὲ ἀφορᾶται ὡς τέλος, ἄνθρωπός ἐσι τὸ περισπέδαξον τῶ Θεῦ ζῶον, δι' ὃν ὐρανὸς ἐτανύθη, καὶ ὁ ἥλιος φαίνει, καὶ ἡ σελήνη τρέχει, καὶ ἀὴρ ἐξεχύθη, καὶ πηγαὶ βρύουσι, καὶ θάλασσα ἐπλώθη, καὶ τὰ (4) ὑπερφυέσερα ὠκονομήθη. Ὁ μέντοι ὑλικὸς, ἢ καλῶσιν, ὁ ἐκ γένους ἰδίᾳ τῶ συμβεβηκότος, καὶ ἐκ τῶ ὑποκειμένε συνισάμενος· οἷον θυμός ἐσι ζέσις τῶ περὶ καρδίαν αἵματος. Καὶ Ἀπόδειξις ἐσὶ συλλογισμὸς συνεσηκὼς ἐξ ἀληθῶν, πρώτων, καὶ ἀμέσων, τῷ ἐσιάδειτε καὶ φυσικῷ (§. ρλ΄.) ἐσὶ συγκαταλεκτέος. Ἡ γὰρ ὕλη καὶ τὸ Εἶδος ἐσωτερικὰ αἴτια ἐσὶ, καὶ τῆς τῶ ἐξ αὐτῶν ἐσίας συμπληρωτικά.

§. ρλβ΄. Ἐκ δὲ τῶν Ἰδίων ὁ ὁρισμὸς, ὁσάκις ἀντὶ τῆς Εἰδοποιῶ διαφορᾶς, ἔντι, ἢ πλείονα τῶν προσηκόντων τῷ εἴδει εἰς ταὐτὸ συνεπιφορεῖ· οἷος ὁ παρὰ Πλάτωνι Φερόμενος Ἄνθρωπός ἐσι ζῶον δίπεν, ἄπτερον, πλατυώνυχον, ὃ μόνον τῶν ὄντων τῆς κατὰ λόγες Ἐπισήμης ἐσὶ δεκτικόν. Καὶ ὁ κατ' Ἀριστοτέλιν (5), Ἄνθρωπος ἐσὶ ζῶον Φύσει πολιτικόν.

§. ρλγ΄. Ὁρισμὸς δὲ ὁ ἐκ Συμβεβηκότος, ὁ τῇ ἀθροίσει ποικίλων συμβεβηκότων περιγράφων τὸ ὁριςὸν, οἷον κάμηλος ἐσὶ ζῶον ἀχθοφόρον, μακρόλαιμον, κξ΄. §. ρλδ΄.

(1) Βασιλ. ἐς τὴν Ἑξαήμ. παρὰ Βλάχ. ἐν τῇ ὁρισ. Ἁρμον.

(2) Φίλ. Ἰακ. παρὰ τῷ Αὐτῷ.

(3) Ἑρμ. τῶ τρισμεγ. παρὰ τῷ Αὐτῷ.

(4) Χρυσος. παρὰ τῷ Αὐτ.

(5) Ἀρις. Α΄. Πολιτ. β΄.

§. ρλδ'. Μεταφορικὸς δὲ ὁ ἐκ Μεταφορῶν ἀπεικάζων τὸ »περιγραφόμενον, οἷον ἄνθρωπος ἐστὶν ἀσθενείας ὑπόδειγμα, »καιρῷ λάφυρον, τύχης παίγνιον, μεταπτώσεως εἰκών, φθό»νε καὶ συμφορᾶς πλάσιγξ. τὸ δὲ λοιπὸν φλέγμα καὶ »χολή. (1).

§. ρλέ. Πάντες ἔτοι οἱ ἐπεσιώδεις ὁρισμοὶ ὑπογραφικοί, ἢ ὑπογραφαὶ ἦκεσαν (2), ἅτε δὴ σκιαγραφοῦντες πως ἐκ τῶν περὶ αὐτὸ, τὸ ἀναπτυσσόμενον, καὶ ἐκ ἐκ τῶν ἐν αὐτῷ μόνων, ὡς οἱ ἐσιώδεις γνωρίζοντες. Καὶ τοῖς μὲν δὴ ἐκ τῶν Μεταφορῶν (§. ρλδ'.), καὶ ἐκ τῶν Συμβεβηκότων (§. ρλγ'.) ῥητορεία μάλισα χαίρει, καὶ ποίησις· τοῖς δὲ ἐκ τῶν Ἰδίων (§. ρλβ'.), καὶ τοῖς ἐκ τῶν Αἰτίων (§. ρλα'.) ἀρκεῖται τὰ πολλὰ καὶ Φιλοσοφία, ἃ διαφορᾶς εἰδοποιῆτε καὶ ἐσιώδες ἔτυχεν ἀμοιρήσασα. Φιλοσοφικώτατος δὲ ἆρα ὁ ἐσιώδης. Καὶ τέτε ὁ μὲν Φυσικὸς (§. ρλ'.) τῆς Φυσιολογίας ἴδιος· ὁ δὲ Μεταφυσικὸς εἰρημένος (§. Αὐτ.) τῇ πρώτῃ ἀνήκει Φιλοσοφίᾳ, καὶ τῇ Λογικῇ, ἕξει, καὶ τοῖς Μαθήμασι.

§. ρλς'. Προσεπισημειωτέον δὲ καὶ ὅτι, τὸ μὲν δι' ὁρισμῆ ἑρμηνεύεσθαι ἐσιώδες, τῶν Εἰδῶν ἴδιον ἐστὶν, ὧν ἔστι καὶ γένος, καὶ διαφοραὶ, καὶ ἴδια, ἐσιώδη τὰ πάντα γνωρίσματα. (§. ηζ'.), τὸ δὲ δι' ὑπογραφῆς, τῶν Ἀτόμων· Ἐν οἷς κοινὸν μὲν γνώρισμα τὸ Εἶδος, ὥσπερ καὶ τῆ Εἴδες τὸ Γένος, ἴδιον δὲ, καὶ ἀπὸ τῶν ὁμοειδῶν διακριτικὸν, τὸ ἄθροισμα τῶν Ἀτομικῶν χαρακτηρισμάτων. (§. ή. Σημειώ).

§. ρλζ'. Τῷ τοίνυν ὁρισμὸν ἀποδώσοντι πραγματιώδη, καὶ ὑγιῶς ἔχοντα προσεκτέον τοῖς ἑφεξῆς. Α'. Ὅτι Νοητὸν εἶναι δεῖ πρὸ πάντων τὸ ὁριστέον, πῶς γὰρ ἄντις τὰ ἐσιώδη τῶν γνωρισμάτων καταλέξας διερμηνεύσειεν, ὅπερ ἐδὲ τιὼ τυχῆσαν προέχειν ὅλως περίνοιαν;

§. ρλή. Β'. Καὶ ἀληθὲς. Ἐννοίας γὰρ ψευδῆς ὁρισμὸς πραγματιώδης ἐδεὶς, κἂν ὁρισμῆ χῆμα φέρειν δοκῇ· ἔτως ὁρίζειν ἔδοξέ τις τὸ δίγραμμον ἀθύγραμμον, ὡς καὶ τὸ τρίγραμμον ἀναλόγως, χῆμα εἶναι ἐπίπεδον εἰπὼν, ὑπὸ δυεῖν ἀθείων περιεχόμενον· ὁ δὲ, ἐχ ὁρισμὸς τῷ ὄντι ἦν, τὸ δὲ μηδαμῆ μη-

(1) Παρὰ Στωβ.

(2) Ὁ ὑπογραφικὸς, ἔκτε ὁρισμῆ τῆ ἐσιώδες, καὶ ὑπογραφῆς τῆς ἐπεσιώδες, κατ' ἐπιπλοκὴν λέγεται συγκροτεῖσθαι. Ὅρα Βλεμμ. Λογ. Κ. ά.

δαμῶς ὄν, μηδὲ φύσιν ἔχον, λόγος ὑποκρέων διάκενος· ἀδὲν πλέον, ἢ ὡς ὀνοματώδης ἀπόδοσις, τῦ, ἐπὶ τῷ ἐκσυριχθῆναι μόνον ὡς ἄτοπον, λεγομένυτε καὶ διερμιωδυομένυ, συγχωρέμενος.

§. ρλθ'. Γ'. Οὐδὲ τὸ ἐν ἁπλότητι νοητὸν, ὡς μὴ ἐξ ἁπλεσέρων ἐννοιῶν καταγνωριζόμενον· ἔτως ἀόριτον ἐτὶ τὸ ὄν, ἡ χέσις, ἡ ὕπαρξις, καὶ τὰ τοιαῦτα, ἅ θᾶττον ἄντις συνεπισκιάσειεν ἀναπτύξαι ἐπιχειρήσας, ἢ ἑρμιωδύσειε· τοιαῦταμ πᾶσαμ, αἱ ἁπλέσαταμ (§. μβ'.) καὶ ἀδιαγνώριτοι (§. μγ'.), καὶ ἀβαθεῖς (§. πέ.) τῶν ἐννοιῶν, καὶ ἀναλύσεως ἀνεπίδεκτοι. (§. ριγ'.). Ἐφ' ὧν κοινὸν ἕνα ἁπασῶν ὁρισμὸν ἔχειν ἐξεῖναι φη„μὶ, δι' ἃ παίζων τάχα Δημόκριτος, „Ἄνθρωπος ἐτὶν, ἔφασ„κεν, ὃ πάντες ἴσμεν. (1).

§. ρμ'. Δ'. Ἀφεκτέον τὸ αὐτὸ δι' ἑαυτῦ ὁρίζειν ἐπιτηδύεθαι. Οἷον εἰπόντα ἐνιαυτὸν εἶναι χρόνυ μῆκος ἐνιαύτιον· Καὶ ἄπειρον ἃ πέρας ἀδὲν ἐτί. Καὶ παντοδύναμον τὸν πάντα δυνάμενον· ἀδὲν γὰρ αὐτὸ ἑαυτῦ γένοιτ' ἂν σαφέτερον· καὶ ταυτολογεῖν τὸ τοιῦτον ἐτὶν, ἐχ ὁρίζειν. Ὁ δὲ Ἀριτοτέλης ποιὸν „εἶναι λέγων δι' ἃ ποιότινες εἶναι λεγόμεθα, ἀδὲν ἄλλο βέλεθαίμοι δοκεῖ, ἢ τὸ ἀόριτον ὑποτημαίνειν τῆς ἁπλετάτης ποιότητος (§. ρλθ.), αὐτὸ λέγων ἄντικρυς, ὅτι ποιότης ἐτὶν ὃ πάντες ἴτασιν.

§. ρμά. Ε'. Ὡταύτως δὲ, καὶ τὸ δι' ὅρων ἰτοδυναμέντων· τῦτο δὴ τὸ κατὰ τυνωνυμίαν, ὡς οἱ Γραμματικοὶ (§. ριή.) τὸ προτέθεν ἑρμιωδύειν. Ὃ τάχατε ἀνεκτὸν ἂν εἴη, ὥτπερ καὶ τὸ ἀνωτέρω, διὰ τὴν τῦ νοημένυ ἁπλότητα. (§. ρλθ'.) ὡς ἐπὶ τῆς Εὐθείας Γραμμῆς παρ' Εὐκλείδῃ, ἣν ἐξίτα (τῦτο δ' ἦν ἐπ' „εὐθείας) τοῖς ἐφ' ἑαυτῆς τημείοις κεῖθαι ἀπέδωκεν.

§. ρμβ', ς'. Παραπλητίως δὲ καὶ τὸ διαλλήλως ὁρίζειν. Ὁριτμὸς δὲ διαλλήλως καλῦτιν, ὧν θατέρῳ ὅρος ἐμπαραλαμβάνεται, ὅπερ ἐν τῷ ὁριτικῷ λόγῳ τὸ ὁριτὸν ἐκείνυ ἐμφέρεται· οἷον εἴτις ὁρίτειε Μῆνα μὲν, τὸ ἐν τέταρτιν ἡμερῶν Ἑβδομάτι τυμπληρέμενον χρονικὸν διάτημα· εἶτ' αὖθις Ἑβδομάδα τῦ μηνὸς τὸ τεταρτημόριον. (2).

§. ρμγ'.

(1) Παρὰ Σέξτ. τῷ Ἐμπειρ. Πυῤῥων. ὑποθ. Βιβ. Β'. Κεφ. β'.

(2) Ἐφᾶθαι τῦτο ἐπὶ τῶν Σχετικῶν ὁ Βλεμμ. (Λογ. Κ. ί.) διδάσκει ὅτι καθάπερ ἐν τῷ περὶ τῦ πατρὸς λόγῳ καὶ ὁ υἱὸς τυνεισάγεται, καὶ ἀνάπαλιν,

§. ρμγ'. Ζ'. Ὁρισμὸν ἀσαφῆτε καὶ ἑρμηνείας δεόμενον, ἀδὲ τῆ ὀνόματος ἄξιον εἶναι κρίνομεν, ὡς ἄρα προδήλως τῇ τῆ ὁρισμῆ Φύσει (§. ριϛ'.) ἀντιφερόμενον· τέτε γέτοι καὶ τὲς κατ' „ Ἀριτοτέλιω ὁρισμὲς κακίζεσιν, ὅτι ἡ ψυχὴ ἐςὶν ἐντελέχεια „ σώματος ὀργανικῆ Φυσικῆ δυνάμει ζωλὺ ἔχοντος· καὶ ὅτι κίνησις, ἐςὶν ἐντελέχεια τῆ δυνάμει ὄντος, ᾗ τοιῆτον· καὶ ὅτι „ Φῶς ἐςὶν, ἐνέργεια τῆ διαφανῆς, ᾗ διαφανὲς, καὶ τὲς πλείτες χεδὸν τῶν τῆ Φιλοσόφε, δι' ὧν συσκιάζειν, ἢ διασαφεῖν τὰ ὄντα βελομένω ἐςὶν ὁμοιότερος· τῆ δὲ κατὰ τὲς Στωϊκὲς ἐκείνε, ἐχὶ καὶ χάριν μονονὸ τοῖς ἀνδράσιν ὁμολογητέον, ὅτι τὸν „ ἥλιον ἡμῖν διελάμπρυναν; Ἥλιος ἐςὶν ἄναμμα νοερὸν ἐκ θα„ λαττίων ὑδάτων. Ἀλλὰ τί τέτε καὶ ΣΦΙΓΞ ἂν ἔχοι προτεῖναι πρὸς τὲς πελάζοντας γριφωδέτερον; (1).

§. ρμδ'. Η'. Ἐκσυρικτέον ἄρα ὁρισμῆ παντὸς ἴσα τοῖς ἀσαφέσι, καὶ ὅσα ἐκ μεταφορᾶς τι παρασημαίνει ὀνόματα (2), καὶ κυριολεκτεῖν ἀς οἷόντε πειρατέον· τὶς γὰρ ἐκ τῆ Πυθαγο„ ρικῆ ὁρισμῆ ἡ ὄνησις; Ψυχὴ ἐςὶν ἀριθμὸς ἑαυτὸν κινῶν. Ἀλλὰ μὴ ἔξὸν φεύγειν τιὰ μεταφορὰν, παρ' ἔλλειψιν ὀνόματος κυριωτέρε, τὸν μεταληφθέντα ὅρον ἐπαναπτυκτέον, ἐκ παντὸς, ὅθεν ἂν ἐξείη, τῷ ὁρισικῷ λόγῳ τὸ σαφὲς προμηθόντας.

§. ρμε'. Θ'. Ὁρισέον θετικῶς, ἐκ ἀποφατικῶς· αὐτὸ τὸ τὶ ἦν εἶναι, ἐχὶ τὸ τὶ ἐκ ἦν, τὸ ὁρισὸν ἐκ διδάσκοντας (3). Εἰ μήτις ἄρσει καὶ θέσει, τὸ αὐτὸ ἀποσαφεῖν οἴοιτο δαψιλέσε-

παλιν, τὸν αὐτὸν τρόπον καὶν τῷ περὶ γένες λόγῳ καὶ τὸ εἶδος εἰσφέρεται, ἢ ἀνάπαλιν· τῷ ὄντι δὲ ὧν ἅμα ἡ Φύσις κατ' Ἀριτοτέλην ἐςὶ καὶ ἡ γνῶσις, τέτων θάτερον θατέρε ἀναπτύξαι χωρὶς, τῶν ἀδυνάτων δοκεῖ, ἃ κατὰ τὸν λόγον μάλιτα θεωροῖτο, καθ' ὃν ἔχει πρὸς ἄλληλα, οἷα πατὴρ, καὶ υἱός. Ἀλλ' ἔνθα δὴ τὰ ὁρισὰ, ἐςὶν ἀποδέκαις ἀοχέτως, οἷαπερ τὰ Γένη καὶ τὰ Εἴδη αὐτοῖτε ἀπεδώκαμεν, (§ υϛ'. υζ'.) ἢ Πορφύριας ἁπλῶς πως ὁρισάμενος, ἐκσυρικτέον πάντη τῶν ὁρισμῶν τὸ διάλληλον, ὡς τῆς τάτων χρείαστε, καὶ προθέσεως ἀναιρετικόν· ὧν γὰρ ἑκάτερον ἑκατέρε ὑποτίθεται σαφηνείας προέχειν, σαφὲς ἀδέτερον.

(1) Φασὶν οἱ Στωϊκοὶ ὅτι ἥλιος ἐςὶν ἄναμμα νοερὸν ἐκ θαλαττίων ὑδάτων. „ Ἆρ' ἐκ ἀσαφέτερος ὁ λόγος „ αὐτῆ τῆ ὀνόματος; Κλήμ. Στρωμ. Βιβ. η'.

(2) Εἰ δὲ μὴ διαλέγεθαι δεῖ με„ ταφορᾶς, δῆλον ὅτι ἀδὲ ὁρίζεθαι. Ἀρισ.

(3) Τὰ ἐν Εὐαγγελίοις ἄρα, ἢ Βασιλεία τῆ Θεῆ ἐκ ἔτι βρῶσις, καὶ πόσις, καὶ τὸ πνεῦμα σάρκα καὶ ὀτέα ἐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· ἐχ ὁρισμοὶ εἰσὶν, ἀλλ' ἀποφάνσεις.

ρον· Ὡς Ἀριστοτέλης τιὼ πρώτιω ὐσίαν, μήτε καθ' ὑποκειμένυ „ταύτιω εἶναι εἰπὼν, μήτε ἐν ὑποκειμένῳ, ἀλλ' ὑποκείμενον.

§. ρμς'. Ι'. Καὶ πρὸς τὸ ἀπέριττον δὲ ὡς οἷόν τε τὸν ὁρισμὸν ἀποξεσέον, ὅσα δήποτε ἀποχρῶντα ἐσὶ τὸ ὁρισὸν γνωρίσαιτε καὶ διακρίναι, ἐκεῖνα μόνα παραλαμβάνυσιν. Οὐ γὰρ ἀποδεκτέον τυς ἀπὸ τῦ γενικωτάτυ, ἔσγε τὸ ἄμεσον, ἐν ὁρισμοῖς ποιεῖσθαι δεῖν ἡγυμένυς τιὼ κάθοδον, ὡς ἐν τῷ ἐφεξῆς· Ἄνθρωπος ἐσὶν ὐσία, σωματικὴ, ἔμψυχος, αἰσθητικὴ, λογική. Ἀποδῶσι γὰρ ὅτι ζῶον, καὶ τὰ ὑπὲρ αὐτὸ προδήλως συναπεδόθη· (§. ρδ'.). Εἰ γὰρ ζῶον, καὶ αἰσθητικὸν δηλονότι καὶ ἔμψυχον, καὶ σωματικὸν, καὶ ὐσία, ὁ ἄνθρωπος.

§. ρμζ'. ΙΑ'. Κεφάλαιον ἕν, ἐπειδὴ πᾶν ὁρισὸν, τῇ μέντισι κοινωνεῖ, τῇ δέτινων διαφέρει, ἥπερ ἐσὶ, τυτέσιν ὐσίᾳ, ταύτητοι καὶ τὸν ἑκάστυ λόγον, ἐκ τῶν ὐσιωδῶν τυτωνὶ γνωρισμάτων (§. ριϛ'.), τῦ, τε καθ' ὃ τοῖς ἄλλοις κοινωνεῖ δηλονότι (§. υϛ'.), οἷον τὸ Γένος, καὶ τῦ καθ' ὃ τῶν ἑτεροφυῶν διενιώχεν (§. υή'.), οἷα ἡ Εἰδοποιὸς Διαφορὰ, ἢ τὸ Ἴδιον (§. υθ'.), τὶ κατὰ τὸν τέταρτον τρόπον λεγόμενον. (§. ρή'.)· τὰ γὰρ ἀδεχομένως προσόντα, ὡς ἀδιαφορῦντα πρὸς τὸ εἶναι, οἷα τὰ συμβεβηκότα, (§. ρ'.), οὐδ' ἂν ὐσίας γνωρίσματα γένοιτο, οὐδ' ὁρισμὸν ἀκριβῆ ποτε παράσχοιεν, ἀλλ' ὑπογραφιὼ (§. ρλέ.) ὥσπερ εἴρηται.

§. ρμή. ΙΒ'. Σκεπτέον γεμιὼ ἀκριβῶς, μήπυτις παρεγχωρήσῃ ἐπὶ τῦ ὁρισμῦ ἀπάτη, ὡς ἐκ τῦ γένυς, ἢ τῆς διαφορᾶς, ὑπολανθάνυσα (1). Αὐτίκα γὰρ ἐπὶ τῦ κατὰ τὸν ἄνθρωπον κοινῦ ὁρισμῦ ἐκεῖνο, τὸ ζῶον γένος κεῖται ἐκ ἀναμφήρισον· τὸ μὲν γὰρ ζῶον ὑπάλληλον τῷ σώματι, ὁ δὲ Ἄνθρωπος κοινωνίαν ἔχει, καὶ πρὸς τὰ ἀσώματα (2). Ὡς ἔσγε Πλατωνικῶς τὸν ἄνθρωπον ὁρίσαις, Νῦν εἶναι Σώματι χρώμενον (3) ἐκ θατέρυ τὸ κοινὸν λήψῃ, παρεὶς τὸ ἕτερον. Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς Διαφορᾶς τῇ ἴσῃ προσοχῇ χρησέον· τὸ γάρτοι λογικὸν Διαφορὰν ἥκισα Εἰδοποιὸν ἀνθρώπυ τυγχάνειν, καὶ τοῖς πάλαι σεσημείωται, καὶ τοῖς ὕσερον. (4). Διόπερ

(1) „Ἢ ὅτι ὄντος γένυς ἐκ ἔθηκεν „εἰς γένος, ἢ ἐκ εἰς τὸ οἰκεῖον γένος ἔ„θηκεν.... ἢ ὅτι ἐκ ἴδιος ὁ λόγος. Ἀρισ. Τοπ. Βιβλ. ς'. Κεφ. ά.

(2) Ὅρα Πορφ. Λογ. περὶ τῦ ὁρισμῦ.

(3) Πλάτ. ἐν Α', Ἀλκιβιάδει.

(4) Ἀντὶ γὰρ τῆς Γνωσικῆς δυνάμεως τὸ λογικὸν ἐκλήθη, ἁπάσῃ, φασὶν (Πορφ. Αὐτ.) αὐλῳ φύσει κοινὸν γνωρίζεται. Ἀντὶ δὲ τῆς Συλλογιστικῆς, τοῖς νοεροῖς εἴδεσι, καὶ χωριστοῖς, ἐδὲν ἧττον οἰκειότατον κρίνεται.

περ ἀκριβέστερον ἂν ὁριθείη (φασὶν) ὁ ἄνθρωπος, ἐσίαι ἐκ σωματικῆτε καὶ ἀΰλε φύσει συνημμένων· ὡς εἶναι Γένος μὲν τὴν ἐσίαν ἐπὶ ἀνθρώπε τὸ προσεχέστατον, Διαφορὰν δὲ, τὸ μὲν σωματικὸν πρὸς τὰ ἁπλῶς ἄΰλα, τὸ δὲ ἄΰλον πρὸς τὰ ἁπλῶς σωματικά· τῆς ἐκ τέτων ἀμφοῖν φυσικῆς συνθέσεως, ἀφ' ἑκατέρων χωρὶς ἀποδιϊσώσης τὸν ἄνθρωπον. Διαφορᾶς γὰρ εἰδοποιᾶ μιᾶς μὴ παρέσης, οἵαν ἱκανῶς ἔχειν μόνον γνωρίζειν τὸ ὁριζόμενον, πλείονα παρασυναπτέον τῶν ἰδίων, ὧν κἂν καὶ ἄλλοις μετείη, ἀρκέσει ὅμως πρὸς διασολὴν τᾶ προκειμένε, τὸ τέτων ἄθροισμα.

§. ρμϑ'. Συνελόντι ἓν, τὸ ἀκριβὲς τᾶ ὁρισμᾶ, ἐν τῷ ἀνελλιπεῖ, καὶ ἀπερίττῳ κεῖται τῶν ἐσιωδῶν γνωρισμάτων πληρώματι, ὡς ἐν αὐτῷ μηδὲν ἐλλεῖπον παρορᾶϑαι, μηδέντε πλεονάζον, ἢ ἄλλως περιττῶς ἔχον εἰσάγεϑαι. Ἡ μὲν γὰρ ἐπὶ τᾶ ὁρισμᾶ ἔλλειψις, πλεονασμὸν τᾶ ὁρισᾶ ἀπεργάζεται· καὶ ἔλλειψιν ἀνάπαλιν ὁ πλεονασμός· ἥτε τᾶ περιττᾶ παρενθήκη, εἰς ἀδολεχίαν ἐκνένϑωκεν· οἷον ὁ ἀποδεδωκὼς τρίγωνον εἶναι τὸ ὑπὸ τριῶν γραμμῶν ϑείων περατέμενον, τῷ πλεονασμῷ τῶν ϑείων, τὰ καμπυλόγραμμα ἔξω ἔασεν. Ὁ δ' εἰπὼν ὅτι ἐσὶ τὸ ὑπὸ γραμμῶν περατέμενον, ἐπὶ πᾶν ἐπίπεδον χῆμα τὸ ὁρισὸν διεπλάτυνεν. Ὁρισάμενος δὲ τὸ ὑπὸ τριῶν εἶναι γραμμῶν ἁπλατῶν, τὸ ἁπλατὲς προσηδολέχησε μάτην, τὸ ἀπαραιτήτως τῇ γραμμῇ συνεπινοέμενον. (1).

§. ρν'.

τα. Ὡς ἅπερ ἡ τᾶ ἐχομένως τῶν αἰσθήσεων νοεῖν διὰ τᾶ λογικᾶ ἐκφέρεται δεξιότης, ἀδέντι ἧττον καὶ ἕτω διαφορᾶτις ἴσα ἀμφίδοξος αὕτη, τοῖς τὰς ἐμφύτες ἐννοίας εἰσάγεσιν. Ὅρα δὲ καὶ Βλεμμίδ. Λογ. Κ. α'. Τὸν διὰ τᾶς Ἀγγέλας, καὶ τὰ ἐράνια Σώματα, καὶ τὰς μακραίωνας Νύμφας, καὶ τᾶς τοιάτας ὕϑλες τε καὶ λήρες, ἐκ ἀποχρῶσαν εἰς εἰδοποίησιν ἀνθρώπε τὴν τᾶ λογικᾶ δύναμιν ἐκδιδάσκοντα.

(1) „Πᾶν τὸ προσκάμενον ἐν τῷ „ὁρισμῷ περίεργον. Ἀρισ. Τοπικ. Βιβ. ς'. Κεφ. α'. Ὁ δὲ Λώκιος τὴν τᾶ Γένες τᾶ προσεχᾶς χρῆσιν ἐπὶ τᾶ ὁρισμᾶ, ἐφ' ὡς ἀναγκαίαν καὶ ἀπαραίτητον, φησὶν, ἐγκρίνεϑαι, εἰ δὲ πολλὴν ἄλλως ἐπὶ διερμηνεύσει τᾶ ὁρισᾶ, φέρεσαν τὴν συντέλειαν· ἀλλ' ἢ μόνον χάριν βραχυλογίας. Οὐδὲν γὰρ ἧττον ἑρμηνεύσειέτις τὸ προτεϑὲν πάντα τὰ ἐν αὐτῷ ἐνϑεωρέμενα ἀνελλιπῶς κατιλέγων· οἷον τὸν ἄνθρωπον ὅτι ἐσίατις, ὅτι σωματικὴ, καὶ ἐκτεταμένη, καὶ ζωῆς εὐμοιρᾶσα, καὶ κινήσεως ἐκσίας, καὶ οἰκοθεν ἐγειρομένης, καὶ αἰσθήσεων παντοίων, δι' ὧν τῶν ἐνύλων πολλαχῶς γίνεται ἀντιληπτική. Καὶ δυνάμεως δέτινος ἐνδοτέρας, καὶ κρείττονος, καϑ' ἣν ποικίλως περὶ τὰ νοέμενα κρίνει, καὶ συλλογίζεται κτ. Ἀλλὰ γὰρ ἐπειδὴ εἰσί τινες ὅροι, δὲ ὧν

§. ρν'. Ταύτηται καὶ βάσανον ὁρισμῶ εὖτε, καὶ καλῶς ἀποδεδομένε ὑπέθεντο, τὸ συναντισρέφειν τῷ ὁριζῷ· τέτο δέ ἐςι, τὸ ὅτῳ ἂν προσήκοι ὁ ὁρισμὸς, προσήκειν καὶ τὸ ὁριζόν· ὅτῳ δ' ἂν μὴ ἐκεῖνος προσήκοι, μηδὲ τέτο· Καὶ ἀνάπαλιν· Ἀμφοτέρωντε ἐπίσης τῶν αὐτῶν κατηγορεμένων, καὶ τῶν αὐτῶν ἀμφοτέρων, καὶ ἑκατέρε ἑκάτερον.

Περὶ Διαιρέσεως.

§. ρνά.

Οὐδὲν ἐλάσσων ἡ παρὰ τῆς Διαιρέσεως ὄνησις, τῆς ἐκ τῶ ὁρισμῶ ὡμολόγηται· ὥσπερ γὰρ δι' ἐκείνε, ἕτω καὶ διὰ ταύτης τὸ συνεπτυγμένως νοέμενον ἀναπτύσσεται· (§. ρια'. ριέ.) ἐξ ἀμφοῖντε τὸ ἐναργὲς τοῖς νοήμασι περιγίνεται, τῶ μὲν ἐκτιθεμένε τὰ γνωρίσματα, τῆς δὲ καταλεγόσης τὰ Εἴδη.

§. ρνβ'. Ὁλοχερέσερον μὲν ἔν τιὼ Διαίρεσιν ἐξειληφόσι, τῶ μέρη ἔχοντος ἂν εἴη εἰς αὐτὰ ταὐτὰ διανομή· ἢ τῶ ὅλε ἀνάπτυξις δι' ὧν ἔλαχε μερῶν. (1). Ἀλλ' ἐπεὶ γὰρ ἡ τῶ ἐνεργείᾳ ὅλε,

ὧν τὰς πολλὰς ἅμα ἐννοίας, δι' ἐννοίας δυναμικωτέρας παρισάναν δυνάμεθα, ἀντικαθισῶμεν ἀντὶ τῶν πολλῶν ἐκείνας, καὶ ὑπὸ μὲν τῇ φωνῇ τὰ ζῶα, τῶν εὑρημένων τὰ πρῶτα συμπεριλαμβάνομεν, ὑπὸ δὲ τῇ τῶ λογικῶ τὰ δεύτερα, βραχυλογέντες. Ὅρα Λώκ. Βιβ. Γ'. περὶ τῶ Νῶ. Κεφ. Γ. §. 10.

(1) Οὕτως ἀκριβέσερον ὑποδιαιρῶν κοινῇ εἰώθασι τὴν Διαίρεσιν, τὴν μὲν τῶ Γένες, φάσκοντες εἶναι εἰς Εἴδη· τὴν δὲ τῶ ὅλε εἰς μέρη· τὴν δὲ τῆς φωνῆς εἰς τὰ σημαινόμενα. Καὶ ἡ μὲν τῆς φωνῆς, φασὶν, αὖθις τρ τή· ἤτοι γὰρ ἡ συνώνυμος φωνὴ διαιρεῖται εἰς τὰ ὑπ' αὐτῆς δηλέμενα· οἷον ἡ φωνὴ ζῶον εἰς ἄνθρωπον, καὶ ἵππον, κτ. ἅ καὶ τῶ αὐτῶ ὀνόματος, καὶ τῆς αὐτῆς ἐπίσης φύσεως ἔν μετοχῇ ἐσί· ζῶα γὰρ καὶ ἔσι καὶ λέγεται· ταῦτα δὲ τὰ συνώνυμα, ὡς ἐρήσεται· ἢ ἡ ὁμώνυμος, οἷον ἡ Κύων εἰς τὸν χερσαῖον, καὶ τὸν θαλάττιον· ταῦτα γὰρ ὁμώνυμα, ὧν ὄνομα μόνον κοινὸν ἐν ἑτερότητι Φύσεως. Ἡ ἡ Ἀνάλογος, ἐπὶ τὰ κατὰ διαφέροντά τινα λόγον τῆς σημασίας κοινωνῆντα. Οἷον ἡ ὑγιεινὸν φωνὴ εἰς τὸ Φάρμακον, καὶ τὸ ἔρον, καὶ τὰ τοιαῦτα. Καὶ αὕτη μὲν ἡ τῆς φωνῆς Διαίρεσις· ἡ δὲ τῶ ὅλε εἰς μέρη, ἢ εἰς ἐσιώδη ταῦτα, καὶ Μεταφυσικὰ λεγόμενα· οἷον ὁ ἄνθρωπος, ὡς ὅλον, εἰς τὸ ζῶον καὶ τὸ λογικόν· ταυτὸν ἐπεῖν τὸ εἶδος εἰς τὸ γένος, καὶ τὴν Διαφοράν· ἢ εἰς Φυσικά· οἷον ὁ ἄνθρωπος εἰς σῶμα καὶ ψυχήν, ἐξ ὧν οἱ ἐσιώδεις τῶν ὁρισμῶν, ὡς εἴρηται (§. ρλ'.) ἀπαρτίζονται. Ἡ εἰς μέρη ἐν οἷς θεωρῆται μέγεθος· Καὶ ταῦτα ἤτοι ὁμοιομερῆ, ὡς ἂν σάρξ φέρε τμηθείη εἰς σαρκὸς τεμμάχια, καὶ λίθος εἰς λίθε, κτ., ἢ εἰς ἀνομοιομερῆ· ὡς ἂν ὁ βὰς κατατμηθείη, εἰς κεφαλὴν, καὶ τὰ λοιπὰ μελιζόμενος. Τελευταῖον δὲ καὶ ἡ τῶ Γένες εἰς Εἴδη ἐσί· καὶ ἡ τῶ Εἴδες εἰς ἄτομα· ἅς καὶ τῶν Καθόλε διαιρέσεις, ὀνομάζεσι.

ὅλε, διὰ τῶν ἐν αὐτῷ γνωρισμάτων ἀνάπτυξις (§. ριϛ΄.) ὁρισμὸς κυρίως ἐστίν· ἥτε τῇ ποσότητι τιὼ ὁλοχέρειαν ἔχοντος, εἰς τὰ ἐξ ὧν συνολῆται λύσις, μεγέθει μὲν, κατατομὴ λέγεται, πλήθει δὲ συνισαμένε, μερισμός· τότε χάριν ἰδιαίτερον ἐνταῦθα τιὼ Διαίρεσιν ὁριζόμεθα, διανομιὼ εἶναι τῇ ὅλε τῇ δυνάμει, εἰς τὰ μέρη τὰ ὑπ' αὐτό· τατέστι τῇ Καθόλε εἰς τὰ κατωτέρω καὶ ὑποκείμενα.

§. ρνγ΄. Διαιρεῖται δὲ τὸ Καθόλε, ἤτοι ὡς Γένος εἰς Εἴδη, οἷον τὸ μέταλλον εἰς χρυσὸν, καὶ ἄργυρον, καὶ τλ. Καὶ ἐκ τῶν συμβεβηκότων τὸ χρῶμα εἰς τὸ λευκὸν, καὶ τὸ μέλαν, κτ. Ἢ ὡς Εἶδος εἰς ἄτομα· οἷον ὁ πλανήτης εἰς τὸν Κρόνον, καὶ τὸν Δία, κξ. Καὶ ἐκ τῶν συμβεβηκότων τὸ Εἶδος εἰς τὰ Ἀτομικὰ (§. ή.), οἷον ἡ λοξότης εἰς τιὼ ἐν τῇδε τῇ χιόνι, καὶ τιὼ ἐν τῷδε τῷ γάλακτι, ἡ δικαιοσύνη εἰς τιὼ τῇ Ἀριϛείδε, καὶ τιὼ τῇ Φωκίονος. Δεῖ μέντοι τότε γένη εἶναι ὀλιγοειδῆ, καὶ τὰ Εἴδη ὀλιγάριθμα· τὰ γὰρ ὑπὸ τὸ ζῶον Εἴδη καταλέξαι πάντα ἐ ῥᾴδιον, τά, τε ὑπὸ τὸν ἄνθρωπον ἄτομα ἀριθμῆσαι ἀδύνατον· Ἢ ὡς Γένος διὰ τῶν διακριτικῶν διαφορῶν· οἷον τῇ ζώε τὸ μὲν λογικὸν, τὸ δ' ἄλογον· τῇ ἀριθμῇ τὸ μὲν περιττὸν, τὸ δ' ἄρτιον. Ἢ ὡς Εἶδος διὰ τῶν συμβεβηκότων· οἷον τῶν ἀνθρώπων οἱ μὲν πλατῆσιν, οἱ δὲ πένονται. Καὶ τῇ κατ' Εἶδος πάλιν συμβεβηκότος, δι' ἑτέρων συμβεβηκότων, οἷον τῶν πλατέντων, οἱ μὲν φειδωλοὶ, οἱ δὲ ἐλαθέριοι. Ἢ ὡς αἰτιατὸν διὰ τῶν αἰτίων· οἷον τῶν ἁμαρτημάτων, τὰ μὲν ἐκ μοχθηρίας, τὰ δ' ἐξ ἀσθενείας· καὶ τὰ μὲν ἐξ ἀγνοίας, τὰ δὲ κατ' ἐπίγνωσιν· Ἢ ὡς αἴτιον διὰ τῶν αἰτιατῶν, οἷον ἡ τὺ ἡλίῳ θερμαντικὴ δύναμις τὰ μὲν τήκει, τὰ δὲ σκληρύνει· Ἢ ὡς τὰ ἀποτελέμενα διὰ τῇ τέλε· οἷον τῶν εὖ ποιέντων οἱ μὲν δι' οἶκτον οἱ δὲ πρὸς δόξαν.

§. ρνδ΄. Ἡ ἐπὶ τῇ πρώτῃ διαιρέσει τῇ αὐτῇ ὅλε διαφόρῳ λόγῳ γινομένη δευτέρα διανομὴ, Ἐπιδιαίρεσις καλεῖται· ἡ δὲ θατέρε τῶν ἀντιδιαιρεμένων μελῶν, ὡς ὅλε, ἐπὶ τὰ ἔτι μερικώτερα περαιτέρω χωρῆσα λύσις, Ὑποδιαίρεσις· ἔτω διαιρῶ μὲν τὸν ἄνθρωπον εἰς ἄῤῥεν καὶ θῆλυ, ἐπιδιαιρῶ δὲ εἰς τὸν συνετὸν καὶ τὸν ἀσύνετον· ὑποδιαιρῶ δὲ τὸν Ἄνδρα εἰς τὸν πολεμικὸν καὶ τὸν ἀπόλεμον. Ἔνθα σημειωτέον, ὡς αἱ μὲν ὑποδιαιρέσεις δι' ὀλίγε πεφύκασι χωρεῖν, τῆς τῶν Γενῶν, καὶ τῶν Εἰδῶν προόδε, ἐπὶ τὰ ἄτομα ταχέως ἐκπερατεμένης, ἐν οἷς ἀδιαι-

διαιρέτοις ἔσι, (§. ριδ'.) διὰ τὸ ἁπλατὲς τῆς ἐννοίας γίνεται σάσις. Αἱ δ' ἐπιδιαιρέσεις μονονυχὶ ἀνεξαντλήτως ἔχουσι, κατὰ τὰ περιόντα τοῖς ὑποκειμένοις ἴδιά τε καὶ συμβεβηκότα ἐπὶ πολὺ πληθυνόμεναι. Διὸ καὶ πανιώτεραι μὲν ἐπὶ τῶν μᾶλλον καθόλε, ὡς ἁπλεσέρων, πυκνότεραι δὲ ἐπὶ τῶν ἧττον, ὡς μᾶλλον συγκεκριμένων, Τῶν ἀνθρώπων οἱ μὲν παιδείας τρόφιμοι, οἱ δ' ἀποτροφοι. Καὶ οἱ μὲν ἐπιεικεῖς, καὶ χρηστοὶ, καὶ μέτριοι· οἱ δὲ πονηροὶ, καὶ φαῦλοι, καὶ ἀκρατεῖς· Καὶ οἱ μὲν δεκτικοὶ, οἱ δ' ἀδεκτικοί· Καὶ μυρίας ἄντις ἐπὶ ταῖς δε καὶ ἄλλας ἐπαθροίσειεν ἐπιδιαιρέσεις ἐκ τῶν ἀνθρώποις παρακολεθέντωντε καὶ παρασυμβαινόντων, ἤτοι φύσει, ἢ ἕξει, ἢ ἄλλῃ ὁποιαδήποτε περισάσει, τὸν τῆ διαιρεῖν λόγον ποριζόμενος.

§. ρνέ. Ἀλλὰ ταῦτα μὲν ὡς ἐκ τῆ ὅλε· Ἐκ δὲ τῶν μερῶν τινὶ διαίρεσιν ἀνασκοπῆντες, τινὶ μὲν τῶν ἀντιδιαιρεμένων Γενῶν, τῇ τῆ ἀνωτέρω καὶ ὑπὲρ αὐτὰ διακρίσει, Γενικὴν καλῆσιν ἑτερότητα· τινὶ δὲ τῶν εἰδικωτάτων Εἰδῶν, Εἰδικήν· τινὶ δὲ τῶν Ἀτόμων Ἀτομικὴν, καὶ Ἀριθμητικήν. Διάτοι τῆτο σῶμα καὶ Πνεῦμα, ὅλῳ τῷ Γένει λέγεται διαφέροντα· βῆς δὲ καὶ ἵππος τῷ Εἴδει ἕτερα. Σωκράτης δὲ καὶ Πλάτων ἕτερα τῷ ἀριθμῷ· ὡσαύτως καὶπὶ τῶν συμβεβηκότων, χρῶματε, ἢ ἀριθμὸς, ἕτερα τῷ Γένει. Λεύκον καὶ μέλαν, ἕτερα τῷ Εἴδει· τὰ δ' ἐν τῷδε, καὶν τῷδε, τὰ λευκότητα, ἕτερα τῷ ἀριθμῷ. Καὶ ἀεὶ τὰ Γένει, καὶ τῷ Εἴδει ἕτερα. Καὶ τὰ Εἴδει, καὶ τῷ Ἀριθμῷ· ἀνάπαλιν δ' ἔ.

ρνς'. Οἱ δὲ, ὡς ἐκ τῆς τῶν ἀντιδιαιρεμένων ἀπ' ἀλλήλων διακρίσεως, τινὶ διαίρεσιν ἐπιθεωρῆντες, τινὶ μὲν πραγματικῶδη καλεῖν ἀξιῆσι, καθ' ἣν ἄλλο ἄλλε διαιρεῖται ὡς πρᾶγμα πράγματος, τετέσιν ὡς ἐσία ἐσίας· οἷον Σωκράτης Πλάτωνος· τινὶ δὲ τροπικὴν· καθ' ἣν ὡς τρόπος τρόπε· τρόπες τὰ συμβεβηκότα λέγοντες· οἷον Σωκράτης καθήμενος, Σωκράτες βαδίζοντος· Καὶ τινὶ μὲν ἐνεργείᾳ, καθ' ἣν καὶ μηδενὸς ἀναπολῆντος, τὰ ὄντα ἀντιδιήρηται, ὡς ἐπὶ τῶν εἰρημένων· τινὶ δὲ κατ' Ἐπίνοιαν, καὶ τῷ λόγῳ (ἢ φασὶν) οἷον Σωκράτης ἢ σῶμα, Σωκράτες, ἢ ἔμψυχον. Ἦν Εἰδικὴν τε καὶ πρὸ τῆς Ἐπινοίας οἱ περὶ Σκότον ὀνομάζειν χρῆναι διατεινόμενοι, πολλὴν κινῆσι τοῖς περὶ τὸν Θωμᾶν τινὶ χολήν. Ἀλλὰ μικρᾷ τῇ τῶν χολασικῶν τερθρείᾳ λαθόντες περιπεπτώκαμεν.

§. ρνζ'.

§. ρνζ'. Ὅροι ἓν ὑγιᾶς διαιρέσεως κείσθωσαν οἵδε. Α'. τὸ διαιρετὸν μὴ δεῖν ὑπό τινος τῶν τῆς διαιρέσεως μερῶν ἀνατρέπεσθαι. Δεῖ γὰρ τὸ ὅλον καθ' ἑκάστε μάλιστα ἐπαληθεύειν λεγόμενον· καὶ ὁμοφυὲς αὐτοῖς εἶναι. Ἀτόπως τοίνυν διαιρεθεῖεν ἂν οἱ στρατιωτικοὶ εἰς τὲς πολεμικὲς, καὶ μή· ὀρθῶς δ' ἂν οἱ στρατευόμενοι.

§. ρνή. Β'. τὸ διαιρετὸν συνεξισᾶσθαι τοῖς μέλεσι τῆς διαιρέσεως· τᾶτο γὰρ ἐπὶ τᾶ ὅλε πρὸς τὰ μέρη τὰ αὐτᾶ, ἅμα ληφθέντα ἠξίωται. Καὶ ταύτῃ δὴ ἡ τᾶ ζώε διαίρεσις εἰς χερσαῖον, καὶ ἔνυδρον, καὶ ἀέριον, ἐκ ἂν ἐγκρίνοιτο, ὡς τῷ ἀμφιβίῳ ἐλλείπεσα. Οὐδὲ μὲν ἓν ἡ εἰς ταῦτα πάντα καὶ τὸ ἔμπυριον· εἰδὲ γὰρ ἴσμεν ζῶον ἐν πυρὶ διαιτώμενον.

§. ρνθ'. Γ'. τὸ διαιρετὸν περιττεύειν, ἑκάστῳ μέλει ἰδία παραβαλλόμενον. Καὶ γὰρ καὶ τᾶτο ἡ τᾶ ὅλε καὶ ἡ τᾶ μέρες Φύσις ἀπαιτεῖ· ὥστε ἡ τᾶ σώματος εἰς τὸ τριχᾷ διασατὸν, καὶ τὸ βαρὺ διαίρεσις, εἰδὲν ὑγιές.

§. ρξ'. Δ'. τὰ τῆς διαιρέσεως μέλη ἀλλήλοις δέον ἀντικεῖσθαι, ἢ ἀπ' ἀλλήλων ἐκκλείεσθαι. Οὐκ ὀρθῶς ἔντις διέλοι τὲς ἀσέρας, εἴς τε τὲς πλάνητας, καὶ τὲς ἀπλανεῖς, καὶ τὰ ζώδια, τοῖς γὰρ ἀπλανέσι καὶ ταῦτα συμπεριείληπται. Εἰδὲ καὶ θάτερον ποτὲ συμβαίη ἐν θατέρῳ ἐμπεριέχεσθαι τῶν μελῶν, ἀλλὰ τόγε περιέχον κατὰ τᾶ περιεχομένε κατηγορεῖσθαι ε δεῖ· Ὡς ἐπὶ τῆς τᾶ μεγέθες διαιρέσεως, εἴς τε τλὺ γραμμὴ, καὶ τλὺ ἐπιφάνειαν, καὶ τὸ στερεόν. Ἔνθα τὰ περιεκτικὰ κατὰ τῶν σὺν αὐτοῖς ε λέγεται· ε γὰρ ἡ γραμμὴ ἐστὶν ἐπιφάνεια, εδ' ἡ ἐπιφάνεια σῶμα.

§. ρξά. Ε'. Διαιρετέον δὲ ἀπὸ τῶν ἀμέσων εὐθὺς τῆς διαιρέσεως ἁπτομένοις. Ἄτεχνον γὰρ τλὺ ἐσίαν ἐκ πρώτης, εἰς τλὺ λογικλὺ καὶ ἄλογον διανέμειν. Καὶ τὸ ζῶον εἰς ἄνθρωπον καὶ ἵππον· ἐκτὸς εἰμήτις τὰς μεσολαβέσας, διὰ τὸ πρόδηλον παρελθεῖν ἀξιώσειε.

§. ρξβ'. ς'. Ἡ διαίρεσις εἰς ἐλάσονα ὡς οἷόν τε γινέσθω. Δυσδιάκριτα γὰρ τὰ πολλὰ, καὶ τᾷ μνημονικᾷ ἄλλως ἀποβρέσα ῥάδια· τὸ, τε εἰς πλῆθος τλὺ διαίρεσιν ἐκλεπτεργεῖν, ἀριθμεῖν ἐστὶν, ἢ διαιρεῖν. Πῶς γὰρ ἐκ ἐξαριθμησις ἐστὶν ἡ τᾶν Κυνῶν, εἰς τὰς Λακαίνας, καὶ τὰς Ἀρκάδας, καὶ τὰς Ἀργωλίδας, καὶ τὰς Λωκρίδας, καὶ Κελτικὰς, καὶ Ἰβηρικὰς καὶ Καρί-

Καρίνας, καὶ Κρήτας, καὶ Μολοττικὰς, καὶ τὰ λοιπὰ Εἴδη, ἃ καὶ καταλέγειν ὀχληρόν;

§. ρξγ'. Ζ'. Οὐ δεῖ μέντοι τῇ Φύσιν τῶν ὄντων παραβιάζεσθαι, οὐδὲ κατὰ διμοιρίαν, (ὥς τινες εἰσηγέμενοι φέρονται), τῇ διαίρεσιν ἀεὶ φιλοτεχνεῖν. Εἰ γὰρ καὶ ἔστι τοῦτο ποιεῖν τῇ ἀντιπαραθέσει τῶ ἀντιφάσκοντος, ἀλλὰ τίς ἡ ὄνησις, τῶ τριγώνω φέρε τὸ μὲν ἰσόπλευρον λέγειν, τὸ δὲ μή· Καὶ τῶ μὴ ἰσοπλεύρω, τὸ μὲν ἰσοσκελὲς, τὸ δὲ σκαληνὸν, ἑνὸν εἰσάπαξ εἰς τὸ σκαληνὸν διαιρῆσαι, καὶ τὸ ἰσοσκελὲς, καὶ τὸ ἰσόπλευρον;

§. ρξδ'. Η'. Οὐδ' ἐκεῖνο δὲ κομψὸν ἐπὶ τῆς διαιρέσεως, εἰ τῶν μελῶν θάτερον, μηδεμίαν ἔχοι χεδὸν ἀναλογίαν πρὸς τὸ λοιπὸν, ἢ τὰ λοιπά. Οἷον τῶν ἀνθρώπων οἱ μὲν ἄῤῥενες, αἱ δὲ θήλειαι, οἱ δ' ἀῤῥενοθήλεις· ὅτι γίνονταί τινες ὃς καλῶσιν Ἑρμαφροδίτες· τῶν γυναικῶν αἱ μὲν ἀπώγωνες, αἱ δὲ πωγωνίτιδες, παρὰ τὸ ὀφθῆναι καί τινα πώγωνα φύσασαν· τῶ πολυαριθμῶ τῶν Σινῶν Ἔθνες οἱ μὲν χρισιανοὶ, ὅτι ἐγένοντό τινες, καὶ παρ' αὐτοῖς χρισιανίσαντες, οἱ δ' ἐχί. Ὅμοιον δὲ, καὶ εἴτις εἴποι, τῶν ἐπὶ Νῶε ἀνθρώπων τὰς μὲν πονηρὰς γεγονέναι, τὰς δ' ἀγαθὰς, ὅτι Νῶε δίκαιος ἦν ἐν τῇ γενεᾷ αὐτῶ.

§. ρξε'. Θ'. Μηδέποτε διαιρεῖν ἃ ἡ Φύσις ἐν παραβύσῳ κεῖται ἀγνοεμένη· τῇ ἄλλως γὰρ ἄντις τὰς κυνικὰς ὀδόντας διέλοι εἰς τὰς μὲν δεξιὰς, τὰς δ' ἀριστερὰς τοῖς μὴ προειληφόσι τίνες τῶν ὀδόντων οἱ κυνικοί· Διὸ καὶ Ἀριστοτέλης ὀρθῶς παρήνει τὰ συνώνυμα πρῶτον εἶναι ὁρισέα, ἔπειτα διαιρετέα.

§. ρξς'. Ι'. Ἐπὶ δὲ τῶν ὁμωνύμων τῇ τάξιν ἀντιστρέφειν ἐπάναγκες. Ταῦτα γὰρ μηδὲν ὅλον κυρίως εἰπεῖν συνιεῶντα, ψιλῷ δὲ ὀνόματος κοινωνίαν ἐν ἑτερότητι Φύσεως παραφαίνοντα, πρῶτον διαιρετέον ἔπειτα ὁρισέον. Προσέχειν δὲ δεῖ, μὴ τῇ τῆς Φωνῆς εἰς τὰ δηλέμενα κυρίως εἶναι λάθοιμεν ὑπολαμβάνειν Διαίρεσιν, πῶ γὰρ τὸ τῶ ὅλω ὁμοφυὲς ἐνταῦθα τοῖς ἰδίοις μέρεσι; (§. ρνζ'.) μᾶλλον δὲ τῶν ὑπὸ τῆς Φωνῆς σημαίνεσθαι τεθέντων ἐξαριθμησιν.

ΚΕΦΑ-

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ.

Περὶ τόπων τῶν Ἐννοιῶν. Ἤτοι περὶ τῆς τέτων εἴς τινα Γένη Ἀναγωγῆς.

Ἔνθα

Περὶ τῶν Κατηγοριῶν.

§. ρξζ.

Τοῖς ὅσα ποτὲ Νῷ τυγχάνει περιληπτὰ, ἔνεισι μέντινες πρὸς ἄλληλα κοινωνίαι καὶ οἰκειότητες, περίεισι δὲ καὶ πλεῖσαι ὅσαι πολλαχόθεν αἱ διαφοραί. Ἐπειδὴ δὲ τῷ λόγῳ δήπε τῶν διαφορῶν εἰς ἀπειρίαν μονονεχὶ τὰς τῶν πραγμάτων Ἐννοίας ἐκπίπτειν συμβαίνει, ϛάσεις τινὰς καὶ ὅρες αὐταῖς θέσθαι δεῖν ἔκριναν οἱ φιλοσοφῆντες, καίτινας Κοινότητας, ὡσανεὶ Κεφάλαιά ἄττα, ἢ τόπες περιγράψασθαι, ἐφ' ἕς πᾶσα ἡ περὶ ὁτῳῦν Ἔννοια ἀναγομένη, ἐκτὸς μὲν εἴη ποικιλίας ἀϛάτε, καὶ πολυχεδὲς καταμερισμῦ, ἐντὸς δὲ τινος τῶν τεθέντων ὁρίων τῶν ἐκτάσει μὲν πλατυτέρων, πλήθει δ' ἀ πάνυ πολυαρίθμων γινομένη, ϛύνοπτός τε ὑπάρχοι ταῖς θεωρίαις, καὶ ὑπερίλπτος. Τὰς δὲ δὴ τόπας τέτας, καὶ τὰ τοιαῦτα Κεφαλαιώδη ὅρια, οἱ μὲν φωνὰς Καθόλε ὠνόμασαν (1), οἱ δὲ Καθόλε κατηγορέμενα (2), οἱ δὲ Στοιχεῖα τῶν ὄντων (3), οἱ δὲ χήματα Κατηγορίας, (4) ἢ Κατηγορίας ἁπλῶς (5), ἢ Γένη Γενικώτατα, οἵαπε καὶ τῷ ὄντι ἐϛὶν, ὡς ἐφ' ἅπερ ἀπὸ τῶν καθ' ἕκασα, κατὰ τὶν δι' ἀφαιρέσεως τῶν ἐννοιῶν πρόοδον (§. οθ'. πή.) ἀποτελθτῶντες, ὡς ἐπὶ ἐχάτες ὅρες ἱϛάμεθα. (§ ρά. ρβ'.)

§. ρξή. Τοιγαρῦν αἱ ὅλαι πρόοδοι, αἱ ἀπὸ τῶν κατωτάτω, διὰ τῶν ἀνωτέρω ἀεὶ χωρῦσαι ἔϛιν ἐπ' αὐτὰ τὰ ἀνώτατα, αἱ θρυλ-

(1) Φέρεται Ἀρχύτας ὁ Ταραντῖνος οὕτως ὀνομάσας.

(2) Βοήτιος.

(3) Ὁ Κυϊντιλιανὸς, φασὶ, παρὰ Ῥωμαίοις. Καὶ Κλήμης δὲ ὁ Ἀλεξ. ἐν Βιβλ. η'. Στρωμ. Ἃ δὴ καὶ στοιχεῖα (λέγει) τῶν ὄντων φαμὲν, τῶν ἐν ὕλῃ, καὶ μετὰ τὰς ἀρχάς.

(4) Ἀρις. Δ'. Μεταφυϲ.

(5) Ἐν αὐτῷ τῷ περὶ τέτων συγγράμ. Ἀρις.

θρυλλέμεναι Κατηγορίαι εἰσίν. Οἷον Σωκράτης· Ἄνθρωπος· Ζῶον· Ἔμψυχον· Σῶμα· Οὐσία. Πρόοδος μία· Ἥδε ἡ Εὐθεῖα· τὸ ἐφ' ἓν διαστατὸν ἐξισᾳ τοῖς ἐφ' ἑαυτῷ σημείοις· τὸ ἐφ' ἓν διαστατὸν ἁπλῶς· τὸ συνεχὲς κατὰ διαμονήν· συνεχὲς ἁπλῶς· Ποσότης· Πρόοδος ἄλλη· Ἥδε ἡ τῷ προσήκοντος Αἵρεσις· Φρόνησις· Ἠθικὴ Ἀρετή· Ἀρετὴ ἁπλῶς· Ἕξις· Ποιότης· Πρόοδος τρίτη· Κατηγορίαι τρεῖς· Γένη Γενικώτατα τρία· τὸ μὲν Οὐσία· τὸ δὲ Ποσόν· τὸ δὲ Ποιόν. Πρὸς ὧν ἕκαστον, πάνθ' ὅσα αὐτῷ προσήκει, ὡς ἐπὶ Κεφάλαιον ἀναφέρεται, καὶ ὡς ἐν τόπῳ κοινῷ ἀποτίθεται.

§. ρξθ'. Ἰδίᾳ δὲ τὸ τῶν Κατηγοριῶν ὄνομα ἐπετέθη ταῖς τοιαύταις προόδοις, διὰ τὸ πάντα τὰ ἐν αὐταῖς, ἀπὸ τῷ Γενικωτάτου διὰ τῶν μέσων, ἄχρι τῷ κατωτάτω Εἴδους, κατὰ τῶν Ἀτόμων κατηγορεῖσθαι· τετέχθαι λέγεσθαι· οἷον κατὰ τῷ Σωκράτους ἅπαντα τὰ ἐν τῇ πρώτῃ τῶν ἐκτεθεισῶν τριῶν Κατηγοριῶν. Καὶ γὰρ, καὶ οὐσία λέγεται, καὶ σῶμα, καὶ ἔμψυχον, καὶ ζῶον, καὶ ἄνθρωπος, ὁ Σωκράτης. Καὶ κατὰ τῆς δὲ τῆς αἱρέσεως τῷ προσήκοντος πάντα κατηγορεῖται τὰ ἐν τῇ δευτέρᾳ. Καὶ κατὰ τῆς δὲ ὁμοίως τῆς Εὐθείας, πάντα τὰ ἐν τῇ τρίτῃ· Καὶ ἐπὶ τῶν ἄλλων δὲ, εἰ τύχοι, ἐκ ἄλλως.

§. ρο'. Ἔνθα σημειωτέον Α'. μὴ μόνον τὰ ἀνωτέρω κατὰ τῶν ὑπ' αὐτὰ λέγεσθαι, ἀλλὰ καὶ τὰ κατ' ἐκείνων, καὶ τάτων. (1). Οἷον κατὰ τῷ ἀνθρώπε τὸ ἔμψυχον, ὅτι καὶ κατὰ τῷ ζώε· τῶτο δὲ ἐστὶν, ὃ καὶ ὁ κατὰ παντὸς τοῖς Διαλεκτικοῖς ἀξιοῖ λόγος. Καὶ ἀποφατικῶς δὲ, τὰ ἀπὸ τῶν ἀνωτέρω ἀπαγόμενα, καὶ ἀπὸ τῶν ὑπ' αὐτὰ ἀπάγεται, οἷον ἀπὸ τῷ ἀνθρώπε καὶ τῷ ἵππε κξ. τὸ ἀναίθητον, ὅτι καὶ ἀπὸ τῷ ζώε. Καὶ τῶτο δὲ τὸ ἀξίωμα ἐμφαίνειν βέλεται τὸ κατὰ μηδενός. Σημειωτέον δὲ Β'. καὶ ὅτι τὰ γνωρισικὰ (ὡς ἡμεῖς φαμὲν) καὶ χαρακτηρισικὰ ὄντα τῶν ἐν διαφερούσαις κατηγορίαις, διαφέροντα ἀλλήλων ἐστίν. Οἷον τὸ τρέφεσθαι ὅπερ ἐμψύχε γνώρισμα, ἕτερον τῷ ἐφ' ἓν εἶναι διαστατὸν, ὃ τῆς γραμμῆς ἐστὶ, καὶ τῷ ἐπίκτητον, ὃ τῆς ἐπιστήμης. (2).

§. ροά'.

(1) „Ὅταν ἕτερον καθ' ἑτέρε κατη„γορῆται ὡς καθ' ὑποκειμένε, ὅσα κατὰ „τῷ καθηγορεμένε λέγεται, τοσαῦτα καὶ „καθὰ τῷ ὑποκειμένε ῥηθήσεται. Ἀρισ. Ἐν τοῖς πρὸ τῶν Κατηγ. Κ. γ'.

(2) „Τῶν Ἑτερογενῶν, καὶ μὴ ὑ„πάλληλα τεταγμένων ἑτέραι τῷ Εἴ„δει, καὶ οὐ Διαφοραί. (Ἀνώνυμ. αὐτ.).

§. ροά'. Οἱ μὲν ἓν εἰρημένοι τόποι, εἰς ὅς ἂν ἅπαν νοητὸν ἀναχθείη, πλείως ἢ ἐλάττως ἀριθμηθεῖεν, ἥπερ ἂν ἑκάστῳ τὰ ἐν τοῖς ὄσι νοήμενα δόξειε διατάξαι, καὶ τῇ αὐτῶν διαιρεσιν πρὸς τὸ δοκεῖν διαιτήσασθαι. Εἰ μόνον ὁ λόγως, καὶ ὡς ἂν ἡ τῶν πραγμάτων ἐνδιδοίη φύσις τὰ τῆς διαιρέσεως διοικονομήσειε. Καὶ γὰρ δὴ, καὶ εἰς δύο ἄντις διέλοι βελτιθεὶς τὰ νοητὰ πάντα, εἴστε τὰ καθ' ἑαυτὰ ὑφεστῶτα, καὶ τὰ ἐν ἑτέροις τὸ εἶναι ἔχοντα, δύο τάξας τὰ Γένη τὰ πρώτισα, τὸ μὲν τῶν ὀσιῶν, τὸ δὲ τῶν συμβεβηκότων, καὶ τῇ ὀσίαν ἐφεξῆς, εἰς ποικίλα Εἴδη, καθάπερ δὴ καὶ τὸ συμβεβηκὸς ὑποδιελόμενος. (1). Καὶ εἰς τρία· τὸ μὲν τῶν ὄντων Γένος ἀποκαλέσας· τὸ δὲ τῶν προσόντων· τὸ δὲ τῶν περιόντων· ἤτοι τὸ μὲν τῶν ὀσιῶν, (αὗται γὰρ κυρίως τὰ ὄντα) τὸ δὲ τῶν ὀσιωδῶν γνωρισμάτων, καὶ ἀναγκαίων, τὸ δὲ τῶν ἐπεσιωδῶν καὶ ἐνδεχομένων.

(1) Οὐ γὰρ ἀκτέον τῷ Βλεμμίδῃ λέγοντος (Λογ. Κεφ. ιέ.) μηδαμῶς εἶναι Γένος τὸ συμβεβηκὸς τῶν ἐννέα κατηγοριῶν. Λ'. γὰρ συνωνύμως κατὰ τῶν ἐννέα κατηγορᾶται, ὡς ἐδ' αὐτὸς ἔξαρνος ἐσίν. Οὐκᾶν ἤτοι Γένος, ἔσαι πρὸς αὐτὰ, ἢ ἕτερόν τινα καθόλε λόγον ἕξει. Οὐκ ἔχει δὲ, Γένος ἄρα. Β'. ὅτι καθάπερ πρὸς τὰς ὀσίας ἁπάσας τὸν Γενικώτατον λόγον ἡ ὀσία κεκλήρωται, ἕτως εἰκὸς καὶ τὸ συμβεβηκὸς πρὸς τὰ συμβεβηκότα· ἐδὲν γὰρ ἧττον ταῦτα κοινὸν ἔχα πρὸς ἄλληλα τὸ συμβεβηκέναι, ἢ ἐκεῖναι τὸ ὀσιῶδαι. Γ'. ἐκ εὔλογος ἡ αἰτία ἥνπερ προβάλεται, φωνὴν φάσκων εἶναι καὶ αὐτὸ λογικὴν μίαν τῶν Ε', τὸ συμβεβηκός. Τὸ γὰρ συμβεβηκὸς εἶναι, τῇ μὲν πρώτῃ ἐπινοίας ἐσὶ, τῇ δὲ δευτέρας· καὶ ἃ τὸ καθ' ἑτέρων λέγεδαι παρέχεται αὐτῷ ἐκ τῆς ἐπινοίας, ἀλλά το εἶναι ἐν ἑτέρῳ προσήκει πρὸ οἰασῶν νοερᾶς ἀναπολήσεως. Διὸ, ᾗ μὲν ὁρίζεται τὸ κατὰ πλειόνων καὶ διαφερόντων, ἐν τῷ πῶς ἔχον ἐσὶ, κατηγορέμενον, ταῖς λογικαῖς ἂν φωναῖς ἐκ ἀπεικότως συγκαταλεχθείη· ᾗ δὲ τὸ ἑνὶ μὴ ὡς μέρος ὄν, ἀδύνατον εἶναι χωρὶς τᾶ ἐν ᾧ ἐσὶν, ὡς Ἀριστέλης ἀπέδωκε, ταύτῃ δὴ, ὡς οὐσία τις θεωρεῖται, ἐν ἑτέρῳ τὸ εἶναι ἔχασα, καὶ ἅπασι τοῖς συμβεβηκόσιν ἐπίσης κοινή. Ἓ χάριν καὶ ἐν τῷ τί ἐσι κατὰ πάντων κατηγορᾶται· τὶ γὰρ ἐσὶ τὸ ποσόν; συμβεβηκός. Καὶ τὶ τὸ ποιόν; συμβεβηκὸς, καὶ τὰ ἄλλα. Δ'. ἐδ' ἐκεῖνο λόγον ἔχα τὸ θεωρεῖδαι μεταξὺ ποσᾶτε, καὶ ποιᾶ, καὶ τῶν ἄλλων τὸ φύσει πρότερον, ὅπερ ἐν τοῖς ἀντιδιαιρεμένοις τῶν Εἰδῶν ἤκισα ἐλιν. Οὐ γὰρ πρότερον κυρίως τὸ ποσὸν τᾶ ποιᾶ· πῶς γὰρ τῆς ἐπιτήμης φέρε; ἐδὲν γὰρ μᾶλλον, ἢ τὸ ἄψυχον σῶμα τᾶ ψυχὴν ἔχοντος. Ε'. δὲ καὶ ἃ τὸ τᾶ συμβεβηκότος ὄνομα πρόσκομμα ἐσὶ γινόμενον, ὡς μία ἅσα τῶν Ε. φωνῶν, μετονομαδήτω δὴ ὡς παρὰ τοῖς Νεωτέροις εἰς τὸ τρόπον, καὶ διάθεσίν τινα, ἢ κατάσασιν, ἢ τὶ τοιᾶτο τῆς ὀσίας λέγεδαι. Μόνον μὴ τὸ ἐπίσης κατὰ πάντων τῶν συμβεβηκότων κατηγορεῖδαι τὸ συμβεβηκὸς ἀφῃρήδω καθάπερ καὶ ἡ Γενικωτάτη ὀσία τῶν ὀσιῶν.

Καὶ εἰς πέντε δὲ μετὰ Πλάτωνος, εἰς Οὐσίαν δηλαδὴ, Ταυτότητα, Ἑτερότητα, Κίνησιν, καὶ Στάσιν. Καὶ γὰρ ἐν τοῖς οὖσιν, ἤτοι ἁπλῶς αὐτὸ τὸ εἶναι θεωρεῖται, ἥπερ ἐσί· καὶ τοῦτο ἡ οὐσία· ἢ τούτων ἡ πρὸς ἄλληλα κοινωνία, καὶ τοῦτο, ἡ ταυτότης· ἢ γοῦν ἡ ἀπ' ἀλλήλων διαφορά, καὶ τοῦτο ἡ ἑτερότης· ἢ ἡ κίνησις, ἐν ᾗ πᾶσα νοεῖται μεταβολή· ἢ στάσις, ἥτις ἐσὶ μεταβολῆς ἀπουσία, καὶ μονὴ τοῦ ὄντος ἐν ᾧ ἐσὶ, καὶ ἠρέμησις. Ἀλλὰ καὶ εἰς ἑπτὰ, κατά τινας τῶν Νεωτέρων, ὡς ἐν τοῖς περιφερομένοις ἔπεσι:

„Νοῦς, Σῶμ' ἡ δὲ Μέτρον, Σχῆμ' αὖτε, Κίνημα, Θέσις τε,
„Ἠρεμίητε τέως, ἑπτὰ Κατηγορίαι.

Πᾶν γὰρ, ὅ,τι νοῆσαι πρόκειται, ἤτοι ἄυλος ἐσὶ καὶ νοερὰ Φύσις, ἢ ἔνυλός τε καὶ σωματικὴ, ἢ τρόπος, ᾗ φασὶ, καὶ ὡς εἰπεῖν κατάσασίς τις τῆς ἐνσωμάτε οὐσίας, ἐν μεγέθει, καὶ σχήματι, καὶ κινήσει, καὶ θέσει, καὶ ἠρεμίᾳ τῶν τῆς ὕλης μορίων τὸ εἶναι ἔχουσα. Τελευταῖον δὲ καὶ εἰς τὰς δέκα, κατ' Ἀριστοτέλη Κατηγορίας, πάντα τὰ νοούμενα ἐσὶν ἀνάγειν· Ἀλλὰ ταύτας ἡμῖν ἐν μέρει ἐκθετέον, ἔτε δὴ περιττῶς ἄγαν τὰ περὶ τούτων πραγματευόμενοις, κατὰ τὰς ὅλας βίβλους περὶ αὐτῶν συνταξαμένοις, καὶ μονονεχὶ πᾶσαν ἐξαρύσεσθαι τῶν ὄντων τλὼ γνῶσιν ἐντεῦθεν ἐλπίσαντας, ἐφ' ὀλιγώρως πάνυ, κατὰ τὰς καθ' ἡμᾶς, αὐτὰς παρερχομένοις, τὰς ὡς ἐπὶ ἐώλοις τούτοις θεωρήμασι, καὶ ὠρωλιῶσιν ἤδη, ἐπιναυτιῶντας οἷον, καὶ τὰς ῥῖνας ἀναπτῶντας, καὶ ὡς ἀθύρματα κομιδῇ παιδικὰ διαμυκτηρίζοντας.

Αἱ κατ' Ἀριστοτέλη Κατηγορίαι.

§. ροβ'.

Τῶν τοίνυν ἐννοιῶν εἰς ὅρους τινὰς ἀνακαλεσμένων, ἐκ ἀλόγως ἂν αἱ δέκα περὶ ὧν ὁ λόγος, συσαῖαι Κατηγορίαι. Ἤτοι γὰρ τὸ νοητὸν καθ' αὑτὸ ἐσὶν ὑφεσὼς, καὶ τοῦτο Οὐσία. Ἢ τῷ καθ' αὑτὸ ὑφεσῶτος ἐχόμενον, καὶκεῖνο χωρὶς εἶναι ἀδύνατον, καὶ τοῦτο Συμβεβηκὸς, ᾗ ἐν τῇ οὐσίᾳ ὄν. Ἔνεσι δ' ἐν αὐτῇ, ἢ ὡς μέτρον τῷ μεγέθει, καὶ καλεῖται Ποσότης· ἢ ὡς ποιάντινα ταύτῃ ἀναδεικνύον, καὶ Ποιότης λέγεται· ἢ καθ' ὃ πρὸς ἕτερόντι ἀναφέρεται αὕτη, καὶ ἔσιν ἡ Σχέσις· ἢ καθ'

καθ' ὃ τόπον ἀφορᾷ ὃν κατείληφε, καὶ ἔστι τὸ Πᾶ· ἢ τὸν ἐν ᾧ ἐστὶ χρόνον, καὶ ἔστι τὸ Ποτὲ· ἢ κατ' αὐτότι κινῆσαι νοεῖται, καὶ τοῦτο τὸ Ποιεῖν· ἢ κινεμένη ὑπότινος, καὶ τοῦτο τὸ Πάσχειν· ἢ θέσιν οἵαντινα τῶν ἰδίων ἑαυτῆς μερῶν ἔχουσα, καὶ τοῦτο τὸ Κεῖσθαι· ἢ ἐσίαν ἄλλῳ περικεῖσθαι, καὶ τοῦτο τὸ Ἔχειν.

§. ρογ'. Ἐπὶ ἑνὸς τοῦ Σωκράτους φέρε, εὕροις ἂν τὰ δέκα ταῦτα ἐπισκεψάμενος. Καὶ γὰρ καὶ ἐσία ὁ Σωκράτης, ἅτε δὴ αὐθύπαρκτόντι ὄν, καὶ ἐκ ἐν ἄλλῳ τὸ εἶναι ἔχον. Καὶ ποσόντι, μέγας, ἢ μικρός· Καὶ ποιὸς δὲ, οἷον Φιλόσοφος· Καὶ πρόστι πως ἔχων, οἷον υἱὸς Σωφρονίσκε. Καὶ πᾶ δὲ ἔστιν, οἷον Ἀθήνησι. Καὶ ποτὲ, οἷον κατὰ τλὺ πθ'. Ὀλυμπιάδα· Καὶ ποιῶντι ἐστὶν, οἷον διαλεγόμενος· Καὶ πάσχων, οἷον κονδυλιζόμενος, εἰ τύχοι, λακτιζόμενος. Ἀλλά πως καὶ κείμενος, οἷον ὀρθιος ἐσὼς, ἢ καθήμενος. Καὶ ἔχοντι, οἷον τριβώνιον φορῶν, ἢ πῖλον. Ἀλλ' ἔχε δὴ ταῦτα καὶ ἐν μέτρῳ μνήμης χάριν καταλεγόμενα.

„Δένδρεον ἔξ δμῶας καύσωνι κατέψυχε χαύνης.
„Ἀγρῷ χθὲς ϛῶτας γ' ἀλλὰ χιτωνοφόρης.

§. ροδ'. Οὐσία τοίνυν ἐστὶ τὸ καθ' αὐτὸ ὑφεστὼς, καὶ μηδενὸς ἑτέρου δεόμενον πρὸς ὕπαρξιν. Οἷον ἐγὼ, σὺ, ὅδε ὁ λίθος, τοῦτι τὸ ξύλον, κτ. Καὶ αὕτη μὲν ἡ ἐσία ἡ Ἄτομος καὶ πρώτη, καὶ μάλισα ἐσία ὑμνεμένη. Τὰ δ' ἀνωτέρω τῆς πρώτης ταύτης Εἴδητε, καὶ Γένη, οἷον ὁ ἄνθρωπος, τὸ ζῶον, κτ. ἐσίαι δεύτεραι, κατὰ τῆς πρώτης λεγόμεναι, καὶ ἐκείνῃ ἐνυφισάμεναι· τὰ δὲ συμβεβηκότα ἐν τῇ πρώτῃ καὶ ταῦτα, καὶ περὶ τλὺ πρώτλω, ἐχ' ὡς αἱ δεύτεραι ἐσίαι, ἐκείνης συσατικὰ γινόμενα· Διὸ καὶ ἔντινι μὴ ὡς μέρη, καὶ ἐν ὑποκειμένῳ ἐσίν. Αἱ δὲ δεύτεραι ἐσίαι ἔνεισι μὲν καὶ αὐταῖς ταῖς πρώταις, ἤτοι δὲ ὁλικῶς, ὡς τὰ Εἴδη (§. ρζ'.), ἢ ὡς μέρη ἐσιώδητε, καὶ ἐνεργείᾳ, κατὰ τὰ Γένη, καὶ τὰς Διαφοράς. (§. ρϛ'. ρη.). Λέγονται δὲ εἶναι καθ' ὑποκειμένε. Ἡ δὲ πρώτη ἐσία, μήτε καθ' ὑποκειμένε, μήτε ἐν ὑποκειμένῳ, ἀλλ' ὑποκείμενον· Οἷον ὁ Σωκράτης τὸ πρῶτον ἐστὶν ὑποκείμενον, καθ' ὃ τὸ ζῶον, καὶ ἐν ᾧ τὸ Φιλόσοφον.

§. ροέ. Παρέπεται δὲ τῇ ἐσίᾳ Α'. ἀείτε, καὶ πάσῃ, καὶ μόνῃ, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι· τοῦτο γὰρ τῶν συμβεβηκότων ὡς εἴρηται. Β'. παρέπεται ταῖς δευτέραις ἐσίαις, ἅτε δὴ καθόλε

θόλȣ ȣ̓σαις, τὸ κατηγορεῖσθαι τῶν ὑπ' αὐτὰς. Γ'. παρέπεται ταῖς πρώταις, τὸ δέτι σημαίνειν, διωρισμένον δηλονότι, ἀτόμοις ȣ̓σαις (§. ϙ'.), καίπως δακτυλοδεικτȣ́μενον. Δ'. τὸ μὴ ȣ̓σίαν ȣ̓σίᾳ ἐναντίαν εἶναι, ᾗ ȣ̓σίαι· Ἐναντία γὰρ ἀλλήλοις τὰ συμβεβηκότα, τὰ ἀπὸ τȣ̃ αὐτȣ̃ ὑποκειμένȣ ἀμοιβαδὸν ἐκκρȣόμενα. Ε'. τὸ ὑποκεῖσθαι τοῖς ἐναντίοις· οἷον θερμότητι φέρ' εἰπεῖν, καὶ ψυχρότητι. ϛ'. τὸ μᾶλλον καὶ ἧττον μηδαμῶς ἐπιδέχεσθαι· Οὐ γὰρ ȣ̓σία ȣ̓σίας μᾶλλον καὶ ἧττον, ἄλλη ἄλλης· Ἐπίσης δὲ τὸν ȣ̓σιώδη λόγον αἱ ȣ̓σίαι ἐπιδέχονται ἀνεπιτάτως, καὶ ἀπαραμειώτως, τὸν σφίσι προσήκοντα.

§. ροϛ'. Ποσὸν δὲ ἐϛὶ τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἕκαϛον ἕντι καὶ τόδε (ὡρισμένον ἀμέλει) πέφυκεν εἶναι. Τȣ̃ δὲ ποσȣ̃ τὸ μὲν συνεχὲς, τὸ δὲ διωρισμένον. Καὶ συνεχὲς μὲν, ȣ̓ τὰ μέρη κοινῷτινι ὅρῳ, εἰτ' ȣ̓ν συνδέσμῳ συνέχεται· Καὶ τȣ́τȣ Εἴδη Γραμμὴ, τὸ ἐφ' ἕν διαϛατόν· Ἐπιφάνεια, τὸ διχῇ· Σῶμα, τὸ τριχῇ· Καὶ τόπος, ἡ κατ' Ἀριϛοτέλην τȣ̃ περιέχοντος ἐπιφάνεια· Καὶ χρόνος, τὸ μέτρον (κατὰ τὸν αὐτὸν (1) τῆς κινήσεως. Καὶ κίνησις, ἡ ἀπὸ τȣ̃ ἀφ' ȣ̓ ὅρȣ ἐπὶ τὸν πρὸς ὅν, τȣ̃ κινȣμένȣ μετάβασις. Καὶ Γραμμῆς μὲν τὰ μέρη, τὰ σημεῖα συνάπτειν λέγεται· τὰ δὲ τῆς Ἐπιφανείας τὰς Γραμμάς· τὰ δὲ τȣ̃ Σώματος, τὰς Ἐπιφανείας· τὰ δὲ τȣ̃ χρόνȣ, οἷον τὸ παρεληλυθὸς, καὶ τὸ μέλλον, τὸ ἀμερὲς νῦν. Τὰ δὲ τῆς κινήσεως, τὰ τȣ̃ τόπȣ ἴσως δι' ȣ̓, καὶ τὰ τȣ̃ χρόνȣ καθ' ὅν· τȣ́των δὲ Γραμμὴ μὲν, καὶ Ἐπιφάνεια, καὶ σῶμα, καὶ τόπος, συνεχῆτε ἐϛὶ λεγόμενα, καὶ κατὰ διαμονὴν, τῷ ἅμα πάντα τὰ μέρη ἔχειν συνδιαμένοντα· χρόνος δὲ, καὶ κίνησις, συνεχῆ μὲν, κατὰ διαδοχὴν δὲ, τῷ μὴ ἅμα, θάτερον δ' αὐτῶν μετὰ θάτερον.

§. ροζ'. Διωρισμένον δὲ ποσὸν ἐϛὶν, ȣ̓ τὰ μέρη, ȣ̓δενὶ κοινῷ ὅρῳ συνάπτεται, διῄρηται δ' ἀπ' ἀλλήλων, καὶ λέλυται· τοιȣ̃τον ἀριθμὸς, ἐφ' ὃν ὁ λόγος ἀνάγεται. Καὶ ἀριθμὸς μὲν,

(1) Πρὸς δόξαν τὴν τȣ̃ Ἀριϛοτέλȣς ἐνταῦθα διαλεγόμενοι, τȣ̀ς ἀποδοθέντας ὁρισμȣ̀ς ȣ̓κ ἀκριβολογȣ̃μεν· ὡς δὲ ὀνοματώδεις λόγȣς ὑποτιθέμεθα. Ἐπεὶ καὶ ἄλλως ȣ̓ περὶ πραγμάτων φύσεως ἐνταῦθα ὁ λόγος, περὶ ὧν ἴδιαι πραγματεῖαι ἐν μέρει φέρονται. Ἀλλὰ περὶ Διαιρέσεως, καὶ τῶν κατ' αὐτὰ ἐννοιῶν εἴς τινας ὅρȣς Κεφαλαιώδεις, Ἀναγωγῆς, ὥσπερ εἴρηται.

μὲν πλῆθος ἐστὶ μονάδων, ὃς διώρισται κατὰ διαμονήν· λόγος δὲ τὸ τῶν συμβαθῶν, καὶ λέξεων πλῆθος, ὃς καὶ διώρισται κατὰ διαδοχήν. Τῶν μὲν ἓν συνεχῶντε, καὶ κατὰ διαμονὴν τὰ μέρη, θέσιν εἴρηται ἔχειν πρὸς ἄλληλα· τῶν δὲ, ἤτοι συνεχῶν καὶ μὴ κατὰ διαμονὴν, ἢ κατὰ διαμονὴν καὶ μὴ συνεχῶν, τὸ θέσιν ἔχειν τὰ μέρη ἀπείρηται· Ἀλλ' ἴσως ἔχει τάξιν τινὰ, ὡς ἐπὶ τῆ λόγε, καὶ ἄλλων.

§. ροή. Τρία δὲ τῷ Ποσῷ παρέπεται ταῦτα. Α'. τὸ μηδὲν εἶναι αὐτῷ ἐναντίον. Εἰ γὰρ δοκεῖ τὸ μέγα καὶ τὸ μικρὸν ἐναντίως πως ἔχειν, ἀλλὰ κατὰ χέσιν τοῖς τηλικέτοις τὰ τῆς διαμάχης ἐστί· τὸ γὰρ αὐτὸ ἑκάτερον πρὸς ἄλλο καὶ ἄλλο. Β'. τὸ μηδὲ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεθαι, ἀλλ' ἢ τὸ μεῖζον εἶναι καὶ ἔλαττον. Γ'. δὲ καὶ μάλισα τῷ ποσῷ ἰδιάζον, (καὶ γὰρ ἐκεῖνα προσήκειν ἐλέγετο (§. ροέ) καὶ τῇ ὐσίᾳ), τὸ κατ' αὐτὸ τὰ πεποσωμένα ἴσατε καὶ ἄνισα λέγεθαι.

§. ροθ'. Πρός τι δὲ ἐστὶν, ὧν τὸ εἶναι τὸ πρός τι πως ἔχειν· ἤτοι ὧν ἡ θατέρε ἄνοια μετὰ τῆς θατέρε γίνεται εἰς ἕν. Οἷον ὁ Πατὴρ πρὸς υἱὸν νοεῖται, καὶ τὸ μέγα πρὸς τὸ μικρόν. Διακριτέον δὲ ἐπὶ τῶν πρός τι, τό, τε ὑποκείμενον, ὃ πρὸς ἕτερον ἐστὶν ἀπονεῦον, καὶ τὸν ὅρον, πρὸς ὃν ἡ ἀπόνευσις, καὶ τὸν λόγον, δι' ὃν. Οἷον ὑποκείμενον μὲν ὁ Πατὴρ τῇ κατ' ἀφαίρεσιν νοεμένῃ χέσει, τῇ τῆς πατρότητος· Καὶ ὅρος πρὸς ὃν ἐκεῖνο ἀφορᾷ, ὁ υἱός. Λόγος δὲ ἡ κατ' ἐνέργειαν γέννησις.

§. ρπ'. Πολυειδῆ δὲ τὰ πρός τι· τὰ μὲν γὰρ κατ' ἐπίνοιαν πρὸς ἄλληλα ἀναφέρεται, οἷον τὸ ὑποκείμενον πρὸς τὸ κατηγορέμενον· καὶ τὸ ὑπάλληλον τὸ αὐτὸ, πρὸς μὲν τὸ Γένος, ἢ Εἶδος, πρὸς δὲ τὸ Εἶδος, ἢ Γένος· τὰ δὲ πραγματικωδεσέραν πως ἔοικεν ἔχειν τὴν ἀναφοράν. Καὶ τέτων ἡ χέσις, ἤτοι ἀμοιβαία, οἷον ἡ Πατρὸς καὶ υἱέ· ἢ μὴ ἀμοιβαία, φασὶν, οἷον Ἐπισήμης καὶ Ἐπισητέ· ἡ μὲν γὰρ Ἐπισήμη, ὐσιωδῶς τὸ Ἐπισητὸν ἀπαιτεῖ· τὸ δ' ἔχ ἕτως ἐκείνην, πλὴν ὅσον κατὰ συμβεβηκός. Καὶ τῆς ἀμοιβαίας δὲ, ἡ μὲν ὁμόλογος, ἣν καλέσι, καὶ καθ' ὁμωνυμίαν, οἷον ἡ τέ ὁμοίε πρὸς τὸ ὅμοιον· Ἡ δὲ ἑτερόλογος, καὶ καθ' ἑτερωνυμίαν· Οἷον ἡ τέ πατρὸς πρὸς τὸν υἱόν. Καὶ ταύτης ἔτι κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ὕσης, ἄλητις ἂν εἴη καθ' ὑπε-

ροχὴν, ἢ ἔλλειψιν, ὡς ἐπὶ τοῦ πολλοῦ καὶ ὀλίγου· Ἄλλη κατὰ τὸ Ἄρχον καὶ Ἀρχόμενον, ὡς ἐπὶ τοῦ Δεσπότου καὶ τοῦ Δούλου. Ἄλλη κατὰ τὸ κρίνον καὶ κρινόμενον, οἷον ἐπὶ αἰσθήσεως καὶ αἰσθητοῦ· ἥτις οὐδὲ τῶν ἀμοιβαίων ἐστὶν, ἀλλ' οἵα ἡ μεταξὺ Ἐπιστήμης καὶ Ἐπιστητοῦ. Ἄλλη κατὰ τὸ μετέχον καὶ μετεχόμενον, ὡς ἡ τοῦ Ἐπιστήμονος, καὶ τῆς Ἐπιστήμης. Ἄλλη κατὰ τὸ ποιοῦν καὶ τὸ πάσχον, ὡς ἐπὶ τοῦ τύπτοντος καὶ τοῦ τυπτομένου· ἢν ἂν πρὸς τὴν ἀνωτέρω, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ὀρθῶς ἀναγάγοις. Ἡ δέτις ἐστι σχέσις κατὰ τὴν ἐν τόπῳ διαφορὰν, οἷον ἄνω καὶ κάτω. Ἡ δὲ κατὰ τὴν ἐν χρόνῳ, οἷον πρεσβύτερον καὶ νεώτερον.

§. ρπα'. Ἔτι τῷ λόγῳ τῶν βάσεων τριττόντι σχέσεων Γένος διακρίνειν εἰώθασι. Καὶ αἱ μὲν φασὶ τῷ ἑνὶ, ἢ τῷ ἀριθμῷ βεβηκεῖαι εἰσίν· Αἱ δὲ τῷ ἐνεργεῖν, ἢ τῷ πάσχειν· Αἱ δὲ τῷ μέτρῳ, καὶ τῷ μετρητῷ. Καὶ τοῦ μὲν Τρίτου γένους, αἱ τῶν Ἐπιστητῶν εἰσὶ πρὸς τὰς Ἐπιστήμας ἀναφοραὶ, καὶ τῶν Ἑκτῶν πρὸς τὰς Ἕξεις, καὶ τῶν αἰσθητῶν πρὸς τὰς αἰσθήσεις· καὶ πάντων ἁπλῶς τῶν Εἰδοποιούντων πρὸς ἅπερ ἐξ αὐτῶν ἴσχει τὴν εἰδοποίησιν. Μέτρα γὰρ ἐκεῖνα τούτων οἱονεὶ κεῖται. Τοῦ δὲ Δευτέρου γένους, πᾶσαι αἱ τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν, σχέσεις· καὶ αἱ τούτων ἀνάπαλιν πρὸς ἐκεῖνα. Τοῦ δὲ Πρώτου τῷ μὲν ἑνὶ, ὅσαι ἐξ οἰκειότητος εἰσὶ σχέσεις, βεβήκασι· τῷ δ' ἀριθμῷ ὅσαι ποτὲ ἐκ διαφωνίας. Καὶ εἰ τῷ ἑνὶ, ἤτοι κατ' οὐσίαν, ὡς αἱ ταυτότητος· ἢ κατὰ ποσότητα, ὡς αἱ ἰσότητος· ἢ κατὰ ποιότητα, ὡς αἱ ὁμοιότητος. Εἰ δὲ τῷ ἀριθμῷ, παραπλησίως ἢ κατ' οὐσίαν, ὡς αἱ ἑτερότητες· ἢ κατὰ τὸ ποσὸν, ὡς αἱ ἀνισότητες· ἢ κατὰ τὸ ποιὸν, ὡς αἱ ἀνομοιότητες.

§. ρπβ'. Παρέπεται δὲ τοῖς πρός τι Α'. Ἐναντιότης τις, οἷον τὸ ἄνω ἐναντίον πως ἐστὶ τῷ κάτω· εἰ καὶ μὴ πᾶσιν· οὐ γὰρ τῷ διπλασίῳ τὸ ὑποδιπλάσιον διαμάχεται· οὐ δὲ τῷ ὁμοίῳ τὸ ὅμοιον. Β'. τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι. Ἀλλ' οὐδὲ τοῦτο πᾶσιν. Εἴη γὰρ ἂν κατὰ τὸ μᾶλλον καὶ ἧττον τὰ μὲν ὅμοια, τὰ δ' ἀνόμοια. Ἴσα δ' οὐκ ἂν γένοιτο πάντως μᾶλλον που ἢ ἧττον μετέχοντα τῆς Ἰσότητος· τὰ γὰρ ἧττον, ἄνισα· τὰ δέτοι ἄνισα καὶ μᾶλλον, καὶ ἧττον. Γ'. τὸ πρὸς ἀντιστρέφοντα λέγεσθαι, μήτε περιττεύοντα δηλαδὴ μὴ δ' ἐλλείποντα. Διὸ οὐδ' ὀρθῶς ἂν ἔχοι τὸ πτερὸν ἀνάγειν ἐπὶ

τὴν

τιὼ ὄρνιθα, ἀλλ' ἐπὶ τὸ πτερωτὸν ἀνακτέον· Καὶ τὸ πηδάλιον πρὸς τὸ πηδαλιωτὸν, ᾗ ὀνοματοθετῆντας εἰ δέοι. Δ'. τὸ εἶναι ἅμα τῇ φύσει. Οὐ γὰρ ἐνδέχεται δῆλον εἶναι ἄνθρ Δεσπότ. Ε'. καὶ ἅμα τῇ γνώσει, ὡς ἐκ ἐνὸν νοῆσαι θάτερον παρὰ θάτερον.

§. ρπγ'. Ποιότης δὲ ἐστὶ συμβεβηκὸς ἀπόλυτον, δ' ἧς ἡ οὐσία διορίζεται πως εἰς τὸ τοιάδε, ἢ τοιάδε εἶναι· Οἷον ὑπὸ μὲν τῆς λευκότητος, οἷος λευκὸς ὁ λίθος, ὑπὸ δὲ τῆς Ἐπιστήμης οἷος Ἐπιστήμων ὁ ἄνθρωπος. Καὶ δι' ὁποιανῶν ἄλλων τὸ δεκτικὸν οἷον ἀλλοῖον. Ποιῆται δὲ ἡ οὐσία ἤτοι ἐπεισάκτως, ἢ ἐμφύτως, ἢ κατ' ἀιθητικὴν τινα πρόσληψιν, ἢ κατὰ τὸ ποσὸν, καὶ ἐπιπολῆς· ταῦτα δὲ τῶν ποιοτήτων τὰ τέτταρα εἴδη, ὧν ἕκαστον διμελές.

§. ρπδ'. Καὶ Α'. εἰ μὲν ἔξωθεν τὸ ποιῆν ἐπιγεγονὸς τιὼ οὐσίαν ποιῶν, ἤτοι μονίμως ποιῶσει καὶ δυσαπαλλάκτως, ἢ δυσεξαλείπτως καὶ δυσπορβλήτως. Καὶ εἰ μὲν ἐκεῖνος, Ἕξις ἡ ποιότης ἀκέσεται· Εἰ δ' ἔτω, Διάθεσις. Ἕξις μὲν γὰρ ποιότης ἐστὶν ἐπεισακτος δι' ἐνεργειῶν πλειόνων τῇ οὐσίᾳ ἐγγινομένη, μόνιμός τε, καὶ δυσκίνητος, τῷ ἔχοντί πως συμπεφυσιωμένη, καὶ δυτέρα διὰ τῦτο φύσις ἀκέσσα· οἷα ἡ τῶν ἐγκρατεσάτων ἐπιστήμης, ἢ τέχνης, καὶ τέλεον περιγεγονότων, δυσαφαίρετος δεξιότης, Διάθεσις δὲ ποιότης ἐπεισακτος δι' ἐνεργειῶν ἐλαυσόνων ἐμποιεμένη, καὶ δυσπόθετος, οἵαν εἰκὸς τὸς ἀρτιμαθεῖς τέχνης ἢ ἐπιστήμης ἔχειν, ἧς ἔπω τέλεον καθέσχον, δύκινητον δεξιότητα. Τῶν δὲ δὴ Ἕξεων αἱ μὲν εἰσὶ τελειωτικαὶ, αἱ δὲ κακωτικαί. Καὶ αἱ μὲν σωματικαὶ, αἱ δὲ ψυχικαί. Καὶ τῶν σωματικῶν τελειωτικαὶ μὲν, αἱ συντελεῦσαι τῷ βίῳ χειρεργικαὶ τέχναι· κακωτικαὶ δὲ, αἱ ματαιοτεχνίαι τε καὶ κακοτεχνίαι· τῶν δὲ ψυχικῶν αἱ μὲν διανοητικαὶ, οἷαι αἱ Ἐπιστῆμαι· Αἱ δὲ βελτητικαὶ, ὡς αἱ Ἠθικαὶ λεγόμεναι ἀρεταί· Αἵ καὶ τελειωτικαὶ δήπε εἰσί. Κακωτικαὶ δὲ, αἱ ἀντιφερόμεναι ταύταις κακίαι.

§. ρπε'. Εἰ δὲ Β'. ἐμφύτως τῇ οὐσίᾳ ἡ ποιότης προσεῖη, ἤτοι δυνάμις φυσικὴ ἂν εἴη, ἢ ἀδυναμία, Καὶ φυσικὴ μὲν δύναμις, ἡ ἀπὸ φύσεως οὖσα τῇ οὐσίᾳ, καὶ πρὸς τὸ ποιῆντι ῥαδίως, ἢ πάσχειν, ἢ μὴ πάσχειν, δεξιὰν αὐτιὼ ἀποφαίνουσα. Οἷον πύξτις ἀγαθὸς ἀναδειχθήσεται, εἰ πρὸς τὸν

τὸν τοιοῦτον ἀγῶνα φύσεως ἔχοι εὖ· καὶ πυκτικὸς καλεῖται, τῷ πρὸς τὸ πύκτης ἀγαθὸς γενέσθαι δεξιότητα φύσει πλειόνων· καθ' ἣν ῥᾷστα ἂν πρὸς τὸν ἀνταγωνιστὴν ποιήσειε, καὶ ἐν ἂν ῥᾳδίως ὑπ' αὐτοῦ πάθοι. Καὶ τὸ μὲν σκληρὸν δύναμιν ἔχει τοῦ μὴ πάσχειν τομήν, τὸ δὲ μαλακὸν τοῦ ῥᾳδίως ὑπείκειν. Ἡ δὲ κατὰ φυσικήν τινα διάθεσιν ἀτονίαν τε καὶ ὕφεσις τῆς δυνάμεως, φυσικὴ ἀδυναμία ἐστί τε καὶ λέγεται. Οἷον τοῦ ὀξυωπέντος δύναμιν ἔχοντος, ἀδυναμίαν ἔχειν λέγεται ὁ ἀμβλυωπῶν. Διαιρεῖνται δὲ καὶ αἱ δυνάμεις, εἴς τε τὰς πνευματικὰς, οἵαν ὁ νοῦς, καὶ ἡ βούλησις· καὶ τὰς σωματικὰς, οἵα ἡ ἐν τῷ πυρὶ φέρε καυστικὴ δύναμις, καὶ αἱ παραπλήσιαι. Ἀλλὰ καὶ τὰς μὲν εἶναι βέλονται ἐνεργητικὰς, τὰς πρὸς τὸ ποιεῖν δηλονότι, τὰς δὲ παθητικὰς δυνάμεις, τὰς πρὸς τὸ πάσχειν. Ὅτι δὲ ἐκεῖναι μᾶλλον τοῦ ὀνόματος εἰσὶν ἄξιαι, ταύτας δὲ μᾶλλον ἄντικ δεξιότητας καὶ διαθέσεις ἐνομάσειεν, ἢ δυνάμεις, αὐτόθεν οἶμαι φανερόν.

§. ρπς'. Γ'. δὲ Εἶδος ἀριθμεῖ τὸ τῶν παθητικῶν ποιοτήτων, καὶ τῶν παθῶν. Καὶ παθητικὴ μὲν ποιότης ἐστὶν, ἡ τοῖς σώμασι τοῖς ἐκτὸς ἡμῶν, καὶ περὶ ἡμᾶς, περιοῦσα δύναμις, τοῦ μίαν τινὰ τῶν ἐν ἡμῖν αἰσθήτεων ποιῶς πως διαθέσθαι, καίτι πάθος αὐτῇ προσεμποιῆσαι· τοιαύτη ἡ γλυκύτης ἐν μέλιτι, ἡ πικρία ἐν ἀψινθίῳ· Καὶ ἦχοι, καὶ ὀσμαὶ, καὶ χροιαὶ, καὶ αἱ λοιπαὶ καλούμεναι αἰσθητικαὶ ποιότητες· αἳ καὶ παθητικαὶ διὰ τοῦτο ἦκουσαν, ὅτι διαθέσεις ἐισιν ἃς ἡμῶν τοῖς αἰσθητηρίοις ἐνδιεγείρουσιν, ἃς πάθη λέγομεν. Παθητικὰς δὲ ὁ Ἀριστοτέλης ποιότητας ἀποκαλεῖ, καὶ τὰς ὑπὸ πάθους ἐγγινομένας, καὶ μονιμώτερον τοῖς πάσχουσιν, ἐμφυομένας· οἷον τῷ ἐκ γενετῆς, ἢ ἀπὸ νόσου μακρᾶς, ἐρυθρίασιν, ἢ ὠχρίασιν, τῷ ἀπὸ ἐσωτερικοῦ καὶ δυσπαθήτου πάθους τῷ ἐρυθρίᾳ, ἢ τῷ ὠχρίᾳ ἐνσκήψασαν· τὰ δὲ δύσπαθητα ὄντα· οἷον τὸ ἐξ οἰνοφλυγίας ἐρύθημα, καὶ ἡ ἀπὸ ἡλιοκαΐας μελανία, πάθη ὠνόμασαν, καὶ ἐσίν. Ἐφ' οἷς καὶ τρίτοντι εἶδος ἄλλο προσίθησι παθητικῶν ποιοτήτων, τῶν κατὰ τὴν ψυχὴν θεωρεμένων· οἷον τὸ κατὰ φύσιν εἶναί τινα ὀξύτερον εἰς ὀργὴν, καὶ μανικὴν ἔκστασιν, καὶ ὅσα τοιαῦτα, ἃ μὴ ῥᾳδίως ἀποκαθίσταται, παθητικὰς καὶ ταῦτα ποιότητας ἀξιοῖ καλεῖν· τὸ δὲ εἰς ὀργὴν ποτὲ ἐξαφθῆναι-

τε

τε καὶ ὑπερζέσαι, εἰ μὴ φύσει πως, καὶ μετὰ ῥοπῆς γίγνοιτο, πάθος.

§. ρπζ. Δ'. δὲ καὶ τελευταῖον ποιοτήτων εἶδος ἐστὶ, τὸ Σχῆμα, καὶ ἡ Μορφὴ, ὅπερ ἐπιπολαίως πως διατίθησι τινὶ ἕξιν, καὶ τῷ τε ποσῷ λόγῳ ταύτῃ παρακολουθεῖ. Εἴληπται δὲ ἑκάτερον ὡς ὅρος ἑκτάσεως· Καὶ ταύτῃ δὴ κατάτινας, διαφέρει ἀλλήλων, ἢ τὸ μὲν ἐπὶ τῶν ἀψύχων, ἡ δὲ ἐπὶ τῶν ἐμψύχων λέγεται· ἢ κατ' ἄλλως, τὸ μὲν ἐκ τέχνης, ἡ δὲ κατὰ φύσιν· ἢ, ὡς ἄλλοι, τὸ μὲν μαθηματικώτερον, ἡ δὲ φυσικώτερον. Καὶ τινὶ μὲν δὴ ποιότητα ἔστω διαιρετέον.

§. ρπή. Παρεπόμενα δὲ αὐτῇ ἐστὶ Α'., τὸ ἐναντίωσιν ἔχειν, καίτοι μὴ πάσῃ. Ἐναντία γὰρ ἐστὶ θερμότης ψυχρότητι, καὶ λευκότης μελανίᾳ· ἔκειν δὲ καὶ τῷ κυανῷ τὸ πορφυρεῖν, ἀλλ' εἴδει μόνον ἐστὶ διαφέροντα· καθαπερεῖν καὶ τὰ χήματα πάντα, διαφέρει μὲν εἴδει, καθ' ὑπεναντίωσιν δὲ ἀλλήλοις ἐ μάχεται. Β'. Δεκτικαί εἰσιν αἱ ποιότητες ἐπιτάσεως καὶ ἀνέσεως. Καίτοι οὐδὲ τοῦτο πᾶσαι. Οἷον ἔστι μέντις μᾶλλον, ἢ ἧττον θερμότης, ἢ λευκότης, ἢ γλυκύτης, κξ. Δικαιοσύνη δὲ Δικαιοσύνης πῶς ἂν μᾶλλον καὶ ἧττον γένοιτο; παραπλησίως δὲ οὐδὲ τὰ χήματα ἐπίτασίν τε καὶ ἄνεσιν ἐπιδέχεται. Γ'. ἁπάσῃ ποιότητι παρεπόμενον ἐστὶ, τὸ κατ' αὐτὴν τὰ πεποιωμένα ὅμοια ἀλλήλοις λέγεσθαι, ἢ ἀνόμοια.

§. ρπθ'. Ποιεῖν ἐστὶ τότι μεταβάλλειν καὶ ἀλλοιοῦν· ἢ, καθ' ὅ, τὸ ὑφ' ἕ αἴτιον ἐνεργείᾳ τοιοῦτον ἀναδείκνυται ὄν. Οἷον καθ' ὅ τὸ φωτιστικὸν, καὶ θερμαντικὸν, θερμαῖνον ἤδη ἐστὶ, καὶ φωτίζον. Ποιεῖν δὲ λέγεται, τὸ μὲν εἰς ἑαυτὸ, οἷον θεωρεῖν· τὸ δ' εἰς ἄλλο, οἷον διδάσκειν· Διὸ καὶ τῶν ἐνεργειῶν, αἱ μὲν ἔμμονοι ἀκέσεσιν, αἱ δὲ μεταβατικαί. Καὶ ἔτι ποιεῖν τὸ μὲν καθ' ὁρμὴν εἴρηται, ὡς ἐπὶ τοῦ κυνὸς τὸ ὑλακτεῖν, καὶ τὸ δάκνειν· τὸ δὲ κατὰ φύσιν, ὡς ἐπὶ τοῦ πυρὸς τὸ καίειν· τὸ δὲ κατὰ τέχνην, ὡς τὸ ναυπηγεῖν· τὸ δὲ κατ' ἐπιστήμην, ὡς τὸ διανοεῖσθαι· τὸ δὲ κατὰ προαίρεσιν, ὡς τὸ ἀρετὴν ἀσκεῖν, ἢ τὸ πονηρὸν πράττειν. Παρέπεται δὲ τῷ ποιεῖν Α'. Ἐναντίωσις· Ἐναντίον γὰρ τὸ θερμαίνειν τῷ ψύχειν. Β'. τὸ μᾶλλον, καὶ ἧττον. Γ'. τὸ, κατὰ

τὰ τὸν Ἀρχύταν, ἢ φασὶ, τῷ τῆς κινήσεως αἰτίαν ἐν ἑαυτῷ ἔχειν, ὃ τῷ ποιοῦντος μᾶλλον, ἢ τῷ ποιεῖν, ἔοικεν ἴδιον.

§. ρή. Πάσχειν δὲ ἐστὶ, τὸ ὑπότινος ἀλλοιοῦσθαι, ἢ μεταβάλλεσθαι. Οἷον θερμαίνεσθαι, φωτίζεσθαι. Διακριτέον δὲ, καθάπερ ἐπὶ τῷ ποιεῖν, τό,τε ποιοῦν αὐτὸ, καὶ τῷ ἐνέργειαν, καὶ τὸν πρὸς ὃν αὐτὴ ἀποτερματίζεται ὅρον περατουμένη· ἅτω καὶπὶ τῷ πάσχειν, τό,τε πάσχον, καὶ τῷ πάθησιν, καὶ τὸν ὑφ' ὃ παθαίνεται ὅρον. Πάσχει δὲ τὸ πάσχον, ἢ κατ' οὐσίαν μεταβαλλόμενον, ἢ κατὰ ποσὸν αὐξανόμενον, ἢ μειούμενον, ἢ κατὰ τὸ ποιὸν ἀλλοιούμενον. Πάσχον δὲ πάσχει, ἢ ὡς φθειρόμενον, οἷον καιόμενον· ἢ τελειούμενον, οἷον ἡ ὅρασις ὑπὸ τῷ φωτὸς κινουμένη, καὶ ὁ μαθητεύων παιδεύομενος. Παρέπεται δὲ τῷ Πάσχειν Α'. ἐναντίωσις. Β'. τὸ μᾶλλον καὶ ἧττον. Γ'. τὸ τῷ Ἀρχύτᾳ, τὸ αἰτιῶδες τι προσεῖναι τῷ πάσχοντι τῆς παθήσεως: τοῦτο δ' ἂν τυχὸν εἴη, τὸ εὖ διακεῖσθαι πρὸς ὑποδοχὴν τῷ ὁποθενοῦν ἐνεργήματος.

§. ρηά. Πῦ δὲ ἐστὶ τὸ ἐν τόπῳ εἶναι. Διαφοραὶ δὲ τῷ πῦ καταλέγονται ἕξ, τὸ ἄνωπυ εἶναι, τὸ κάτω, τὸ δεξιὸν, ἢ ἀριστερόν· τὸ ἔμπροσθεν ἢ ὄπισθεν. Ἃ δὴ, καὶ κατὰ χέσιν ἐστί. Παρέπεται δὲ τῷ Πῦ, Α'. ἡ κατὰ τὰς τεθείσας διαφορὰς Σχετικὴ Ἀντίθεσις. Β'. τὸ τῷ μᾶλλον καὶ ἧττον εἶναι ἀνεπίδεκτον.

§. ρηβ'. Ποτὲ δὲ ἐστὶ, τὸ ἐν χρόνῳ εἶναι· τότε δὲ μέρη κατὰ τὰς τῷ χρόνῳ διαφορὰς τὸ πρότερον, καὶ τὸ ὑστερον· τὸ δὲ νῦν ἀμερὲς, καὶ χρόνῳ σύνδεσμος, ἢ μέρος. Παρέπεται δὲ καὶ τότῳ, Α'. ἡ κατὰ χέσιν ἀντίθεσις. Β'. τὸ κατὰ τὸ πρότερον, καὶ ὕστερον ἐπὶ πλέον ἐκτείνεσθαι, ἢ ἐπ' ἔλαττον. κατὰ δὲ τὸ νῦν ἐδαμῶς. Ἀκαρὲς γὰρ αὐτὸ καὶ ἀνέκτατον. Γ'. τὸ μᾶλλον καὶ ἧττον μηδαμῶς ἐπιδέχεσθαι.

§. ρηγ'. Τὸ δέτοι Κεῖσθαι διάθεσιν σημαίνει μερῶν τῶν ἐπισημοτέρων, πρός τε ἄλληλα, καὶ πρὸς τὸν τόπον. Οἷον τὸ εἰς κλάδους διεχῖσθαι, καὶ φύλλοις, ἅτως ἢ ἄλλως διακειμένοις, κομᾶν, ἐπὶ τῶν φυτῶν· ἢ τὸ ὧδε ἢ ὧδε διατετάχθαι τὰ μέλη ἐπὶ τῶν ζώων. Θεωρεῖται δὲ τὸ κεῖσθαι, ἤτοι κατὰ τέχνιν, ὡς ἐπὶ τῶν μηχανημάτων· ἢ παρὰ φύσιν, οἷον ἐπὶ ἀνθρώπῳ τὸ κεφαλῇ καὶ χερσὶ προσερείδεσθαι τῷ

τῷ ἐδάφει, πόδας ὑψὲ ἀέραντα· ἢ κατὰ φύτιν, οἷον ὀρθιάζειν τὸ ὅλον σῶμα· ἢ πλαγιάζειν κεκλιμένον· καὶ τοῦτο ἤτοι τῷ ἔμπροσθεν ὑποκειμένῳ πρηνῆ κατακείμενον, ἢ τῷ ὄπισθεν ὑπτιάζοντα. Καὶ ἕρπειν καθῆσθαι, τὸ μὲν κεκλιμένον, τὸ δ' ὀρθοσάδιν ἔχοντα. Παρακολουθεῖ δὲ καὶ τῷ κεῖσθαι Α'. Ἐναντίωσις. Ἀντίκειται γάρπως τὸ ἀνακεκλίσθαι τῷ ἵστασθαι. Β'. τὸ μᾶλλον καὶ ἧττον· οἷον μᾶλλον καὶ ἧττον ἀνακέκλιται ὁ ἀνακλιθείς. κτ.

§. ρνδ'. Ἔχειν δὲ ἐστὶ συμβεβηκὸς ἐσίας φυσικῆς, καθὰ περίθεσιν ἄλλης ἐσίας ἐντέχνε· οἷον ἔχειν ἱμάτιον· ἤτοι περικεῖσθαι. Ἔχειν δὲ λέγεται ἐσία ἐσίαν, ἢ ὅλιν ὅλη περικειμένη· οἷον χιτῶνα ποδήρη· ἢ ὅλιν μέρος, οἷον δακτύλιον. Καὶ ἀπὸ τῆς ἕλκες, περίκειται τις σεμνυνόμενος τρίβωνα· ὁ δέτις πέπλον περιβέβληται τάχα λήσων· ὁ δ' ὅπλα φέρει, ὡς ἀμυνόμενος, κτ. καὶ ἔχειν λέγονται αὐτά. Ἴδια δὲ τῆς ἔχειν, Α'. τὸ μὴ τῷ ἔχονλι ἀναιρὸν εἶναι. Διὸ τὸ πέδας ἔχειν καὶ ἀλύσεις τῆς καθηγορίας ἐκπίπτει· ῥητέον γᾶν ὡς ταῦτα λις φέρει. Β'. τὸ περικεῖσθαι τὸ ἔχον, ὃ ἔχει· ἐδεὶς ἂν τὸν σκίμποδα ἔχειν λέγεται, ἐφ' ᾧ κάθηται. Γ'. τὸ ἐχόμενον μὴ βαθύτερον ἐγκεῖσθαι τῷ ἔχοντι· ὅταν αἱ τρίχες τοῖς τετριχωμένοις, τότε πίλια τοῖς πτερωτοῖς, καὶ τὰ κέρα τοῖς κερασφόροις, ἔξω τῆς καθηγορίας λέγεται εἶναι. Καὶ ὅλως τεχνητόνλι εἶναι, ὡς εἴρηται.

§. ρνε'. Ἀνλικείμενα δὲ ἐστὶν (ἐπειδὴ καὶ ἤτων ἐμνήθημεν μεταξύ) ἐν οἷς μάχητις σὐθεωρεῖται. Μάχεται δὲ, τὰ μὲν ὡς πρόσλι· τὰ δ' ὡς ἐναντία· τὰ δ' ὡς ἕξις καὶ στέρησις· τὰ δ' ὡς ἀντιφατικά. Καὶ ὡς μὲν πρόσλι, ὅσα ἀμοιβαδὸν ἀφορᾶται ὡς συχετικά· οἷον δοῦλος δεσπότης. Ὡς δ' ἐναντία, ὅσα τῷ αὐτῷ γένες ὄντα τῆς ποιότητος, πλεῖστα ἀλλήλων ἀπέχει, καὶ τῷ αὐτῷ δεκτικῷ ἄλληλα ἀποκρύεται· οἷον θερμότης ψυχρότης· ὡς ἕξις δὲ καὶ στέρησις, ὧν τὸ μὲν μορφήτις οἷα τελειωτικὴ τυγχάνει τῷ πεφυκότος ἔχειν αὐτλι, τὸ δὲ ταύτης ἀπουσία· οἷον ὅρασις, τυφλότης. Ὡς ἀνλιφατικὰ δὲ ἀντίκειται, ὧν τὸ μὲν καταφάσκει, τὸ δ' ἀποφάσκει τῷ αὐτῷ τὸ αὐτό· οἷον Ἀριστοτέλης φιλοσοφεῖ, ἢ φιλοσοφεῖ. Τέτων ἓν τὰ μὲν πρός τι κυρίως εἰπεῖν ἐ μάχεται, εἴγε καὶ σωεισάγειν ἄλλα πέφυκε· τῶν δ' ἐναντίων

ἡ μά-

ἡ μάχη καὶ τερὰ, ὡς ἀπὸ τῆ αὐτῆ δεκτικῆ ὑπ' ἀλλήλων ἀποκρυομένων. Σφοδροτέρα δὲ κρίνεται ἡ μεταξὺ ἕξεώς τε καὶ στερήσεως διαμάχη· τῶν γὰρ ἐναντίων ἀμφοῖν θετικῶν ὄντων, ἡ στέρησις ἐν τούτοις ἀποφατικόντι ἐστί· κἀκείνων ἐπὶ τὸ αὐτὸ τῆ ποιῆ γένος ἀναγομένων, τῇ στερήσει δὲ τῆ γενικῆ λόγῳ μέτεσι τῆς ποιότητος. Καὶ τὸ δὴ μέγιστον, φασὶν, ὅτι φύσει μὲν αἱ ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία γίνονται μεταβολαί, τινὶ δὲ δὴ παντελῆ στέρησιν ἐπὶ τινὶ ἀντικειμένῳ ἔξιν μεταβαλέσθαι φύσει ἀνένδεκτον. Τέως δὲ Ἀντιθέσεων ἁπασῶν σφοδροτάτη ἡ κατ' ἀντίφασιν· τὰ γὰρ ἄλλως μαχόμενα γένοιτ' ἄν ποτε καὶ συναπεῖναι, ὡς ἐπὶ τῶν μὴ δεκτικῶν, μηδὲ τινὶ ἀρχῇ ὄντων· τῶν δὲ Ἀντιφατικῶν τῆ ἑτέρῳ παρόντος, ἢ ἀπόντος, θάτερον ἀπεῖναι, ἢ παρεῖναι πᾶσα ἀνάγκη, καὶ ἐπὶ τῶν δεκτικῶν, καὶ τῶν μή· καὶ ἐπὶ τῶν ὄντων, καὶ τῶν μὴ ὄντων.

§. ρνς'. Πρότερον δὲ (καὶ γὰρ καὶ τότε παρενέπεσε λόγος) ἕτερον ἑτέρῳ λέγεται πενταχῶς. Α'. τῷ χρόνῳ. Β'. τὸ συνεισφερόμενον, καὶ μὴ συνεισφέρον· οἷον τὸ ἕν τῶν δύο· καὶ τὸ ζῶον τῆ ἀνθρώπῳ. Γ'. τῇ τάξει, οἷον ὁ προπορευόμενος. Δ'. τῇ ἀξίᾳ, ἀεὶ τὸ κρεῖττον· φωτὶ συγκρινομένη βρίσκεται πρότερα. Ε'. τῇ φύσει, οἷον τὸ αἴτιον τῆ ἐξ αὐτῆ· τοῦτο δὲ, καὶ τὸ κατὰ τὸ Β'. τῶν σημαινομένων, καὶ γνωριμώτερα τῇ φύσει προσείρηται. Τοσαυταχῶς δ' ἂν εἴποις, καὶ τὸ ὕστερον.

§. ρνζ'. Καὶ δὴ καὶ τὸ Ἅμα. Α'. τῷ χρόνῳ. Β'. κατὰ τινὶ τῆ εἶναι ἀκολούθησιν, ὡς τὰ συναντιστρέφοντα, ὧν τὸ μὲν ὡς αἴτιον ἐστὶ, τὸ δ' ὡς αἰτιατόν. Οἷα τὸ λογικὸν, καὶ τὸ Ἐπιστήμης δεκτικόν. Γ'. τῇ τάξει. Δ'. τῇ ἀξίᾳ. Ε'. τῇ φύσει, ὡς τῶν σχετικῶν οἷς ἐκ ἐνθεωρεῖται, ὁ τῆς αἰτίας, καὶ τῆ αἰτιατῆ, φασὶ, λόγος. Καίτοι τοῦτο κοινὸν εἶναι τῶν πρόσθεν παρακολούθημα (§. ρπβ'.) εἴρηται.

§. ρνη. Καὶ κινήσεων δὲ Εἴδη καταλέγεται ἕξ. Α'. Γένεσις, ἡ μεταβολὴ ἀπὸ τῆ μὴ εἶναι εἰς τὸ εἶναι. Β'. Φθορὰ, ἡ ἀντικειμένη. Γ'. Αὔξησις, ἡ μεταβολὴ ἀπὸ τῆ ἐλάσσονος ἐπὶ τὸ μεῖζον· Δ'. Μείωσις, ἡ ἀντικειμένη. Ε'. Ἀλλοίωσις, ἡ τῆς ποιότητος μεταβολὴ εἰς τινὶ ἐναντίαν, ἢ τῷ εἴδει ἄλλως διαφέρουσαν. ς'. ἡ κατὰ τόπον φορά.

§. ρνθ'.

§. ρυθ'. Καὶ αὗται δὴ αἱ κατ' Ἀριστοτέλην Κατηγορίαι, διὰ βραχέων ἡμῖν, ὡς οἷόντε ἦν, ἐκτεθεῖσαι. Ὧν οὐκ ἐκείνην ποιητέον τὴν χρῆσιν, ὡς ἐξ αὐτῶν ἀκριβῆ τῶν ὄντων ἐλπίσαι τὴν κατανόησιν· Ἀλλ' ὥστε τάξιν μόνον τινὰ τῶν νοουμένων λαβεῖν, καὶ οἷον ὀνομαστικόντι, τῶν ἐν χρήσει τῇ φιλοσοφίᾳ γινομένων ὅρων, δι' ὧν οὐχ' ὅπως οἱ παρ' Ἕλλησι σοφοὶ, ἀλλὰ καὶ οἱ ἐκ τῶν ἄλλων γενῶν φιλοσοφοῦντες τῶν αὐτοῖς θεωρουμένων τὰ πλεῖστα ἑρμηνεύειν εἰώθασι. Καὶ γὰρ δὴ καὶ οἱ τούτων ὀλιγωροῦντες, ἐν τοῖς ὑπ' αὐτῶν ἔπειτα φιλοπονουμένοις βιβλίοις, οὐδὲν αἰδοῦνται, ὅπῃ παρήκοι, ἐκ τῶν Ἀριστοτέλους Κατηγοριῶν φθέγγεσθαι. Ἀκούσαις γὰρ ἂν καὶ αὐτῶν λεγόντων, ὡς τόδε μὲν αὐθυφεστός ἐστιν, ἐκεῖνο δ' ἐν ἄλλῳ. Καὶ ὡς διώρισται μὲν τόδε, συνεχὲς δ' ἐκεῖνο. Καὶ ὅτι τὸ μὲν δύναμις ἐστὶ, τὸ δὲ ἀδυναμία. Καὶ τόδε μὲν τῷ δε καθ' ἕξιν ἐστὶ, τόδε δὲ τῷ δε κατὰ ποιάντινα συμβαίνει διάθεσιν. Καὶ σχέσεων δὲ μεμνημένων ὡσαύτως, καὶ τῶν ἄλλων ἁπλῶς, ἵνα μὴ ἕκαστα λέγῳ· Ὥστε εἶναι λοιπὸν καὶ αὐτοῖς, ἐξ' ὧν ποιοῦσι, δοκιμαστέαν τὴν χρῆσιν, εἶναι δὲ καὶ ἡμῖν ἀποδοκιμαστέαν μόνην τὴν ἐν τούτοις κατάχρησιν.

ΚΕΦ.

ΚΕΦ. ΕΒΔΟΜΟΝ.

Περὶ Σημείων Ἐννοιῶν.

Ἤτοι

Περὶ Ὅρων διωάμεως.

§. σ'.

Τὰς ἐν τῷ κρυπτῷ τῆς ψυχῆς ἀνακινεμένας ἐνοίας, ἐνδείξεσί τισι σωματικωτέραις ἐμφανίζειν πεφύκαμεν. Καὶ κινήμασι, νεύμασι, (1) φωναῖς, εἰκονισμοῖς παντοίοις, καὶ τῇ σιγῇ πολλάκις αὐτῇ, καὶ τῇ ἀκινησίᾳ οἱονεὶ συμβόλοις χρώμενοι, διὰ τέτων τοῖς ἄλλοις, τὶ δήποτε νοητὸν ἐστὶν ἡμῖν, ἢ βελητὸν, σωιδεῖν παρεχόμεθα.

§. σά. Σημεῖον ἔν ἁπλῶς ἐστὶ, τὸ εἰς ἐννοιάντινος παρ' αὐτὸ ἄλλε, ἀάγον τὲς αὐτῷ προσέχοντας. Ἐννοιῶν δὲ σημεῖα πρὸ τῶν ἄλλων ἐγκρίνεται, τὰ διὰ τῶν φωνητικῶν ὀργάνων ἀάρθρως χηματιζόμενα ἀπηχήματα· ταυτὸν εἰπεῖν αἱ φωναί. Αὗται γάρ τοι καὶ ἀπονώτερον ἀποδίδονται. Καὶ πλήθει δὲ καὶ ποικιλίᾳ τῶν ἄλλων διαφέρεσι. Καὶ ἀδὲ τῇ νοερᾷ τάχες κατόπιν τῷ παντὶ ἀπολείπονται. Τέτο γὰρ δὴ χεδὸν ἁπάντων διὰ τὶ χρείαν σώφρομον ἀνθρώποις ἡ Φύσις παρέχετο τοῖς ἐν ψυχῇ τῶν τῇ σώματος, φωναῖς ἀάρθροις ἐκδηλῶν δύναθαι τὰ νοήμενα, καὶ ἃ κατὰ νῶν φέρεσι, ταῦτα σωνεκφέρειν ἑτοίμως τῷ ϛόματι. Σημεῖα δὲ ἐστὶ ταῦτα, ἐχὶ τῶν Φυσικῶν δηλονότι, οἷος ὁ καπνὸς ἐστὶ τῇ πυρὸς, τῶν δὲ κατὰ σιωθήκην, καὶ ἀπὸ βελῆς ἠρτημένων· καὶ τέτεγε ἕνεκα καὶ παντοίως κατὰ Ἔθνη καὶ Χώρας ποικιλλομένων, ἐξ' ἃ καὶ μέροπας τὲς ἀνθρώπες καταλλήλως ἦσαν ἡ ποίησις.

§. σβ'. Αἱ δὲ φωναὶ σημαντικαὶ τῶν ἐν τῇ ψυχῇ νοημάτων τυγχάνεσαι τὰ κατὰ τὲς Γραμματικὲς μέρη τῇ λόγε εἰσὶν,

(1) „Καὶ γὰρ νὴ δία πολλάκις ἐπι„μαδίασις, καὶ ἀποσιώπησις, ἐμφαντι„κώτερον ποιεῖ τὸν λόγον. Πλάτ. ἐν Πλατ. Ζητήμ. πρὸς ὃ φέρει καὶ τὸ ἐν ταῖς Παροιμ. Κεφ. ϛ'. περὶ τῇ ἄφρονος λεγόμενον „ἐννένευκε, ὀφθαλμῷ, σημαίνει δὲ ποδί, διδάσκει δὲ ἐν νεύμα„τι δακτύλων.

εἰσὶν, ὧν κυριώτατα ὄντα καὶ ἐμψυχώτατα τό, τε ὄνομα καὶ τὸ ῥῆμα (1), εἰκὸς καὶ τῇ κοινοτέρᾳ κλήσει περισημαίνεσθαι ὀνόματά γε, καὶ ἔπη ταῦτα πρὸ τῶν ἄλλων ἀκέοντα, καὶ τοῖς Διαλεκτικοῖς μόνα, ἐν χρήσει μάλιστα γίγνεσθαι, ὡς τὰ μὲν τῶν ὄντων, τὰ δὲ τῶν πραγμάτων, ἤτοι τῶν ἐπιθεωρεμένων τοῖς ἔστιν ἐνεργειῶν καὶ παθῶν δηλωτικά. (2).

§. σγ'. Καὶ ὄνομα μὲν ὥρισαι φωνὴ Σημαντικὴ κατὰ Σιωθήκιν, ἄνευ χρόνε, ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον· οἷον ἵππος. Σημεῖον δὲ καθίσαται μάλιστα τῶν κατὰ τὴν πρώτην ἐνέργειαν τὸ Νῦ (§. β'. γ'.) ἐννοημάτων, παρίστησί τε σημαντικῶς ἐκφερόμενον οὐσίαν, ἤτοι πρώτην, κύριον ὂν, οἷον Σωκράτης (πρὸς ὃ καὶ τὰς Ἀντωνυμίας (3) ἀνακλέον, ἐγὼ, σὺ, ἕτος, ἐκεῖνος· ἢ οὐσίαν δευτέραν εἰ τύχοι προσηγορικόν· οἷον ἄνθρωπος, ζῶον· ἢ τί τῶν ἐν τῇ οὐσίᾳ ἀναγκαίως προσὸν, οἷον διανοητικὸς, λογικὸς· ἢ τί τῶν περὶ τὴν οὐσίαν ἐνδεχομένως περιὸν, οἷον μέγας, ἐπιστήμων, ἐὰν ᾖ ἐπίθετον.

§. σδ'. „Ῥῆμα δὲ ὥρισαι τὸ προσσημαῖνον χρόνον, ἧ μέρος „ἐδὲν σημαίνει χωρὶς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρε λεγομένων „σημεῖον

(1) Πλάτων ἔπε τὸν λόγον ἐξ ὀνομάτων καὶ ῥημάτων κεράννυσθαι. (τῶν γὰρ ὀκτὼ τῆ λόγε μερῶν ἅπερ ὅμηρος νεανιευσάμενος εἰς στίχον ἐνέβαλε πάντα τῆτον.

„Αὐτὸς ἰὼν κλισίηνδε τὸ σὸν γέρας ὄφρ' εὖ εἰδῆς. δοκεῖ πάντα, πλὴν δυοῖν τάτων (ἤτοι ὀνόμ. καὶ ῥήμ.) μηδὲν. Πλάτ. Αὐτ.

(2) „Ἐπεὶ τοίνυν τῷ μὲν ῥήματι „τὰ πράγματα (τατέστι τὰς ἐνεργείας „καὶ τὰ πάθη) τῷ δὲ ὀνόματι τὰς „πράττοντας αὐτὰ καὶ πάσχοντας ἀπο„χρώντως δηλῶμεν (ὡς ὁ Πλάτων ἄρη„κεν) ταῦτα σημαίναν ἔδοξε· τὰ δὲ „ἄμα φαίητις ἂν ἃ σημαίνειν . . . ἃ „γὰρ ἐπ τάτων ὁ λόγος, ἀλλ' ἅπερ „ὧρα διὰ τάτων, καὶ ἐκ ἄνευ τάτων „κεράννυσθαι πέφυκεν. Οὐ γὰρ ὥσπερ „ὁ τὸ τύπειν φθεγξάμενος, ἢ τὸ τύπτεσθαι, καὶ πάλιν τὸ Σωκράτης, ἢ „τὸ Πυθαγόρας, ἀμωσγέπως νοῆσαι τι „καὶ διανοηθῆναι παρέχηκεν, ἄτω τὰ „μὲν, ἢ γὰρ, ἢ περὶ, καθ' αὐτὸ ἐκ„φωνηθέντος, ἔστιν ἔννοιάν τινα λαβεῖν „ἢ πράγματος, ἢ σώματος . . . Ὅθεν „εἰκότως ἔνιοι μόνα ταῦτα μέρη τῆ λό„γε τίθενται. Καὶ ὅμηρος ἴσως τῆτο „βάλεται δηλῶν ἑκάστοτε λέγων,

„Ἔπος τ' ἔφατ' ἔκτ' ὀνόμαζεν.

„ἔπος γὰρ τὸ ῥῆμα καλεῖν ἄωθεν . . . Πλάτ. αὐτόθι.

(3) „Καὶ μὴν τῶν γε λοιπῶν, ἡ „μὲν Ἀντωνυμία περιφανῶς γένος ὀνό„ματος ἐστίν· ἔχ ἧ πλώσεως μετέχει „μόνον, ἀλλὰ καὶ τῷ κυριωτάτην ἅμα „τῇ φύσει ποιεῖν δεῖξιν ἐννοίας ἐπὶ τῶν „ὡρισμένων ἐπιφερομένης. Καὶ ἐκ „οἷ' ὅ, τι μᾶλλον ὁ Σωκράτην φθεγ„ξάμενος, ἢ ὁ τᾶτον εἰπὼν, ὀνόματί „πρόσωπον δεδήλωκεν. Αὐτ. Αὐτ.

„σημεῖον (1)· οἷον τρέχει. Σημαντικὸν τοίνυν ὂν ἀείτινος ἀποφάνσεως, προσαπτικόντε ταύτῃ γινόμενον, ἤτοι ἐνεργείας, ἢ πάθους, ἢ ποιᾶς ἄλλης διαθέσεως, ἐπεὶ καὶ προσώπων ἐστὶ διακριτικὸν, ὑπονοεῖν ἀείτι παρέχεται (κἂν μὴ ἀεὶ τοῦτο ἐνεργείᾳ ἐκφέροιτο) ὅτῳ προσήκει τὸ προσαπτόμενον, καὶ τῆς κατὰ κρίσιν οὕτως ἐνεργείας τοῦ Νοῦ καθ' ἑαυτὸ γίνεται ἐκφαντορικὸν· οἷον λέγω, ἀκούεις· ἐκεῖνο γὰρ τὴν τοῦ λέγειν ἐνέργειαν σαφῶς ἐμοὶ

(1) Ποικίλητις ἀκριβῶς σκοποῦντι ἡ περιοῦσα τῷ ῥήματι ἀναφαίνεται δύναμις. Δι' αὐτοῦ γὰρ πρώτιστα ὑποκειμένῳ τινὶ προσώπῳ, ἢ πράγματι, τὸ προσῆκον ἀποδίδοται, ἡμῶν οὕτω δηλονότι κρινόντων. Ὥστε πρῶτον εἶναι τῷ ῥήματι, καὶ οὐσιωδέστατον τὸ κατάφασιν δηλοῦν· οἷον νοῶ, θέλεις. Ἡ γὰρ ἀποφατικὴ δύναμις ἐπείσακτος αὐτῷ, ἐκ τοῦ ἐπιφερομένου ἀρνητικοῦ, ἢ στερητικοῦ ἐπιῤῥήματος· οὐ βούλομαι, ἀγνοῶ. Ἐπειδὴ δὲ τὸ προσῆκον, τινὶ δήπου, ἢ τισὶ προσήκειν νοεῖται, καὶ τὸ καταφασκόμενον κατά τινος, ἢ τινῶν καταφάσκεται, καὶ ποτὲ πάντως· ἤτοι γὰρ νῦν, ἢ πρότερον, ἢ εἰσέπειτα· ἔστι δὲ, οὐδὲ τὸ καταφασκόμενον ἀεὶ τῆς αὐτῆς ἰδέας, ἄλλοτε δ' ἄλλο· οἷον ἐνέργειά τις, ἢ πάθος, ἤτι τούτων ἕτερον· ἐντεῦθεν καὶ πρόσωπον τῷ ῥήματι συμπαρέπεται προσσημαινόμενον. Καὶ ἀριθμὸς δὲ, καὶ χρόνος παρακολουθεῖ. Καὶ ἐνεργητικὸν ἀκούει, καὶ παθητικὸν, καὶ οὐδέτερον. Ταῦτα μέν τοι δεύτερα πάντα ἐστὶ, καὶ οἷον ἐπουσιώδη, ἅτε δὴ τῷ λόγῳ τοῦ πρώτου, ἥ τις ἐστὶν ἡ ἐν καταφάσει κρίσις, αὐτῷ παρασυμβαίνοντα. Ὁμοίως δὲ κἂν ταῖς ἐγκλίσεσι συνεμφαίνεταί τι πάθημα ψυχῆς ἄλλο τῇ δυνάμει τοῦ ῥήματος. Ἐπιτάσσομεν γὰρ δι' αὐτοῦ, ἢ ἐπιτρέπομεν, ἢ εὐχόμεθα· σίγα, λεγέτω, ἰδοιμίσε· ἃ τοῦ βουλητικοῦ τινα ἐνδείκνυσι ῥοπὴν· ἢ ἐν ὑποθέσει φθεγγόμεθα, ἤν σε λάβω. Ὅπερ ὑποδισταζούσης ἐστὶ ψυχῆς ἔλεγχος. Ἀλλὰ καὶ ταῦτα ἔξωθέν πως ἐπιδέχεται τὸ ῥῆμα, ἐν μόνῃ τῇ διὰ κρίσεως ἀποφάνσει οὐσιωδῶς γνωριζόμενον.

Ὁ μὲν οὖν τὴν Τέχνην τοῦ νοεῖν συγγράψας (ἐν Μέρ. Β'. Κεφ. β'.) ὀρθῶς καί τοι τὰ ἄλλα περὶ τοῦ ῥήματος φιλοσοφῶν, Βουξτορφίῳ μὲν, καὶ Σκαλλιγέρῳ, καὶ τοῖς ἄλλοις, εὐλόγως μοι δοκεῖ ἐπιμέμφεσθαι· Τῷ μὲν, „ἐν τῷ „κλιτῷ τῆς φωνῆς μετὰ χρόνου τε, καὶ „προσώπου· τῷ δὲ, ἐν τῷ ῥέοντι, καὶ „μὴ μονίμῳ τῆς σημασίας· τοῖς δὲ, ἐν τῷ ἐνεργείας, ἢ πάθους εἶναι σημαντικῷ, τὴν οὐσίαν οὐκ ὀρθῶς ἀναθεμένοις τοῦ ῥήματος. Οὐκέτι δὲ εὔλογον αὐτοῦ, ὅτι καὶ τὸν Ἀριστοτέλην, τοῖς ἀτελῶς περὶ τούτου ἀποφηναμένοις συνήλασεν, ὡς δῆθεν ἐκ τῆς σημασίας τοῦ χρόνου, καὶ αὐτὸν τὸ ῥῆμα γνωρίσαντα. Τὸ γὰρ οὐσιῶδες, τοῦ ἐν τῷ ῥήματι ἐπουσιώδους, καλῶς ὁ Σταγειρίτης ἀντιδιέστειλε. Καὶ τὸ μὲν εἶναι ἀπεφήνατο, ὅτι κατάφασιν σημαίνει „(Καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγο„μένων ΣΗΜΕΙΟΝ). τὸ δ' ὅτι, πρὸς τῇ καταφάσει καὶ χρόνον „(τὸ „ΠΡΟΣΣΗΜΑΙΝΟΝ χρόνον). καὶ χρόνου διαφορὰς, καθ' ἃς οὐδὲ ῥήματα, ῥήματος δὲ πτώσεις καλεῖν ἠξίωσεν. ὥστε εἶναι λαβεῖν οὐσιῶδες μὲν τῷ ῥήματι τὴν τῆς καταφάσεως σημασίαν, ἐπουσιῶδες δὲ τὴν τοῦ χρόνου, καὶ τῶν ἄλλων προσσημασίαν, ἃ πρὸς τῷ πρώτῳ δευτεράπως ἐπισυμβαίνοντα, οὐ σημαίνεται αὐτῷ, κατ' ἐκεῖνο καὶ ταῦτα, προσσημαίνεται δέ. (ὅρα περὶ Ἑρμην. Κεφ. γ'.)

ἐμοὶ προσανέθετο· τοῦτο δὲ τιὼ ἐκ τοῦ ἀκόειν ἐμποιεμένιω σοὶ προσανῆψε διάθεσιν. Εἰ δὲ ἀνεπιυγμενώς αὐτῷ καὶ τὸ δεκτικὸν συνεκφέροιτο, ἐξειλικταίπως καὶ τὰ τοῦ ῥήματος τιωικαῦτα, καὶ δι' αὐτοῦ παραπεφάνθη ἁπλῶς τὸ ἐκείνω διὰ τῆς ἀποφάνσεως προσανατεθέν· οἷον ὁ Σωκράτης φιλοσοφεῖ. Διό μοι καλῶς ἔχειν δοκεῖ, τὸ μὲν ὄνομα ἀπεικάσαντα Θεμελίω, τὸ δὲ ῥῆμα τῷ ἐποικοδομήματι· ἐκεῖνο μὲν λέγειν σημαντικὸν ὑποτάσεως, ἢ ἐνυποτάσεως, ἢ παρυποτάσεως· τοῦτο δὲ κατηγορήσεως.

§. σέ. Ἐντεῦθεν ἓν τὸ μὲν ὄνομα, ὑποκείμενον παρὰ τοῖς Διαλεκτικοῖς ὀρθῶς ἐκλήθη, καθ' ἔτι λέγεται· τὸ δὲ ῥῆμα κατηγορέμενον· τὸ κατ' ἐκείνε δηλονότι ἀγορεύομενον, ἤτοι λεγόμενον. Ἐθέλει γὰρ ἀεὶ τὸ ῥῆμα τῶν καθ' ἑτέρε λεγομένων εἶναι σημεῖον. Καὶ τοῦτο καὶ Ἀριστοτέλει δοκεῖ (1). Κἂν ποτε τὸ μὲν ῥῆμα ὑποκείμενον εἶναι ταχθῇ, εἰς κατηγορέμενον δὲ μεταληφθῇ τὄνομα· (οἷον εἰ λέγοιτις ὅτι τὸ περιπατεῖν ἐστὶν ὑγιεινὸν, καὶ τὰ παραπλήσια). Θάτερον, ὥσπερ τιὼ τάξιν, ἕτω καὶ τιὼ ἐπωνυμίαν ἐπιδέξεται τιὼ Θατέρε. Καὶ ἔσαι μὲν ἕτως ὄνομα τὸ κατὰ Γραμματικὸς ῥῆμα, ἔσαι δὲ ῥῆμα τοῖς Διαλεκτικοῖς τὸ κατ' ἐκείνες ὄνομα (2).

§. σς'. Τιὼ μὲν τῶ ὑποκειμένω, ὡς εἴρηται, τὄνομα, τιὼ δὲ τῶ κατηγορεμένω, τὸ ῥῆμα ἔχοντε τάξιν, κοινῇ κλήσει Φάσις καλεῖσθον· τὸ δ' ἐξ αὐτῶν Κατάφασις, ἢ Ἀπόφασις, ὁ πρώτως ἀληθείας, ἢ ψεύδες λόγος ὢν ἐξαγγελτικός. Ὃν καὶ Πρότασιν ἐκάλεσαν, καὶ Ἀξίωμα (3). Ἐκείνω δὲ ἢ Ὁρω, καὶ Ἄκρω, καὶ Πέρατε τῆς Προτάσεως, ὡς ἑκατέροθεν αὐτιὼ περατοῦντε, καὶ ὁρίζοντε· οἷον ὁ ἄνθρωπος ἐστὶ λογικὸς· τὸ πῦρ θερμαίνει (4).

(1) „Ῥῆμα γὰρ παρὰ τῷ Ἀριστοτέλει λεγόμενον εὑρήσεις καὶ πᾶσαν φωνὴν, κατηγορέμενον ἐν προτάσει ποιοῦσαν. Ἀμμ. εἰς τὸ περὶ Ἑρμην.

(2) Πάντα ὁ Ἀρις. εἰς ὀνόματα διαιρεῖ καὶ ῥήματα. τὰ μὲν κατὰ χρόνον λεγόμενα, ἢ κατηγορέμενα ἐν ταῖς προτάσεσι, ῥήματα καλῶν, τὰ δὲ ἄνευ χρόνε λεγόμενα, ἢ τὴν χρᾶν ἂν πληροῦντα τοῦ ὑποκειμένε ὀνόματα. Αὐτ. Αὐτ.

(3) „Λόγον γὰρ οἱ παλαιοὶ τὴν τότε καλεμένην πρότασιν, νῦν δὲ ἀξίωμα προσηγόρευον, ὃ πρῶτον λέγοντες ἀληθεύεσιν, ἢ ψεύδονται. Πλέτ. ἐν Πλατ. Ζητήμ.

(4) „Ἁπλῆ φωνὴ, καὶ ὄνομα, καὶ ῥῆμα, καὶ φάσις, καὶ ὅρος, τῷ μὲν ὑποκαμένῳ τ. υτά ἐστιν ἀλλήλοις, τῇ δὲ

§. σζ'. Ποικίλας δέ τινας οἱ ὅροι ἐπιδέχονται τὰς διαιρέσεις. Ὁ μὲν γὰρ ὅρος ἐστὶν ἁπλῆς, ὁ ἐν μιᾷ φωνῇ πρώτης ἐννοίας τυγχάνων σημαντικός. οἷον εἰ ἄνθρωπον εἴποις, γραμμήν, δικαιοσύνην. ὁ δὲ συμπεπλεγμένος, ἢ σύνθετος, οἷον τὸ λογικὸν ζῶον, τὸ ἐφ' ᾧ διαστατόν, ἢ περὶ τὰς διανομὰς Ἰσότης. Καὶ ἁπλῶς ἐφ' οἷς μετάτινος, ἢ τινῶν προσεπιτιθεμένων ὑποκειμένοις, ἢ περὶ αὐτὰ οἷον ἀνήρτηται καὶ ἐπέχεται κρίσις. ἔλεγχος δὲ τῆς κατὰ τὸν ὅρον συμπλοκῆς ἔστω, τὸ κατ' αὐτὸ ὁλικῶς λεγόμενον, μὴ καὶ καθ' ἑκάστων τῶν ἐν αὐτῷ ἁπλουστέρων λέγεσθαι. Ὁ γὰρ γεννήσας πατήρ, καὶ ὁ γεννηθεὶς υἱός, καί τοι δοκοῦντες, ἐμοὶ κυρίως ὅροι συμπεπλεγμένοι εἰσί.

§. σή. Καὶ τῶν ὅρων πάλιν οἱ μὲν εἰσὶ Θετικοὶ, οἱ σημαίνοντες τὸ νοούμενον, οἷον ἄνθρωπος. Οἱ δὲ στερητικοὶ, οἱ ἀπουσίαν ἕξεως, ἢ δυνάμεως, ἢ ἄλλης ἐποφειλομένης τινὸς διαθέσεως, ἀπὸ τῆς δεκτικῆς ἐμφαίνοντες, ἢ καὶ φωνῇ καὶ σημασίᾳ, οἷον ἀόμματος· ἢ μόνῃ τῇ σημασίᾳ οἷον τυφλὸς· ἢ φωνῇ μόνῃ, Θετικοὶ ὄντες πράγματι· οἷον ἀθάνατος, ἀναμάρτητος. Διὰ γὰρ τῶν τοιούτων κυρίως στερήσεις δηλοῦνται στερήσεων. Εἰσὶ δὲ καὶ ὅροι ἀόριστοι λεγόμενοι, οἱ παρὰ τὸ διὰ τῆς μορίου ἀποκλειόμενον, πάντα, καὶ ὄντα καὶ μὴ ὄντα νοεῖν παρεχόμενοι, οἷον ἢ ἄνθρωπος, τὸ μὴ ξύλον (1).

§. σθ'. Ἔτι ἔστιν ὅρος ἐσιαστικὸς οἷον ὁ Ἀήρ. Καὶ ἐπίθετος, ἅπερ ἐφ' ἑνὶ τῶν κατὰ συμβεβηκὸς ἐννέα γενῶν (§. ροβ'. ρογ'.) τὸ σημαινόμενον ἐπαναγέται· οἷον ὁ μανὸς, ὁ πολὺς κξ'. Καὶ ὅρος Ἀφῃρημένος, οἷον ἡ μελανία. Καὶ Συγκεκριμένος, οἷον ὁ μέλας. Καὶ Κατηγορηματικὸς, ὁ ἀφ' ἑαυτῆτι δηλῶν. Καὶ Συγκατηγορηματικὸς, ὁ σὺν ἄλλῳ· οἷον πᾶς, ἑδεὶς, τὶς, ἃ πᾶς·

„δὲ χέσει μόνῃ διαφέροντα . . . Ἁ-
„πλᾶς μὲν γὰρ φωνὰς ὀνομάζομεν αὐ-
„τὰς, ὡς σημαντικὰς τῶν πραγμάτων
„. . . . ὅταν δὲ διπλόην τινὰ ἐν αὐταῖς
„θεασάμενοι, καὶ τὰς μὲν αὐτῶν ἄρ-
„θροις συντιθεμένας εὑρίσκοντες, τὰς
„δὲ ἕ, διαιροῦμεν αὐτὰς ἀπ' ἀλλήλων,
„καὶ τὰς μὲν ὀνόματα καλοῦμεν, τὰς
„δὲ ῥήματα . . . Ὅταν δ' αὖ πάλιν
„ἑκατέραν ὡς μέρος ἓν καταφάσεως,
„ἢ ἀποφάσεως, φάσιν καλεῖν ἀξιοῦμεν
„. . . Ὅταν δ' ἐν συλλογισμῷ παρα-
„λαμβανομένας ἐπισκοπῶμεν, ὅρους
„αὐτὰς ὀνομάζομεν. Ἀμμ. εἰς τὸ πε-
ρὶ Ἑρμην.

(1) Ἀλλ' ἔστω ὄνομα ἀόριστον, ὅτι
„ὁμοίως ἐφ' ὁτιοῦν ὑπάρχει καὶ ὄντος,
„καὶ μὴ ὄντος. (Ἀριστ. περὶ Ἑρμην.)
„Ἐν γὰρ ἀναιρῶν τὸ ὑπὸ τῆς ὡρισμένε
„δηλούμενον, τοῖς παρ' αὐτὸ πᾶσιν
„ἐφαρμόζει. (Ἀμμ. ἐνταῦθα.)

πᾶς· οἱ δὲ κυρίως ὅροι εἰσὶ, προσδιορισμοὶ δὲ καλῶνται, ὡς ἄρα, οἷοιτε καὶ ἡλίκοι τυγχάνουσιν, οἱ συμπαραλαμβανόμενοι αὐτοῖς ὅροι, προσδιορίζοντες. Διὸ καὶ τῶν ὅρων οἱ μὲν σιὼ αὐτοῖς προσδιωρισμένοι, οἱ δ' ἄνευ ἀπροσδιόριστοι. Συγκατηγορηματικὰς δὲ ὄρους, καὶ τὰς πλαγίας τῶν πτώσεων ἀποκαλεῖν, ἴσως ἐκ ἄλογον.

§. σί. Ἔτι καὶ μερικὸς ὅρος ἐστὶν ἐχ ὡρισμένως· οἷον ἄνθρωπός τις. Καὶ ὡρισμένως, ἤτοι ἀτομικῶς, οἷον ἕτος ὁ ἄνθρωπος, ὁ Σωκράτης. Καὶ Περιληπτικὸς, οἷον τὸ ἓξ, ὁ τρατός. Καὶ Διανεμητικὸς ὁ πολλὰ μὲν ἅμα σημαίνων, καὶ τέτων ἐχ ἧττον ἕκαστον. Ταῦτα δὲ, ἤτοι τῇ αὐτῇ κατ' ἐσίαν λόγῳ μετέχοντα, ὥσπερ καὶ τῇ ὀνόματος, καὶ καλεῖται Συνώνυμος, οἷον ἄνθρωπος. Καὶ γὰρ καὶ Σωκράτης, καὶ Πλάτων, καὶ οἱ λοιποὶ ἐξ ἴσε, καὶ πρᾶγμα καὶ ὄνομα. ἢ γᾶν τινὶ ἐσίαν, ἐν ψιλῇ τῇ τῇ ὀνόματος κοινωνίᾳ, διαφέροντα· καὶ λέγεται Ὁμώνυμος· οἷον ἄνθρωπος ὅ, τε ζῶν, καὶ ὁ ἐν εἰκόνι. Ἢ τέως καί τινα ὁμοιότητα κατὰ τὸν τῇ εἶναι λόγον διασώζοντα· καὶ ὅρος ἀκέει Ἀνάλογος. οἷον Βασιλεὺς ἐν μὲν πτηνοῖς Ἀετὸς, ἐν ἀνθρώποις δὲ, ὃν ὁ Θεὸς ἐβασίλευσε. Καὶ ὑγιεινὸν, καὶ τὸ φάρμακον, καὶ ὁ ἀὴρ, καὶ τὸ ἔρον. Ἀ καὶ ἀφ' ἑνὸς, καὶ προς ἓν ἔχειν εἴρηται τινὶ προσηγορίαν· οἷον ἀπὸ τῆς ὑγιείας ἅπαντα, καὶ πρὸς τινὶ ὑγίειαν. Ἐνταῦθα δὲ ἀναγέθωσαν, καὶ τῶν ὅρων ὅσοι ἐκ μεταφορᾶς σημαίνειν ἔλαχον, οἷον νηὸς ἰώιοχος, ὁ ναύτης (1). Τέτων ἓν μόνος ὁ Συνώνυμος Καθόλε ἀκέει, καὶ ἐπὶ τὲς πέντε ἐκείνες (§. μέ. κξ'.) τῶν ἐννοιῶν λόγες διανέμεται.

§. σιά. Ἔτι καὶ ὅρος ἐσὶ Παρώνυμος, ὁ ἀπότινος ἑτέρε κατὰ διαφορὰν χήματος παραγόμενος· οἷον Ἀθανάσιος ἀπὸ τῆς Ἀθανασίας. Καὶ οἱ Συγκεκριμένοι δὲ ἀπὸ τῶν Ἀφῃρημένων (§. σθ'.) ἅπαντες. Καὶ ὁ πρὸς ἄλλον Ἑτερώνυμος, ἐν οἷς περὶ τὸ αὐτὸ ὑποκείμενον, διαφέρει χέσει τὸ ὄνομα. οἷον ἀνάβασις, καὶ κατάβασις. Καὶ ὁ πρὸς ἄλλον Ἕτερος, ἔνθα τὰ σημανό-

(1) Μεταφορὰ γὰρ ἐσὶν ὅταν ἀπὸ τῇ κυρίως δηλεμένε ἐφ' ἕτερόν τις τὸ ὄνομα μεταφέρῃ, μετὰ τῆς ἀμφοῖν ἀναλόγε ὁμοιότητος· ἤτοι ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον ἄτις ποιμένα λαῶν ἅπτοι τὸν βασιλέα. ἢ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, ὑπαὶ πόδα νέατον Ἴδης. ἢ ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, σιδήρεον ἦτορ. ἢ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, σπέρμα πυρός.

μαινόμενα, καὶ ὄνομα, καὶ λόγον ἕτερον ἐπιδέχεται. οἷον ἵππος, καὶ ἐπιστήμη. Ἐφ' οἷς καὶ ὅροι οἱ κατὰ Γραμματικὴν συνώνυμοι, εἴτ' ἂν Ἰσοδύναμοι, ὡς ἐπὶ τῶν πολυωνύμων Ἄορ, ξίφος· καὶ οἱ Μετωνυμικοὶ, ὡς ὅτε Δημήτερα μὲν τὴν γῆν καλοῦσιν, Ἥφαιστον δὲ τὸ πῦρ. Καὶ ὅρος δὲ καλείσθω ξηρὸς ὁ τὸ αὐτὸ ἀεὶ ἔνθα ἂν προτεθείη σημαίνων· οἷον ἐγὼ, σύ. Καὶ ὅρος ἀσαρκῶν, ὁ μὴ ἀεὶ τὸ αὐτὸ, ἄλλοτε δ' ἄλλο· οἷον πνεῦμα καὶ ὁ ἀὴρ, καὶ τὸ ἐν ἡμῖν ζωτικὸν, καὶ πᾶσα ἄϋλος Φύσις. Καὶ Κόσμος τὸ πᾶν, καὶ ἡ τάξις, καὶ τὸ ἀνθρώπινον. Φανερὸν δ' ὅτι ἀσαρκοῦντες εἰσὶ καὶ οἱ ὁμώνυμοι, καὶ οἱ ἐξ ἀναλογίας, καὶ οἱ κατὰ μεταφορὰν (§. σί.) πάντες.

§. σιβ'. Ἔτι καὶ ὅρος Κατηγορικὸς, ὁ πρὸς μίαν τινὰ τῶν Κατηγοριῶν ἀνάγων τὸ δηλούμενον· οἷον ἄνθρωπος μὲν ἐπὶ τὴν οὐσίαν, ὕπνος δὲ ἐπὶ τὸ κεῖσθαι. Καὶ Διαβατικὸς, ὁ διὰ πάντων τῶν Γενῶν τοῦ ὄντος, ἢ τῶν πλειόνων διήκων, οἷον τὸ ὄν, τὸ τὶ, τ' ἀληθὲς, τ' ἀγαθὸν, τὸ ὑπάρχον, τὸ συνυπάρχον. Καὶ Ἀπόλυτος ἓ τὸ σημαινόμενον ἐχὶ πρὸς ἕτερον ἀπονένευκε. Καὶ Σχετικὸς, ἓ πρὸς ἕτερον· οἷον πατὴρ, δοῦλος.

§. σιγ'. Τέως δὲ καὶ ὅρος πρώτης ἐπινοίας, ὁ σημαντικὸς τῶν νοημένων, ἢ καθ' ἑαυτὰ πέφυκεν, οἷον τὸ ἔμψυχον, τὸ τετράπουν. Καὶ δευτέρας ἐπινοίας, ὁ ταῦτα σημαίνων οἷαπερ ἡμῖν παρίσταται θεωρέμενα, καθ' ἃς αὐτοῖς λόγους προσναρμόζομεν. Οἷον εἰ τῶν εἰρημένων τὸ μὲν ὡς ὑποκείμενον προτάσεως ἀνασκέψαιτό τις, τὸ δ' ὡς κατηγορούμενον· ἢ ὡς γένος ὂν τοῦ παρὰ Γραμματικοῖς ἑκατέρου ἑκάτερον. ἢ τὸ μὲν ὡς τρισύλλαβον, τὸ δ' ὡς τετρασύλλαβον· καὶ τὰ ὅμοια. Καὶ ὅρος δὲ Ἡγούμενος ὁ ἕτερον συνεισάγων· οἷον τὸ ζῶον ὁ ἄνθρωπος. Καὶ Ἑπόμενος ὁ ἕτερον συναναιρῶν, οἷον τὸ ζῶον τὸν ἄνθρωπον. Καὶ Ἀντίστροφος ὁ συνεισάγων τε καὶ συνεισαγόμενος, καὶ συναναιρῶν, καὶ συναναιρούμενος, τὸν αὐτὸν καὶ ὑπὸ τοῦ αὐτοῦ· οἷον τὸ λογικὸν καὶ τὸ γελαστικόν. Καὶ διαιρέσεις μὲν τοῦ ὅρου τοσαίδε.

§. σιδ'. Ἐνταῦθα δὲ γνωμένοις καὶ περὶ δυνάμεως τῶν ὅρων ἔσιν ἃ διαληπτέον. Τούτων δὴ ἤτοι Φωνητικῶς, ἢ καὶ γραφικῶς ἐκκειμένων, διττῶς πως ἔχει πρὸς τὸν ἐννοηματικὸν ἕκαστος. τῇ μὲν γὰρ πρὸς τινὶ ἡγησαμένῳ τοῦ εἰπόντος, ἢ γράψαντος ἔννοιαν ἀφορᾷ, ἰδίως σημαντικῶς παρίσταται· τῇ δὲ πρὸς τινὶ ἑπομένῳ τοῦ τὸ εἰρημένον ἀκούσαντος, ἢ τὸ γεγραμμένον διελυθότος,

θότος, ἰῶ αἰτιωδῶς διεγείρει. Διὸ καὶ τῆς μὲν κυρίως σύμβολον ἐστὶ, τῆς δέτοι οἷον παραίτιος, σύμβολον δ' ἔ. Προϋποκεῖσθαι γὰρ ἐπάναγκες συμβόλε παντὸς τὸ συμβαλλόμενον, τῇ γᾶν ἐπινοίᾳ καὶ τελικῶς, εἰ μὴ πράγματι. Παραγεμιὼ τιὼ πρώτιω ἐκείνιω, καὶ χέσιν ἔτι ὁ ὄρος ἔχει πορρωτέρω τινὰ καὶ ἔμμεσον ἄλλιω, συμβολικιὼ δὲ καὶ ταύτιω πρὸς τὰ πράγματα. τὰ μὲν γὰρ πράγματα ἐξεικονίζεταίπως (§. γ'. σημ.) διὰ τῶν νοημάτων, τὰ δὲ νοήματα διασημαίνεται διὰ τῶν φωνῶν· καὶ γίνεται ἄρα καὶ τῆ εἰκονιζομένε σύμβολον, τὸ τῆς εἰκόνος.

§. σιέ. Ἐνθένδε δὴ καὶ τὸ παραίτισι ζητέμενον. Πότερον αἱ φωναὶ τὰ νοήματα σημαίνειν πεφύκασι πρότερον, ἢ τὰ νοέμενα; ῥᾶσα ἔχειν δοκεῖ τιὼ ἐπίλυσιν. Ἐπὶ μὲν γὰρ τῆ λέγοντος φανερὸν, ὡς ἐκεῖνα μὲν προηγεμένως, ταῦτα δὲ κατὰ τὸ ἀκόλθθον (1). Διὸ καὶ ἐὰν ἐκείνων διαφωνήσῃ, ψθόσεται εἰπὼν· ἐὰν δὲ τέτων, ψθδήσεται. Ἐπὶ δὲ τῆ ἀκροωμένε, κυρίως εἰπεῖν, ἑδέτερον. Ἡ γὰρ τέτω δι' ἀκοῆς προσπίπλσα ἔννοια, ἢκ ἄλλως, ἢ ὡς αἰτίας, τῆς ἐν τῷ ἀἰθητηρίῳ γενομένης πληγῆς ἐζήρτηται. Οὕτω δέτοι πρὸς τιὼ φωνιὼ τῆ εἰπόντος αἰτιατῶς ἔχσα, πρῶτον μὲν τοῖς νοητοῖς αὐτοῖς ἀντιληπτικῶς παραβάλλει, δεύτερον δὲ καὶ τοῖς ἐκείνε νοήμασι. Διὸ κἀκείνων μὲν διαφωνῆντα ἐψεῦθαι κρίνει, τέτων δὲ ψθόσαθαι.

§. σις'. Κατὰ τοίνιω τὰς τεθείσας διαφορὰς, ἡ τῶν ὅρων δυώαμις τριοσῶς θεωρείθω. Ἡ μὲν τῷ λέγοντι πρὸς τὰ νοήματα. Ἡ δὲ τῷ αὐτῷ πρὸς τὰ νοέμενα πράγματα. Ἡ δὲ τῷ ἀκροωμένῳ ἐπιθεωρεμένη πρός γε τὰ ὑπ' ἐκείνε λεγόμενα. Καὶ δυώαμις μὲν ὅρε ἡ πρώτη ἔσω, καθ' ἰὼ συμβολικῶς τὸ ἐν τῇ ψυχῇ κρυπτόμενον πάθημα, ἤτοι νόημα ἀμέσως δηλῆται. Ἡ δὲ δὴ δεύτερα, καθ' ἰὼ αὐτὰ τὰ πράγματα, διὰ νοημάτων μεσιτεύοντων, διασημαίνεται. Τρίτη δὲ, καθ' ἰὼ δι' ἀκοῆς, ἥπερ ἂν ἐνηχήσειε προφερόμενος, ἢ δι' ὁράσεως, ἰὼ ἂν ὁπλικῶς κινήσειε γράμμασι χαραττόμενος, ἔννοιά τις τῇ ψυχῇ τῆ ἐντυγχάνοντος, αἰτιωδῶς διεγείρεται. Μηδὲν δὲ διαφερέτω ἔννοιαν ἐνταῦθα ἐκλαβέσθαι, εἴτε τιὼ πρώτιω δι' ἁ-

(1) „Τάτε ὀνόματα σύμβολα ὄν- „τα τῶν νοημάτων κατὰ τὸ προηγέμε- „νον, κατ' ἐπακολέθημα δὲ καὶ τῶν „ὑποκαμένων. Στρωματ. Βιβ. ή.

πλῆς φάσεως, εἴτε καὶ τλιὺ κατὰ συνθεσιν, ἢ διαίρεσιν, περὶ ἧς ὕστερον.

§. σιζ'. Δυναμένῳ δὲ τριαχῶς ἔτω τὸ ὄρος, κατὰ μὲν τλιὺ πρώτλιν τῶν Δυνάμεων σημειωτέον, Α'. ὡς ἐπὶ τῶν ἀδυνάτων, ἐδὲ οἱ ὅροι δυναμικοὶ· ἐκείνων γὰρ, κυρίως εἰπεῖν, ἐδὲ ἔννοιαι εἰσίν (§. μθ'.). Ὅθεν δὴ τὸ δίγωνον ἀδύγραμμον χῆμα, καὶ τὸ Ἰσόπλευρον ὀρθογώνιον τρίγωνον, ὅροι παραπλήσιοι τῷ ἕλίτυρι, καὶ τῷ σκινδαψος εἰσὶ, μηδεμίαν εἰς τὸ σημαίνειν δυνάμιν ἔχοντες. Β'. Ἐπὶ τῶν προσοχῆς ἄνθ, τῆς ἐπὶ τοῖς λεγομένοις, φθεγγομένων, καὶ τῶν κατὰ φωνλιὺ, ἧς ἐκ ἐπαίασιν, εἰκῇ λεξιζόντων, ναὶ μλιὺ καὶ τῶν ἄλλως ἐξ ἀπαιδευσίας ἀκυρολεκτέντων, οἱ ὅροι ἀειδεῖς τε εἰσὶ, καὶ διάκενοι (1). Γ'. Προσέχοντι δὲ τῇ φωνῇ ἧς ἴδρυς ὧν κέχρηται, ἐ πρώτας ἐπιβολαῖς, οἱ ὅροι πλήρεις τε εἰσὶ, καὶ ἐκ ἐκπεπλωκότες τὸ δυνάσθαι· Κἂν ἄλλως τύχοι παραπαίοντις καὶ παραφθεγγόμενος· λέγεσι γὰρ καὶ ἔτοι, γνωσικῶς διηγάνοντες, ὧν ἂν λέγωσι. Δ'. Κατὰ τὰς ἐ συνθέσεις, ἢ διαιρέσεις ἐννοίας, ἢ τοιαύτας· Φιλαληθοῦντι μὲν, καὶ ἔτω πλήρεις οἱ ὅροι· ἐθελοψευδῆντι δὲ, τετέξι, παρ' ὃ πέπεισμαι ἀποφαινομένῳ, ἀργοίτε, καὶ ἀμενλιυοί.

§. σιή. Κατὰ δὲ τλιὺ Δυνάμιν τλιὺ Δευτέραν Α'. ἐπὶ τῶν ἀνυπάρκλων ὁ ὅρος ἀργεῖ· οἷον εἰ φαίητις, ὅτι παρὰ τὸν ὑφεξῶτα καὶ Κόσμος ἕτερος· τοιῆτοι δήπε καὶ οἱ ὅροι τύχη, αὐτόματον, πεπρωμένη, καὶ οἱ παραπλήσιοι, ὧν ἄνθρωποι, κατὰ Δημόκριτον (2) εἴδωλα πλάσαντο πρόφασιν ἰδίης ἀγνοίης. Β'. Ἐπὶ τῶν κατ' ἀφαίρεσιν νοσμένων ἡμιτελής πως ἐσὶν, οἷον ἀνθρωπότης· τὸ γὰρ ἐν τοῖς ἔσιν, ἐχ ὡς ἐσὶν ἐδήλωσε, καθ' αὑτὸ οἷον ἔησας, ἥπερ ἐ πέφυκε. Καὶκεῖνοι δὲ, Φύσις, καὶ ἐσία, καὶ ὕλη, καὶ εἶδος παρὰ τὸ ἐκ τῆς ἀφαιρέσεως ἡμιτελὲς πολλιύ τινα τῇ διανοίᾳ ἐπιχέσι καὶ τλιὺ ἐκ τῆς ἀσαφείας ἀχλιῶ. Τέτοις συγκαταλεγέθωσαν, καὶ οἱ τῶν ἀδήλων καλυμένων ποιοτήτων σημαντικοί. Συμπάθεια, Ἀντιπάθεια, Ἕλξις, Ἀπόκρυσις, Ἀντιπερίσασις, Ἐντελέχεια, ὧν καὶ τὸ κοινὸν ἐπώνυμον,

(1) „Ταύτη τοι καὶ Διονύσιον τὸν „τὰ ὀρνιθιακὰ συγγράψαι λεγόμε„νον, διὰ λέξεως ἀκυρολογίαν ἐπεκά„λεσεν διάκενον. Εὐσάθ. ἐν Προοιμ. τῶν Παρεκβολῶν εἰς Διονύσιον τὸν Περιηγ.

(2) Παρ' Εὐσεβ. Εὐαγγελ. Προπαρα. Βιβλ. ιδ'. Κεφ. κζ'.

μον, τῆς ἀδυναμίας σαφὲς τεκμήριον. ὁ γὰρ ἀδήλως λέγων, μὴ εἰδέναι ὃ λέγει ὁμολογεῖ (1). Γ'. Ἐπὶ τῶν Οὐσιῶν ἀσαφὴς· ἐσίας γὰρ ἀκριβῶς ἄψαιτ' ἂν ὅρος ἐδέ ποτ' ἐδείς. Δ'. Εἰδέ ποτε καὶ τὰ τῶν ἐσιῶν γνωρίσματα προσκαταλεχθείη, καὶ ἔτως ἀτελὴς ὁ ὅρος τὰ πολλά, ἐπεὶ τὰ πλεῖστα ἐπὶ τῶν πλειόνων ἡμᾶς διαφεύγει λανθάνοντα. Ε'. Ἐπὶ τῶν ποιοτήτων συγκεχυμένος πολλάκις, ἅτε δὴ τῷ πάθει σιωπῶν εἰς ταυτὸ τιὼ δυάμιν ὑφ' ἧς παθαινόμεθα, οἷον τῇ κατὰ τιὼ αἴθησιν ὀδύνῃ, τιὼ ὀδυνοποιὸν δυάμιν, καὶ τῇ θερμότητι τιὼ θερμοποιόν. ς'. Ἐπὶ τῶν δεκτικῶν ἐπιτάσεως καὶ ὑφέσεως, ἀξάθμητος, ὡς ἐδὲν μέτρον αὐτοῖς τεταγμένον προσάγειν οἷός τε ὤν. Εὑρηται μὲν γὰρ εἰς τιὼ τότε θεραπείαν τὰ ἐπιῤῥήματα οἷον τὸ μᾶλλον, τὸ ἧττον, τὸ λίαν, τὸ ἡρέμα, καὶ τ' ἄλλα, οἷς ἐπιτείνειν τε καὶ ἀνιέναι εἰώθαμεν τὰ λεγόμενα, ἀλλὰ καὶ ταῦτα ἔτι καὶ καθ' ἑαυτὰ ἀορισταίνοντα, ἐκείνοις ὅρον κομιδῇ θέσθαι ἐχ οἷά τε.

§. σιθ'. Κατὰ δὲ τιὼ Τρίτιω Δυάμιν ὁ ὅρος αἰτιωδῶς ἔχων (§. σιέ. σις'.) ἡμῖν οἷς περ ἐπιδρᾷ (τῷθ' ὃ παντὶ αἰτίῳ παρασυμβαίνει) συμμεταβάλλει, καὶ συμμετατίθεται. Οὐ γὰρ ἅπασιν ὅσοις ἂν ὑπηχήσειαν αἱ φωναὶ, φέρ' εἰπεῖν Θεὸς, κόσμος, φύσις, τὸ δίκαιον, τὸ ὅσιον, τὸ καθῆκον, κτ. τιὼ αὐτιὼ ἐξ ἴσε ἐμποιήσουσιν ἔννοιαν. Ἑκάστῳ δὲ, ὡς εἰκὸς, τοιαύτιω, ἥπερ ἂν λαχὼν εἴη, καὶ ἐπιβολῆς, καὶ μαθήσεως, καὶ ἀγωγῆς, ἢ μικρῷ διαφέρεσαν. Καὶ τὰ τοῖς ἄλλοις δέ τις ἀκέσας ἐπισκήπτοντα πάθη· οἷον ἔρωτος μανίαν, καὶ λαγνείας οἶστρον, καὶ βάρος συμφορᾶς, καὶ πτώσεως μέγεθος· καὶ τὰ ὅπως ἄλλως ἐπισυμβαίνοντα, ἐκ τῶν κατ' αὐτὸν, τὰς παραπλησίας ἴσως διὰ τέτων ἐγγενέσθαι διαθέσεις τοῖς πεπονθόσιν ἡγήσεται· ἐλλιπῶς γεμιὼ καὶ διημαρτημένως κρίνων· πῶς γὰρ τὸ πλῆρες τε καὶ ἀκριβὲς τῆ πάθες σωιήσει, μὴ τὸ τῆ πάσχοντος ἦθος, μὴ τὸν τρόπον, μὴ τὸ παρ' οἷς, καὶ πρὸς ἓς, καὶ ὑφ' ὧν, καὶ ὧν ἕνεκα· μὴ τὰ λοιπὰ τῶν περὶ τὸ πρᾶγμα, ἅπερ ἐ τὸ τυχὸν οἶδε βάρος τοῖς τοιέτοις προσεμποιεῖν, ἐπιλογισάμενος; Ἀλλαμιὼ καὶ ἐπὶ τῶν κατ' αἴθησιν προσπιπτόντων, οἷον ὡς

(1) Ἐπὶ γὰρ τῶν ἀγνοεμένων εἰς τέλος ὁμοίαν ἔχει τὴν δύναμιν ἡ τῶν ὀνομάτων ἐξήγησις (ἡ ἑρμηνεία) ταῖς ἀδιανοήτοις καὶ πρεσματικαῖς λέξεσιν (τοῖς τῶν ὀργάνων ἠχήμασι). Πολύβ. Βιβλ. Γ'. Κεφ. λς'.

ἡδύτι γίνεται τινὶ, ἢ ἀηδὲς πυθόμενος· ὅτι κοπῶδες τε καὶ βαρὺ, ἢ κῶφον καὶ εὔφορον, ὅτι θερμὸν, ἢ ψυχρὸν, ἢ τραχὺ, ἢ λεῖον, κτ., ἐκ ἄλλως, ἢ ἐξ ὧν αὐτὸς ἐπαθλιώτατόποτε αἰθημάτων, ἢ ταῦτα φύσιν ἔχει τεκμαίρεσθαι ἕκαστος. Ἀλλὰ γὰρ αἰθήσεων οὐ ἀνθρώποις διαφορὰ τοσαίδε, ὅσαι καὶ κράσεων.

§. σκ'. Καὶ ταῦτα μὲν ἦν ὡς οἷόν τε σωτῶς ἐπισταθμωμένοις, καὶ τῷ σκοπῷ τῶντι διεξερχομένων, ὡς ἔγγισα (ἐπ' ἀκριβὲς γὰρ ἐπιτυχεῖν ἴσως ἐ δυνατόν.) γινομένοις, προσεκτέον δὴ καὶ ταῖς τῶν ὅρων ὑποβολαῖς, καθ' ἃς ποικίλως ἡμᾶς οἱ λέγοντες, ἢ γράφοντες, καὶ τῇ αὐτῇ φωνῇ κεχρημένοι, ἄλλοτε ἄλλως νοεῖν ἀνάγεσιν. Ἐπειδὴ γὰρ ἀσατεῦντες εἰσὶν οἱ ὅροι τὰ πολλὰ, (§. σιά.), οἵτε πρὸς ἡμᾶς ἐκ σόματος, ἢ ἀπὸ γραφῆς διαλεγόμενοι, ποτὲ μὲν ἀπερισκέπτως, ποτὲ δὲ καὶ ἑκόντες τέτων διαποικίλλεσι (1) ταὶς διωάμεις, νυῶ μὲν ἔτω, νυῶ δ' ἄλλως τιὼ αὐτιὼ φωνιὼ ἐκδεχόμενοι, προσοχῆς ἄρ' ἡμῖν χρεία σωτόνε, καὶ σκέψεως ἐπιμελῆς, τῆς ἐκείνων ἐξικέσθαι διανοίας δι' ἐφέσεως ἔχεσιν.

§. σκά. Ἐπὶ τοίνιω ἑκάστε τῶν ὅρων ἐκ ἀπεριέργως παρατηρητέον Α'. εἰ ὑλικῶς, ἢ φασὶ, καὶ ἀνθ' ἑαυτῆς ἡ φωνὴ τῷ λόγῳ παρείληπται, οἷα τὰ πολλὰ παρὰ τοῖς τεχνικοῖς φιλεῖ· ὁ ἄνθρωπος ἐστὶν ὄνομα, τὸ τύπτω ῥῆμα, ἢ Εἰδικῶς, καὶ ἀντὶ τῦ σημαινομένε πράγματος· ἐγένοντο γὰρ οἱ κ ἐκ τέτων σοφιστικῶς κατακομψευσάμενοι, καὶ βῆς εἰπόντες, ὃν φωνεῖς, ἐξέρχε-

(1) Παρασεσημάωται Ἰωάννῃ τῷ Κλερίκῳ ἐν τοῖς περὶ Τέχν. Κριτικ. (Μέρ. Β'. Τμήμ. Α'. Κεφ. ς'.), τὸ τὰ τέτταρας σημασίας διαφερέσας ἀλλήλων, ὁ Ἡσίοδος ἐξειληφώς. (Εἰς Ἔργ. Καὶ Ἡμέρ. στιχ. 246.)

Τῦ Δίκης ὄνομα ἐν ὀκτὼ ἔπεσι, καὶ

Ὦ βασιλεῖς ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
Τὴν δε ΔΙΚΗΝ· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν ὅσοι σκολιῇσι ΔΙΚΗΣΙΝ
Ἀλλήλες τρίβεσι, Θεῶν ὄπιν ἐκ ἀλέγοντες.
Τρὶς γὰρ μύριοι εἰσιν ἐπὶ χθονὶ πολυβοτείρῃ,
Ἀθάνατοι Ζηνὸς, φύλακες Θνητῶν ἀνθρώπων,
Οἳ ῥὰ φυλάσσουσίν τε ΔΙΚΑΣ, καὶ ἔργα πέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ' αἶαν.
Ἥδε δὲτε παρθένος ἐστὶ ΔΙΚΗ Διὸς ἐγεγαυῖα.

Τὸ μὲν Ἓν Α'. ἡ Δίκη τὴν ΠΟΙΝΗΝ σημαίνει· τὸ δὲ Β'. τὴν ΑΔΙΚΙΑΝ. τὸ δὲ Γ'. τὴν ΔΙΚΑΙΟΣΤΝΗΝ. τὸ δὲ Δ'. τὴν ΘΕΜΙΔΑ, τὴν ἐπὶ τῶν δικαίων ἔφορον.

ἐξέρχεταί σου τοῦ στόματος. Ἀλλὰ παιδιὰ ταῦτα, καὶ λῆρος. Ἐκεῖνο δὲ δεῖ μὴ λανθάνειν, εἰδικὴν εἶναι ἐνίοτε τοῦ ὅρου τὴν ἐκδοχὴν, κἂν ὑλικῆς σχῆμα ἀμπίσχοιτο. Τοῦτο ὑμῶν τὸ ἄρα ὑποδίκους ὑμᾶς καταστήσει τῇ αἰωνίῳ ἀρᾷ (1). Ἔνθα οὔκουν τὸ δισύλλαβον ἀπήχημα νοητέον, τὸ δὲ μὴ ὀρθῶς δι' αὐτοῦ κατὰ τῆς εὐσεβείας ἐπιφερόμενον. Καὶ οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε κτ., ἐκδεκτέον γὰρ κἂν τούτῳ τὸν ἐπικαλούμενον μὲν, μὴ ἐν ταῖς ὁδοῖς δὲ τοῦ Κυρίου πορευόμενον.

§. σκβ'. Β'. Καὶ εἰ κατὰ τὸ ἄμεσον ὁ ὅρος κεῖται ὑποτεθεὶς σημαινόμενον, ἢ κατά γε τὸ ἔμμεσον καὶ πορρωτέρω· οἷον εἴτις τὴν μὲν πονηρίαν δίκας ὑπέχειν εἴποι, βραβεύεσθαι δὲ τὴν ἀρετὴν ἀξίως, δῆλος ἐστὶ τοὺς πονηροὺς τῷ λόγῳ νοεῖν ἐθέλων, καὶ τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν καὶ σπουδαίους. Οὕτω τοι καὶ πᾶσα ἡ γῆ χεῖλος ἐν εἴρηται γενέσθαι ποτὲ, καὶ ὅτι πᾶσα ἡ πόλις ἐσείσθη, καὶ ὅσ' ἄλλα συνεκδοχικῶς οὕτω λεγόμενα, ἃ καὶ διακρίνειν οὐ δυσχερές.

§. σκγ'. Γ'. Καὶ εἰ καθ' αὑτότι λέλεκται, ἢ κατὰ συμβεβηκὸς, καὶ δι' ἄλλο· οἷον οὐχ ᾗ ἄνθρωπος ἐντέχνως μουσουργεῖ, ἀλλ' ᾗ μουσικός. Καθ' αὑτὸ οὖν μάλιστα τὸ εἶδος, καὶ ἡ διαφορὰ, καὶ πᾶν οὐσιῶδες. Οὕτω τοι ἀκούσαντες ὡς ὁ Ἰατρὸς ἀπώλεσε τὸν κάμνοντα, οὐ καθ' αὑτὸ τὸ ῥηθὲν ἐκδεξόμεθα.

§. σκδ'. Δ'. Καὶ εἰ κατὰ Πρώτην Ἐπίνοιαν ὁ ὅρος ἐλήφθη, ἢ κατὰ Δευτέραν. Διαφέρει γὰρ τῇ δε, ἢ τῇ δε νοεῖν. περιπατεῖ μὲν γὰρ ὁ ἄνθρωπος ἐκείνως, ἔστι δὲ εἶδος οὕτως. Ταῦτ' οὖν, καὶ τὰ παραπλήσια οὐδὲ λόγου τις ἂν ἀξιώσειεν, εἰ μή τινες ἦσαν, οἱ ἐν ταύταις ταῖς διπλόαις τοῦ παρ' αὐτοῖς λόγου τὸ κράτος πολλάκις τιθέμενοι.

§. σκέ. Ε'. Καὶ εἰ μερικεύεται, ἢ γοῦν κεκοίνωται· ἔστι γὰρ ὁ φιλόσοφος ἄνθρωπος ἐκείνως, οὐκ ἔστι δὲ ἡ φιλοσοφία ἄνθρωπος, οὕτως. ζῶν δὲ, καὶ ἔμψυχος καὶ λογικὸς ὁ ἄνθρωπος, ἑκατέρως.

§. σκϛ'. ϛ'. Καὶ εἰ ὁ κοινὸς ὅρος ἀντὶ πάντων συλλήβδην, οὐκ ἀνθ' ἑνός δ' ἑκάστου χωρὶς νοητέος· οἷον αἱ ἀρχαὶ κατ' Ἀριστοτέλην εἰσὶ τρεῖς, τὰ στοιχεῖα τέτταρα, αἱ αἰσθήσεις πέντε, ἢ καθ' ἑκάτερον· οἷον αἱ ἀρχαὶ ἁπλαῖ, τὰ στοιχεῖα ὑπὸ Σελήνην, αἱ αἰσθήσεις σωματικαί. Καὶ ἡ ὕλη δὲ ἁπλῆ. Καὶ τὸ πῦρ

(1) Βασίλ. ἐν τοῖς κατ' Εὐνομίου.

πῦρ ὑπὸ Σελήνην. Καὶ ἡ ὅρασις σωματικὴ. Ἔνθα καὶ τὰ τῆς διανομῆς διαιρετέον, πῇ μὲν ἄχρι καὶ ἀτόμων κατιούσης, οἷον τὸ ζῶον ἐστὶν αἰσθητικὸν· πῇ δ' ἄχρι τῶν Εἰδῶν ἱσταμένης· καὶ τούτων ἤτοι πάντων, οἷον ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, κτ. ἢ τινῶν, οἷον ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. Καὶ πάντα ὡς λάχανα ἐσθίετε. Καὶ πάντα τὰ ζῶα ἦν ἐν τῇ Κιβωτῷ. κτ.

§. σκζ'. Ζ'. Καὶ εἰ ὁ ἐπὶ μέρους ὅρος διώρισται πάντῃ, ἢ ἔτι ἀοριστάινων ἐστὶν· οἷον χείρτις πρὸς λῆψιν προτείνεσθαι λέγεται, ἀλλ' οὔπω δῆλον ποτέρα ἡ δεξιὰ, ἢ ἡ εὐώνυμος· χειρὶ δὲ γράφειν, ἦν τις εἴποι, τὴν δεξιὰν ὑπεσήμανεν. Καὶ εἰ ὁ τοῦ ὅρου διορισμὸς τέλειος μὲν ἄδηλος δὲ, καὶ ἀμφισβητήσιμος. οἷον ὁ ἄριστος τῶν Ἀχαιῶν· ἡ πίστις ἡ ἀληθής. Αὕτη γὰρ μία τῷ ὄντι, ἡ πίστις ἐστὶν ἡμῶν· Ἀλλὰ καὶ τοιαύτην διατείνεται εἶναι τὴν ἑαυτοῦ ἕκαστος.

§. σκή. Η'. Καὶ εἰ, καὶ ὅπως δὲ, τοῖς καλουμένοις προσδιορισμοῖς (§. σθ'.) (1) οἱ ἐπὶ τῆς προτάσεως ὅροι πεφύκασι διατίθεσθαι. Προσδιορισθείσης γὰρ καθόλουτε καὶ καταφατικῶς διὰ τοῦ Πᾶς, ὁλοβαθὴς μὲν τῶν ὅρων ἑκάτερος, ὁλοπλατὴς δὲ ὁ ἕτερος· τουτέστιν ὁ ὑποκείμενος· οἷον πᾶς ἄνθρωπος ζῶον. Προσδιορισθείσης δὲ ἐν μέρει καὶ καταφατικῶς διὰ τοῦ Τὶς, ὁλοβαθὴς μὲν ἑκάτερος, ὁλοπλατὴς δὲ οὐδέτερος. οἷον τίς ἄνθρωπος φιλόσοφος. Προσδιορισθείσης δὲ διὰ τοῦ Οὐδεὶς καθόλου ἀποφατικῶς, ὁλοπλατὴς ἐστὶν ἑκάτερος. οἷον οὐδεὶς λίθος ἐστὶν αἰσθητικός. Προσδιορισθείσης δὲ διὰ τοῦ Οὐ πᾶς, ἀποφατικῶς καὶ ἐν μέρει, ὁλοπλατὴς ἐστὶν ὁ ἕτερος· τουτέστιν ὁ κατηγορούμενος. οἷον οὐπᾶν Σῶμα ἐστὶν αἰσθητικόν.

§. σκθ'. Θ'. Καὶ εἰ ἐπὶ τῶν προσδιωρισμένων προτάσεων διὰ τοῦ Πᾶς, ἡ τοῦ προσδιορισμοῦ δύναμις, ὡς εἴρηται (§. σκϛ'.) ἀθετεῖται. Φιλεῖ γὰρ καὶ ἄλλως, τὸ πᾶς πολλάκις εἰς πλήθους

(1) „Προσδιορισμοὶ δὲ λέγονται „οἱονεὶ προσρήματά τινα συντατ]όμενα τοῖς ὑποκειμένοις, καὶ δηλοῦντα „ὅπως ἔχει τὸ κατηγορούμενον πρὸς τὸ „πλῆθος τῶν ἀτόμων τῶν ὑπὸ τὸ ὑποκείμενον, εἴτε ὡς ὑπάρχον, εἴτε ὡς „μὴ ὑπάρχον λαμβάνοιτο . . . Καὶ „τέσσαρα εἰσὶ τὸν ἀριθμόν. Πᾶς καὶ Οὐδεὶς· Τὶς, καὶ Οὐπᾶς· Ἀμμών. εἰς τὸ περὶ Ἑρμην.

θȣς σημασίαν μεταλαμβάνεσθαι (1), οἷον φαμὲν πάντες ἐθεάσαντο, ἀντὶ οἱ πλεῖστοι. ȣ̓τως Ἰσοκράτης (2): „ὁμολογεῖται „τὴν πόλιν ἡμῶν πᾶσιν ἀνθρώποις εἶναι ὀνομαστοτάτην.

§. σλ'. Ι'. Καὶ ἐπὶ τῶν ἀπροσδιορίστων δὲ, πότερον καθόλȣ δέον τὸν ὅρον νοεῖν κατ' ἀκρίβειαν, ἢ ὡς ἐπὶ τὰ πολλὰ ἐκτεινόμενον, ἢ ἐπ' ἐλάσσονα τινά; Εἰ γὰρ ȣ̓σιῶδες εἴη τὸ κατηγορȣ́μενον καὶ τῶν ἐξ ἀνάγκης προσόντων· ὅ, τε ὑποκείμενος ὅρος τύχοι τῶν προσηγορικῶν, δῆλον ὅτι καθόλȣ Μεταφυσικῶς, τȣτέστιν ἐπ' ἀκριβὲς νοηθήσεται· οἷον τὸ Ἰσόπλευρον τρίγωνον ἐστὶν Ἰσογώνιον· εἰ δέτι τῶν μὴ ȣ̓σιωδῶς κατηγοροῖτο, τῶν γεμὴν ὡς τὰ πολλὰ συμβαίνειν εἰωθότων, ὁ ὅρος ἠθικῶς, ᾗ φασὶ, καὶ ȣ̓κ ἄνευ ἐξαιρέσεως καθολικευθήσεται· οἷον οἱ γέροντες παλίμπαιδες εἰσὶν, οἱ νέοι παλίμβȣλοι· λάλον τὸ θῆλυ. Ἐὰν δὲ τῶν ὡς ἐπ' ἐλαττον ὑπάρχῃ τὸ κατηγόρημα, ἢ τῶν ὡς ἐπίσης, τῷ μὲν ὄντι ἀναλόγως καὶ τὰ τȣ̃ πλάτȣς τῷ ὅρῳ περιγραφήσεται. οἷον οἱ ἄνθρωποι εἰσὶ φιλόσοφοι, εἰσὶν ἄδικοι, εἰσὶ δίκαιοι, κτ. Ἡδὲ τȣ̃ λόγȣ ἐκφορὰ ȣ̓κȣν ἀνέλεγκτος. ἄτοπον γὰρ ὡς καθόλȣ ἐκφέρειν, τὸ ἐν μέρει μόνον ἀληθείας ἐχόμενον (3).

§. σλά. Ταῦτα τε ȣ̓ν, καὶ τὰς ἐπισυμβαινȣ́σας ἄλλως τροπὰς τῷ λόγῳ προσέτι διακριτέον. οἷον εἰ κατ' ἔμφασιν ἐλήφθη ἐν αὐτῷ τις ὅρος, ἢ γȣ̃ν ἐν σχήματι ἀκυρολογίας οἱονεὶ παρέῤῥιπται. Καὶ εἰ στάσιν ἐπιδέδεκται, ἢ ἔκστασιν, ἢ ἔκτασιν, ἢ συστολὴν

(1) „Τὸ πάντες ἀντὶ τȣ̃ πολλοὶ „κατὰ μεταφορὰν εἴρηται. τὸ γὰρ πᾶν πολύτι Ἀριστ. Ποιητ. Κεφ. κέ.

(2) Ἰσοκράτ. ἐν Ἀρχῇ τȣ̃ πανηγυρικ.

(3) Τινὲς ȣ̓ν Καθόλȣ μὲν, δογματικῶς ἐκφερομένην φασὶν ἐκδεκτέον τὴν ἀπροσδιόριστον, ἐπὶ μέρȣς δὲ, ἐν χαρακτῆρι διηγηματικῷ. οἷον εἴτις τὸν ἄνθρωπον λευκὸν εἴποι (φασὶν) ὡς δογματίζων, ψεύσεται. Εἰ δὲ ἱστορῶν φέρε τὰ τῶν Σκυθῶν, προσθείη ὅτι λευκὸς ὁ ἄνθρωπος, ἀληθεύσει, ὡς ἄρα περὶ τȣ̃ κατὰ τὴν Σκυθίαν ἀνθρώπȣ, ἤτοι ἐν μέρει, διαλεγόμενος. (Art. Cogitandi Μέρ. Β'. Κεφ. ιγ'.) Οἱ δὲ καὶ ὡς ἐκ τȣ̃ ἄρθρȣ παρόντος, ἢ ἀπόντος ποσȣ̃σθαι τὰ τῆς ἀπροσδιορίστȣ ὑπέλαβον. „Εἰ μὲν γὰρ ἄρθρον ἔχει (φησὶν ὁ Ἀ„νώνυμος ἐν Συνόψει τῇ περὶ συλλογ.) „ἰσοδυναμεῖ τῇ καθόλȣ προτάσει· οἷον „ὁ πιστεύων ζήσεται... Εἰ δ' ἄρθρον „ȣ̓κ ἔχει ἰσοδυναμεῖ τῇ μερικῇ. οἷον „Ἀπόστολος εἰμὶ Ἐθνῶν. Ἀλλ' ὅσον ἐπισφαλῶς, ἐπιγνῶναι ῥάδιον. πῶς γὰρ; ὅπȣ ἀκȣ́οντες ὅτι ὁ Ἀπόστολος τάδε φησὶν, ȣ̓ μόνον ἐν μέρει ἕνα τινὰ τῶν Ἀποστόλων ἀκȣ́ομεν, ἀλλὰ καὶ τὸν Παῦλον ἀτομικῶς ἐξ ἀντονομασίας;

φολιὼ. Εἰ μεταληφθεὶς ἠλλοτρίωται· εἰ προσδιατεθεὶς ὑπ' ἄλλε τί πέπονθεν, ὧν ὑπ' ἀλλήλων οἱ ὅροι πεφύκασιν. Ἔστιν ἓν Ἐμφασις, λέξις δι' ὑπονοίας αὔξουσα τὸ λεγόμενον, οἷον παρὰ τῷ Ποιητῇ πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι, τὸ ἁπλῶς ἐμιάνθη δυναμικώτερον. Ἀκυρολογία δὲ τῆς ἐν τῇ λέξει ἀναλογίας παράβασις· ὡς ἵππων ἐπεβήσατο παρὰ τῷ αὐτῷ, ἀντὶ ἵππον. Ἐν δὲ Στάσει ὁ ὅρος λέγεται, ὁ μὴ τὸ χρόνῳ τὸ κατὰ τὸ κείμενον ῥῆμα, ἔξω γινόμενος. οἷον (τὸ τῷ Διονυσίῳ πρὸς τὸν κιθαρῳδὸν) ὅσον εὐφραίνες ᾄδων, τοσῷτον ἔχαιρες ἐλπίζων. Ἔνθα τῶν ὅρων ᾄδων, καὶ ἐλπίζων, ὁ μὲν τῇ ἐκ τῆς ὠδῆς τέρψει, ὁ δὲ τῇ ἐκ τῆς ἐλπίδος θυμηδίᾳ τῷ χρόνῳ συῴδρομοι. Ἐκτασιν δὲ πάσχουσιν οἱ ὅροι τῆς κατὰ τὸν χρόνον διαφορᾶς ἐξισάμενοι· οἷον τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, καὶ κωφοὶ ἀκούουσιν, οἱ πρότερον δηλονότι ταῦτα τυγχάνοντες. Ἔκτασιν δὲ, οἱ παρὰ τὸν ὑπὸ τῷ ῥήματος δηλούμενον, καὶ πρὸς ἄλλον χρόνον ἐπεκτεινόμενοι. οἷον ὁ ὅρος οἱ πραεῖς, ἐφ' οἷς ὡς ἄρα κληρονομήσοντες τὴν γῆν, μακαρίζονται καὶ ἤδη, πρὸ τοῦ τυχεῖν τῶν μακαρίων ἐλπίδων. Συστολὴ δὲ, οἱ πρὸς σκωτέραν ἧς πεφύκασι, συστελλόμενοι σημασίαν· ἔτω Μήτηρ τῶν ζώντων ἡ πρωμήτωρ εἴρηται, τῶν ἀνθρώπων μόνων τοῦτο τυγχάνουσα. Συστέλλοιτο δ' ἂν ὁ ὅρος πολλαχῶς. ἤτοι γὰρ κατ' ἐξοχὴν, ὡς ἐπὶ τοῦ τεθνύτος παραδείγματος. ἢ προθέσει ὅρου μερικωτέρου· οἷον τὸ ζῶον ὁ Ἐλέφας, παντὸς χερσαίου ὑπερέχει μεγέθει. ἢ ἐπιθέσει ἐπιθέτου· οἷον βασιλεὺς φιλόσοφος τοῖς ἀρχομένοις δικαιότατον· ἢ ἐπεμβολῇ λόγου, οἷον ὁ ἄνθρωπος, ὃς φυλάττει τὸ ἑαυτοῦ σῶμα, τηρεῖ τινὰ ἑαυτοῦ ψυχήν. ἢ προθήκῃ πλώσεως, οἷον ὁ Ναὸς τῆς Ἀρτέμιδος ἐμπέπρησται. Καὶ ὁ Αἰθίοψ λευκοὺς τοὺς ὀδόντας. Τελευταῖον δὲ Ἀλλοίωσιν οἱ ὅροι πάσχουσι, μεταλήψει ἀπὸ τοῦ κυρίου ἐπί τι ἕτερον σημαινόμενον· οἷον πόλεως ψυχὴ (ὡς ὁ Δημοσθένης ἔφασκεν) ὁ νόμος· διὰ γὰρ τοῦτο πόλις πᾶσα, ὥσπερ διὰ τῆς ψυχῆς τὸ σῶμα σωέχεται.

§. σλβ'. Ἐπὶ δὲ τούτοις ἅπασι καὶ τινὰ τῶν ἐπιθετικῶν ὀνομάτων δυνάμιν, ἄλλοτε ἄλλου τῷ λόγῳ δηλώσομεν. Ἀεὶ γὰρ τὸ κατηγορούμενον (κἂν ἄλλως ἐσιασικὸς ὅρος ᾖ) ἐπίθετον οἷον τοῦ ἰδίου ὑποκειμένου καθίσταται, καὶ τοῦτο πως ἐπονομάζει, ὡς φασὶ, καὶ ποιῶς πως διατίθησιν· ἢ, ὡς οἰκειότερον φῶναι,

διαγνω-

διαγνωρίζει, τούτῳ προσεναρμοσθέν. Ἀλλ' ὁτὲ μὲν ὑλικῶς, ὁτὲ δὲ κατ' εἶδος τὸ κατηγορούμενον ἐναρμόζεται τῷ ὑποκειμένῳ ἐάντι τῶν συγκεκριμένων δηλαδὴ ὑποκέηται. Οὕτω δυοῖν τούτων θεωρουμένων ἐπὶ τοῦ ὅρου φιλόσοφος, τῆς τε κατὰ τὴν φιλοσοφίαν ἕξεως, καὶ τοῦ ἔχοντος, ὁ τὸν φιλόσοφον φιλοσοφεῖντε καὶ γελᾷν εἰπὼν, τὸ μὲν τῇ ὕλῃ, τὸ δὲ τῷ εἴδει ἀριδήλως ἀπέδωκεν. Ὡσαύτως δὲ ὑποκειμένου ἀνεπτυγμένως οὐσιαστικοῦ μετὰ ἐπιθέτου ἡ ἀπόδοσις πῇ μὲν ὑλικὴ ἔσται· Οἷον ὁ μέγας Ἀλέξανδρος, υἱὸς τοῦ Φιλίππου καὶ Ὀλυμπιάδος· ὁ γὰρ Ἀλέξανδρος καθ' αὑτὸν, καὶ εἰ ἄλλοθεν μέγας τοῦ, υἱὸς ἐκείνοις γεγέννηται. Πῇ δὲ εἰδικὴ, οἷον ὁ μέγας Ἀλέξανδρος, τοῦ ὁ ἄριστος τῶν υἱέων Φιλίππου, τὸ γὰρ ἄριστος ἐνταῦθα τῷ μεγάλῳ προσέζευκται. Ἐλέγχει δὲ τῆς ἀποδόσεως τὴν διαφορὰν, ἡ τοῦ ὅρου καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς ἐκδοχήτε καὶ λῆψις (§. σκγ'.). Οὕτω καὶ Δημοσθένης ὁ ῥήτωρ, δεινὸς τοῦ εἰπεῖν, νοητέον γὰρ ὡς ᾗ ῥήτωρ. Εἰ γὰρ ἔκειτο ὅτι δεινὸς τοῦ φαγεῖν, νοητέον δήπου ἂν εἴη, ὡς ᾗ Δημοσθένης. Ὡσαύτως Ὅμηρος ὁ Ποιητὴς, ἀνὴρ δαιμόνιος ἐγένετο, καὶ τυφλός. Τὸ μὲν, τὸ περὶ τὸ σῶμα δηλαδὴ πάθος, ᾗ Ὅμηρος· τὸ δὲ τὴν ποίησιν, ᾗ Ποιητής.

ΤΗΣ ΛΟΓΙΚΗΣ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ Σκέψεως.

ΚΕΦ. ΠΡΩΤΟΝ.

Τί δήποτε ἡ Σκέψις ἐςὶ, καὶ ἐφ' οἷς, καὶ ὅπως αὐτῇ Προσχρηςέον.

§. σλγ'.

Οἱ ἀπὸ τῶν πρώτων Ἐννοιῶν ἀπερισκέπτως ἐπὶ τὸ κρίνειν εὐθὺς ἐπισπεύδοντες, ȣ̓ κατὰ τὴν φύσει προσήκȣσαν ταῖς ἐνεργείαις τȣ̃ Νȣ̃ χωρεῖν ἐοίκασι πρόοδον· τῶν δὲ μεταξὺ γινομένων παραμελȣ̃ντες, καὶ τῶν ἄκρων ἐχόμενοι, τοῖς ὑπερβάθμιον αἴρȣσι πόδα εἰσὶ παραπλήσιοι, ἢ τοῖς ἀναμασσήτως τὰ σιτία ἐπὶ τὸν ςόμαχον παραπέμπȣσιν (1)· ὅπερ ȣ̓δ' ἀσφαλὲς ἐπιχειρȣ̃σιν ἀεὶ, ȣ̓δ' ἄλλως ἐφικτὸν ἐνίοτε ȣ̓δ' ἀνύσιμον. Οὐ γὰρ ἐναργῆτε καὶ δῆλα πρὸ ὀφθαλμῶν τῇ ψυχῇ πάντα, οἷς ἂν ἐπιβάλλοι, ἐχȣ́σῃ, ȣ̓δ' ἐξ ἑτοίμȣ ἀεὶ παρέςαι καὶ τὴν περὶ αὐτῶν κρίσιν ἐνέγκασθαι· τοιȣ́τοις δὲ συχνὰ τοῖς νοητοῖς ἀπαντᾶν εἰκὸς, ἐφ' οἷς καὶ τὸ κατανεῦσαι αὐτῇ καὶ τὸ ἀνανεῦσαι ἔργον, μηδενὸς, ἢ μὴ ὅσον ἀπόχρη συμφανȣ̃ς τȣ̃ λόγȣ παρόντος, δι' ὃν ἂν πρὸ τȣ̃ ἑτέρȣ θείη τὸ ἕτερον.

§. σλγ'.

(1) „Χρῆναι γὰρ ἔγωγε φημὶ, τȣ̀ς „οἵπερ ἂν εἶεν σεπτοὶ καὶ σεσοφισμένοι, „καὶ τῶν ἀληθῶν δογμάτων ἐρευνηταὶ, „ȣ̓χ ἅπαξ, ἀλλὰ πλειςάκις ἄνωτε καὶ „κάτω ςρέφειν, τὰς ἐφ' ἑκάςῳ τῶν „ἀπορȣμένων ἐννοίας, καὶ οἷον ἀναμασ„σᾶσθαι συχνῶς, καὶ οἷον ἀκαταλή„κτοις ἀκριβείαις κατισχνȣ̃ν ἐπείγεσθαι „τὰ δυσέφικτα τῶν θεωρημάτων· τὸ „γάρ τοι παραδεχθὲν ἁπλῶς καὶ ἀ„βασανίςως, καὶ ταῖς ἐρεύναις ȣ̓ τε„τριμμένον, γένοιτ' ἂν ἐσθ' ὅτε καὶ „ἐπιζήμιον. Κύριλλ. Ἀλεξ. Κατὰ Ἰȣλιαν. Βιβλ. Θ'.

§. σλδ'. Τοιέτων ἓν πάνυ πολλῶν ὄντων, περὶ ἃ τὸ κρίνειν ἤτοι ἀμήχανον, ἢ χαλεπὸν ἐστὶ καὶ ἐπισφαλὲς, πάντες ὡς εἰκὸς τὸ τῆς σκέψεως ἡμῖν ἐπισυνιεῶσι, δι' ἧς ἰέναι πᾶσα ἀνάγκη τὸν ὀρθῶς περὶ τῶν πραγμάτων ἀποφαίνεσθαι μέλλοντα. (1). Οὐ γὰρ μὴ εὕροι ποτὲ τινὰ λύσιν, ὃς ἂν τὸν δεσμὸν ᾧ συνέχεται, μὴ ὅσον ἄλις περισκοπήσειεν (2), ἐφ' ἂν μὴ προβαίη ἀπλανῶς δι' ὁδοῦ ἧς ἐκ ἔγνω· καὶν εἰ προέλθοι τυχόν, καὶ κατὰ τὸ πέρας γεγονὼς ἐνδοιάσει, πρὸς ὃ ἂν ἀφίκοιτο (3). Καὶ ἐδὲν μᾶλλον ἀπορήσει, ὁ μὴ ἀπορήσας ἦ δέον· ἐφ' ἀσφαλῶς τε καὶ πεποιθότως ἀποφανεῖται, ὁ μὴ καλῶς περὶ τῶν προκειμένων αὐτῷ προδιασκεψάμενος.

§. σλέ. Τοιγαρῦν ἀναγκαία ἔτως ἡ σκέψις ἔσα ἐπὶ πάνυ πολλῶν, ἀνεργειάτις τῆ Γνωσικῆ τυγχάνει, ἑπομένη μὲν τῇ προσλήψει, ἡγεμόνη δὲ τῆς κρίσεως, ἐπὶ τῶν ἀδηλοτέρων· τῇ μὲν ἑπομένη· Προϋποτίθησι γὰρ τὰς πρώτας ἐννοίας, περὶ ἃς καὶ τινὰ διατριβὴν ἔχει ἡ σκέψις, πάντα τρόπον αὐτὰς ἐπιθεωρῆσαι, καὶ ἀνιχνεύσασα· τῆς δὲ ἡγεμόνη· Προϋποτίθεται γὰρ τῆς κρίσεως· Ἐπεὶ καὶ ἐκείνης χάριν αὕτη προαπαιτεῖται ἡ τῶν ἐννοιῶν προεπιθεώρησίς τε καὶ ἔρευνα, ἵνα ἀσφαλῶς ἐκείνη ὡς οἷόντε ἔψοιτο. Ἐπὶ δὲ τῶν ἀδηλοτέρων, καὶ τέτων δήπε πάνυ πολλῶν· ἐδὲ γὰρ ἐπὶ πάντων ἀναγκαία ἡ κατὰ τινὰ σκέψιν τοιάδε περιεργία, ὡς ἔπειτ' εἰρήσεται.

§. σλς'. Ἀκριβέστερον δὲ ὁριζομένοις ἔστιν ἡ σκέψις Ἐποχὴ τῆς κρίσεως, μετὰ τῆς προσηκέσης προσοχῆς καὶ ἐρεύνης, ἐπὶ τῶν μὴ, ὅσον ἀπόχρη, ὅπως ἔχει χέσεως πρὸς ἄλληλα, καταναυσμένων. Οἷον εἴτις τὸ ἠλίε σῶμα ἐνοήσας, διενθυμηθεὶς δ' ἐφεξῆς, καὶ τὸ σεγανόντε καὶ σερέμνιον τῆς τινῶν σωμάτων συσάσεως, εἶτα μηδαμόθεν σιωρῶν, πότερόν ποτε προσῆκον τῷ φωτὶ-

(1) „Ἔσι δὲ τοῖς εὐπορῆσαι βκλομέ„νοις πρῶτον τὸ διαπορῆσαι καλῶς. Ἀ„ριστ. τῶν Μετὰ τὰ Φυσ. τὸ Β'. Κεφ. ά.

(2) „Ἡ γὰρ ὕστερον εὐπορία λύσις „τῶν πρότερον ἀπορκμένων ἐστί. λύειν „δ' ἐκ ἔνι ἀγνοοῦντα τὸν δεσμόν. .... „Ἡ γάρτις ἀπορεῖ, ταύτη παραπλή„σιον πέπονθε τοῖς δεδεμένοις, ἀδύνα„τον γὰρ ἀμφοτέρως προελθεῖν εἰς τὸ „ἔμπροσθεν. Αὐτ.

(3) „Διὸ δεῖ τὰς δυσχερείας τεθεω„ρηκέναι πάσας πρότερον· τέτωντε χάριν, καὶ διὰ τὸ τὲς ζητοῦντας ἄνευ „τοῦ διαπορῆσαι πρῶτον, ὁμοίως εἶναι τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσι. Καὶ πρὸς „τέτοις ἐδ' ἅποτε τὸ ζητέμενον εὕρη„κεν, ἢ μὴ, γινώσκειν· τὸ γὰρ τέ„λος τέτῳ μὲν ἔ δῆλον, τῷ δὲ καλῶς „προπορηκότι δῆλον. Αὐτ.

φωστῆρι στεγανῷ εἶναι καὶ ἀντιτύπῳ, ἢ μὴ, παρὰ τὴν τῆς σχέσεως ἄγνοιαν, ἐπέχοι τὴν κρίσιν, καὶ μηδὲ καταφάσκοι, μηδ' ἀπαναίνοιτο (1)· μεταξὺ δ' ἑκάτερον ἀκριβολογῶν ἐπιθεωροίη ἄμφω, καὶ παραβάλλοι πρὸς ἄλληλα παντοίοις τρόποις ἀναθεωρῶν, ἕως οὗτινα ἐν τούτοις οἰκειότητος, ἢ διαφωνίας σχέσιν φωράσηται, καθ' ἣν ἂν ἀποφήναιτο ἀντίτυπον, ἢ μὴ, τῆς ἐν τῷ ἡλίῳ ὕλης πεφυκέναι τὴν σύστασιν· οὗτος τὴν σκέψιν, περὶ ἧς ἡμῖν ὁ λόγος, μετιέναι εἰρήσεται.

§. σλζ'. Καὶ ἐποχὴ μὲν εἴρηται τῆς Κρίσεως ἡ σκέψις, ὡς οἷάτις οὖσα τοῦ Κριτικοῦ ἀναχαίτισις, οὗ τὴν συγκατάθεσιν ἀπερισκέπτως τὰ πολλὰ καὶ προαλέστερον φερομένην, οἷον ἵππου δυσηνίου φορὰν ἀσελγῆ καὶ ἀκόλαστον ἡ ψυχὴ διακατέχει καὶ ἵστησιν, ὡς ἂν μὴ τῷ ἵππῳ συνάμα καὶ ὁ ἀναβάτης αὐτὸς εἰς τὸ τῆς ἀπάτης σχετλίως συνεκτραχηλίζοιτο βάραθρον.

§. σλη'. Καὶ δὴ μετὰ προσοχῆς καὶ ἐρεύνης. Οὐ γὰρ τὸ μηδὲν ὅλως περὶ τῶν ἀμφιβαλλομένων σκοπεῖν ἐθέλειν, τὸ τοιοῦτον ἐπέχειν εἶναι φαμέν· ἢ γὰρ οὕτως ἐπέχοντες ἂν εἶεν καὶ οἱ καθεύδοντες· Καὶ οἷς ἥκιστα περὶ ὁτουοῦν ἡ τοῦ ἀληθοῦς θήρα ἐγένετό ποτε μέλημα. Ἀλλὰ τὸ ἀτενῶς τὰ, ἅττα τύχοι διανοουμένους, καὶ τούτων ἐπιμελῶς τοὺς χαρακτῆρας, καὶ τὰ γνωρίσματα διασκαλιδεύοντας, καὶ εἴτινα ταῦτα, οἰκειότητα, ἢ διαφορὰν ἔχει πρὸς ἄλληλα περισκοποῦντας, καὶ μηδετέροθεν ῥέποντας (εἰμή ποθεν ὀφθείη νοερόντι σέλας ἡμῖν ἐπιφῶσκον, καὶ τὸ τῆς ψυχῆς γνωστικὸν κινοῦντε καὶ καταυγάζον) οὐδετεροκλινῆ κατέχειν τὴν τοῦ Κριτικοῦ πλάστιγγα, καὶ μηδὲν ὅλως περὶ τῶν προκειμένων ἀξιοῦν δικάζειν καὶ ἀποφαίνεσθαι, τοῦτον ὅρον φιλοσόφου ἡγούμεθα σκέψεως.

§. σλθ'. Προσήκουσαν δὲ τὴν ἔρευναν ἀπαιτοῦμεν, οὐδὲ γὰρ οὐδ' αὐτὴν ἔξω τῶν ὅρων τοῦ δικαίου βαίνουσαν δοκιμάζομεν. Βαίνοι δ' ἂν ἔξω τῶν νενομισμένων ὅρων, ἤτοι περὶ τὰ μὴ πάντῃ ληπτὰ καταβαλλομένου τοῦ πόνου· οἷον εἴτις ζητοίη πολυπραγμονῶν ἀτόπως, τὰ ὑπὲρ Νοῦν, καὶ κατάληψιν· ἢ καὶ περὶ τὰ ἄλλως περιττάτε ὄντα καὶ κοῦφα, καὶ οὐδεμίαν συντέλειαν ἔχοντα, οἷον εἴπερ οἰκούμενοι φέρ' εἰπεῖν, οἱ τῶν πλανητῶν εἰσὶ σφαῖροι, καὶ κατὰ τὸ ὀρφικόν. (2). Ἢ πολλ'

(1) „Τὸ μὴ ἔχειν εἰπεῖν ταυτὸν ἐ„στὶ τῷ ἐπέχειν· ὁ δὲ ἐπέχων οὐδετέρω„σε ῥέπει. Στράβ. βιβ. β'.

(2) Παρὰ Πλουτ. Βιβ'. β'. τῶν Ἀρεσκ. Κεφ. γ'. Καὶ Εὐσεβ. περὶ Εὐαγ. Προπαρ. Βιβ. ιε. Κεφ. λ'.

„Ἢ πολλ' οὔρε' ἐκεῖ, πολλ' ἄστεα, ἠδὲ μέλαθρα·
Ἢ καὶ ὧν τὰ πρὸ ὁδοῦ, ᾗ λέγεται, οὔπω φθάσας ὡς χρὴ παρεσκεύασται· οἷον εἰ περὶ Ἀστρονομικοῦ σκέμματος ἀνασκοπεῖν ἐθέλοι ὁ καὶ τὰ Γεωμετρικὰ ὑπάρχων ἀμύητος, (1). Ἢ καὶ ἐφ' οἷς τελευταῖον πολλάκις ἀπόπειραν εἰληφὼς, καὶ διὰ μακροῦ τούτοις ἐμμελετήσας, καὶ ἀφθόνους, τοὺς ἐπὶ τῇ τούτων ἐρεύνῃ ἱδρῶτας ἀποκενώσας, οὐδὲν ἀπώνατο. Οἷον εἴτις ἐπὶ πολὺ τὸν κύκλον τετραγωνίσαι σπουδάσας, ἢ τὰς δύο μέσας συνεχῶς ἀνάλογον διακενῆς θηρασάμενος· τὸ μὲν γὰρ εὔηθες, τὸ δέτοι φροῦδον, καὶ νάρκτω τινὰ ἐμποιεῖν πεφυκὸς τῷ περὶ τὰ τοιαῦτα σφαδάζοντι, καὶ πολύτι τῆς περὶ τὰ μᾶλλον ἀναγκαῖα σπουδῆς τε καὶ ἐπιδόσεως ὑποτεμνόμενον. (2).

(1) „Παραπλήσιον γὰρ τοῦτογε, τῷ „βούλεσθαι μαθεῖν ὅπως χρὴ προγινώσ„κειν ἔκλειψιν ἡλίου, πρὶν ἐπ' ἀριθμῶν „καὶ γραμμῶν γυμνάσασθαι. Γαλην. πρὸς Πατρόφιλ. Περὶ Συστάσ. Ἰατρικ.

(2) Ὁ τὴν τοῦ Νοεῖν τέχνην Γαλλιστὶ ἐκδεδωκὼς (Μέρ. Δ'. Κεφ. α') τὰ περὶ τῆς θείας δυνάμεως εἰωθότα ζητεῖσθαι, ὑπερβαίνειν ἅπαντα ἡμῖν παραινεῖ. Ἐπὶ τούτοις δὲ, καὶ ὅσα, ἐν γένει, τοῦ ἀπείρου ἐστὶν ἐχόμενα. Οἷον τό. Δυνατὸν ἐστὶ κτίσμα ὑφεστᾶναι ἀπ' αἰῶνος; Καὶ τά. Δυνατὸν ὑπὸ Θεοῦ σῶμα παραχθῆναι, καὶ κίνησιν, καὶ ἀριθμὸν τηλικαῦτα, ὡς τὸ μὲν μεγέθει, τὴν δὲ ταχυτῆτι, τὸν δὲ πλήθει, ἄπειρα τυγχάνειν; Καὶ τό. πότερον ὁ εἰς ἀπειρίαν προενηνεγμένος ἀριθμὸς, περιττὸς ἂν εἴη, ἢ ἄρτιος; Καὶ τό: ἀπείρου ἀπειρότερον γένοιτ' ἄν; κτ. Ὁ γάρ ταῦτα φησὶ, καὶ τὰ τοιαῦτα αἰνέσας, τὴν συντομωτάτην εἰς πορισμὸν Ἐπιστήμης ἐβάδισεν. Ἀλλὰ γὰρ ἔστιν ὧν (προστίθησι) τόγε εἶναι βεβαίως γινωσκομένων, τὸ πῶς εἶναι ἀπερινόητον. Οἷον ἡ αἰωνιότης ὅπως μὲν ἐστὶν ἠγνόηται, ὅτι δὲ, καὶ μάλα ὁμολογεῖσθαι ἐπάναγκες· Ὅπουγε καὶ οἱ τὸν Αἰώνιον Δημιουργὸν ἀθετήσαντες, τῇ ἀδρανεστάτῃ τῶν ὄντων ὕλῃ τὸ ἀπ' αἰῶνος ὑπάρχειν ἠναγκάσθησαν ἀποδοῦναι. Οὕτω δέτοι καὶ τὴν εἰς ἀεὶ διαιρετὰ τοῦ μεγέθους διαίρεσιν, Γεωμετρικαῖς ἀνάγκαις διαπιστούμεθα, ἔκτε τῶν ἀσυμμέτρων μεγεθῶν ὀρθῶς εἰσβάλλοντες, καὶ ἐκ τοῦ τετράγωνον τετραγώνου διπλάσιον, ἐπὶ μὲν ἐκτάσεως παρεῖναι λαβεῖν, ἐπὶ δὲ πλήθους οὐδόλως. Καὶ δὴ, καὶ ἐξ αὐτῆς τῆς τοῦ πράγματος ἐννοίας. Οὐδὲ γὰρ οἷόν τε νοεῖν ἔκτασιν, ἐκ τῶν ἀμοίρων συνισταμένην ἐκτάσεως· ὡς οὐδὲ τὸ ἀνάπαλιν ἐκ τῶν ἔκτασιν ἐχόντων τ' ἀνέκτατον. Ἀλλὰ γὰρ καὶ ὅπως ἰσάριθμα ἀεὶ τῷ πλήθει κατ' ἀναλογίαν ἐνέσται τῇ κέγχρῳ μέρη, τοῖς ἐν τῷ παντὶ συντάγματι· Καὶ ἐν ἑκάστῳ δὲ τῶν μερῶν ἰσοπληθῆ ὡσαύτως ἀνάλογον, καὶ τοῦτο ἐπ' ἄπειρον, καὶ ταῦτα ἐπιεικῶς ἀκμὴν διανοίας νικᾷ, καὶ πᾶσαν ἐκπλήττει φαντασίαν διερευνώμενα. Εἰδ' οὕτω ταῦτα, ἡλίκης ἄντις θείη θρασύτητος, τὸ καὶ τοῦ Θεοῦ αὐτοῦ, καὶ τῶν θείων κατατολμᾷν ἐξιχνιάσαι τὴν φύσιν; ἡλίκης δὲ καὶ τῶν μυστικωτέρων τῆς πίστεως δογμάτων, τοῦ „βάθους ἐξικέσθαι ἐπιχειρεῖν; Κύριε ἄντλημα οὐκ ἔχω, καὶ τὸ φρέαρ ἐστὶ βαθύ. Οὐκοῦν τῆς ἑαυτῶν μεμνημένους ἀσθενείας

§. σμά. Ἐπὶ πᾶσι δὲ προσετέθη τῷ λόγῳ (§. σλς'.) καὶ τὸ ἐπὶ τῶν μὴ, ὅσον ἀπόχρη, ὅπως ἔχει πρὸς ἄλληλα σχέσεως, κατανεμόντων, πάνυ εἰκότως. Οὐ γὰρ κατὰ τὶ τῶν Ἐφεκτικῶν μανίαν περὶ πάντων ἁπλῶς ἀμφισβητητέον, πάνυ πολλῶν ὄντων, τῶν ἔξω πάσης κειμένων ἀπορίας, ἐν οἷς τὸ ἐπέχειν κομιδῇ ἄλογον· περὶ δὲ τινῶν. (1). Καὶ τὸ μὲν τῆς σκέψεως χρῆμα τοιοῦτον.

§. σμά. Ἵνα δὲ καὶ ὄρος τινὰς σήσαντες ἁρμονικῆς καὶ δικαίας σκέψεως, ἐφ' οἷς ταύτῃ χρησέον ἂν εἴη εἰδέναι ἔχοιμεν, φέρε δὴ ἐν τέσσαρσιν οἷον κατασάσεσιν ἔχοντας κατὰ τὸ γνωστικὸν ἑαυτὸς ἐπισκοπήσωμεν. Ἔστιν ἓν (ὡς ἂν ῥᾴσα ἕκαστος ἑαυτῷ συνειδείη) ἐφ' ὧν ἐν ὁλοτελεῖ Ἀγνοίᾳ οἱ πάντες ἐσμέν· Ἔστι δὲ ὧν ἐν ἀκριβεῖ Περινοίᾳ. Ἔστι δ' ὧν ἐν Ὑπονοίᾳ. Ἔστι δ' ὧν ἐν Ἀμφιγνοίᾳ. Ὧν δὴ δυεῖν, τῶν δευτέρων κατασάσεων εἰς ἀπορίαν ἐμβαλλόντων δικαιοτάτην, αἱ πρῶται δύο σκέψεως ἀπάσης ἡμᾶς ἀπαλλάττουσι. Περὶ μὲν ἓν τῶν πρότερων ῥητέον πρῶτον.

§. σμβ'. Καὶ δὴ ἐν ὁλοτελεῖ μὲν Ἀγνοίᾳ ἐσμὲν ὧν ἐκ αἰσθήσει, ἢ λόγῳ, ἢ δ' ἄλλως ὁπωσοῦν, (ὡς ἂν ἡ κατὰ ἄνθρωπον γνῶσις ἐπιγένοιτο), ἐν ἐπιγνώσει γεγόναμεν ποτὲ, ἢ ἂν γενοίμεθα· Ταυτὸν εἰπεῖν τῶν ὑπὲρ αἴσθησιν, καὶ ὑπὲρ τὸν Νοῦν ὄντων (Προδι. Α'. §. θ'. ια'. Καὶ §. κ.). Αὗται γὰρ δὴ πύλαι οἱονεὶ δύω ὑμῖν ἀνεῳγασι, τοῖς ἐκ σωματικοῦτε καὶ ἀσωμάτου συνεγκόσιν· ἡ μὲν πρὸς εἴσοδον τῶν ἀύλων ἀντιλήψεων, ἡ δὲ πρὸς τὶ τῶν ἀύλοτέρων· (§. κά. κς'.). Διὸ καὶ τὰ δι' αὐτῶν μὴ

θενείας ἀφεκτέον μὲν τῆς ἀνηνύτων τῶν τοιούτων ἀνακρίσεως καὶ ἐρεύνης· Ἐπιστρεπτέον δὲ τὸ φιλομαθὲς καὶ ζητητικὸν τῆς ψυχῆς, ἐπὶ τὰ, ἐχόπως σύμμετρα, ἀλλὰ καὶ συντελῆ τῇ καθ' ἡμᾶς Γνωσικῇ δυνάμει τυγχάνοντα.

(1) Οὐκεν μεμπτὸν τὸ τὲ Ἐφεκτικὲ ἐν τῷ φιλοσοφεῖν ἔργον, εἰ μόνον κατὰ λόγον αὐτὸ μετίοι, καὶ ἐπὶ τῶν δεομένων σκέψεως. Οὐδὲ γὰρ μένον οἱ „ Ἐφεκτικοὶ (ὡς ὁ Στρωματ. Βιβλ. ή.) „ἀλλὰ καὶ πᾶς Δογματικὸς ἔντισιν ἐ„πέχειν εἰώθεν· μᾶλλον δὲ καὶ ὀφείλει. Δεῖ μέντοι τὰ δεκτικὰ ὄντα ἐπιγιγνώσκειν τῆς σκέψεως, μηδ' ἀσκέπτως μὲν τὰ ἄπορα παριέναι, ἐπέχειν δὲ περὶ τὰ ὁμολογόμενα· τᾶτο γᾶν καὶ Γαληνὸς „ἠτιᾶτο περὶ Ἀρίστης Διδασκ. πραγ„ματευόμενος. Οἱ Νεώτεροι (οὐ γὰρ „μόνος ὁ Φαβωρῖνος) ἐνίοτε μὲν εἰς το„σᾶτον προάγεσι τὴν ἐποχὴν, ὡς μηδὲ τὸν ἥλιον ὁμολογεῖν εἶναι καταληπτὸν, „(ἤτοι ὡς αὐτὸς ἑρμηνεύει, γνωσόν.) „ἐνίοτε δὲ εἰς τοσᾶτον τὴν γνῶσιν, ὡς „καὶ τοῖς μαθηταῖς ἐπιτρέπειν αὐτὴν, „ἄνευ τὲ διδαχθῆναι πρότερον ἐπιση„μονικὸν Κριτήριον.

μὴ πεφυκότα διέρχεσθαι, εἴσω τῆ γνωσικῆ ποιῆσαι καταβιάζεσθαι, κενοπαθήματις ἐπιεικῶς ἐστὶ, καὶ ἀλογία. Καὶ τοιαῦτα μὲν ἐν τοῖς ἔθεσι, καὶ πλείονα ἴσως ἐστὶν ἢ πιστεύεται, ὧν τινὶ γνῶσιν τῷ παντὶ χαλεπωτάτῳ, καὶ ἄβατον ἀνθρώποις εἶναι καὶ τοῖς διαβατικωτάτοις διατεινόμεθα. Πρὸ πάντων δὲ ὅσα ἐξ Ἀποκαλύψεως (τῆς ἤδη ἡμῖν ἀποδεδειγμένης, καὶ ἀναμφιλέκτως ὁμολογουμένης)· προτίθεται πίστια· οἷς ἀκολουθητέον μὲν Θεῷ πειθαρχοῦσι τῷ λέγοντι. Ὅς ἐστὶν ἡ Αὐτοαλήθεια, τινὶ δὲ ἐκ τῶν λογισμῶν βάσανον ἥκιστα ἐπενεκτέον· ταῦτα γάρ »ἐστιν, ἃ ὀφθαλμὸς ἐκ εἶδε κτ. Ἐφ' ὧν καὶ τὸ διαμφισβητεῖν, καὶ διαπορεῖν ἐπέχοντας, ἀλογώτατόν ἅμα καὶ ἀδικώτατον.

§. σμγ'. Ἔτι δὲ ἐδὲ περὶ ἐκεῖνα, ὧν ἐν ἀκριβεῖ περιουσία ἐσμὲν, τὸ τῆς Ἐποχῆς εὔλογον· τοιαῦτα δὲ ἐστὶ, περὶ ἃ, ἐδὲ πάνυ πολὺ βαλόμενοι, ἐνδοιάζειν ἔχοιμεν ἄν· ληπτέον δὲ δὴ τέτων διελεῖσι τὰ γένη. Τὰ μὲν γάρ, ὅτι δι' ἀνεπιλήπτων αἰσθημάτων· τὰ δ' ὅτι δι' ἐναργῶντε καὶ διακεκριμένων ἐννοιῶν· τὰ δ' ὅτι δι' ἐποπτικῶντε καὶ ἐννοηματικῶν Κρίσεων· τὰ δ' ὅτι δι' ὀρθῶς ἐσχηματισμένων συλλογισμῶν, ἀνενδοιάστως γινώσκειν πάρεσιν. Οἷς προσαριθμητέον, καὶ ὅσα ἐκ μαρτυρίας ἀξιοπίστε ἀποδεκτὰ κρίνεται. Ἀλλὰ περὶ τέτων ἑκάστε ἀκριβέστερον τὸν λόγον ἐπαναληπτέον.

§. σμδ'. Καὶ Α'. μὲν τῶν ἀνεπιλήπτων ἂν εἴη τὸ αἴσθημα, ἐντὸς τῶν ὅρων τῆς αἰσθήσεως μενόσης, ἃς πρὸς ἀκριβῆ τῶν ἐκτὸς σωμάτων ἀντίληψιν, ἀναπαιτεῖσθαι αὐτῇ σεσημείωται τοῖς Φιλοσοφοῦσι, περὶ ὧν καὶ ἡμῖν ἐν ἄλλοις (Προδιατ. Β'. §. θ'.) διείληπται. Ταύτης γὰρ κατὰ τὸ δέον ἕτω κινεμένης, ἀνάγκη τινὶ ψυχικῷ ἀσφαλῶς ἐπιγινώσκειν τινὶ γνωμενίῳ προσβολικῷ τῷ ὥπερ ἐνσκηνεῖ σώματι. Οὐδὲ γὰρ ἐνδέχεται ἄλλως μὲν ἡμῶν τὸ σῶμα διατίθεσθαι, ἑτέρως δὲ, καὶ ἐχ ἧ συμβαίνεσι, τὰς ἐν αὐτῷ ἀλλοιώσεις τινὶ ψυχικῷ συνειδέναι (§. κς'.). Κἂν γὰρ ἄλλως τυχὸν παρά τινὶ τῆς κράσεως, καὶ τῷ διοργανισμῷ ποικιλίαν, τὸ αἰσθητήριον παθαίνηται, ἀλλ' ἐν ἅπασιν ἐπάναγκες τῇ τῶν ἐπιδρώντων παραλλαγῇ, ἢ ἐπιτάσει, ἢ ἀνέσει, καὶ τὰ ἐνεγειρόμενα τῶν παθῶν συμπαραλλάσσειν, καὶ συνεπιτείνεσθαι, καὶ συνανίεσθαι· ἐδὲ γὰρ οἷόντε μὴ ἐπ' ἀκριβὲς τηρεῖσθαι τῆς αἰτίας μεταξὺ καὶ τῷ αἰτιατῷ τὸ ἀνάλογον. Φέρε γὰρ (ὡς ἂν δι' ἑνὸς τέτε, καὶ περὶ τῶν λοιπῶν σαφὲς γένηται τὸ λεγόμενον.) μεγεθυνέσθω μὲν ὑπὸ τῷ ἐν ὀφθαλμοῖς

τοῖς ἐμοῖς ὀπτικῇ φακῇ, βραχυνέσθω δὲ ὑπὸ τῆ ἐν τοῖς σοῖς, τὸ ὁρώμενον, ὡς ἡμῶν μηδετέρω τὸν ἀληθῆ τῶν σωμάτων ὄγκον ὀπτάνεσθαι, ἀλλ' ἐμοὶ μὲν τῇ ὄντος μείζονα, σοὶ δ' ἐλάττονα· τὶς ἂν ἡ ἐντεῦθεν ἐπὶ τῆς τῶν ὄντων διακοσμήσεώς τε καὶ τάξεως, ἢ τῆς πρός γε ἡμᾶς αὐτὲς χρέσεώς τε καὶ χρήσεως, ἡ ἀνακύπτουσα διαφορὰ καὶ ἀνωμαλία; εὖ ἡ τυχῆσα. Ἐπίσης γὰρ ἀμφοῖν μείζονα μὲν ὀφθήσεται τῶν μεγεθῶν τὰ μείζω, ἐλάττονα δὲ τὰ ἐλάττω, καὶ τὰ ἴσα ἴσα. Τῇ αὐτῇ δὲ τότε ἀναλόγως καὶ ἐπὶ τῶν λοιπῶν αἰσθημάτων θεωρεμένῳ, κἂν τῷ Ἀναξαγόρᾳ λέγειν τὶν χιόνα μὴ λευκὴν ἐπιτρέψαιμεν, εἰ παραπλησίως μόνον ἀλλοιῶσθαι ὁμολογοίη τὰς ὄψεις, ὑπότε τῆς ἐν τῷ ψιμμυθίῳ χροιᾶς, καὶ τῆς ἐν τῷ γάλακτι. Ἐπέχειν δὲ αὐτοὶ καὶ ὑπενδοιάζειν μήτοιγε παραιθανοίμεθα, ἐν οἷς ὑγιαίνοντες μὲν τὰ αἰσθητήρια, κατὰ δὲ τὸ προσῆκον αὐτοῖς προχρώμενοι, ἀκρινῶς κινέμεθα, καὶ ἀκμαίως, καὶ ἀεὶ ὡσαύτως, καὶ συμφώνως τοῖς λοιποῖς τῶν ἀνθρώπων ἅπασιν, παραφροσύνης θᾶττον, ἢ παραισθήσεως, καὶ ἀνδείας τῆς ἐχάτης εἶναι θήσομεν.

§. σμέ. Β΄. δὲ ἀνενδοιάστως ἔχομεν καὶ περὶ ἃ ἐναργῶς τε, καὶ σαφῶς, καὶ διακεκριμένως κατὰ Νᾶν φέρομεν· τὰ γὰρ τοιαῦτα νοερῶς τῇ προσληπτικῇ παρόντα δυνάμει, τῶν ἃ μὴ ταῦτα, ἢ μὴ τοιαῦτα ἦ, ἐκ τῆ ῥάστα, καὶ ὑπονοίας ἄνευ οἱασᾶν, ἀντιδιαστέλλεται. (§. νέ.) κἂν ἁπλῆ τις ἡ τέτων τυγχάνοι ἔννοια, οἷον ἡ τῆ φωτὸς, ἡ τῆς ἑτάσεως, ἡ τῆ εἶναι, κἂν τε δὴ, καὶ ἐκ τῶν ἁπλεστέρων ἔχοι τὸ πλήρωμα· οἷον ἡ τῆ πυρὸς, ἡ τῆ ἀνθρώπε, ἡ τῆ φθόνου, κτ. Κριτήριον δ' ἂν εἴη τῶν ὅτως ἐναργῶν ἐννοιῶν, ὃ φαῦλον οἶμαι, τὸ ἀεὶ παραπλήσιον τῇ προσεχέσῃ ψυχῇ, ἐφ' ἂν παραστῇ, τὸ κατ' αὐτὰς νοητὸν Εἶδος παρίσαθαι, μὴ ἄλλοτε ἄλλως ἔχειν δοκᾶν, μηδ' ἄλλῳ τινὶ τῶν νοεμένων συμφυρόμενον, μηδ' ὑπ' ἀχλύος οἷον ἐπιπροσθέσης κατασκιαζόμενον, λαμπρῶς δὲ τῷ ὀπτικῷ τῆς ψυχῆς ἐναστράπτον, καὶ πόῤῥω δέος τῆ καθ' ὑπόνοιαν ἐξαπάτης γινόμενον.

§ σμς΄. Γ΄. δὲ διαπορεῖν ἡμῖν ὀδόλως ἐφεῖται ὐδὲ περὶ τὰς Ἐποπτικὰς, ἢ Ἐννοηματικὰς τῶν κρίσεων. Καὶ Κρίσις μὲν (περὶ ἧς ὕσερον) ἐσὶν ἀντίληψίς τις τῆς μεταξὺ τῶν ἐννοιῶν οἰκειότητος, ἢ διαφωνίας. Καὶ Ἐποπτικὴ μὲν λεγέσθω, ἐὰν ἦ κατὰ σύμπτωσιν αἰσθημάτων ἀνεπιλήπτων, τῶν ἐκ τῆ αὐτῆ

τῶ αἰθητῶ ἡμῖν ἐνεγειρομένων· οἷον τὸ γάλα ἐστὶ λευκὸν, ἔστι γλυκύ· ὁ χρυσὸς βαρύς, δάγωγος· ἢ καὶ ἀποφατικῶς ἐὰν τύχη συμπαρισάμενον κατὰ νῶν τὸ αἰθητικῶς ἀντιπίπτον· οἷον τὸ ἐν τῷ γάλακτι ὁρώμενον ἐκ ἔστι μέλαν, ἀλλ' ἡ κατ' αὐτὸ γεῦσις πικρίζουσα. Ἐννοηματικὴ δὲ κρίσις εἰρήθω, ἐὰν τὸ οἰκείως ἔχον, γνώρισμα τυγχάνῃ ἔσιῶδες (§. πδ'.) τῶ ὧ προσωκείωται· ἢ καὶ ἀποφατικῶς, ἐὰν ἧ τ' ἀντίθετον· οἷον ὁ ἄνθρωπος ἐστὶ λογικός· ἐκ ἔστιν ἄψυχος. Κριτήριον δὲ σαφέστε καὶ ἀναμφήριτον ἐπὶ τῶν ὄντως ἐχόντων κρίσεων, ὁ λόγος ἐστὶν ὁ τῆς Ἀντιφάσεως. Εἰ γὰρ ἐνῆν ἄλλως ἔχειν, καὶ μὴ ὄντως, ἢ δοκεῖ, ἅττα Ἐποπτικῶστε καὶ Ἐννοηματικῶς κρίνοντες ἀποφαινόμεθα, ἔχειν ἂν συνοεῖν ἡμῶν ἡ ψυχὴ τὸ αὐτὸ ἐν τῷ αὐτῷ, καὶ ἅμα μὴ συνοεῖν, ἀλλὰ τἐναντίον. Ἐνθεντοι καὶ αἱ κατὰ τὸ νοεῖν ἐπισυμβαίνουσαι τῶ Νῶ ἀλλοιώσεις ὑπ' ἀλλήλων ἂν ἀναιροῖντο, (§. ις'.) καὶ οὐδὲν ἂν ὄντως ὑπολείποιτο τὸ νοούμενον, ἀλλ' ἦμεν ἂν τὸ δοκεῖν νοοῦντες, τῆ δ' ἀληθείᾳ ἀναιροῦντες. Ἀλλ' ὅτι γὰρ δὴ, ἡ πρὸς τὸ τ' ἀντιφάσκοντα συνεπινοεῖν ἔπειξις τῆς ψυχῆς ἀνήνυτος ἐστὶν, αὐτὸ μόνον ἐχὶ φωνὶὺ ἀφιεὶν, τὸ ἐν ἡμῖν γνωστικὸν κέκραγε· Καὶ μενοῦσιν ἄρα, αἱ τὶὺ Ἀντίφασιν ἐπισυρόμεναι, ἐὰν μὴ συγχωρῶσιν, κρίσεις (οἵας τὰς ἐποπτικάστε καὶ συνοηματικὰς εἰρημένας εἶναι φανερὸν) διὰ παντὸς κρατοῦσαι, ἔξωτε ἀπορίας ἀπάσης, καὶ τῆς δι' ἐποχῆς δόλογε ὑπεριδρυμέναι σκέψεως. (1).

§. σμζ'. Δ'. τὸ τῆς σκέψεως χρῆμα περιττὸν καὶ ἐπὶ τῶν συλλογισμῶν, ὃς πρώτος Ἀριστοτέλης ἐκάλει τὰς αὐτὰς καὶ ἑξάτας (2)· τοιῶτοι δὲ, οἱ ἐξ Ἐποπτικῶντε καὶ Ἐννοηματικῶν (§. Ἀνωτ.) συγκροτέμενοι τῶν προκειμένων (3), καὶ τοῖς κατὰ χῆμα καὶ τρόπον στοιχοῦντες κανόσιν· ὃς δὴ κανόνας, Κριτήρια ὄντας τῶν διανοητικῶν, ἤτοι τῶν συλλογιστικῶν γνώσεων, ἐν οἰκείῳ τόπῳ ὑποθησόμεθα. Τοσοῦτον δὲ ἤδη ἡμῖν προσσημειωτέον.

(1) „Εἰ μὲν γὰρ ἐξ ἑκατέρου φαίνοιτο πρὸς αἴσθησιν, ἢ νόησιν ἐναργῶς, ἔχρηζε τᾶτο ζητήσεως. (Γαλην. περὶ Ἀριστ. Διδασκ.). Ἀλλ' ἐγὼ τὰ μὲν αἰθητὰ τοῖς ἐναργῶς αἰσθήσει φαινομένοις, τὰ δὲ νοητὰ τοῖς ἐναργῶς νοουμένοις κρίνω. Αὐτ. αὐτ.

(2) Ἀριστ. Μεταφ. Δ'. Κεφ. γ'.

(3) „Ἀρχὴ δὲ τᾶτων ἁπάντων ἐστὶ τὸ πρὸς αἴσθησιν τε καὶ νόησιν ἐναργές· ἡ μὲν ἓν Πρώτη ἀπόδειξις ἐκ τᾶτων ἁπάντων σύγκειται. Στρωματ. Βιβ. ή.

τέον, ὅτι κἂν μὴ ἐκ τοιούτων τύχωσι συνεζῶτες οἱ συλλογισμοὶ προκειμένων, ἀδὲ ἀλλ' ἦν ἧττον, εἰ τὰς αὐτοῖς προτάσεις ἐκ συλλογισμῶν ἄλλων προτέρων ἔχοιεν προαποδειχθείσας, μηδένα δὲ τῶν συλλογιστικῶν θεσμῶν ἀθετοῖεν, τῆς αὐτῆς τυγχάνειν καὶ αὐτοὶ πίστεως τοῖς πρώτοις ἐκείνοις καὶ ἐχάτοις, δίκαιοι εἰσίν. Ἐπίσης γὰρ ἀεὶ ἀσφαλὲς εἶναι δεῖ τὸ ἀποδειχθὲν, τῷ μέσῳ δι' ὃ ἔφθασαν προαποδείκται. (1).

§. σμή. Ε'. Οὐδὲ περὶ ἐκεῖνα δ' ἄντις εὖ φρονῶν διαμφισβητεῖν ποτὲ ἔλοιτο, ἃ τῶν πάντων χεδὸν μαρτυρέντων ὡς ἀφ' ἑνὸς σώματος ἀκέσειεν. Ἐπιεικῶς γὰρ ἀφραίνων δόξειεν, ἔστις περὶ τῆς μεγάλης ἠπείρε, τῆς πέραν τε ὠκεανὲ κειμένης διασκέπτοιτο ἀπορῶν καὶ ὑπενδοιάζων, ἐξ ὅτευ τὲ Κολόμβε ἐκείνε ἡγησαμένε, τοσῆτοι τὸν ἐπ' αὐτίκ κατάπλεν ποιησάμενοί τε καὶ ὁσημέραι ποιήμενοι, τὰ κατ' αὐτλὶ τοῖς πᾶσι διεξίενται, καὶ τοῖς ἐκεῖθεν ἡμᾶς ἀγωγίμοις καταπλετίζεσι (2). Περὶ ταῦτα γὲν διαπορεῖν καὶ ἐπέχειν ἀ θέμις· ἢ τίνα γὰρ εἰδέναι ἀσφαλῶς, καὶ βεβαίως ἐπίστασθαι, τῶν ὧν περ ἂν ἐνενοήσαιμεν, ἢ ταῦτα λέγειν ἔχοιμεν ἂν δικαιότερον;

§. σμθ'. Τέτων ἓν ἔτως ἐχόντων, τλὶ σὺν ἐρθνῃ ἄρα τῇ προσηκέσῃ (§. σλθ'.) γινομένλω σκέψιν (ἐπείτοιγε ἐφ' ὧν ἐν παντελεῖ ἀγνοίᾳ ἐσμὲν (§. σμβ'.), ἢ ἐν ἀκριβεῖ τῇ περινοίᾳ (§. σμγ'. κξ'.) χώραν ἐκ ἔχει.) λοιπὸν ἐσὶν ἐπὶ τὰ δι' ἀμφιγνοίας, ἢ καθ' ὑπόνοιαν ἡμῖν ἀ βεβαίως διαγινωσκόμενα ἐν χρήσει γίγνεσθαι. Ἔσι δὲ σὺ ἀμφιγνοίᾳ ἡμῶν ἡ ψυχὴ, ἐπειδὰν μηδέτερον τῶν τῆς ἀντιφάσεως μορίων περὶ ὁτεδὲν φᾶναι εἰλι-

(1) „Ἡ δὲ ἐκ τῶν ἤδη φθασάντων „ἀποδεδεῖχθαι, διὰ τῆς δε πάλιν ἕτε„ρόντι περαίνεται (ἀπόδειξις) πιστὴ μὲν „ἀδὲν ἧττον ἐσὶ τῆς προτέρας, ἀμὴν „καὶ πρώτη ὀνομάζεθαι δύναται, διότι „μηδ' ἐκ πρώτων περαίνεται προτάσεων. Στρωματ. Βιβ. η'. Τῶν γὰρ ἐναρ„γῶν ἐπίκρισις ἡ κοινὴ πάντων ἀνθρώ„πων ἔννοια, τῶν δὲ δι' ἀποδείξεως κα„ταλαμβανομένων ἐπίκρισις, ἡ πρὸς „τὰ ὁμολογέμενα συμφωνία... οχί„ζεται δ' αὖ πάλιν ἡ τῇ ὁμολογεμένῃ „ἐπίκρισις εἰς πλείονα· ἦτοι γὰρ τῇ „πρὸς τὰ φαινόμενα τὸ ὁμολογέμενον „κρίνεται, ἢ τῇ πρὸς τὰ ἐναργῆ, ἢ τῇ πρὸς τὰ ἀποδεδειγμένα συμφωνίᾳ. „Γαλην. περὶ Ἀρισ. Αἱρέσ.

(2) „Ἀλλ' ἡμᾶς πεπισεύκαμεν πε„ρὶ τῆς Κρήτης ὅτι ἐσὶν, ἀπὸ τέτων „τῶν εὐλόγων γᾶν ὁρμώμενοι, ὅτι πλεῖ„στις ἐκεῖθεν δεῦρο, καὶ πάλιν ἔνθεν ἐ„κεῖ. Καὶ ὅτι φίλοι τινὲς Κρῆτες εἰ„σὶν ἐνταῦθα· ἢ καὶ πάλιν οἷς ἐπιτέλ„λομεν, καὶ παρ' ὧν γράμματα ἡμῖν „διακομίζεται. Ἔτιτε ὅτι καὶ πάνλες „ἄνθρωποι περὶ τῆς αὐτῆς ὁμολογᾶσι καὶ οἱ ἔχθιστοι. Αὐτ. αὐτ.

εἰλικρινῶς δύναται, μηδέτερόν τε ἀποφᾶναι, ἐν μετεώρῳ οἷον ἀπηωρημένη τιὼ γνώμιω, καὶ ὡς ἐπὶ πλάσιγγος ἀῤῥεπὴς μένουσα. Τᾶτο δὲ διττῶς ἂν γένοιτο· Ἤτοι γὰρ ἀποφατικῶς, εἰ μηδετέρωθεν λόγος ὑπείη μηδεὶς, ὃς ἂν ἡμῶν τιὼ συγκατάθεσιν ἐπιπάσαιτο, ἐπ' ἐνίων μὲν, καὶ παρὰ τιὼ τᾶ κρίνοντος τάχα ἀσθένειαν, ἐπὶ πολλῶν δὲ, καὶ παρὰ τιὼ τῶν πραγμάτων ἀσάφειαν· ἢ γᾶν καὶ θετικῶς, εἴπερ ἐπίσης ἐμβριθεῖς οἱ λόγοι ἑκατέρωθεν ὄντες, ἀμηχανεῖν πως διὰ τιὼ ἰσοθένειαν ἡμᾶς ἀναγκάζοιεν, ταλαντευομένες ἐν ἀντιῤῥοπίᾳ, καὶ τιὼ κρίσιν ἐπέχοντας. (1)· τᾶτων τιὼ μὲν ἀποφατικιὼ ἀμφίγνοιαν ὀνομάζειν δίκαιον, οἵαν πάσχειν εἰκὸς τᾶς δικάζειν μὲν ἐπιβαλλομένας, μηδὲν δέπω τῶν ἀντιδίκων ἀκέσαντας· ἢ ἀκέσαντας μὲν, μὴ συνιέντας δέ. (2). τιὼ δὲ θετικιὼ, καθ' ἰῶ τᾶς αὐτᾶς διακεῖσθαι συμβαίνει, ἀκροασαμένας μὲν τῶν μερῶν ἀμφοτέρων, τᾶτε κατηγορηκότος καὶ τᾶ συνηγορήσαντος, ἰσοβαρεῖς μέντοι τᾶς ἑκατέρωθεν ἐπενιωεγμένας τῶν λόγων κρίναντας· Τοῖς ἕν ἕτω κατ' ἀμφίγνοιαν ἀμηχανᾶσι, καὶ τοῖς δεδεμένοις κατ' Ἀριστοτέλιω (3) προσεοικόσι, τῆς μὲν κατ' ἀπόφασιν ἀμφιγνοίας τιὼ λύσιν τῇ ἐπιμελεῖ τῶν λόγων ἐρῶνῃ, τῆς δὲ κατὰ θέσιν, τῇ παραθέσει τῶν αὐτῶν λαβεῖν ἐλπιτέον. (4). Ἐὰν δὲ ἔθ' οἱ λόγοι ἐπ' ἐκείνης ὦσι θηράσιμοι, ἔτ' ἐπὶ ταύτης ἡ διαφορὰ τᾶτων λητὴ, ἐφεκτέον λοιπόν· (τὶ γὰρ ἄλλο;) καὶ τὸ τᾶ ποιητᾶ ἀσέον (5).

„Ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ.
„Καίφημι, κἀπόφημι, κοὐκ ἔχω τὶ φῶ.

(1) „Καὶ πᾶς γὰρ Δογματικὸς ἐ-„πέχειν εἴωθεν, ἤτοι παρὰ γνώμης ἀ-„σθένειαν, ἢ παρὰ πραγμάτων ἀσά-„φειαν, ἢ παρὰ τὴν τῶν λόγων Ἰσοθε-„νίαν. Στρωμ. Βιβ. η'.

(2) Πλάτων. Βιβ. Ζ'. περὶ Πολιτ.

(3) Ὅρα §. σλδ'. Σημέ.

(4) „Πῶς γὰρ ἂν ἄνθρωποι καλῶς „δυνηθεῖεν, ἢ κρίναι περὶ τῶν γεγενη-„μένων, ἢ βαλεύεσθαι περὶ τῶν μελ-„λόντων (τᾶτο δ' εἰρήσθω καὶ περὶ τῶν „εἰς θεωρίαν προκειμένων) εἰ μὴ τὰς „μὲν λόγας τᾶς τῶν ἐναντιωμένων πα-„ραλήλας ἐξετάζοιεν, αὐτοὶ δ' ἑαυτᾶς „κοινᾶς ἀμφοτέροις Ἀκροατὰς παρέ-„χοιεν; Ἰσοκρ. περὶ Εἰρήνης· τῷ ὄν-„τι γὰρ βέλτιον ἀνάγκη ἔχειν πρὸς „τὸ κρίναι, τὸν ὥσπερ ἀντιδίκων, καὶ „τῶν ἀμφισβητούντων λόγων ἀκη-„κοότα πάντων. Ἀριστ. Μεταφ. Β'. „Κεφ. ά.

(5) „Σοφοκλ. ἐν Οἰδίποδι.

§. σν΄. Ἐν ὑπονοίᾳ δὲ πάλιν δυσὶ τρόποις ἡμᾶς εἶναι συμβαίνει· Ἤτοι μόνον ἑτέροθεν λόγον τινὰ ὑπαθρȣ̃ντας, καὶ μηδὲ τȣ̃τον πάνυ ἐῤῥωμένον, μηδ' ἀποχρῶντα παντὸς ἔξω δέȣς τὴν ψυχὴν ποιῆσαι, ἅτε δὴ μὴ τ' ἀληθὲς τῷ μέρει προσεῖναι, ἐναργῶς τε καὶ ἐκ τȣ̃ προφανȣ̃ς συνιδεῖν παρεχόμενον, κατὰ τὸ εἰκὸς δέπως, καὶ ὁπωσȣ̃ν ἐναλήθως· ἢ γȣ̃ν ἑκατέροθεν μὲν λόγων ὑποφαινομένων, ἐπιβριθεςέρȣ δὲ τȣ̃ ἑτέρου, καὶ ῥοπὴν εἰς τὸ πεῖσαι μείζονα ἔχοντος. Κἀνταῦθα δὲ εἴπερ ἀλλαχȣ̃, τῆς σὺν ἐρεύνῃ τῇ προσηκȣ́σῃ ἀμφισβητήσεως καὶ διασκέψεως χρεία. Δι' ἧς, εἰ μὲν γένοιτο διὰ κρατιςάτων λόγων, καὶ πάντῃ ἀναντιῤῥήτων, τὴν κατὰ θάτερον ὑπεροχὴν ἐπιγνωσθῆναι, καὶ τὰ τῆς ὑπονοίας τέως εἰς περίνοιαν μεταςήσεται ἀκριβῆ· Εἰ δὲ μήγε, ἡ καὶ πρὶν ὑπȣ̃σα ὑπόνοια ὑπολειφθήσεται. (1). Περιȣ̃σα δὲ, πεποιθότως, καὶ ἐνδοιασμȣ̃ παντὸς ἄνευ, τὸ δοκȣ̃ν ἀποφήνασθαι ȣ̓κ ἐπιτρέψει· τῷ δὲ κράτει τῆς ᾗ προσερείδεται πίςεως, κατὰ τὸ μᾶλλον ἢ ἧττον ταλαντευομένη, ὑπόληψίς τε καὶ δοξασία, ἔγγιον ἢ ἀπωτέρω τȣ̃ ἀληθȣ̃ς γινομένη ἀκȣ́σεται, τὸ μὲν δήπȣ, καὶ τὸ πάντως, καὶ ὅσα ἄλλα πληροφορίας ἀδιςάκτȣ μόρια ἐςὶν ἐνδεικτικὰ ἀποκλείȣσα, τὸ δὲ ἴσως, καὶ τὸ τάχα, καὶ τάγε τȣ́τοις ἰσοδύναμα τῷ λόγῳ παρεισάγȣσα. (2).

(1) Εἰ μὲν ἰσάζοιεν ἀλλήλαις αἱ „κρίσεις (αἱ ἐναντίαι δηλ.) ὡς πρὸς πί„ςιν, ἐπέχειν ἀναγκαῖον ἡμᾶς ἔςαι „περὶ τῆς τȣ̃ πράγματος ὑπάρξεως. „Εἰδ' ἡ ἑτέρα φαίνοιτο μακρῷ πιςοτέ„ρα συγκατατίθεσθαι μὲν, καὶ πράτ„τειν γέτι κατὰ τὴν συγκατάθεσιν, „ȣ̓κ ἀπερισκέπτως δέ. Καθάπερ εἰ „καί τις τὴν ἡδονὴν ἀγαθὸν οἰόμενος „ὑπάρχειν, ἔχει τὶ βραχὺ περιέλκον „εἰς τȣ̓ναντίον· ἢ εἰ μόνον τὸ καλὸν ἀ„γαθὸν ὑπολαμβάνων, ὅμως ἔτι καὶ „αὐτὸς ἀντισπῶσαν ἑτέραν ὑπόληψιν „ἔχει πρὸς τὸ μὴ διατεταμένως πιςεύ„ειν. Γαλην. Ἐν τῷ περὶ τῶν Ἱπποκρ. „καὶ Πλάτ. Δογμ. Βιβ. Ε΄. Κἂν μή„τε λείπηται τῇ πιθανότητι, μήτε ὑ„περέχῃ πολὺ, χαίρειν ἔα τὰς δόξας, „τὸ ἐπέχειν ἐν τοῖς ἀδήλοις τȣ̃ συγκα„τατίθεσθαι φιλοσοφώτερον ἡγȣ́μενος. Πλȣ́τ. περὶ τȣ̃ Πρώτȣ ψυχρȣ̃.

(2) „Καὶ ἀμφισβητȣ̃ντες προςι„θέασιν ἀεὶ τὸ ἴσως, καὶ τὸ τάχα. Ἀριςτ. Ῥητορ. β΄.

ΚΕΦΑ-

ΚΕΦ. ΔΕΥΤΕΡΟΝ.

Περὶ Ἀληθείας καὶ ψεύδους, καὶ περὶ τῆ Βεβαίᾳ, καὶ τῆ Πιθανῆ, καὶ περὶ Ἀπάτης.

§. σνά.

Ἐπεὶ δὲ πᾶσα ἡμῶν ἡ σκεδὴ, ἐπεχόντων, διαπορέντων, διασκεπτομένων, ζητέντων, τ' ἀληθὲς τέως τῆ ψευδῆς ἢ δέον, ἐξὶ διακρίνειν, καὶ τὸ βέβαιον τῆ πιθανῆ καὶ κατὰ δόξαν ἀντιδιαξέλλειν, καὶ τλὺ ἐκ τῆ αἱρεῖθαι τὸ δοκῆν ἀντὶ τῆ ὄντος, ἀπάτλυ ἐκκλίνειν, ἃ πάρεργον ἔσεθαίμοι δοκεῖ, ἐὰν καὶ τέτων ἕκαςα ἐνταῦθα τεθῇ τίποτε ἐξὶ, καὶ ποσαχῶς λέγεται.

§. σνβ'. Τὸ μὲν ἓν ἀληθὲς, περὶ ἃ ἐν γένει εἴρηται (Προδ. Γ'. §. γ'. καὶ Σημ.) λογικώτερον ἐνταῦθα καὶ ἐν πρώταις ἐννοίαις θεωρεῖθω. καὶ ἐν σκέψεσι, καὶ ἐν κρίσεσι, καὶ ἐν συλλογισμοῖς. Ὡσαύτως δὲ καὶ τὸ ἀνλιπερικάμενον ψεῦδος, ἐν οἷσπερ ἂν ἔχοι παρεῖσδυσιν.

§. σνγ'. Καὶ ἡ μὲν ἔννοια ἡ πρώτη, ἐὰν ᾖ τῶν ἁπλεςάτων (§. μβ'.) εἴτε κατ' αἴθημα ἀνεπιλήπτως προσίπτον (§. σμδ'.) οἷον ἡ τῆς ἐκ τῆ πυρὸς θερμότητος, εἴτε καὶ κατὰ νόημα εἰλικρινὲς ἐναργῶς παρισάμενον (§. σμέ.) οἷον ἡ τῆ ὄντος, ἡ τῆς ὑπάρξεως, ἀληθεύσα ἀεὶ, καθ' ἑαυτλὺ θεωρεμένη. Καὶ τέτο ἡ κατὰ τλὺ γνωσικλὺ δύναμιν ἐνδοτάτη συνείδησις μαρτυρεῖ (§. ζζ'.) ἐδὲ γὰρ ἄλλως πως ἑαυτλὺ ἡ ψυχὴ ἐπιγιγνώσκειν ἔχει διακειμένλυ παρ' ὃ διάκειται.

§. σνδ'. Ἡ δὲ σύνθετος ἔννοια (§. μγ'.) ἀληθὴς ἐξὶν, ἐὰν δὶ αὐτῆς συνεπινοῆται τὰ Φύσει συμβαίνοντα, οἷον ἡ τῆ ἀνθρώπε ἢ δίπες· ψευδὴς δὲ ἐὰν τὰ μὴ, οἷον ἡ τῆ ἀνθρώπε ἢ τετράπες. Δυνάμει δὲ τέτο ὑπολανθανέσης τινὸς κρίσεως. (§. ζζ'.).

§. σνέ. Ἡ δὲ συμπεπλεγμένη (§. μγ'.) ἀληθὴς μὲν, ἐὰν μὴ ἀδυνάτως ἔχωσι συνεπινοεῖθαι αἱ ἁπλέσεραι τῶν ἐννοιῶν, ἐξ ὧν συμπέπλεκται· οἷον ἄνθρωπος ἄχειρ, τετράπες· ὥσε ὁδὸν κωλύει, τλὺ αὐτλὺ ἀληθῆ μὲν εἶναι τῇ ἐπινοίᾳ, ψευδῆ δὲ (§. ἀνωτ.) Φύσει· ψευδὴς δὲ, ἐὰν μὴ συνεπινοεῖθαι ἔχωσιν αἱ

αἱ ἁπλέστεραι, ὡς ὑπ' ἀλλήλων ἀναιρέμεναι. Οἷον κύκλος τετράγωνος· τρίγωνον ἰσόπλευρον ὀρθογώνιον. Ἀληθεῖς ἔν αἱ τῶν ἀνυπάρκτων εἰρημέναι (τὸ δ' ἀληθὲς νοητέον τῇ ἐπινοίᾳ) ψευδεῖς δὲ αἱ τῶν ἀδυνάτων (§. μθ'.).

§. συς'. Κατὰ δὲ τὰς συνθέτους καὶ συμπεπλεγμένας ἐννοίας, καὶ οἱ Ὁρισμοὶ, οἵτε ὀνοματώδεις, καὶ οἱ πραγματώδεις, ἀληθεύοντες ἓν εἶεν, ἢ ψευδόμενοι· ἐδὲν γὰρ ἄλλο οἱ ὁρισμοὶ εἰσὶν, ἢ τῶν τοιούτων ἐννοιῶν ἀναλύσεις. (§. ρις'.).

§. συζ'. Καὶ Διαίρεσις δὲ ἀληθὴς (§. ρνζ'.) καθ' ἣν ἀνεπτυγμένως πάντα τὰ μέρη νοεῖται, ὅσα συνεπτυγμένως ἐν τῷ ὅλῳ καταλαμβάνεται, καὶ ἔτε πλείω, ἔτ' ἐλάσσονα. Ψευδὴς δὲ τἀναντίον.

§. συή'. Καὶ Σκέψις δὲ ἀληθὴς μὲν, καθ' ἣν ζητεῖται τὰ κατ' ἀμφίγνοιαν (§. σμθ'.) ἢ καθ' ὑπόνοιαν (§. σν'.) ἑκατέρωθεν ἡμῖν τὸ φρονεῖν ἀντιπεριέλκοντα· ψευδὴς δὲ, καθ' ἣν τις ἢ τὰ πάντη ἄληπτα αὐτῷ διερευνῶν εἰς κενὸν ἐκβιάζεται (§. σμβ'.) ἢ ἐπέχειν πλάττεται περὶ τὰ προδήλοτατα (§. σμγ'. κξ'.), ἐφ' οἷς τὸ ἐπέχειν ἀδύνατον· οἷα δὴ παίζοντες γεγόνασιν οἱ Πυῤῥώνειοι.

(§. συθ'. Καὶ ἡ κατὰ Κρίσιν δὲ τῆ Γνωσικῆ ἐνέργεια τετέσιν ἡ Ἀπόφανσις ἀληθὴς μὲν ἐσὶν, ἐὰν τιὼ ἐγχωρῆσαν σχέσιν δυεῖν μεταξὺ ἐννοιῶν παρισάνῃ (1), οἷον τὸ τετράγωνον ἐσὶ τετράπλευρον, ἐκ ἔσιν ἀδιαίρετον· ψευδὴς δὲ ἐὰν τιὼ μὴ ἐγχωρῆσαν, οἷον τὸ τετράγωνον ἐκ ἔσι τετράπλευρον, ἔσιν ἀδιαίρετον.

§. σξ'. Ἡ δὲ κατὰ Διάνοιαν τέως ἀληθεύσει μὲν ἐξ ἀληθῶν ἀποφάνσεων, ἀπόφανσιν ἑτέραν, ἀληθῆ καὶ ταύτιν, κατὰ τὸ δέον ὑποσυνάπτουσα· ψεύσεται δὲ, ἤτοι παρὰ τὸ μὴ ἐξ ἀληθῶν, ἢ ἐκ τῆ μὴ δεόντως εἰσβάλλειν τὸ συναπτόμενον. Ἀλλὰ περὶ τέτε ὕσερον.

§. σξά. Νῦν δὲ σημεῖον ἄξιον, ὡς ἐπ' ἀκριβὲς ἁπλῶν ἡ ἀλήθεια, καὶ τῆς κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφορᾶς ἐσὶν ἀνεπί-

(1) Εἰσὶν οἱ τὴν ἀληθῆ Ἀπόφανσιν ἀποδεδωκότες εἶναι, ὑφ' ἧς ἡ τῶν δυνατῶν ἰδεῶν σχέσις παρίσαται. Quae exhibet respectum idearum possibilium· ἀνιμὴν ὀρθῶς τόγεμοι δοκεῖν. Καὶ γὰρ καὶ αἱ ἐφεξῆς, τὸ κατ' εὐθυγραμμίαν δίγραμμον χωρίον ἃ περιέχει· ἐδὲν τρίγωνον ἐσὶν ἰσόπλευρον ὀρθογώνιον· ἐδὲν σῶμα ἀνέκτατον ἐσὶν ἐν τόπῳ, καὶ αἱ παραπλήσιαι, ἐπιεικῶς εἰσὶν ἀληθεύσασαι.

νεπίδεκτος, παράσασίς τις ἔσα τῶ ὄντος, ὡς ἐςὶ (§. Ἀνωτ.), καὶ σὺ τῷ συμφώνω, καὶ ταυτῷ τινὶ ἵδρυσιν ἔχουσα (§. γ'.) Προδι. Γ.)· τὸ δέτοι ψεῦδος ἐκ τῶ ἐναντίε ἐν ἑτερότητι καὶ διαφωνίᾳ σαλεῦον, πολυχεδὲς εἶναι εἰκὸς, καὶ παντοίως καταποικίλλεσθαι (1).

§. σξβ'. Ἡ περὶ τὰ καθ' ἕνα δήτινα τῶν ἀνωτέρω τρόπων ἀληθεύοντα, ἢ ψευδόμενα, ἀνενδοιάσως ἐγγινομένη τῇ ψυχῇ γνῶσις, σὺ ἀκλινεῖτε καὶ ἀκλονήτῳ τῇ πληροφορίᾳ, ὡς ἔτως ἔχει καὶ ἐκ ἄλλως τὸ ὑπ' αὐτῆς γινωσκόμενον, Βεβαιότης καλεῖται. Βέβηκε γάρ πως κατὰ ταύτιν τὸ γνωσικὸν, καὶ σερρῶς ἔχει, καὶ ἀκινήτως, μηδὲν ὑφορώμενον ἀντιπίπτον, μηδ' ἄχρις ὑπονοίας τινὶ ἀπάτιν ὑποσελλόμενον.

§. σξγ'. Διακρίνειν δὲ δεῖ ἐπὶ τῆς Βεβαιότητος αὐτήν τε τῆς ψυχῆς τινὶ κατάσασιν, ἢ ἀδιασείσως καὶ ἀραρότως ἐμμένει τοῖς δόξασι· Καὶ τὰ ἐφ' οἷς, ἤτοι τὰ πράγματα περὶ ἃ θεωρεῖται τὸ βέβαιον. Καὶ τὰ δι' ὧν· ἀμέλειτοι τὰς λόγως τὰς τινὶ πληροφορίαν τῇ ψυχῇ ταύτιν ἐμποιῆσαι δύναμιν ἔχοντας. Τέτων τινὶ μὲν πρώτιν Βεβαιότητα κατὰ τὸ ὑποκείμενον καλεῖν ἀξιῶσι· τινὶ δὲ δευτέραν, κατὰ τὸ ἀντικείμενον· τινὶ δὲ τρίτιν κατά τὰ μέσα.

§. σξδ'. Ἡ τοίνιν ὡς ἐκ τῶ ὑποκειμένε βεβαιότης, ἡ σὺ τῷ σερρῶτε καὶ ἀμεταθέτῳ τῆς γνώμης κειμένη, τῶ μετὰ ἐντελῶς ὡς εἰρηται πληροφορίας (§. σξβ'.) τοῖς νοητοῖς ἐπιβάλλοντος, ἐκ ἀεὶ τοῖς γινωσκομένοις ἐςὶ συμβαίνσα, ἐδὲ περὶ τῶν αὐτῶν τοῖς πᾶσιν, ἔτε τῷ αὐτῷ ἀεὶ ἡ αὐτή. Δῆλον δέ. Καὶ γὰρ περὶ σὺ καὶ ταυτὸ, οἷον τινὶ γλῶ πεπιεσμένιν μὲν ὑπὸ τοῖς πόλοις εἶναι, ἐπὶ μᾶλλον δὲ διακυρτᾶσθαι κατὰ τὸν Ἰσημερινὸν, ἔσι μὲν ὃς ἀδισάκτως πέπεισαι· ὁ δέτις πυνθανόμνος, ἐδὲν ἀπεικὸς εἶναι ὑπέιληφεν· ὁ δὲ τυχὸν, καὶ διαπισεῖ. Καὶ περὶ τὸ αὐτὸ ἔτι ὁ αὐτὸς ὅ μέχρι δήτινος, ὅσον ἀχὶ καὶ διαμυκτηρίζων ἦν ὡς πλαττόμενον, ἐπιβαλὼν ἔπειτα τῷ λεγομένῳ, καὶ ἐκ μέρως τὰ κατ' αὐτὸ διανοήσας, ἀ πάντη ἔξω τῶ πιθανῶ εἶναι τοπάζειν ἤρξατο. Πολυπραγμονήσας δὲ καὶ ἀτενέσερον διά-

(1) „Ἀληθεύειν μὲν γὰρ ἁπλῶς, „ψεύδεσθαι δὲ ἀπειραχῶς παρέχει τὰ „πράγματα. Καὶ ῥυθμοὶ, καὶ ἁρμονίαι λόγον ἔχουσιν, ἃ δὲ πλημμελῆ„σιν ἄνθρωποι περὶ λύραν, καὶ ᾠδήν, „καὶ ὄρχησιν, ἐκ ἄντις περιλάβοι. Πλτ. Συμποσιακ. Βιβ. ή. Προβλ. δ'.

διασκεψάμενος, καὶ πληροφορίαν τέως προσεπορίσατο τὴν τελεωτάτην. Οἷα πολλοὺς παθεῖν τῶν ἐπὶ τοῦ τῆς Ἀμερικῆς εὑρέτου γεγονότων ἱστόρηται. Καὶ μυρία δ' ἄν τις εὕροι καὶ καθ' ἡμᾶς, περὶ ὧν ἄλλοι μὲν ἄλλως, καὶ οἱ αὐτοὶ δὲ ἄλλοτε ἄλλως ὑπολαμβάνουσιν. Ἔστιν οὖν καὶ ἐπὶ τοῦ ψευδοῦς ποτὲ, τὸ ἐξ ὁλοτελοῦς καὶ ἀδιστάκτου πειθοῦς κατιδεῖν ἑδραῖον τοῦ Νοῦ καὶ ἀσάλευτον, ὥσπερ οὖν καὶ ἐπὶ τοῦ ἀληθοῦς τὰ πολλὰ τὸ ἀπαγὲς τῆς γνώμης καὶ σαλευόμενον. Οὐ γὰρ οὐδ' ἀεὶ ἀληθὲς, οὗπερ ἀστεμφῶς ὁ νοῦς ἐδράξατο, ὡς οὐδὲ τοῦ ἀληθοῦς ἐπὶ πάντων. Κἀντεῦθεν ἡμῖν οἱ ἀντιδογματίζοντες, καὶ ὑπερδιατεινόμενοι τὰ ἐναντιώτατα. (1). Αἴτια δὲ, ἥτε τῆς Διανοίας βραχύτης, ὡς φᾶναι, καὶ ἀφυΐα, καὶ πρόληψις δυσαπόθετος, καὶ τ' ἄλλα δι' ἃ τῇ ψυχῇ συμβαίνει τῆς ἀληθείας παράγεσθαι, περὶ ὧν (Προδι. Β'.) εἴρηται.

§. σξέ. Ἡ δὲ κατὰ τὸ ἀντικείμενον εἰρημένη (§. σξγ'.) βεβαιότης, ἐν αὐτοῖς τοῖς πράγμασι θεμελιοῦται ἧπερ ἔχουσι φύσεως· τὸ γὰρ βέβαιον, καὶ ἀσφαλὲς, καὶ πιστὸν, καὶ αὐτοῖς περίεστιν, ἤτοι κατὰ τοὺς οὐσιώδεις ἐν αὐτοῖς λόγους, καθ' οὓς ἀεὶ ὡσαύτως ἔχοντα ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν· ἢ κατὰ τοὺς ἐν τῇ φύσει κειμένους ὅρους τε καὶ θεσμοὺς, δι' οὓς ἀπαραιτήτως αἱ αὐταὶ δυνάμεις, τῶν αὐτῶν, ἤτοι ὁμοίων ἀποτελεσμάτων καθίστανται παρακτικαί· ἢ τῷ λόγῳ τέως τῆς ὑπάρξεως τῶν γινομένων, καθ' ὅτι οὐχ' οἷόν τε μὴ γενέσθαι τὸ γεγονὸς, ἢ μὴ εἶναι τὸ ὄν, ἢ μὴ ἔσεσθαι τὸ ἐσόμενον.

§. σξς'. Εἴδη γὰρ τῆς τοιαύτης βεβαιότητος καταλέγεται τρία· τῆς μὲν Μεταφυσικῆς λεγομένης, τῆς δὲ Φυσικῆς, τῆς δὲ Ἠθικῆς. Καὶ Μεταφυσικὴ μὲν ἐστὶν, ἡ ἐπὶ τῶν ἄλλως πως μηδ' εἶναι δυναμένων, μηδὲ νοηθῆναι, παρ' ὃ νοεῖται καὶ ἐστίν. Οὕτω βέβαιον ἐστὶ τὸ ὅλον μεῖζον εἶναι τοῦ μέρους, καὶ τὸν κύκλον περιφερῆ, καὶ ἁπλῶς πάντα, ὧν μὴ οὕτως ἔχειν νοουμένων, ἡ ἀντίφασις παρὰ πόδας. (§. σμς'.). Φυσικὴ δὲ βεβαιότης, ἡ ἐπὶ τῶν μὴ ἄλλως κατὰ τοὺς ἐν τῇ φύσει ὅρους πεφυκότων συμβαίνειν, ὧν μέντοι τοὐναντίον ἔχοι ἂν ἀναπλάσασθαι ἡ διάνοια, οἱα-

(1) Ὡς ἐκεῖνο ἐν μέρει γοῦν ἀληθέστατα λέγεσθαι τὸ τοῦ Λουκιανοῦ οὕτω προσδιορισθέν.

„Οὐ πᾶν ἀνθρώποισι διακριδὸν ἐστὶ νόημα·
„Ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

οἰασοῦν ἄνωθ' ἀντιφατικῆς ἀντιπεριπλώσεως· οἷον τὸ κατωφερῆ μὲν εἶναι τὸν λίθον, ἀεικίνητον δὲ τὸν ἥλιον ὁρᾶσθαι, καὶ τὰ παραπλήσια· τί γὰρ τὸ κωλῦον, τὸν μὲν μετέωρον, ἔτ' ἀρανῆ, ἢ λέγεται, ἔτε γῆς ἁπτόμενον· τὸν δὲ μεσουρανοῦντα καὶ στηριζόμενον, ἀμφοτέρωθεν ἀναπλάσαι ἀκινήτως ἔχοντες; Βεβαιότης δὲ Ἠθικὴ, ἡ ἐπὶ τῶν καὶ φύσει ἄλλως ἂν ἔχειν οἰόντε ὄντων, μηδενὸς, οὗ ἂν αὐτοὶ εἰδέναι ἔχοιμεν, τῶν ἐν τοῖς ἔθεσι θεσμῶν παρακινεμένε· Ὄντων δὲ βεβαίως, ἐπείτοιγε πάντως γεγόνασιν, ἢ εἰσὶν, ἢ ἔσονται. Οἷον ὅτι ἦρξε ποτὲ τῆς Ἀσίας ὁ τῆ Φιλίππε· ὅτι πλεῖστοι τῶν ἐπὶ γῆς ἀνθρώπων κατάγε τὸ νῦν εἶναι διατελοῦσι καθ' ὁδόντες· ὅτι τὰ εἰς νέωτα γεννησόμενα πρόβατα ἢ πάντα ἔσαι λευκά. κξ. Ἀπαιτητέον δὲ εἶναι φασὶ τὸ μὲν κατὰ τὸν πρῶτον τρόπον ἀσφαλέστε καὶ βέβαιον ἐπὶ τῆς μεταφυσικῆς ἀκριβολογίας (1), κἂν τοῖς μαθήμασι· τὸ δὲ κατὰ τὸν δεύτερον, ἀπαιτεῖται ὁ περὶ τῆς Φύσεως λόγος· τῷ δὲ τέως κατὰ τὸν τρίτον τὰ ἰσορρέμενα μάλιστα προσεδράζεται.

§. σξζ'. Ἡ δὲ δὴ τρίτη, ἡ κατὰ τὰ μέσα βεβαιότης, ἐν αὐτῷ τῷ κράτει θεωρεῖται τῶν πίστεων, δι' ὧν κατασκευάζεται, καὶ κρατύνεται τὸ δεικνύμενον. Ὅν δήπε τρόπον βεβαίας τε καὶ ἀδιαπταίστες εἶναι φασὶ, τὰς ἀκριβεστάτας τῶν Ἀποδείξεων. Ὀρθῶς δ' ἄντις οἶμαι, καὶ πάντα τὰ ἐπὶ τὸ ἀσφαλῶς ἡμᾶς καὶ πιστῶς εἰδέναι τε φέροντα, ταύτη γε βέβαια εἶναί τε καὶ λέγεθαι τάξεις. Καὶ γὰρ δὴ καὶ αἴσθησιν τὴν ἀμέμπτως κινεμένην· Καὶ ἔννοιαν τὴν ἀναργῶς τε καὶ ἀκρινῶς τὸ νοητὸν παριστάνεσαν· Καί γε τὴν κρίσιν, τὴν ἐποπτικῶς, καθάπερ εἴρηται, ἢ συνοηματικῶς περὶ τῶν ὄντων ἀποφαινομένην. Καὶ Διάνοιαν δὲ, τὴν ἐκ τοιούτων κρίσεων, ὀρθῶς τε καὶ ἀμεθόδως τὸ ἐπιφερόμενον ὑποσιωπάπτεσαν. Οὐδὲν γὰρ ἐκ λίθων, οὐδ' ἴχνος γῆν ὑπονοίας ἐγκαταλείπεται, τῆ μὴ πάντη πάντως ἕτως

(1) „Τὴν Ἀκριβολογίαν τὴν Μα„θηματικὴν, ἣν ἐν ἅπασιν ἀπαιτη„τέον, ἀλλ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. „Διόπερ ἡ φυσικὸς ὁ τρόπος. Ἅπασα „γὰρ ἴσως ἡ Φύσις ἔχει ὕλην. Ἀρις. Μεταφ. γ'. „Πεπαίδευμένε ἐ„στὶν ἐπὶ τοσοῦτον τὸ ἀκριβὲς ἐπιζητῶν „καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τῆ „πράγματος φύσις ἐπιδέχεται. Παρα„πλήσιον γὰρ φαίνεται Μαθηματικῆ„τε πιθανολογοῦντος ἀποδέχεθαι, καὶ „Ῥητορικὸν Ἀποδείξας ἁπαιτεῖν. Αὐτ. Ἠθ. Α'. Κεφ. ά.

ἔτως ἔχειν, τὰ ταύτηγε ἡμῖν γινωσκόμενα. (§. σμγ'. κξ'.). Οὐδὲ γὰρ ἐν τέτοις ἐφ' ἡμῖν ἐσὶ τὸ ἀνδέναι. Οὐδὲ βελήσει, ἀναγκη δέτινι ἀπαραιτήτω πρὸς συγκατάθεσιν ἐπιτρώμεθα, ἐξ αὐτῆς προδήλως τῆς ἱερᾶς Φύσεως, ἕτω νοεῖν καὶ γινώσκειν, μηδὲ ἄλλως ἔχειν ὑσιωθέντες. (1). Ἐπὶ τέτοις δὲ καὶ ἡ ὑπὸ ἀξιοπίσων Ἀνδρῶν κατατιθεμένη, ἀπαρεγχείρητος ἐσὶ μαρτυρία, πίσεως πολλάκις ἐκ ἀμφιβόλε ἡμῖν καθισαμένη παραίτιος. Πρὸ δὲ πάντων, ἀκροτάτε βεβαιότητος ἀπάσης εἶναι τακτέον, τινὶ ἐπὶ τοῖς ἄνωθεν ἡμῖν ἀποκεκαλυμμένοις, ἐφ' οἷς ἡ εἰς ΘΕΟΝ καὶ τὰ θεῖα κρηπίζεται πίσις. Πλινὶ ὅσον τῇ μὲν περὶ τῶν ἀνθρωπίνων τινὶ ἐναργειαν ἀπαιτήσῃ, τὸ τῆ λόγε Φῶς περικέχυται, τῆς δὲ περὶ τὰ θεῖα, νεφέλη κύκλω πυκνὴ, καὶ γνόφος βαθὺς περιπέπασαι.

§. σξή. Ζητήσαι δ' ἄντις, εἰ κατὰ τὸ ἀληθὲς, (§. σξα.) ἐν ἀδιαιρέτῳ κείμενον ἐσὶ καὶ τὸ βέβαιον, τινὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον διαφοραν, μὴ ἐπιδεχόμενον; Ἀλλ' εἰ μέντις πρὸς αὐτὰ ἀπίδοι τὰ πράγματα, ἐφ' οἷς ὁ Νῆς γινωσκομένοις ςηρίζεται (§. σξέ.), φανερὸν ὅτι ἄλλα πρὸ ἄλλων ἐσὶ βεβαιότερα. Μέγι-

(1) Εἰ ἐκ τῆ μηδόλως ἐνδοιάζειν ἡμᾶς πεφυκέναι, (κἂν εἰ σφόδρα βαλοίμεθα), περί τινα τῶν νοημένων, ἑπόμενον ἐσὶν ἐκεῖνα ἀληθῆ εἶναι καὶ βέβαια; Πάνυ μὲν ἓν τῆτο διατεινόμεθα. Εἰ γὰρ ψευδῆ, ἅπερ ἀνενδοιάςως νοεῖν πεφύκαμεν, ἀληθῆ ἔσαι, ἅττα νοεῖν ἀδυνατῆμεν. Οὐδὲν ἄρα νοεῖν οἷοίτ' ἐσμέν. Οὔτε γὰρ ὁ μὴ δυνάμενος νοῆσαι τὸ ὄν, νοήσει, ὡς μὴ δυνάμενος, ἅτε ὁ δυνάμενος νοῆσαι τὸ μὴ ὄν, νοήσει, ὡς μηδὲν νοῶν κυρίως ἀπεῖν· ἐπεί τοιγε τὸ μὴ ὄν, μηδὲν ἐσίν. Μηδὲν δὲ νοεῖν πεφυκότες, ὡς ἐκ τῶν τὴν Ἀκαταληψίαν ἡμῖν εἰσαγόντων ἐπιφέρεται, ὅμως νοητικοὶ ἐσμέν· τετέσιν εἰς τὸ νοεῖν, καὶ ῥοπὴν ἐκ φύσεως, καὶ δύναμιν ἔχοντες. Ἑκάτερον δὲ ἐξ αὐτῆς τῆς Σκέψεως, καὶ τῆς Ζητήσεως δῆλον, ἣν καὶ οἱ Σκεπτικοὶ ατοι, καὶ Ζητητικοὶ, ἐκ τῆς ἐπαγγελίας κληθέντες, διηνεκῶς ἀναβάλλονται· τὸ γὰρ σκέπτεθαι καὶ ζητεῖν, αὐτὴν ἐλέγχει τὴν ἐπὶ τὸ ἀδέναι ῥοπὴν καὶ ἔφεσιν. Ἔφεσις δὲ περὶ τὰ ἀδύνατα ἐκ φύσεως ἐκ ἂν γένοιτο ἀδὲ μία. Εἶτα καὶ τὸ ζητεῖν αὐτὸ νοεῖν πως ἐσί. Καὶ συναπτέον ἄρα. Α'. μὲν ῥοπὴν ἡμᾶς ἐκ φύσεως ἔχειν, κατὰ τὴν τῶν Ἀκαταληπτέντων ἄνοιαν, περὶ τὰ μὴ δυνατά. Β'. δὲ δυνάμεως λαχεῖν νοητικῆς, καί τοι μηδὲν κυρίως νοεῖν πεφυκότας. Γ'. Καὶ ἐν διηνεκεῖ ἀναςρέφεθαι ἐξαπάτῃ, ὡς βεβαίως ἀεὶ νοεῖν δοκοῦντας, τὰ μηδέ ποτε ἡμῖν νοήμενα. Ὧν δὴ πάντων Κεφάλαιον τὸ πρὸς ἀδὲν ἄλλ' ἢ πρὸς τὸ ἀπατᾶθαι ὑπὸ τῆ Δημιεργῆ ἡμᾶς γενέθαι, τῆ ἰδιότατε ἡμᾶς ἀσιώσαντος. Ἀλλά:

„Τῆλε μάλ' ἦχι βύθιον ὑπὸ χθο-
„νός ἐσι βέρεθρον. Ὁ γὰρ Δημιερ-
„γὸς, ἁπλᾶτε, καὶ ἀληθὴς ὢν, ἄτ'
„ἄλλως ἐξαπατᾷ, ἀθ' ὕπαρ, ἀδ' ὄναρ.
Πλάτ. Βιβλ. Β'. περὶ Πολιτ.

Μέγισον γὰρ εἰς πληροφορίαν τὸ εἰδέναι, ἔτω μὲν, ἄλλως δὲ μηδαμῶς, ἀδεμιᾷ δυνάμει, ἀνδέχεσθαι εἶναι τὸ παρισάμενον, ὡς ἐπὶ τῶν Μεταφυσικῶς λεγομένων ἔχειν τὸ βέβαιον. (§. σξς'). Ἧττον δὲ, εἰ καὶ τἐναντίον δυνατὸν εἶναι νοεῖτο, ὑπὸ δυνάμεως ἀνωτέρας τῶν ἐν τῇ Φύσει, καὶ κρείττονος, ὡς ἐπὶ τῶν Φυσικῶς. (§. Αὐτ.). Καὶ τότε ἧττον ἔτι, τὸ καὶ Φύσει μὴ ἂν εἶναι ἀδύνατον, ὡς ἐπὶ τῶν Ἠθικῶς. (§. Αὐτ.).

§. σξθ'. Πάλιν ἑάντις περὶ Βεβαιότητος διαπιωθάνοιτο τῆς ἐν αὐτοῖς τοῖς μέσοις θεωρεμένης, δι' ὧντι κατασκιάζεται, (§. σξζ'.), εὔλογον ἐκείνοις καὶ ταύτῃ συμμέτρως συμπροϊέναι, καὶ συνεπιτείνεσθαι, καὶ συνανίεσθαι· τῷ γὰρ περιόντι, καὶ λόγων ἄλλων ἐπιπροσιόντων, οἱονεὶ φωτὸς ἐπιχυθέντος δαψιλεστέρε, ἐκ περισσίας εἰκὸς κρατύνεσθαι τὸ δεικνύμενον.

§. σο', Ἀλλ' εἴπερ ἄρα περὶ αὐτῆς ζητοῖτο τῆς καταφάσεως, ἰῶ ἡ ψυχὴ περὶ ὅπερ οἶδε βεβαίως προσεπορίσατο, (§. σξγ'. σξδ'.), πότερόν ποτε καὶ αὐτὴ ἐπιτασίντε καὶ ἄνεσιν ἐπιδέχεται, ἀποφάσκοντες ἀπαντήσομεν. Δεῖ γὰρ ταύτῃ παντελῆ τῇ Νῇ φάσιν εἶναι τινὰ, καὶ ἡρέμησιν. (§. Αὐτ.). Ὑποσαλευθεῖσα γὰρ, κἂν βραχὺ ὅσον, ἡ ψυχὴ τῇ βεβαίως γιγνώσκειν ἐκφήσεται. Κινήσεως μὲν γὰρ μέτρα παντοῖα, ἐν ᾗ ὑπόληψις. Στάσεως δὲ τὸ ὅλον φάσις, ἐν ᾗ τὸ τῆς ἐπιστήμης ἵδρυται βέβαιον. (1). Διόμοι καὶ ὁ Γάλλος Καρτέσιος πρὸς ἑδὸν ἔμπεδον ἐχηκέναι τὸ φρονεῖν ἔοικεν, ἐπειδὰν εἰς δύναμιν ἀνῆγε, καὶ τὸ ποιῆσαι τὰ ἀντιφάσκοντα· τότε γὰρ ἅπαξ τεθεάντος, ἐκέτι ἀδιφάκτως οἱοντε κρίνειν, τί τὸ δυνατὸν, καὶ τί τὸ ἀδύνατον· τὸ δὲ καὶ σμικρὸν ὑποδιφάζειν φαίνεθαι, τὸ σύντονον καὶ ἐῤῥωμένον τῆς πληροφορίας ὑποχαλᾷ, καὶ τιῶ Ἐπιστήμιω εἰς ὑπόληψιν παρεξάγει·

» Οὔτε γὰρ ἦν Γαίης μέσος ὀμφαλὸς, ἐδὲ θαλάσσης.

Καλῶς ὁ Φαίσιος Ἐπιμενίδης ἄχριγε τότε, τὸν τῶν Ἀετῶν, ἢ τῶν Κύκνων μύθον, περὶ τῇ Πυθοῖ ὀμφαλῇ τῆς Γῆς ἀπελέγχων. (2)· τόγε μιῶ προσεθὲν, τὸ βέβαιον καὶ ἀραρὸς τῇ λόγε διέσεισεν.

» Εἰ δέτις ἐσὶ, θεοῖς δῆλος, θνητοῖσι δ' ἄφαντος.

§. σοά'.

(1) „Τὸ γὰρ ἡρεμῆσαι ἢ σῆναι ἠνδιάνοιαν, ἐπίσασθαι καὶ φρονεῖν λεγόμε-„θα. Ἀρισ. Φυσ. Β. Ζ'. Κ. γ'. (2) Παρὰ Πλετ. περὶ ἐκλελοιπ. Χρησης.

§. σοα΄. Πρὸς τὸ βέβαιον ἀντιδιῄρηται τὸ Πιθανόν· τὸ γὰρ τοιοῦτον ἥκιστα βέβαιον. Ἀλλ' ἔστιν, ὡς μὲν ἐκ τοῦ μέσου εἰπεῖν, τὸ διάτινων λόγων, καὶ πίστεων πλειόνων ἢ ἐλασσόνων, ἀσθενεστέρων ἢ κρατιστέρων, μὴ ἀναγκαίων δὲ, μηδὲ πάντῃ ἀναντιῤῥήτων κατασκευαζόμενον. Ἐκ δὲ τοῦ ὑποκειμένου, ἤτοι τοῦ γινώσκοντος, περὶ ὅ,τις τὴν γνώμην δέους παντὸς οὐκ ἀπήλλακται, ἀλλ' ὑφορᾶται μὲν τὴν ἀπάτην ὡς οὐκ ἀδύνατον, διὰ δὲ τοὺς οὐκ ἀπιθάνως ἐγχωροῦντας λόγους, οὕτω φρονεῖν αἱρεῖται, ἢ τοὐναντίον. Οὐχ ὥσπερ δὲ ἐπὶ τοῦ βεβαίου, ὡς ἐκ τῶν ἀντικειμένων (§. σξγ΄.) θεωρήσειέτις καὶ τὸ πιθανόν· τὰ γὰρ ὄντα καθ' ἑαυτὰ βέβαια, κἂν ἄλλως ἄλλοι περὶ αὐτῶν ὑπολαμβάνωσι. (§. σξδ΄.).

§. σοβ΄. Τοιγαροῦν ὡς ἐκ τοῦ ὑποκειμένου, τὸ ἑτέρῳ ἐν ἀδιστάκτῳ βεβαιότητι πρεσβευόμενον, γένοιτ' ἄντινι πιθανόν. Οἷον τὸ ἡττοβαρὲς τῶν σωμάτων ὑπὸ τὸν Ἰσημερινόν. Δόξειε δ' ἂν καὶ ἀπίθανον· οἷον αἱ γραμμαὶ αἱ παρὰ τοῖς Μαθηματικοῖς ἀεὶ ἔγγιον ἀλλήλων μᾶλλον καὶ μᾶλλον γινόμεναι, μηδέποτε δὲ συμπίπτουσαι. Μεταβάλλοι δ' ἂν καὶ ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ, ἡ περί τι πιθανότης, εἴτ' ἐπὶ τὸ βέβαιον προαχθεῖσα, εἴτ ἐπὶ τὸ ψευδὲς φωραθῆναι, καὶ ἀπιθάνως ἔχον ἀπολισθήσασα· εἴτε δὴ τέως καὶ ἀπὸ τοῦ μᾶλλον ἐπὶ τὸ ἧττον τῆς πειθοῦς μεταστᾶσα, ἢ καὶ ἀνάπαλιν. (§. σξδ΄.). Ὥστε εἰκότως τῆς κατ' ἐπιστήμην γνώσεως τὸ ἀδιάπτωτον πλουτεῖν λεγομένης, τὸ πιθανὸν πάντῃ πάντως εἶναιτε καὶ λέγεσθαι μεταπτώσιμον.

§. σογ΄. Ὡς δ' ἐκ τῶν λόγων αὖθις ἡμῖν καὶ τῶν πίστεων, τὸ πιθανὸν διαφέρει Α΄. τοῦ ἀδυνάτου. Ἐκεῖνο γὰρ παντάπασιν ἄλογον. Διὸ καὶ πρῶτος εἰς τὸ πιθανόν τι εἶναι βαθμὸς, τὸ δυνατὸν εἴρηται. Β΄. καὶ τοῦ δυνατοῦ· προσδεῖ γὰρ πρὸς τῷ δυνατὸν εἶναι καὶ λόγων, οἷς ἂν καὶ πιθανὸν αὐτὸ δόξειεν. Ὅ,τι γὰρ πιθανὸν, καὶ δυνατὸν· Ἀνάπαλιν δ' οὔ. Ἐπεὶ καὶ δυνατὸν ἐμὲ εἰς γῆρας ἔσχατον ἀφικέσθαι· Πιθανὸν δὲ, ἐμοὶ γοῦν, οὐκ ἔστιν. Ἐφ' οἷς καὶ τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ ἡμῖν ἐστίτε καὶ λέγεται. Γ΄. Καὶ τοῦ Ἐνδόξου. Τοιοῦτο γὰρ κυρίως, τόγε τοῖς ἄλλοις ἐστὶ πιθανὸν, οὐδενὸς εἰς πειθῶ λόγου παρόντος, ἢ ὅτι φᾶναι τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς, καὶ τούτοις, ἢ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς μάλιστα γνωρίμοις καὶ ἐνδόξοις, οὕτω

δοκεῖ

δοκεῖ (1). Διὸ καὶ δημῶδες αὐτὸ τῷ πιθανῷ τὸ εἶδος παράτισιν ἦκεσεν, ὡς τοῖς κρίνειν παρ' ἑαυτῶν ἐχ' οἷοις τε ἔσιν, ἐν χρήσει γινόμενον. Δ'. καὶ τῷ Πιθανῷ τῷ κατὰ τὴν ποίησιν, ἧς ἔργον ὡς γεγονὼς πλάτλειν, τὸ ἔτω γενέσθαι δυνάμενον (2).

§. σοδ'. Ἔχει δ' ἐπὶ τέτοις, ὡς ἐκ τῶν πίσεων αἷς προσερείδεται τὸ πιθανὸν, καὶ τὸ μᾶλλον καὶ ἧτλον προσεπιδέχεσθαι, τὸ μὲν πλειόνων ὄσῶν, ἢ κρατιςέρων, τὸ δ' ἐλαττόνων ἢ ἀσθενεςέρων (§. σοά.). οἷον πότερον εἰς πειθῶ ἰσχυρότερον, τὸ Φαρμάκῳ τὸν Μακεδόνα διαφθαρῆναι; Ἔοικε γὰρ, ὅτι ἀπὸ συμποσίε· ὅτι ἐν ἀκμῇ σφριγῶν, καὶ ἐρρωμένως ἔχων· ὅτι ὀξὺ κατέσρεψεν· ὅτι συχνὸς τῶν περὶ αὐτὸν προδιέφθειρεν· ὅτι τὸς περὶ αὐτὸν ἅπαντας ἠλεγξεν ὁ θάνατος ἐκεῖνε βασιλεικῶντας. κτ. Ἢ τὸ μὴ Φαρμάκῳ δολοφονηθῆναι μᾶλλον εἰκός; ὅτι πλεῖος ἦν αὐτῷ πόθος τοῖς Μακεδόσι, καὶ τὸ πένθος μέγα, καταςρέψαντος· ὅτι ἐπισφαλὲς ἦν αὐτοῖς ἐν ξένῃ, καὶ τυραννεμένῃ τῇ χώρᾳ ἀποςερηθῆναι τῷ νικᾶν καὶ ἄρχειν εἰδότος· ὅτι ὁ δράσας ἐκ ἂν διέλαθεν. κτ. Ἀλλ' ἐν τοῖς τοιέτοις ἐ μικρᾶς χρεία τῆς σκέψεως πρὸς ἐπίκρισιν· οὐθα ἐχὶ τὸν ἀριθμὸν μόνον, ἀλλὰ καὶ τὸ βάρος ἑκάσης ἰδίᾳ διαξαθμητέον, τῶν ἑκατέρωθεν ἐπιφερομένων πίσεων.

§. σοέ. Τοῖς γὰρ μὴ προσέχεσιν ἢ δέον περὶ αὐτὰς, μηδὲ δικαίοις διαταλαντοῦσι τοῖς ςαθμοῖς, τὸ κατὰ τὰς κρίσεις ἐντεῦθεν γεννᾶται διάςροφον, δι' ὧν ὡς μὲν ἀληθῆ πολλάκις τίθεται τὰ ψευδόμενα, καὶ τἐναντίον· ἀντὶ δὲ βεβαίων τὰ πιθανάπως πρεσβεύεται, ἢ καὶ ἀντὶ πιθανῶν τὰ ἀπίθανα· καὶ ἀνάπαλιν (§. σξδ'.), ὃ τῷ χύδιν ὄχλῳ συμβαίνει μάλιςα (1), καὶ τοῖς χυδαϊκῶς κρίνεσι. Τἔτο δὲ ἐςὶν ἡ ἀπάτηλιν τῶν Κρίσεων διαςροφὴν εἶναί τινα ὁριζόμεθα, τὴν ἐκ πολλῶν

(1) Ἀριστ. Τοπικ. Βιβλ. Α'. Κεφαλ. ά.

(2) „Οὐ τὸ τὰ γενόμενα λέγειν „τἔτο ποιητῆ ἔργον, ἀλλ' οἷα ἂν γένοι„το. καὶ τὰ πιθανὰ κατὰ τὸ εἰκὸς, „ἢ τὸ ἀναγκαῖον. Αὐτ. Ποιητ. Κεφ. Θ'. „Μιμητικὴν γὰρ ἡ ποίησις ὑπόθεσιν „ἔχεσα... τὴν ὁμοιότητα τῆ ἀληθῆς „ἐ προλείπα, τῆς μιμήσεως ἐν τῷ „πιθανῷ τὸ ἀγωγὸν ἐχέσης. Πλά„ταρχ. ἐν τῷ πῶς δεῖ τὸν νέον Ποιημ. „ἀκέειν.

(3) „Τὸ πιθανὸν ἰσχὺν τῆς ἀλη„θείας ἔχει, ἐνίοτε μείζω, καὶ πιθα„νοτέραν ὄχλῳ. Μενάνδρε.

λῶν οἱονεὶ πηγῶν (Προδ. Β'. §. ά.) τὴν ἀρχὴν ἔχεσαν. Καὶ Κρίσιν αὐτὸ τοῦτο ἐσφαλμένην τε καὶ ἀδόκιμον, παρεκτροπήν τε ἀπὸ τῆς ἀληθοῦς καὶ προσήκοντος, καὶ ἐπὶ τὸ μὴ ἀληθὲς μηδὲ προσῆκον ἀπόλιθησιν.

ΚΕΦ. ΤΡΙΤΟΝ.

Περὶ Διαφόρων Βαθμῶν Πιθανολογίας, καὶ τῆς τούτων αὐτῶν Ἀνακρίσεως.

§. σοϛ'.

Δεῖ δὴ τὸ μὲν ἀσφαλὲς καὶ πιθὸν, ἐν ᾧ κατ' ἐνάργειαν ἐντελῆ ἀπαρασαλεύτως ἡμῶν ἱδρύσαι τὸ φρονεῖν· (τοῦτο δὲ ἐστὶν, ἐφ' οἷς ἐν ἀσφαλεῖ ἐστὶν ἡ ψυχὴ τοῦ πράγματος περινοίας) (§. σμγ'.), ὡς ὅλον ὑποτιθέναι. Τὸν δὲ τοῦ φρονοῦντος οἱονεὶ σκοτασμὸν, τοῦ μηδὲν τὸ παράπαν σωρᾶν δυναμένου, ἔτε μικρὸν ἔτε μέγα, περὶ ὃ σκοπεῖν πρόκειται· ταυτὸν εἰπεῖν τῇ παντελῆ ἀγνοίαν (§. σμβ'.), ἴσα καὶ μηδὲν ἐκλογίζεσθαι. Ἃ δ' ἂν τούτων μεταξὺ τῶν ἀκροτήτων ἐγχωροίη, σωτελοῦντα μόνως εἰς ἀπαλλαγὴν τῆς τῷ μηδενὶ ἰσοδυναμούσης ἀγνοίας, ἐπιβολὴν δὲ τῆς τῷ ὅλῳ ἀναλογούσης βεβαίας γνώσεως, ὧν μέντοι καθ' ἑαυτὸ μηδὲν ἐπὶ τὸ ἀκριβὲς ταύτης ἐξίκοιτο ἄν, ἐκεῖνα δὴ πάντα, οἷον βαθμίδας, τῆς ἀπὸ τοῦ μηδενὸς ἐπὶ τὸ ἄκρον τεινούσης ἀνόδου ἡγεῖσθαι, ἢ ὡς μοίρας ὑπολαμβάνειν, ἐν αἷς τὸ ὁλοχερὲς κατατέτμηται. Νοεῖν δὲ ταύτας τὰς κατὰ βαθμὸν, ἢ μοίρας, ἕτω παρισαμενάς πιθανολογίας, μὴ ἴσας ἀλλήλαις. Ἀλλ' ὡς μὲν ἐν μέτρῳ εἰπεῖν, τὰς μὲν μείζονας, τὰς δὲ ἐλάττονας· ὡς δ' ἐν βαθμῷ, τὰς μὲν βαρυτέρας, τὰς δὲ κουφοτέρας. ὡς δ' ἐν δυνάμει, τὰς μὲν κρατιστέρας, τὰς δὲ ἀσθενεστέρας εἰς τὸ τὴν γνώμην κινῆσαι πρὸς συγκατάθεσιν.

§. σοζ'. Τῶν ἓν πιθανῶς γνωματουμένων βαθμὶς νεάτη μὲν, καθ' ἣν μόλις τι πλέον εἰδέναι πάρεστι, τοῦ εἶναι ἐκ ἀδύνατον τὸ νοούμενον (§. σογ'.). Ὑπάτη δὲ, καθ' ἣν βραχύτι λείπεται, τοῦ εἰς ἐπιστήμης ἐλάσαι βεβαιοτάτης, καὶ πάντη ἀναμ-

ἀναμφηρίστε, ἀκρότητα. Μέση δὲ ἡ τέτων ἑκατέρας ἐπίσης ἀπέχεσα. Τὰς δὲ μεταξὺ, τὸ μέτρον ἴσχειν εἰκὸς ἀνάλογον τῇ πρὸς τὰ ἄκρα ἐγγύτητι. Καὶ ὀρθῶς ἦπε τὸ εἰρημένον, ὅτι πιθανὰ δύο, ἐν λόγῳ εἰσὶν ἀντιπεπονθότι, τῆς ἑκατέρε πρὸς τὸ βέβαιον ἀποστάσεως. Εἰ γὰρ τὸ μὲν ἐκείνε ἀπολείποιτο ὡς τὰ τρία, τὸ δ' ὡς τὰ ἓξ, πιθανώτερον ἂν εἴη τὸ δεύτερε τὸ πρῶτον κατὰ τὸ διπλάσιον. Ὀρθῶς δὲ κἀκεῖνο, ὅτι τὸ πιθανὸν καθ' ἑαυτὸ περισκοπέμενον ἐν λόγῳ ἐστὶ συνθέτῳ, τῷ ἐκ τε ἀριθμε, καὶ τῆς δυνάμεως τῶν πίστεων εἰς προσεοικότα. τὸ γὰρ ἐκ κρατιστέρων πιθανολογέμενον, φανερὸν ὡς τε ἐξ ἰσαρίθμων μὲν, κρατοτέρων δὲ κατασκευαζομένε, ἀεὶ πιθανότερον (§. οδ'. οσ'.).

§. οσή. Ἡ τε κατὰ τὸν νέατον βαθμὸν ἀντίληψις πιθανὲ (§. οσζ'.), ἐπὶ τῷ ἁπλῶς δυνατὸν εἶναι (§. οσγ'.), καὶ ἀμυδροτάτῳ τινὰ τε πράγματος εἰκασίαν παρέχεται. Τοιῶτον τὸ ἐν τῷδε τῷ παντὶ συνταγματι, καὶ γιῶ ἑτέραν εἶναι πε, παρὰ ταύτιν τινὰ καθ' ἡμᾶς, οἰκεμένιν. Τοιγαρῦν ἐπὶ τὰ ἥκιστα πιθανὰ ἀνακτέον πάντα τὰ τῆς ἀποφατικῆς Ἀμφιγνοίας (§. σμθ'.) ποιητικὰ, τὰ μηδένα μηδετέρωθεν λόγον, εἰς τὸ θέσθαι ταῦτα, ἢ μὴ, προϊχόμενα. οἷον ὅτι περιττάριθμος ἡ τῶν ἀστέρων πληθύς· ἢ ὅτι ἄρτιος. ὡσαύτως δὲ, καὶ τὰ ἀμφιγνοεῖν ἡμᾶς κατὰ θέσιν ἐπείγοντα (§. αὐτ.)· ἐφ' ὧν πάρεστι μὲν εἰκότας τινὰς λόγες λαβεῖν, ἑκατέρωθεν μέν τοι ἰσοδυναμες· τῷ ἰσοδυνάμε καὶ ἀριθμῷ καὶ κράτει ἐκλογιζομένε, ὡς εἴρηται. (§. ανωτ.). Τῇ γὰρ τῶν λόγων παντελεῖ ἀπεσίᾳ, ἢ τῶν ἰσοδυναμένων ἐξ ἀντιθέτε παρεσία, εἰς ἀντιῤῥοπίας γένεσιν ἴσον, ὡς κἀπὶ πλάστιγγος τῷ μηδενὶ ἴσα δυνάται τὰ ἰσοβαρῆ σακώματα. Οἷον δὴ προβληθέντος, τίνα ἆρα τὰ ὧδέ πε συγκεκαλυμμένα τῶν γραμμάτων ἐστὶν, ὧν φωνάεσσα μὲν ἡ Φύσις, δυαδικὸν δὲ τὸ εἶδος, ἰσόχρονος δὲ ἡ δύναμις; Ἀμφιγνοεῖν ἀνάγκη πότερα, τὰ βραχέα ταῦτα, ἢ τὰ μακρά; τὰ γὰρ προτεθέντα τῶν γνωρισμάτων ἰσάριθμά τε ἐπ' ἀμφοῖν, καὶ ἰσοσάθμια ἐπ' ἀκριβές. Οὐδεὶς ἂν τῶν τοιέτων ἔδοι δοξάσεται ὀρθῶς ποιῶν. Αἱ γὰρ τοιαίδε δοξασίαι ἄντικρυς ἀποκληρωτικαὶ, ἵνα μὴ εἴπω ἄλογοι.

§. οσθ'. Ἡ ὑπάτη ῥηθεῖσα (§. οσζ'.) πιθανότης, ὅσον ἐχὶ καὶ βεβαιότης ἀκριβὴς ἐστὶ, παρ' ἔλλειψιν λόγε τινὸς, μικρὰν ἔτι τιν ὑπόνοιαν περιλείποντος. τοιάδε τις ἂν τῶν κρατιστῶν

ἐγγένοιτο τῇ πείρᾳ, ὃς ὁ προδότης κατὰ τὸ Σωτῆρος ἦγεν, εἰ προσιὼν ἔτος, καὶ τὸ χαῖρε Ῥαββὶ προσφθεγξάμενος, μικρὸν ὅσον μεταξὺ διελελοίπει, εἰς τὸ δῆναι τὸ διὰ τοῦ φιλήματος σώθημα. Οὐ γὰρ κομιδῇ ἄλογος ἂν αὐτὰς ὑπεισήει ὑπόνοια, μὴ τὸν μὲν ἀσπάσαιτο, ἄλλος δέ τις λῷ ὂν καταφιλήσει. Κἂν ἄλλως τὸ πιθανὸν αὐτοῖς τοῦ ἐκεῖνον αὐτὸν τυγχάνειν, τῷ βεβαίῳ ὡς ἔγγισα εἶναι ὤφειλεν.

§. σπ'. Ἡ κατὰ μεσότητα πιθανότης (§. σοζ'.) μὴ ἐφ' ὧν ἐπίσης τὸ ἀντιπεριίσταμενον ἐστὶ πιθανὸν θεωρείσθω· τὰ γὰρ τοιαῦτα παρὰ τὸ ἐκ τοῦ ἴσα πιθανολογεῖσθαι, μετέωρον εἰκὸς τιλὶ γνώμιλι ἡμῖν καθιστᾶν (§. σοή.) καὶ εἰς ἀπορίαν δικαιοτάτιλι ἐμβάλλειν. Ἀλλ' ἐφ' ὧν τὰ τῆς ἐμποιεμένης πειθοῦς ἡμιβαρῆ τυγχάνει πρὸς τιλὶ ὅλιλι ταλαντοῦμενα βεβαιότητα. οἷον εἰ τυχὸν ἄχρι μὲν δεκάδος πρόεισι τὸ βέβαιον, τὸ δὲ πιθανὸν τρέφοιτο περὶ τὰ πέντε.

§. σπά. Τῇ γὰρ τοῦ πιθανοῦ πρὸς τὸ βέβαιον ἀντιπαραθέσει, ὧν ἄλλοθεν ἑκατέρᾳ τὸ μέτρον ἐκ ἀδήλου, ἐδ' ὁ λόγος θατέρᾳ πρὸς θάτερον διαλήσεται, ἐδ' ἡ ἐκείνᾳ πρὸς τὸ κατὰ τό δε πλήρωμα ἔλλειψις· οἷον εἰ δέοι τῶν ἀπὸ μονάδος εἰς δεκάδα Ἀριθμητικῶν χαρακτήρων, πρῶτον εἶναι ὁποιονοῦν, μὴ ὁρῶντα ποθὲν λαβεῖν. Δεύτερον, εἶναι τὸν ἐν αὐτοῖς περιττόν. Τρίτον, καὶ τοῦτον εἶναι τὸν τριαδικόν. Τὸ μὲν Α'. βέβαιον ἂν εἴη, ὅτι λαβὼν ἂν λάβοι ἀριθμὸν εἶναι ὁποιονοῦν. Πιθανὸν δὲ τὸ Β'. ὅτι καὶ περιττόν. Ἧττον δὲ πιθανὸν, ὅτι καὶ τὸν, κατὰ τὸ τρίτον αἴτημα, τριαδικόν. Τὸ μὲν ἓν βέβαιον· ἐὰν γὰρ δεκάκις λάβῃ, ἅπαντας καθ' εἶναι τῶν ἀριθμῶν τοὺς δέκα ἐξοίσει· ὥστε καὶ ἐὰν ἅπαξ, τὸν εἶναι. τοιγαροῦν τὸ ἀσφαλὲς μονάδι ἐξισωθήσεται. Τὸ δὲ πιθανὸν, ὅτι καὶ περιττὸν ἐξοίσει, ἔστιν ὡς τὰ πέντε πρὸς τὰ δέκα· τὸ δ' ὅτι καὶ τὸν τριαδικὸν αὐτὸν, ὡς τὸ εἷ πρὸς τὰ δέκα. Οὐκοῦν καὶ τὸ μὲν, ἔσαι τὸ ἥμισυ πρός γε τὸ βέβαιον, καθ' ἡμίσειαν ἐκείνᾳ ἐλλεῖπον· τὸ δ' ὡς δεκατημόριον, καὶ δεκατημορίοις ἐννέα ἐλλεῖπον. Ἔνθενδοι καὶ αὕτη μὲν βαθμὶς τοῦ πιθανοῦ ἂν εἴη ἡ ἐλαχίστη, ὡς μοῖρα μιᾶς ὑπὲρ τοῦ ἁπλῶς δυνατοῦ προαγομένη (§. σοή.)· ἐκείνη δὲ μέση (§. σπ'.).

§. σπβ'. Τῇ παραθέσει πολλῶν πιθανῶν, πρός γε τὸ πλῆρες τῆς δι' ὅλε βεβαιότητος, τό, τε ἐλλεῖπον τούτων ἑκάστε πρὸς τὸ κατ' ἐκείνιλι ἀκριβὲς, καὶ τὸ μέτρον ἀναφαίνεται τῆς αὐτῶν

πρὸς

πρὸς ἄλληλα κατὰ τὸ μᾶλλον καὶ ἧττον πιθανολογίας. οἷον ἐπὶ τῆς διὰ δυοῖν κύβοιν πεττείας, τῶν δυνατῶν βολῶν ἓξ ἐπὶ ταῖς τριάκοντα ἀριθμουμένων, ἐν αἷς ἕνδεκα τῶν ἑτεροσήμων ἀριθμῶν τὰ εἴδη (1), τὸ μὲν ἕνα τούτων ὁποιονοῦν, κατὰ βολὴν ἑκάστην ὀφθῆναι, τὸ βέβαιον ἐστὶ καὶ ἀναγκαῖον, ὅπερ ἴσον ἔσται, $\frac{36}{36}$, τουτέστι μονάδι· τὸ δὲ ἑπτάσημον βληθῆναι, τὸ μέσως ἐστὶ πιθανὸν· τὸ δέ τι τέως τῶν λοιπῶν δέκα εἰδῶν, διαφόρῳ μέτρῳ πιθανολογηθήσεται. ἡ γὰρ ἑπτάσημος βολὴ ἐν ταῖς ἓξ ἐπὶ ταῖς τριάκοντα, ἑξάκις ἐμπεριέχεται, τῶν λοιπῶν ἀεὶ παρ' ἑκάτερα μονάδι ἐλαττονουμένων· οἷον τῆς μὲν ἑξασήμου καὶ τῆς ὀκτασήμου, πεντάκις ἐμπιπτουσῶν. τῆς δὲ πεντασήμου καὶ τῆς ἐννεασήμου, τετράκις. τῆς δὲ τετρασήμου, καὶ τῆς δεκασήμου, τρίς. τῆς δὲ τρισήμου, καὶ τῆς ἑνδεκασήμου, δίς· τῆς δὲ τέως δισήμου, καὶ τῆς δωδεκασήμου, ἅπαξ. Διὸ καὶ ἧττον πιθανῶς ἔχουσι τῶν ἑπτασήμων, αἱ ἑξάσημοι καὶ ὀκτάσημοι βολαί· πρὸς ἀλλήλας δὲ, ἰσοπιθάνως· τούτων δὲ ἧττον αὖθις αἱ πεντάσημοι καὶ ἐννεάσημοι, ἀλλήλαις δὲ ἰσοδυναμοῦσι. Καὶ ἐπὶ τῶν λοιπῶν δὲ τῷ αὐτῷ λόγῳ, ἄχρις ἔνθεν μὲν τῆς δυάδος, ἔνθεν δὲ τῆς δωδεκάδος, ὧν αἱ βολαὶ τῆς πιθανότητος ἡμῖν παριστάνουσι τὰ ἐλάχιστα.

§. σπγ'. Καὶ τούτων οὖν οὕτως ἐχόντων, τῆς μὲν ἑπτασήμου βολῆς, ὡς ἐν ἀριθμοῖς δηλῶσαι, τὸ πιθανὸν ἔσται ὡς $\frac{6}{36}$, ἐλλεῖπον τοῦ βεβαίου $\frac{30}{36}$. ὑπερέχον τοῦ κατὰ τὴν ἑξάσημον, καὶ ὀκτάσημον $\frac{1}{36}$. Τὸ γὰρ κατὰ ταύτας ἐστὶν ὡς $\frac{5}{36}$ ἐλλεῖπον τοῦ βεβαίου $\frac{31}{36}$, ὑπερέχον ὁμοίως τοῦ κατὰ τὴν πεντάσημον καὶ ἐννεάσημον $\frac{1}{36}$. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ὑπολογιστέον. ὥστε τοῦ τρία βαλεῖν τὸ ἑπτὰ, ἅπαξ ἀναῤῥίψαντα κύβους δύο, πιθανότερον ἐστὶν, ὡς $\frac{6}{36}$, πρὸς $\frac{2}{36}$. ἤτοι ὡς $\frac{3}{18}$ πρὸς $\frac{1}{18}$. τοῦτο δὲ ἐστὶν, ὅτι τὸ τῆς ἑπτασήμου βολῆς πιθανὸν, τοῦ τῆς τρισήμου ἐστὶ τριπλάσιον. Καὶ ἔδει τὸν μὲν ἐκείνην ζητοῦντα, βαλεῖν ἅπαξ· τὸν δὲ ταύτην, τρίς, ἵνα εἶχον τὸ ἴσον.

(1)

7.	6.	5.	4.	3.	2.
8.	7.	6.	5.	4.	3.
9.	8.	7.	6.	5.	4.
10.	9.	8.	7.	6.	5.
11.	10.	9.	8.	7.	6.
12.	11.	10.	9.	8.	7.

§. σπδ'. Ἐντεῦθεν καὶ ποικίλ' ἄττα προβλημάτια ἐπὶ τῶν παρ' ἀνθρώποις συμβαινόντων, εἰώθασιν ἐπιλύεσθαι (1). Οἷον εἰ ἐξ ἀριθμοῦ σφαιρίων, ἐν Κάλπῃ ἐναποκειμένων, ὧν τὰ μὲν λευκὰ τὴν χροιὰν, τὰ δὲ μέλανα, ἓν ἐξελέσθαι δέοι, πηλίκον ἄρα τὸ πιθανὸν εἰπεῖν, τοῦ λευκὸν λαβεῖν πρὸ μέλανος, ἢ ἀνάπαλιν; Ἀλλὰ δεῖ τῶν ἑτεροχρόων τὸν ἀριθμὸν προειδότας, κἂν ἄδηλος εἴη, ποσὰ ἄττα τούτων ὡς ἔτυχεν ἐξενεγκόντας, τὸν ἐν αὐτοῖς λόγον πρῶτον πολυπραγμονεῖν, εἶτα κρίνειν· οἷον ἐὰν ἐν ἑκατοντάδι τῶν σφαιρίων, δέκα ὑπάρχῃ τὰ μέλανα, τὸ μέλαν ἐξοίσειν ἢ λευκὸν, ἔσται ὡς $\frac{1}{10}$ πρὸς $\frac{9}{10}$. Ὡσαύτως ἐκ καταλόγων διὰ παρατηρήσεως προειλημμένων, τοῦ ἀριθμοῦ τῶν ἀποιχομένων κατὰ χρόνον δοθέντα, ἐν ὡρισμένῳ πλήθει, δήλου συγχάνοντος, τὸ πιθανὸν τοῦ ἐπιζήσειν ἕνα ἢ θνήξεσθαι, δυνατὸν προσδιορισθῆναι. Οὐδὲν δὲ ἧττον κἂν εἴτις νόσος τῷ ἔθνει ἐπιδημήσειεν. Εἰ γὰρ ἑκατοστημόριον φέρε τῶν πάντων, ἐν χρόνῳ τεταγμένῳ, (οἷον φᾶναι μηνὸς) εἰσὶν οἱ καταστρέφοντες ἐν μυριανθρώπῳ τῇ πόλει, τὸ πιθανὸν τοῦ μὲν ἕνα τινὰ δι' ἐνιαυτοῦ ἂν θνήξεσθαι, ἐστὶν ὡς $\frac{3}{25}$, τοῦ δὲ περιέσεσθαι, ὡς $\frac{22}{25}$. Παραπλησίως καὶ ναῦς ἐν χιλίαις δέκα συμβὰν ναυαγῆσαι, τὸν αὐτὸν πλοῦν ποιουμένας, τὸ πιθανὸν πρὸς ἐγγύαν ἐπὶ νηὸς εἰς ταυτὸ πλεούσης κριθήσεται, προσλογιζομένης ἀεὶ καὶ τῆς τοῦ πλοίου καταστάσεως, εἰ ἀρτιπαγὲς δηλονότι καὶ καινὸν, εἰ ὑπὸ ἀρίστου Κυβερνήτου ἰθυνόμενον, καὶ τὰ ὅμοια.

§. σπέ. Ἐπὶ τούτων οὖν καὶ τῶν τοιούτων, ὁ μεταξὺ τῶν συμβαινόντων λόγος δῆλος εἶναι ἐξ ἀνάγκης ὀφείλει. Θατέρου γὰρ τῶν ὅρων ἀγνοουμένου, ἡ τοῦ πιθανοῦ ἀνάκρισις κείσεται ἐν ἀμηχάνοις. Ἐπὶ γὰρ πόλεως ὑπὸ σεισμοῦ φέρε περιτραπείσης, ποίᾳτις ἂν μηχανῇ περὶ τοῦ Κλεινίου, τὸ πιθανὸν ὅσον, τοῦ τοῖς λοιποῖς καὶ τοῦτον συνδιαφθαρῆναι, ὁρίσειε, μὴ προεπιγνοὺς ὅση μὲν ἡ τῶν πολιτῶν ἐτύγχανε πληθὺς ἡ πᾶσα, ὅση δὲ καὶ οἱ ἀπολωλότες ἐγένοντο; Ἐντεῦθεν καὶ ἡ περὶ τῆς οἰκήσεως τῶν πλανητῶν ἀπελέγχεται δόκησις. Τὶς γὰρ ἂν τῶν σωμάτων ἐκείνων τὰς ἐν τῷ παντὶ χρήσεις μονονουχὶ ἀπείρους οὔσας, εἰδέναι ἔχοι, δι' ἃς ὑπὸ τοῦ Δημιουργοῦ παρήχθησαν, ὡς τῇ παραθέσει τῆς μιᾶς ταύτης, (λέγω τῆς πρὸς τὴν οἴκησιν) τὸ τοῦ πιθανοῦ μέτρον δυνηθῆναι ἀναλογίσασθαι;

§. σπϛ'.

(1) Σγραβεζάνδιος Λογ. Μέρ. Α'. Κεφ. ιζ'.

§. σπϛ'. Ἀλλὰ γὰρ ἔτω τῶ πιθανῶ ἐπὶ τῶν ἁπλουστέρων προβλημάτων ἀνακρινομένω, δυνατὸν καὶ τὰς ἐξ ἁπλῶν δυεῖν, ἢ πλειόνων συνθέτους πιθανολογίας φιλοκρινεῖν, μέτρον τὸ ἐξ ἐκείνων λαμβάνοντας ἄθροισμα. Τῶ γὰρ ἓν δικυβείας ὡς εἴρηται (§. σπγ'.) ἅπαξ ἀναῤῥίψαντα βαλεῖν ἐπλάσημον, ὡς $\frac{3}{18}$ πιθανῶ ὄντος, τῶ δὲ τρίσημον ὡς $\frac{1}{18}$, τὸ θάτερον, ὁπότερον ἔτυχε, βαλεῖν, πιθανὸν ἂν εἴη ὡς $\frac{4}{18}$. ὅπερ ἴσον $\frac{2}{9}$.

§. σπζ'. Τῶ γεμλὼ πιθανῶ ἐν ἐκβάσεσι δυσὶ καθ' ὑποθέσεις διακεκριμένας, τὸ μέτρον ἀναζητεῖν ἐκδιδάσκουσι τοιῶ δὲ Κανόνι (1). „Ἐὰν ἐπιπολαπλασιαθῇ τὰ παραπληρώματα „τῶν πιθανῶν ἁπάντων, ὅσα ποτ' ἂν ᾖ δεδομένα, τὸ τῶ πα„ραγομένω παραπλήρωμα, τλὼ ζητεμένλω ὁλοχερῆ παρέξεται „πιθανότητα.

Οἷον τῆς ἐν δικυβείᾳ ὀκτασήμω βολῆς τὸ πιθανὸν ἐσὶν ὡς εἴρηται $\frac{1}{36}$ τῆς δὲ ἐννεασήμω $\frac{4}{36}$ τότων παραπληρώματα (§. σπά.) τῶ μὲν $\frac{35}{36}$, τῶ δὲ $\frac{32}{36}$. τὸ δ' ἐξ αὐτῶν ἐπιπολαπλασιασμῷ παραγόμενον $\frac{992}{1296}$. Καὶ τότω τὸ παραπλήρωμα $\frac{300}{1296}$, ὅπερ ἴσον $\frac{12}{81}$.

Τοιῷ δὲ λόγω καὶ τὸ ἐφεξῆς τλὼ ἐπίλυσιν ἴσχει. Διοκλῆς Φέρε περὶ Κλεινίᾳ, ἔτος ἀγοντος εἰκοσὸν ὄγδοον, καὶ Τιμοκράτης ἕβδομον ἐπὶ τεσσαράκοσῷ, χιλίας ὑπέση δραχμὰς ἀποτίσειν, εἰ μετὰ δεκαετίαν τότων ὁ ἕτερος ἐπιβιώσεται. ἆρ ἀποτίσει; Ἐπειδὴ ἓν ἐκ παρατηρήσεων γενομένων, τῶν μὲν κατὰ τλὼ πρώτλω ἡλικίαν, δεκαετίας αὐτὸς, περιόντες εὑρλνται ἑπλακαίδεκα ἐν εἴκοσι, τῶν δὲ κατὰ τλὼ δλυτέραν ἑπλὰ ἐν ἐννέα, ἔσαι δὴ τὸ πιθανὸν, τῶ μὲν τὸν Κλεινίαν περιέσεσθαι, ὡς $\frac{17}{20}$. τῶ δὲ τὸν Τιμοκράτλω ὡς $\frac{7}{9}$. τότων παραπληρώματα, τῶ μὲν $\frac{3}{20}$, τῶ δὲ $\frac{2}{9}$. τὸ δὲ παραγόμενον $\frac{1}{30}$. τότω δὲ παραπλήρωμα $\frac{29}{30}$. Καὶ τοσοῦτον ἔσαι τὸ πιθανὸν ὅτι Διοκλῆς ἀποτίσει.

§. σπή. Παρατηρητέον δὲ, εἰ τῇ συνδρομῇ τῶν πιθανολογιῶν, ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας τροπλὼ ὑφίσαται (2).

Οἷον ὄχλω συσάντος μεταξύτις ξίφει ἀνῄρηται. Δῆλον δὲ ἄλλοθεν μόνως ἐξ γεγονέναι τὸς τὰ ξίφη πάσαντας, ὧν εἷς

(1) Συγγραβεζάνδιος Λογ. Μέρ. Α'. Κεφ. ΙΗ'. §. 636. κξ'.
(2) Αὐτ. §. 648. κξ'.

καὶ Καλλίας τῶν. τοιγαροῦν τὸ πιθανὸν τοῦ εἶναι τοῦτον τὸν ἀνδροφόνον ἐστὶν (§. σπά. κζ'.), ὡς $\frac{1}{6}$. Ἀλλ' ἔτι δῆλον, ὡς ὁ κτείνας τῶν καὶ μελαγκόμας. Εἰ μὲν οὖν ὁ Καλλίας πυῤῥάκης εἴη, δῆλον ὅτι ἡ προτεθεῖσα πιθανολογία ἄρδην οἰχήσεται. Ἐκείνου δὲ καὶ μόνου τῶν συστάντων μελαγκόμα τυγχάνοντος, οὐκ ἔτι πιθανὸν ἐπ' αὐτῷ τὸ κακούργημα ἔσται, ἀλλὰ βέβαιον. ἁπάντων δὲ ὁμοχρόων τεθέντων τὰς κόμας τῶν τὰ ξίφη σπασαμένων, ἄλλου δὲ μηδενὸς, τὸ ἕτερον τῶν σημείων εἰς ἔλεγχον περιττόν· καὶ τὸ τοῦ πιθανοῦ μέτρον εἰς $\frac{1}{6}$ αὖθις ἀποκαταστήσεται.

§. σπθ'. Προσεκτέον δὲ καὶ ταῖς τῆς πιθανολογίας ἐκμειώσεσιν (1). Ἐφ' ὧν πιθανόντι ἐκ πιθανῶς ἔχοντος ἤρτηται.

Οἷον Μενεκλῆς συνέθετο σὺν ἄλλοις ἐννέα Νηὸς ἐπιβῆναι, ὅγεμὴν τῶν Ἐπιβατῶν ἀριθμὸς, ἐγένοντο μόνοι ἑπτὰ, οἷς πότερον ἐναριθμητέος καὶ Μενεκλῆς οὗτος, ἄδηλον. Ἡ μὲν οὖν Ναῦς διακοσίους τῶν τοὺς σύμπαντας περιέχουσα, ἐξ ὧν ἑκατὸν ἐπὶ τοῖς πεντήκοντα ἀποβάντες ποι γῆς, καὶ πεντήκοντα καὶ διακοσίοις ἄλλοις, συναφθέντες συμμάχοις, οἳ ἐτύγχανον αὐτοὺς προσδοκῶντες, τὸν κατὰ τῶν πολεμίων ἀγῶνα συνήραντο, τετρακόσιοι οἱ πάντες, ἐξ ὧν μόνοι περιεγένοντο τριάκοντα. Τί τοίνυν περὶ τοῦ Μενεκλέους, ὃ ἂν πιθανὸν ᾖ, ἐνταῦθα προσδιοριστέον;

Α'. Ὅτι ἐπέβη τῆς Νηὸς καὶ οὗτος, πιθανὸν ἡμῖν ἐστὶν, ὡς $\frac{7}{10}$.

Β'. Ὅτι καὶ ἐπιβάντα πρὸς τὴν μάχην καὶ τοῦτον τοῖς λοιποῖς συνεξέπεμψαν, ὡς $\frac{3}{4}$.

Γ'. Ὅτι καὶ τῶν πεσόντων οὗτος εἷς, ὡς $\frac{37}{40}$. „Ἐλέγχεται „οὖν τὸ πηλίκον ἐνταῦθα πολλαπλασιασμῷ τῶν ἐν μέρει πιθα„νοτήτων $\frac{777}{1600}$, ὅπερ ἐστὶ $\frac{17}{35}$, ὅτι ἔγγιστα.

§. σιγ'. Τὸ περὶ Κλεινίου καὶ Τιμοκράτους ἀνωτέρω (§. σπζ'.) προβληθὲν, ἔχοι ἂν τετραπλῶς ζητηθῆναι τε (1), καὶ ἐπιλυθῆναι.

Α'. Πότερον ἆρ' ἀμφότεροι μετὰ δεκαετίαν περιέσονται;

Β'. Μὴ ἆρα μόνος περιέσται ὁ Κλεινίας;

Γ'. Ἀλλὰ μὴ μόνος ἀνάπαλιν ὁ Τιμοκράτης;

Δ'. Μὴ

(1) Αὐτ. §. 651. κζ'. (2) Αὐτ. §. 658.

Δ΄. Μὴ ἄμφω ἐντὸς τῆς προθεσμίας ἀπαλλάξσιν; Οὐκοῦν κατὰ τὰ ὑποτεθέντα ἐν ἐκείνοις,

Α΄. Ἐπιπολαπλασιαστέον ἀλλήλαις, τὰς τῶ ἀμφοτέρως ἐπιβιώσεσθαι πιθανότητας $\frac{17}{20}$ διὰ $\frac{7}{9}$. ταύτη γὰρ τὸ ἀνακύπλον πιθανὸν ἥκει εἰς τὸ $\frac{119}{180}$ ἤτοι $\frac{2}{3}$ ὅτι ἔγγισα.

Β΄. Ἐπιπολαπλασιαστέον τὸ πιθανὸν τῶ Κλεινίαν περιέσεσθαι, διὰ τῶ πιθανῶ τῶ Τιμοκράτλω θνήξεσθαι, $\frac{17}{20}$, διὰ $\frac{2}{9}$. Ἔσαι δὲ τὸ ἐντεῦθεν $\frac{17}{90}$, ἤτοι ἐγγὺς $\frac{3}{16}$.

Γ΄. Ἐπιπολαπλασιαστέον $\frac{7}{9}$ διὰ $\frac{3}{20}$. Ἔσαι δὲ $\frac{7}{60}$ χεδὸν $\frac{2}{17}$.

Δ΄. Τὸ πιθανὸν τῶ ἀπαλλάξειν ἑκάτερον, ἔσαι $\frac{1}{30}$.

§. συμ. Ἐκ δὴ τέτων καὶ τῶν ὁμοίων, ἅπερ ἅντις ὡς παιδιὰν ἴσως, μὴ ὀρθῶς κρίνων, διαμυκτηρίσειεν, ἐλπὶς καὶ τελεώτερον, τλὼ ἐκ πολλῶ κατ' ἔφεσιν ἔσαν (1), περὶ τῶν πιθανῶν προαχθήσεσθαι λογικλὼ πραγματείαν. Ῥάδιον γὰρ ἐντεῦθεν ὡρμημένες, ἐπὶ πᾶν ὁτιῶν πειθῶς ἐχόμενον θεώρημα, ἐν παραπλησίαις ταῖς ἐφόδοις χωρεῖν. Καὶ τὰς μὲν περιφερομένας ὑπολήψεις τε καὶ δοξασίας, ἢ δέον ἐξὶ διασαθμωμένες, ὅσω τῆς πλήρες ἀπολείπονται ἀσφαλείας διαμανθάνειν· τὰς δ' ἀπαντώσας ἐφ' ἑκάσης ἐκείνων πιθανολογίας, παραβάλλοντας ἀλλήλαις ἀνασκοπεῖν. Κἂν μὲν εἰς ταυτὸ τύχωσι συμπνέσσαι, τὸ τῆς πειθῶς συμμέτρως ἐπιτείνειν καὶ ἰσχυροποιεῖν. Ἀντιπνεόσας δὲ (ἢ τὰ πολλὰ συμβαίνει) θρίσκοντας, τλὼ περὶ τὸ ὑπολειπλέον πίσιν ὑποχαλᾶντε καὶ ἀνίεναι, τῶ ἀληθῶς, ὡς οἷόν τε ἔγγισα δι' ὅλόγε κρίσεως γίνεσθαι πειρωμένες, καὶ ἐφ' ὧν, ἐχ ἥκισα, κατὰ τὸ ἀκριβὲς ἐκείνε θίξαι ἀμήχανον.

(1) Τοιαύτην τινὰ πραγματείαν, ἣν Λογικὴν τῶν Πιθανῶν προσεῖπον, οὐδὲν ἄλλ' ἢ τέχνην ἔσαν τῆς τῶ πιθανῶ ἀνευρέσεως, καὶ τῶν κατ' αὐτὸ μέτρων τοχαστικὴν, προβαλέσθαι μὲν λέγεται Λεϊβνίτιος, ὑποχέσθαι δὲ ἡμῖν ἐκδῶσαν ἔφθη Οὐόλφιος ἐν τῇ Λογικῇ §. 593. Ταύτης ἀπόπειραν ἀληθῶς φέροντας ἐν διαφόροις συγγράμμασιν Οὐγένιός τε, καὶ οἱ Βερνέλλιοι, καὶ ἄλλοι, ἃς Οὐόλφιός τε αὐτὸς καταλέγει (Ἐνθ. ἀνωτ.) καὶ Οὐιγκλέρος ὁ μετὰ κλέκς καθ' ἡμᾶς ἐν Λειψίᾳ φιλοσοφῶν Λογ. §. 1005. τῆς δ' αὐτῆς Μεθόδε, οἷόν τινα ἴχνη καὶ Σγραβεζάνδιος ἐν ἐπιτομ. τῆς Λογικ. Κεφ. ΙΖ΄. ΙΗ΄. ΙΘ΄., ἐμπαρασήγκαγεν, ἐξ' ε βραχὲ ἅπλα ἐν τοῖς ἀνωτέρω καὶ ἡμῖν ἔδοξε διελθεῖν, ὡς δείγματα ἐσόμενα, τῆς περὶ τὰ πιθανῶς ἔχοντα ἀπαιτεμένης περιεργίας καὶ ἀνακρίσεως.

ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

Περὶ Ἐπικρίσεως τῶ πιθανῶ ἐπὶ Διαφόρων ὑποκειμένων.

Ἤτοι

Περὶ Εἰδῶν τῆς Κριτικῆς.

§. συβ'.

Ἀεὶ τὸ πιθανὸν, οὗθα ἂν παρῇ, ὑπὸ σκέψιν δέον ὑπάγεθαι τιὼ προσήκεσαν· παρακολαθεῖν δὲ τῇ σκέψει φιλεῖ τὰ τῆς Ἐπικρίσεως. Ἐπικρίνεται δὲ ἄλλα μὲν ἄλλως, ἢ πέφυκεν ἕκαστα. Καὶ τεῦθεν ἡμῖν Κριτικῆς ἀναφύονται Μέθοδοι παντοῖαι, ὧν τὰ εἴδη πρῶτον καταλεξαμένοις, περὶ τῶν ἐπισημοτέρων ἐφεξῆς ἰδιαίτερον διαληπτέον.

§. συγ'. Τιὼ ἓν Κριτικιὼ καλεμενίω τέχνιω, πλατύτερον αὐτοὶ ἐκδεχόμενοι (1) ἐπὶ τῶ παρόντος, „Μέθοδον ὁριζόμεθα, „τῶ

(1) Εὐσάθιος ἐν Παρεκβ. Ἰλ. Β'. Σελ. 285. Κριτικὸς ὀνομάζε, τὸς κατὰ τὴν Γραμματικὴν παράδοσιν εἰδότας κρίναι τὰ ποιήματα. Ἀλλαχῶ δὲ, Σελ. 565. Ἀκριβεςέρς ἀποκαλῶ Γραμματικὸς, οἷον δὴ τὸν Ἀρίσαρχον εἰπεῖν, τὸν τὰ ὑποβολιμαῖα ἔπη ἐκ τῶν Ὁμηρικῶν ἐξοβελίσαι ἐπιχειρήσαντα. Κριτικὸς δὲ, ἔφασαν, ἄλλοι τὸς τὰ τῶν ἄλλων συγγράμματα, τὰ ἄτε ἐμμέτρως, ἢ καὶ πεζῷ λόγῳ συντεταγμένα, ὀπωσῶν εὐθύνοντας. περὶ ὧν Ἡρώδ. ὁ Ἀθην. Σοφις. τὸς λόγως ἡμῶν τοιχορυχῶσιν ἕτεροι, ὁ μὲν τὸ μεμφόμενος, ὁ δὲ τό. Παρὰ Φιλοσ. ἐν βίοις Σοφ. ὁ δὲ Κλέιρικ. ἐν Κριτικ. Τμήμ. Α'. §. ά. Τέχνην ἀπέδωκε, τῶ τὸν νῶν τῶν πάλαι ἀρύεθαι, τῶν τε πεζῇ καὶ τῶν ἐμμέτρως συγγεγραμμένων. Καὶ τάτων διακρίναν τὰ γνήσια τῶν μὴ γνησίων. Καὶ τίνα πρὸς ἀκρίβειαν τῆς τέχνης ἀπέξεσαι, καὶ τίνα μή. Τοῖς μὲν ἓν παλαιοῖς οἱ Γραμματικοὶ Κριτικῆς τι εἶδος ἐδόκην ἀσκεῖν περὶ τὰ φερόμενα συγγράμματα τῶν ἄλλων ἐναχολέμενοι. Διὸ καὶ Διονύσ. ὁ Θρᾴξ, Ἐμπαρίαν ὡς ἐπὶ τὸ πλεῖσον τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων τὴν Γραμματικὴν ἀπεδίδα (ὅθεν τῶ Γραμματικῶ τὸ ταῦτα ἑρμηνεύειν ἔργον εἶναι φαίνεται, ὡς Σέξτ. φησὶν ὁ Ἐμπαρ. κατὰ Γραμ. Κεφ. γ'.). Καὶ Χάρης ἐν Α'. περὶ Γραμ. τελείαν ἔφασκε τὴν Γραμματικὴν ἕξιν εἶναι ἀπὸ τέχνης διαγνωσικὴν τῶν παρ' Ἕλλησι λεκτῶν καὶ νοητῶν ἐπὶ τὸ ἀκριβέσερον. Ὁ μέντοι Κράτης διαφέραν ἔλεγε τὸν Κριτικὸν τῶ Γραμματικῶ. Καὶ τὸν μὲν Κριτικὸν, πάσης δεῖν λογικῆς Ἐπισήμης ἔμπειρον εἶναι· τὸν δὲ Γραμματικὸν ἁπλῶς Γλωσσῶν ἐξηγητικὸν, καὶ

„τȣ̃ ὃ δεῖ φρονεῖντε καὶ κρίνειν, ἐν τοῖς ὁπωσȣ̃ν διαλανθάνȣσιν, „ἢ ἀμφιδοξȣμένοις, διάτινων φαινομένων, ἢ διδομένων ςοχαςι„κτώ. Καὶ Μέθοδον μὲν, ἅτε δὴ ὁδῷ βαδίζȣσαν, ςοχαςικτὼ δὲ τȣ̃ ὃ δεῖ φρονεῖντε καὶ κρίνειν, ὡς εἶδος ȣ̃σαν καὶ αὐττὼ σκέψεως· μᾶλλον δὲ τέλος· σκεπτόμεθα γὰρ, ἵν' ἐπικρίνωμεν. Ἐν τοῖς ὁπωσȣ̃ν δὲ διαλανθάνȣσι· τὸ γὰρ πάντῃ καταφανὲς ἤδη κέκριται. Διάτινων δὲ φαινομένων, ἢ διδομένων. Οὐ γὰρ ἐπικρίνοντες ἁπλῶς ἀποφαινόμεθα, ττὼ μεταξὺ τῶν ἐννοιῶν μόντω σχέσιν περισκοπȣ̃ντες· ἀλλὰ ςοχαζόμεθα ἐπιμελῶς περαιτέρω, καὶ τόγε τῆς ἀποφάνσεως βάρος ὅσον, ὑπότινων φανερῶν ἡμῖν ἄλλοθεν ὄντων, πλειόνων ἢ ἐλασσόνων λόγων, εἰς τȣ̃το ἀγόμενοι.

§. συδ'. Εἴδη δὲ τῆς Κριτικῆς ἀνώτατα κείσθω, Συμβολικὴ, Λογικὴ, Πραγματική. Καὶ Συμβολικὴ μὲν ἡ διάτινων σημείων συμβαλεῖν σπȣδάζȣσα τὰ δηλȣ́μενα. Λογικὴ δὲ ἡ ἐκ τῶν κειμένων ὅρων, τὸ ὀρθὸν τȣ̃ λόγȣ, καὶ ἀπηκριβωμένον ἐν ἰδέαις συγγραμμάτων διαφερȣ́σαις τεχνολογȣ̃σα. Πραγματικὴ δὲ, ἡ τὰ νενοημένα τοῖς ἄλλοις, ἢ πεπραγμένα, ἢ τὰ συμβαίνοντα, ἢ τὰ ἐσόμενα, ἢ τὰ ὁπωσȣ̃ν ὄντα καὶ γινόμενα, κατὰ τὸ εἰκὸς ἕκαςα ῥινηλατȣ̃σα, καὶ ἀγρεύȣσα.

§. συέ. Τȣ́των ττὼ Συμβολικτὼ εἰς ττὼ Σχηματικτὼ καὶ Λεκτικτὼ διαςείλασι, ττὼ μὲν εἶναι ῥητέον, καθ' τὼ ἐν σχήμασι, καὶ μορφαῖς, καὶ εἰκόσι· ττὼ δὲ, καθ' τὼ, ἐν φωναῖς ἐνάρθροις, ἤτοι προφορικῶς, ἢ γραπτῶς προβαλλομέναις, τὰ σημεῖα κεῖται, δι' ὧν ἄν τις εἰκάσειε τὸ δηλȣ́μενον. Πάλιν ἐπειδὴ τῶν ἐν σχήμασι σημείων, τὰ μὲν κατὰ φαντασίαν ἐςὶ, τὰ δὲ ἐκ φύσεως, τὰ δὲ κατὰ τέχντω· Καὶ τῶν ἐν φωναῖς δὲ, τὰ μὲν κατὰ τὸ κύριον τῆς σημασίας ἐπὶ τȣ̃ λόγȣ συμβάνει παραλαμβάνεσθαι, τὰ δὲ ταύτης ἀπαλλοτριȣ̃σθαι, καὶ ἐπὶ τι ἕτερον σημαινόμενον μεταφέρεσθαι, ἐντεῦθεν δὴ καὶ τῆς συμβολικῆς Κριτικῆς, καταλεγέσθω εἴδη, κατὰ μὲν τὸ σχηματικόν. Ὀνειροκριτικὴ, ἡ ἐκ τῶν κατὰ φαντασίαν ἐν ὕπνοις ἀνατυπωμάτων, τῶν ἀποβαινόντων τινὰ διαγινώσκειν ἐπαγγελλομένη. Φυσιογνωμονικὴ, ἡ ἐκ τȣ̃ σχήματος, καὶ τῆς συμμετρίας

καὶ προσῳδίας ἀποδοτικὸν, καὶ τῶν τȣ́τοις παραπλησίων εἰδήμονα. Παρ' ὃ καὶ ἐοικέναι ἐκεῖνον μὲν Ἀρχιτέκτονι, τὸν δὲ Γραμματικὸν ὑπηρέτῃ. (Παρὰ Σέξτ. Ἐμπ. Αὐτ.)

τρίας τῶν ἐν τῷ ἀνθρώπῳ μελῶν, καί τινων δὲ καὶ ἄλλων ἐπ' αὐτοῖς σημείων, τὰ ἐν αὐτῷ κρυπτόμενα ἴδια τεκμηριῶσα· ἧς οἷον μέρη Μετωποσκοπία, καὶ Χειροσκοπία, καὶ αἱ τοῦ τοιούτου γένους ματαιοτεχνίαι τε, καὶ κενοσπουδίαι, ἐφ' ὃ ἄντις καὶ τὴν τῶν Γενεθλιακῶν ἀναθείη λέχην, τῶν τὰ Θεμάτια πολυπραγμονούντων, καὶ τὰ ἐσόμενα ἐντεῦθεν θεσπιωδεῖν τερατευομένων. Ἡ δὲ Ἱεροφαντικὴ εἰρήσθω (ἣν οἱ κατ' Αἴγυπτον Ἱεροφάνται ἠκρίβουν) ἡ ἐν εἰκόσι ποικίλαις ζώων, φυτῶν, καὶ ἄλλων ἐν λίθοις γεγλυμμένων, ἢ ἄλλως πως γεγραμμένων ἀνατυπωμάτων, τὸ δηλούμενον ἀποσαφεῖν τε καὶ ἑρμηνεύειν ἐπιβαλλομένη. οἷον τί δήποτε ἡ Σφίγξ βούλεται παρ' Αἰγυπτίοις δεικνυμένη πρὸ τοῖς τεμένεσι; τί δὲ παρεῖχε νοεῖν ὁ πολύπους γραφόμενος; τί δ' ὁ δασύπους; καὶ τὰ παραπλήσια.

§. σιϛ'. Ταύτην οὖν μετιοῦσι, Α'. δὴ τῇ φύσει τῶν εἰκονιζομένων προσεκτέον, εἴπως ἐξ αὐτῆς γνωρίσαι γένοιτο τὸ νοούμενον, εἰσβάλλοντας δηλονότι, ἐκ μὲν τοῦ ἀλλοκότου τῆς Σφιγγὸς, καὶ τερατοειδοῦς, ἀπόῤῥητα τυγχάνειν τὰ θεῖα, καὶ ἀήθη τινὰ, καὶ δυσξύμβλητα. Ἐκ δὲ τῶν τοῦ πολύποδος πλεκτάνων, τὸ ποικίλον εἰ τύχοι τοῦ τρόπου, ἢ τὸ φιλοκερδὲς, καὶ εἰς ἁρπαγὴν ἕτοιμον. Ἐκ δὲ τοῦ δασύποδος, ἅτε ὀξυκοΐᾳ διαφέροντος, τὴν ἀκοὴν, καὶ τὰ ὅμοια. Β'. δὲ καὶ τοῖς θρησκευομένοις, ἢ ἄλλως νομιζομένοις τὸν νοῦν ἐπιστητέον, παρ' οἷς τὰ ἱερὰ ταῦτα γέγλυπται ὑπομνήματα, ὀφθαλμοῖς οἷον ἀποφθεγγόμενα. Οὐδὲ γὰρ οὐδεμιᾷ μηχανῇ, τὸ ἐν Κοπτῷ φέρε τῆς Αἰγύπτου βρέτας τοῦ Ὥρου, θεασάμενός τις, τὰ Τυφῶνος αἰδοῖα χειρὶ κατέχοντος, συνιδεῖν ἂν ἔχοι τὸ παριστάμενον, μὴ πρῶτον τῶν κατ' Αἰγυπτίους περὶ Ἴσιδός τε καὶ Ὀσίριδος μυθευμάτων ἀκούσας, ἐξ ὧν ἂν εἰς τὸν τῆς ἀλληγορίας νοῦν εἰσχωρήσειεν. Ἀλλὰ περὶ μὲν τῆς σχηματικῆς Κριτικῆς τοσάδε.

§. σιζ'. Τῆς δὲ περὶ τὰς φωνὰς ἔργον, ἐκ τῶν κατ' αὐτὰς συμβόλων, τὸν ἐναποκείμενον τοῖς λεγομένοις, ἢ γραφομένοις νοῦν ἐξαρύσασθαι, ὃν, ὁτὲ μὲν ἐπίτηδες αἱ φωναὶ (οὕτω δόξαν τῷ λέγοντι ἢ γράφοντι) συγκαλύπτουσι· πῇ μὲν μεταφορικῶς μεταλαμβανόμεναι, καὶ ἐξ ἀναλογίας τινὸς, οὐμὴν προχείρου εἰκασθῆναι, ἀδύνατά τινα συνάπτειν δοκοῦσαι (1), οἷον ἐπὶ τῶν

(1) „Ἂν μὲν οὖν ἐκ μεταφορῶν Αἰ„νιγμα. Αἰνίγματος γὰρ ἰδέα αὕτη „ἐστί, τὸ λέγοντα τὰ ὑπάρχοντα ἀδύ„νατα συνάψαι. οἷον,

Ἄνδρ'

τῶν Αἰνιγμάτων. Πῇ δὲ κατὰ σημασίας ἄλλας ἀορίστως πάντῃ, καὶ πορρωτάτας ἀλώμεναι ὡς ἐπὶ τῶν Γρίφων (1). Ἄλλοτε δ' ἄλλως καταμελαίνεσι, διά τε τὸ ἀσαφὲς, καὶ τρυφνὸν τῆ χαρακτῆρος, καὶ τὸ ἐπεμβεβλημένον, καὶ γλωττηματικὸν, καὶ περιττονημένον τῆς λέξεως.

§. συή. Τοῖς ἓν τὰ Αἰνίγματα διασαφεῖν ἐπιχειρῆσιν, ἐφ' ὅσωνἓν, τῶν μετειλημμένων ὀνομάτων ἕκαστον ἐφαρμόζεσθαι ἔχει, ἐξεταστέον, καὶ τούτων τὸ μάλιστα συμφωνεῖν τοῖς πράγμασιν ἐοικὸς τῶν σημαινομένων ἐκδεκτέον, τὰ μὲν χρηθέντα, φέρε, τῷ Φιλίππῳ ἀργυρᾶ λογχάρια, ἀντὶ τῶν χρημάτων διερμηνεύσεσιν, ὧν αἱ πόλεις ὑπὸ τῶν Δημαγωγούντων πιπράσκονται· ἀντὶ δὲ τῆ Ναυτικῆ τοῖς Ἀθηναίοις τὸν ξυλίνην τειχοποιΐαν. Ὡσαύτως δὲ καὶπὶ τῶν Γρίφων, τὰ ἀόριστα ὁριστέον, τὰ ὁμώνυμα πάντα διακριτέον, καὶ τάγε ἀσαφέσι συσκιαζόμενα ἐκκαθαρτέον, καὶ τὰ ἐπεμβεβλημένα ἐξαιρετέον, καὶ τὰ περιττονημένα ἐκτιθεμένους ἐπιστατέον, καὶ τὰ γλωττηματικὰ ἐξηγητέον, καὶ τὰ τρυφνὰ ἐκλεπτυντέον, καὶ τὰ ἐπιτεταμένα ἐκτενητέον, καὶ τὰ ἐπιτεταμένα ἐκτενητέον, καὶ τὰ ἐπιτεταμένα ἐκτενητ

σκιαζόμενα, ἐπὶ τὸ σαφὲς ὡς οἷόντε μετανεκτέον. οἷον τῷ μὲν ἰχυρῷ τὸν λέοντα, τὸ δὲ μέλι τῷ γλυκεῖ προσδιορίζοντας, ἐπὶ τῆ ἐν ἱεραῖς δέλτοις προβλήματος. Τέτων ἀλλ' ἓν παιδιᾶς ὡς τὰ πολλὰ, ἢ λόγε σπεδῆς ἐχομένε ὑπόθεσιν ὑποβαλλόντων, ἡ τῆς ἥκιστα ἀνεπιτηδευομένης τῷ λόγῳ ἀσαφείας ἐπὶ τῶν συγγραμμάτων Διερμηνευτικὴ, Κριτικῆς Εἶδος ἐστὶ τοῖς φιλολογᾶσιν ἀνυσιμώτατον ἅμα καὶ σπεδαιότατον. Περὶ ἧς, ὡς ἄρα περὶ τὰ καταλειφθέντα ὑπὸ τῶν Ἀρχαίων ἡμῖν ὑπομνήματα πάνυ ἐπωφελῶς ὑπεργάσης ἐν μέρει ὕστερον πραγματευτέον.

§. συθ'. Ἤδη δὲ καὶ τῆς Λογικῆς ἡμῖν Κριτικῆς, τῆς τὸ ἔντεχνον τῆς συγγραφῆς ἀκριβολογάσης (§. συδ'.) καταλέγειν ἐστὶν εἴδη πέντε. ὧν τὸ μὲν, τὰ κατὰ τὰς Γραμματικὰς κρίνειν, ἔργον ἐστὶ ποιέμενον· τὸ δὲ, τὰ τῶν Ποιητῶν· τὸ δὲ, τὰ τῶν Λογοποιῶν. Καθ' ἃ καὶ παρωνύμως ἡ μὲν ἂν Γραμματικὴ Κριτικὴ ἀκέσειεν, ἡ δὲ Ποιητικὴ, ἡ δὲ Ῥητορική. Οἷς Προθετέον τεταρτίω τιὼ Ἀφηγηματικίω. Καὶ πέμπτιω τιὼ Δογματικίω. Ὧν ἡ μὲν τιὼ τε ὑφιὼ τῆ Λόγε, καὶ τιὼ διασκδιὼ τῶν περὶ τιὼ συγκομιδιὼ τῶν ἱστοριῶν ἀσχοληθέντων ἀνακρίνει· ἡ δὲ τιὼ Μέθοδον, καὶ τιὼ ἀκριβολογίαν τῶν διδακτικῶς τε καὶ Ἐπιστημονικῶς περὶ ὁτεῦν πεπραγματευμένων πολυπραγμονεῖ.

§. τ'. Τοιγαρῦν τὰ τῶν Γραμματικῶν τις ἐπικρίνων, ἐπισήσει Α'. τῆ κατὰ τὰς τύπες τῶν φωνῶν ὀρθότητι. Β'. καὶ τῆ κατὰ τὰς διναμεις αὐτῶν χρήσει. Γ'. καὶ τῆ ὀρθῶς τε καὶ καταλλήλως ἐχέσῃ τῶν αὐτῶν ἐπιπλοκῆ, καὶ σιωτάξει. Δ'. Καὶ τῆ Προσωδίᾳ. Ε'. Καὶ τῷ τῆς λέξεως ἑλλιωισμῷ, ἔ χάρις τὸ ἀναπόδοτον, τὸ ἴδιον, τὸ μὴ ἀμφίβολον, τὸ εὔφρασον, τὸ σαφὲς ἐπὶ πᾶσι, καὶ τὰ ὁμοια (1).

§. τά.

(1) „Ἔστι δ' ἀρχὴ τῆς λέξεως τὸ „Ἑλληνίζειν. Ἓν μὲν δὴ τὸ εὖ ἐν τοῖς „συνδέσμοις. β'. δὲ τὸ τοῖς ἰδίοις ὀνό„μασι λέγειν, καὶ μὴ τοῖς περιέχκσι. „γ'. τὸ μὴ ἀμφιβόλως. δ'. ὡς Πρω„ταγόρας τὰ τῶν ὀνομάτων διήρει, ἄρ„ρενα, καὶ θήλεα, καὶ σκεύη. Δεῖ „γὰρ καὶ ταῦτα ἀποδιδόναι ὀρθῶς . . . „ε'. Ἓν τῷ τὰ πολλὰ, καὶ ὀλίγα, καὶ „ἓν ὀρθῶς ὀνομάζειν. ς'. ὅλως δὲ „εὐανάγνωστον ἅπαν τὸ γεγραμμένον, „καὶ εὔφρασον. (τοιαῦτα δὲ ἂν ἔστιν) „ἃ μὴ ῥᾴδιον διαιρεῖσθαι. ὥσπερ τὰ Ἡ„ρακλείτε . . . ζ'. Ἔτι τὰ δὲ ποιεῖ „σολοικίζειν, τὸ μὴ ἀποδιδόναι, ἐὰν „μὴ ἐπιζευγνύῃς ἀμφοῖν ὃ ἁρμόττει. „οἷον ἡ ψόφον, ἢ χρῶμα, τὸ μὲν ἰδών, „ἃ κοινὸν, τὸ δὲ ἀκδόμενος κοινόν. „Ἀσαφῆ δὲ, ἐὰν μὴ προθεὶς ἔπηται „μέσων πολλὰ μεταξὺ ἐμβάλλειν.

οἷον

§. τά. Τὰ δὲ τῶν Ποιητῶν πολυπραγμονῶν παρ' αὐτὰ ταῦτα (§. Ἀνωτ.), Α'. καὶ τοῖς λεγομένοις πάθεσι προσέξει (1). Β'. Καὶ τῇ τῆς Διαλέκτου ᾗ χαίρει ὁ Ποιητὴς Ἰδιοτροπία. Γ'. Καὶ τῷ κατὰ τὸ μέτρον ῥυθμῷ. Δ'. Καὶ τῇ ἐγκρυπτομένῃ τοῖς μύθοις ἀλληγορίᾳ. Ε'. Καὶ τῷ Ἤθει, ὅπερ οἷον ἡ ψυχὴ ἐστὶ τῶ ποιήματος. ς'. Καὶ τῇ κατὰ σώφρονα μανίαν ὀξύτητι, ὑφ' ἧς ἔνθεός πως γινόμενος ὁ ποιῶν τὸ σιωπᾶσθαι ἐξίσταται. Ζ'. Καὶ τῷ εἴδει τῷ τῶ ποιήματος. Ἀλλοῖος γὰρ δηλονότι ὁ ἀναπαιτέμενος τῷ Ἐποποιῷ χαρακτὴρ, μεγαλοπρεπής τις, καὶ ὑψηλὸς, καὶ, ὡς εἰπεῖν, ἡρωϊκῷ φρονήματι σιωπεξαιρόμενος. Ἀλλοῖος δὲ ὁ τῷ Δραματικῷ· παθητικός τε καὶ περιστατικός. Ἀλλοῖος δὲ ὁ τῷ Κωμικῷ· ὁ σκωπτικὸς, καὶ μετὰ ῥιμύτητος τωθασικός. Ἀλλοῖος δὲ ὁ τοῖς Βουκολικοῖς, καὶ τοῖς ἄλλοις Εἰδυλλίοις ἐπιπρέπων, ἀφελής τε καὶ ἁπλοϊκός. Καὶ ἄλλη μὲν Ὠδῆς περιβολὴ, ἄλλη δ' Ἐλεγειακῆς σιωπήκης, ἄλλη δ' Ἐπιθαλαμίε ἄσματος, καὶ Ἐπιγράμματος, κ.ξ'. Η'. Ἐπὶ πᾶσι, καὶ τὸ πιθανὸν τῶν πλατομένων, καὶ εὔλογον καὶ ὀνησιφόρον σκοπεῖν δεῖ, καὶ τὸ σύμφωνον, ἐν τῇ κατὰ τέχνιν ὀρθότητι καλλιωόμενον (2).

§. τβ'. Τοῖς δὲ τῶν Ῥητόρων εὐθυωος οἷον ἐπικαθεζόμενος, διασκοπήσει τις Α'. τὶν Εὕρεσιν. Εἰ ἀνελλιπῶς τὰ πρὸς τὸ πεῖσαι συμβαλλόμενα παρετέθη. Καὶ ἐκ τῶν καταλλήλων τόπων προσφυῆτε καὶ ἀποχρῶντα τὰ τῶν πίστεων εἰσιωέχθη. Β'. Τὶν Διάθεσιν· εἰ τῶν τῆ ἀγῶνος μερῶν, καὶ τῶν ἐπὶ κατασκευῇ, ἢ ἀνασκευῇ Ἐπιχειρημάτων ἑκάστω, ἡ πρόσφορός τε καὶ πρεσγειαιτάτη τάξις ἀπεκληρώθη. Γ'. Τὰ τῆς Ἑρμηνείας· Εἰ κατὰ τὸ γένος (3) τὰ λεγόμενα ἐξενιώεκται, καὶ ἐκπέφρασται, χαρακτῆρι τε τῆ λόγε καὶ ταῦτα τῷ πρέποντι, καὶ φράσει τῇ προσηκούσῃ, καὶ χήμασι τοῖς καταλλήλοις, καὶ

„οἷον ἔμελλον γὰρ διαλεχθεὶς ἐκείνῳ „(τά δε καὶ τά δε) πορευέσθαι. Ἀριστ. Ῥητορ. Γ'. Κεφ. έ.

(1) „Ταῦτα δ' ἐξαγγέλλεται λέ„ξει, ἢ καὶ γλώτταις, καὶ μεταφο„ραῖς. Καὶ πολλὰ πάθη τῆς Λέξεως „ἐστί. Δίδομεν γὰρ ταῦτα τοῖς ποιηταῖς. Ἀριστ. Ποιητ. Κεφ. κέ.

(2) „Τὰ γὰρ ἐπιτιμήματα ἢ ὡς „ἀδύνατα, ἢ ὡς ἄλογα, ἢ ὡς βλα„βερὰ, ἢ ὡς ὑπεναντία, ἢ ὡς παρὰ „τὴν ὀρθότητα τὴν κατὰ τέχνην. Ἀριστ. Ποιητ. Κεφ. κέ.

(3) „Δεῖ δὲ μὴ λεληθέναι, ὅτι ἄλ„λη ἑκάστω Γένει ἁρμόττει Λέξις. Οὐ „γὰρ ἡ αὐτὴ Γραφικὴ, καὶ Ἀγωνιστι„κή. ἢδὲ Δημηγορικὴ, καὶ Δικανική. Ἀριστ. Ῥητορ. Βιβλ. Γ'. Κεφ. ιβ'.

καὶ ἐπιβάλλεσιν· οἷς ἂν μήτε ἀναιδῶς λίαν κομμώη, μηδ' ἀπρεπῶς τἐναντίον, καὶ ἀκόσμως κατολτελίζοιτο. Δ'. τὰ τῶν περισάσεων, τῶντε πρὸς τον λέγοντα τιὼ ἀναφορὰν ἐχεσῶν, καὶ τὰς πρὸς ἅς, καὶ τὰ περὶ ὧν ὁ ἀγὼν, εἰ ἐμμελῶς παρατηρῆται, καὶ μὴ παρὰ χορδιὼ, καὶ ἀσύμφωνον ἄδεται. (1). Ε'. δὲ τὰς Ἐπιδείξεις ἀπὸ σόματος ποιεμένων, ἐδὲ τὸ τῆς Ὑποκρίσεως ἀπραγμόνως παροπτέον· Ὑποκρίσεως δὲ μέρη δύο· τὸ μὲν τῆς Φωνῆς κατὰ τὸ ὀξὺ, ἢ ἀμβλὺ, καὶ τὸ σύντονον ἢ ἀνειμένον, ὡς ἂν τὰ προφερόμενα ἀπαιτοίη, ποικιλομένης· τὸ δὲ τῦ σώματος, καὶ μάλισα τῦ προσώπε, καὶ τῶν χειρῶν, κατὰ τὸ δέον, καὶ πρὸς τὸ κόσμιον διασχηματιζομένων.

§. τγ'. Τὰ δὲ τῶν Ἱσορικῶν, ὡς ἐκ τῆς τῦ λόγε διασκδύσης, ὅπως ἐσὶν ἔχοντα ἐπικρίνεται (ἡ γὰρ πρὸς τὰ ἐξισορέμενα τέτων βάσανος, πραγματικωτέρας ἐσὶ διασκέψεως, περὶ ἧς ὕσερον), θεωρεμένης Α'. τῆς Ἀφηγήσεως, εἰ ὀρθότακτος περαίνεται, καὶ μὴ προθυσέρως. Β'. εἰ συνεχῶς καὶ καθ' ἀκολθίαν ὑφαίνεται, μηδὲ διὰ μακροτέρων, καὶ περιττῶν, καὶ πρὸς μηδὲν τι συντελεσῶν παρεκβάσεων διακόπτεται. Γ'. Εἰμὴ ἐλλιπῶς ἀναγράφεται τῶν ἀναφερομένων ἕκασα, μηδ' ἀσαφῶς, καὶ ἀπερισάτως. Δ'. Εἰ συμμέτρως τῇ χρεία, καὶ μὴ πλατυνομένης τῆς Διηγήσεως, ἐν οἷς καὶ βραχὺς ἤρκεσε λόγος· ἐπιτροχαζέσης δὲ, καὶ ἐπισοβδέσης τἐναντίον, ἐφ' ὧν ἂν πλατυτέραν τιὼ διέξοδον ἀπαιτοίη τῶν Ἱσορεμένων ἡ ἔνθεσις. (2). Ε'. Εἰ ἐπανθεῖ τῇ διηγήσει τὸ τῆς γνώμης καλὸν, καὶ τὸ τῆς ὑποθήκης ὀνησιφόρον, ἐν ἀνεπιτηδεύτῳ φράσεως ἁπλότητι καλλιωόμενον. ς'. καὶ εἰ τὸ ἐμμελὲς καὶ ἄρτιον ἡ Ἱσορία πλετθσα, ἐδὲν ἐδαμῦ τῶν εἰδήσεως ἀξίων καὶ λόγε παρέδραμε.

§. τδ'.

(1) „Οὐ μόνον σκεπτέον εἰς αὐτὸ „τὸ πεπραγμένον, ἢ ἀρημένον βλέ„ποντα ἢ σκδαῖον, ἢ φαῦλον, ἀλλὰ „καὶ εἰς τὸν πράττοντα, ἢ λέγοντα, „πρὸς ὅν, ἢ ὅτῳ, ἢ ἕ ἕνεκε. Αὐτ. Ποιητ. Κεφ. κέ.

(2) „Εἰσὶ γάρ τινες, οἳ τὰ μεγάλα „μὲν τῶν πεπραγμένων, καὶ ἀξιομνη„μόνευτα παραλείπεσιν, ἢ παραθέσιν· ὑπὸ δὲ ἰδιωτείας, καὶ ἀπαρακαλίας, καὶ ἀγνοίας τῶν λεκτέων, „ἢ σιωπητέων, τὰ μικρότατα πάνυ „λιπαρῶς καὶ φιλοπόνως ἑρμηνεύκσιν „ἐμβραδύνοντες. (Λκκιαν. ἐν τῷ πῶς χρὴ ξυγγράφ. Ἱσορ.).

§. τδ'. Τὰ δὲ τῶν Δογματικῶν τελδταῖον βασανίζοντις προσέξει Α'. τῇ προθέσει αὐτῆ τῆ Συγγράμματος. Β'. τῷ πλήρει τε καὶ ἀνελλιπεῖ τῶν περὶ τὸ ὑποκείμενον θεωρεμένων, εἰ μηδὲν παρῴφθη τῶν περὶ αὐτὸ εἰωθότων ζητεῖδαι καὶ ἐξετάζεδαι. Γ'. καὶ τῇ προόδῳ καὶ ἐπαυξήσει, εἴτι καὶ παρ' αὐτῆ τῆ Συγγράψαντος πρὸς τὰ πραγματδόμενα προσετέδη καὶ εἰσενλώκεται, οἷον παρ' ἄδενὸς φδάσαν ἐπινενόηται πρότερον. Δ'. τῇ κατὰ τλὼ Μέδοδον ἀκριβείᾳ· Εἰ τὰ μὲν βέβαια, καὶ σαφῆ, καὶ τοῖς πᾶσιν ὁμόλογα, θεμελίων δίκλω ὑφεδράζεται, τὰ δ' ἐξ αὐτῶν ἑπόμενα, ἐκ τῆ ἀκολέδθ τέτοις ἐπισυνάπτεται. Ε. τῷ τόνῳ, καὶ τῇ δυνάμει τῶν Ἀποδείξεων· εἴπερ ἐξ ἀρχῶν ἀναποδείκτων, ἢ γῶν ἐκ τῶν προαποδειχδέντων τὰ τιδέμενα ὀρδῶς καὶ ἀσυλλογίσοις ταῖς ἐπιβολαῖς κατασκευάζεται καὶ κρατύνεται. ς'. Καὶ τοῖς παραδείγμασιν, εἰ τὰ προσφυῆ, καὶ οἰκεῖα, καὶ πρὸς διασάφησιν παραλαμβάνεται συμβαλλόμενα. Ζ'. Καὶ τῷ σαφεῖ τῆς λέξεως· ἣν δ' δέον ἐπιπροδῆσαν τοῖς νοητοῖς, καὶ ἀχλλῶ οἷον πυκνλῶ ἐπιπάσσσαν, συσκιάζειν αὐτὰ, καὶ συγκαλύπτειν, διειδῆ δὲ ὄσαν καὶ διαφαίνσαν, ἀκωλύτως τοῖς ἐντυγχάνσιν ἐμφαίνειν τὰ προβαλλόμενα.

§. τέ. Ἀλλὰ περὶ τέτων τοῖς τὰς Τέχνας γράφσι πλατύτερον λέγειν παραλιπῆσι, τοσῆτον ἡμῖν ὑποσυναπτέον, ὅτι τὸν μετελδσόμενον ἔντι ὁποιονῆν τῶν τῆς Λογικῆς Κριτικῆς Εἰδῶν, τῆς κατ' αὐτὸ τέχνης ἐγκρατέσατον ἐπάναγκες εἶναι (1), καὶ εἰς ἄκρον ἐπιβολώτατον, καὶ ἀτεχνῶς τρίβωνα. Καδόλε γὰρ ἐπὶ πάντων, τὸ, ἅτις μήπω φδάσας ἠκρίβωσεν, ἀνακρίνειν ἐπιχειρεῖν, ὑπερβολλὼ ἀδεμίαν καταλείπει ἀλογίαστε καὶ ἀρασύτητος.

§. τς'. Τελευταῖον δὲ καὶ τῆς Πραγματικῆς εἰρημένης (§. τγδ'.) Κριτικῆς Εἴδη ἀριδμείδω Πέντε. Α'. Ἑρμηνδτικὴ· ἡ περὶ τὰ τῶν ἄλλων, καὶ μάλισα τῶν Ἀρχαιοτέρων Συγγράμ-

(1) „Τῆτο γὰρ προσῆκε τῷ καθ' „ἕκασα τεχνίτῃ περὶ τῶν ὑποβεβλημέ„νων αὐτῷ πραγμάτων θεωρεῖν, ὡς διώ„ρισεν ὁ ἐν τῷ Φιλήβῳ Σωκράτης. (Ἀμμών. εἰς τὸ περὶ Ἑρμήν.) τῷ ὄν„τι γὰρ τὴν σοφίαν σοφὸς εἶδναι· τέχ„νας δ' ὁμότεχνος. (Φωκυλ. παραίν.). „Ἑκασός τε κρίνει καλῶς ἃ γινώσκει, „καὶ τέτων ἐσὶν ἀγαδὸς Κριτής. (Ἀρις. Α'. Ἠδικ. Κεφ. ά.) ὁ γάρτις καταγνώῃ τινὸς, μὴ τᾶτο πρότερον ἐγνωκώς. (Κλήμ. Στρωμ. Βιβ. ς'.).

ματα, ὁποίας ποτ' ἂν εἴη ταῦτα λόγȣ ἰδέας τε καὶ προθέσεως τὴν πᾶσαν καταβαλλομένη σπȣδὴν· Οὐχ ὥςε μέθοδον τὴν ἐν αὐτοῖς, καὶ εἱρμὸν, καὶ λέξιν, καὶ τὴν λοιπὴν τȣ̃ λόγȣ διασκευήν τε καὶ ἐργασίαν (τȣ̃το γὰρ ἦν τῆς Λογικῆς (§. συθ'. κξ'.) πολυπραγμονῆσαι, ἀλλ' ἵνα δὴ τὸ γνήσιον, καὶ πιςὸν τῆς ἐν αὐτοῖς ἐγκρυπτομένης διανοίας θηράσηται, τοτὲ μὲν ἐν ἀμφιβόλοις κυμαινομένης καὶ ἀςατȣ́σης, ἄλλοτε δὲ καὶ ἀλήπτȣ δοκȣ́σης, καὶ ἀγνοȣμένης τὸ σύνολον.

§. τζ'. Β'. Ἱςορικὴ, ἡ περὶ τὰ Ἱςορȣ́μενα τὴν ἔρευναν ποιȣμένη· Πότερον πιςὰ ταῦτα, καὶ εὐπαράδεκτα ἐςὶν, ἢ μὴ, πρὸς τὸν τȣ̃ ἀληθȣ̃ς κανόνα παραβαλλόμενα. Ἐπικρίνεται δὲ ταύτῃ πᾶν εἶδος (1) Ἱςορίας, Πολιτικῆς, Ἐκκλησιαςικῆς, Φυσικῆς, Τεχνικῆς, Φιλολογικῆς. Καὶ ȣ̓χ' ὅπως, ἀλλὰ καὶ ἑνὸς ἑκάςȣ τῶν περὶ ὁτȣȣ̃ντι ἀφηγȣμένων, ἡ μαρτυρία ἦν κατατίθεται.

§. τή'. Γ'. Πολιτικὴ, καθ' ἣν ἐκ τῶν ἐν τῷ ἀνθρώπῳ παρατηρȣμένων ἰδίωντε, καὶ παθῶν, καὶ ἄλλων σημείων, τεκμηριȣ̃ν ἐπιχειρȣ̃σι, ῥοπάς τε τῆς ἑκάςȣ ψυχῆς, καὶ ἐπικλίσεις πολυπραγμονȣ̃ντες, ὡς ἂν ἐντεῦθεν δηλονότι ἔχοιεν διαγιγνώσκειν, ὁποῖοντι ἆρα τῶν οἷς ἐντυγχάνȣσι συνόντες καὶ συνδιατρίβοντες τὸ ἦθος, καὶ ποῖποτε τὰ τῆς προαιρέσεως αὐτοῖς νένευ-

(1) Τῆς ἱςορίας ἡ μὲν Πολιτικὴ, τὰς τῶν Ἐθνῶν δυναςείας, καὶ καταςάσεις, καὶ ἐπαναςάσεις τὰς κατ' ἀλλήλων, κτ. διέξεισι, καὶ Νόμȣς, καὶ Θρησκείας, καὶ Ἔθη τὰ παρ' ἑκάςοις. Καὶ ὅσοι ἐν εὐκλείας δόξῃ, ἢ πονηρίας ἐπισήμȣ γεγόνασιν. Ἡ δὲ Ἐκκλησιαςικὴ, τὸ διὰ τῆς ὑπερφυȣ̃ς οἰκονομίας κήρυγμα διεξέρχεται, ὅπως τε γῆς ἁπανταχόσε διαπεφοίτηκε, σημείοις τε καὶ τέρασι παραδόξοις διαπιςȣ́μενον· Καὶ ὅπως παντοίως καίτοι ἐν διωγμοῖς τυράννων, καὶ δυσσεβῶν αἱρέσεσι καὶ κακοδοξίαις πολεμηθὲν, καὶ εἰς ἡμᾶς ὅμως θείᾳ δυνάμει ἐκνενικηκὸς προελήλυθεν. Ἡ δὲ Φυσικὴ, διέξοδός τις ἐςὶ τῶν ἐν τοῖς ȣ̃σι φαινομένων, ὅσα ὑπὸ τῶν πώποτε πεφιλοσοφηκότων, ἔςγε καὶ καθ' ἡμᾶς παρατετήρηται, τὰ ἐπισημότατα. Ἡ δὲ Τεχνικὴ, τὰ περὶ τῆς τῶν τεχνῶν ἀνευρέσεως ἐκδιηγεῖται, καὶ προόδȣ αὐτῶν, καὶ αὐξήσεως, καὶ μειώσεως, καὶ χρήσεως, καὶ ἀχρηςίας. Ἡ δὲ Φιλολογικὴ τὰ περὶ ἀρχῆς καὶ ἐπιδόσεως τῆς Φιλοσοφίας καὶ τῶν λοιπῶν τῆς παιδείας Εἰδῶν ἐξιςορεῖ. καὶ τὰς ποικίλας αἱρέσεις, εἰς ἃς φιλοσοφȣ̃ντες οἱ ἄνθρωποι ἀπηνέχθησαν· τάςτε ἀνεγερθείσας παρὰ πᾶσιν Ἀκαδημίας, καὶ τὰ παρ' ἑκάςοις συγγραφέντα κατὰ πᾶσαν λογικήν τε καὶ ἐπιςημονικὴν ἰδέαν Συγγράμματα. κτ.

νένδοκεν· Οὕτω δ' ὠνόμασαι, παρὰ τὸ ἐν χρήσει μάλιστα τοῖς πολιτδομένοις, αὐτῶ καθίσαθαι.

§. τθ'. Δ'. Πρακτική. Δι' ἧς, ἐξ ὧν πάρεσιν ἰδεῖν φαινομένων εἴτέ τινας τῶν ἐν τῇ Φύσει ἐσομένων μεταβολῶν, ἢ γᾶν καὶ τὰς τῶν πράξεων, ἃς ἐπιχειρήσουσιν, ἀποβάσεις, εἴπερ δ' τυχῶς σφίσι προχωρήσειν ἐπαγγέλονται, εἴτε καὶ μή, προεικάζειν ἐθέλουσι. Συντελεῖν δὲ τὰ μέγιστα ἐπὶ αἱρέσει τῶν πρακτέων, πρόδηλον ἐστὶ τῶ τοιάνδε ἐπίκρισιν· Ἐξ ἧς καὶ τῆς κλήσεως ἔλαχον.

§. τί. Ε'. δὲ Φυσικὴ, ἧς ἐστὶ τὰ αἴτια, καὶ τὸν τρόπον τῆς ἑκάστε τῶν ἀ τῇ Φύσει συμβαινόντων ὑπάρξεως πολυπραγμονεῖν. Διὸ καὶ Φυσικὴ προσείρηται. Τέτων δ', ὡς ἐκ τῆς τᾶ χρόνε διαφορᾶς, ῥάδιον συνιδεῖν, τῶ μὲν Α'. καὶ τῶ Β'. περὶ τὰ παρωχηκότα τῶ ἐπίκρισιν καθιζᾶν· τῶ δὲ Γ'. περὶ τὰ ἐνεσῶτα· τῶ δὲ Δ'. περὶ τὰ ἐσόμενα· τῶ δὲ Ε'. περὶ τὰ ὄντα, καὶ τὰ γινόμενα. (§. συδ'.). Ἀλλὰ γὰρ διὰ τέτων ἑκάστης, ὅπως ἐπὶ τῶν αὐτῇ ὑποκειμένων, τὸ μᾶλλον πιθανὸν θηράσιμον γίνεται, ἀ μέρει ἀναληπτέον.

ΚΕΦ. ΠΕΜΠΤΟΝ.

Ὅπως τὸ πιθανὸν θηρατέον τοῖς τὸν νοῦν τῶν ἄλλων διερμηνεύσι.

§. τιά.

Ἀναγκαῖον πρὸ πάντων τὸν ὀρθῶς ἐνησόμενον τῇ ἑρμηνείαν, τῆς φωνῆς αὐτῆς ἐπ' ἀκριβὲς ἐπαίειν, ἥπερ ὁ λέγων, ἢ γράφων ἔτυχε χρώμενος, ἀδὺ ἧττον ἢ τῆς ἑτέρας, δι' ἧς ἐκφράσαι ἐπιχειρεῖ τὰ νοήματα, τρόπους τε παντοίους ἐκείνης εἰδότα, καὶ δυνάμεις ἐμφάσεων, καὶ γλωσσῶν διαφοράς, καὶ τὰς ἄλλας αἷς χαρακτηρίζεται ἰδιότητας. Ἡ γὰρ παρὰ τὸ δέον ἐκδοχὴ τοῦ ὀνόματος, κἂν πρὸς τὸ ἐγγυτάτω γίνεσθαι δοκῇ, ἀποκλίνουσα, ἐκ ἂν εἴποιτις, ὅσον τὰ πολλὰ τῇ παρεκτροπῇ, ἀπὸ τοῦ νοηθῆναι προκειμένου ἐργάζεται (1).

§. τιβ'. Δεῖ δὲ καὶ αὐτῇ πρὸ ὀφθαλμῶν ἔχειν τῇ συγγραφῇ, ἔκεν εἰς ἑτέραν φωνὴν μετενηνεγμένῃ, καθ' ἣν δ' ἐξ ἀρχῆς συντέτακται, τῇ γνησιωτάτῃ, τὸν τῇ κατ' αὐτῆς ἐπίκρισιν, ἤτοι ὅλης, ἢ μέρους, ἀναβαλλόμενον· ὥσπερ γὰρ παρὰ τὸν κρουνὸν τὸ ὕδωρ εἰώθε δοκιμάζεσθαι, διαῤῥεῦσαν γὰρ ἐπὶ ποσὸν, εἰκὸς μετειληφέναι τῆς ἐν ὀχετοῖς, ἢ χαράδραις, δι' ὧν διέλθοι, ποιότητος, ἔτω τοι παρὰ τοῖς Συγγραφεῦσιν αὐτοῖς, τὸ γνήσιον καὶ ἀκριβὲς τῆς διανοίας δίκαιον ἐξετάζεσθαι. Παρὰ γὰρ τὰς διὰ τὸ ἑτερόφωνον ἀφύκτους μονονεχὶ τῶν ἑρμηνευόντων παρατροπὰς καὶ ἐξαλλοιώσεις, καὶ τοῖς μὴ ὁμοφρονοῦσι περιπίπτων ὁ λόγος, χαλεπῶς ἐνδιασώζει τὸ ἄρτιον καὶ ἀκίβδηλον. (1).

§. τιγ'. Παρασκευῇ δὲ ἔχοντα τοιαύτῃ ἥκειν ἀναγκαῖον τὸν ἑρμηνεύσοντα, ὡς πάθος παντὸς ἀπηλλαγμένον εἶναι, καὶ κα-

(5) „Ἄριστα λέγεται παρὰ τοῖς Φι„λοσόφοις, τὸ τὰς μὴ μανθάνοντας „ὀρθῶς ἀκούειν τῶν ὀνομάτων, κακῶς „χρῆσθαι καὶ τοῖς πράγμασιν. Πλάτ. περὶ Ἰσιδ. καὶ Ὀσιριδ.

(1) Τις ἂν ἐκ τῶν Ἀραβικῶν ὑπομνημάτων, ἐν οἷς τὰς Ἀριστοτέλους δόξας διασαφῆν ἐπεχείρουν Ἀβικέννας τε καὶ Ἀβερρόης· ἢ ἐκ τῶν Λατινικῶν, ἐξ ὧν μετ' ἐκείνους Θωμᾶς τε καὶ Σκότος, τὸν τῆ φιλοσόφῳ νοῦν, οἷος γενέσθαι τινὰς συμβαλεῖν πιστεύσειεν;

καθαρδίοντα τὴν ψυχήν· ἐὰν δηλονότι ἔτ' ἀνοίᾳ τῷ λέγοντι χαριζόμενον, ἀδὲ τἀναντίον ἔχθει τε καὶ δυσμενείᾳ κατ' ἐκεῖνα ἀγόμενον, ἢ ἄλλως πως προειλημμένον. (Προδι. Β'. §. κθ'. κξ'.). Λανθάνει γὰρ οἱ μὴ ὅτω παρεσκδασμένοι, ὑπὸ τῆς ἐν αὐτοῖς κρατέσης διαθέσεως, εἰς ἐκφύλους, καὶ τῷ παντὶ ἀλλοτριωτάτας κρίσεις καὶ γνώμας, τὰς περὶ ὧν κρίνειν ἐπιχειρῶσιν ἀντιπεριέλκοντες. (1).

§. τιδ'. Ἀλλὰ καὶ τὸ ὅλον σύγγραμμα, ἃ πρόκειται τὸν νοῦν περὶ τι ἀναπτύξαι, ἐπιμελῶς πρῶτον μετιτέον· τῶν τε ἐν αὐτῷ, καὶ μέθοδον, καὶ τάξιν, καὶ συνθήκην, καὶ ὅλως διασκδήν τε τὴν πᾶσαν, καὶ κατασκδὴν παρατηρητέον. Καὶ τῶν νοημάτων ἕκασον τοῖς τε πρῶτον, καὶ τοῖς ὕστερον λεγομένοις παραβλητέον· τὰ γὰρ ἡγέμενα, καὶ τὰ ἑπόμενα ἱκανὰ πολλάκις διατρανῶσαι τὰ μεταξὺ, καὶ ἑαυτὸν ἐπὶ πολλῶν διαλδκαίνων ὁ Συγγράψας ἁρίσκεται· Ὡς οἵγε διερρωγότα τινὰ λόγων τεμμάχια περικόπτοντες ἐν μέρει, καὶ περιμασώμενοι, εἰς ἀλοκότες τινὰς περιπίπτοντες διερμηνδύσεις, τὸν μὲν εἰπόντα διαβάλλουσιν ἀ προσηκόντως, αὐτοὶ δὲ γέλωτα πολύντε καὶ δίκαιον παρὰ τοῖς σοφοῖς ὀφλισκάνουσιν. (2).

§. τιέ. Ἤδη δέ ὅτω τῇ Ἑρμηνείᾳ ἐπιβάλλοντα, δεῖ μὲν τὴν καθ' αὐτὸ ἐπὶ τῶν ὀνομάτων ἑκάστε σημασίαν (ἥτις ἡ κυρία ἐστὶ, καὶ πρώτως οἷον ἀπαντῶσα τῷ λόγῳ.) διασκοπεῖν· Δεῖ δὲ, καὶ τὴν κατὰ τρόπον, ἢ σχῆμα, ἢ εἰς δήλωσιν ἑτέρε τινὸς μεμειλημμένην, ἀποσημειδν· Ὧν τὴν μὲν κατὰ τὸ γράμμα καλεῖν εἰώθασιν ἑρμηνείαν, τὴν δὲ ἀλληγορικήν. Καὶ κυρίως μὲν τὸ ῥηθὲν ἐκλαμβάνειν, ἐπειδὰν μηδὲν ᾖ τὸ ἐπεῖγον, ἀπέχεθαι τῆ κυριολεκτεῖν, μὴ κυρίως δὲ, ἔτι τὸ ἐκ τῆς κυριολογίας ἑπόμενον ἄτοπον. Συντελεῖ δὲ εἰς τῆτο μάλιστα ἡ τῶν

(1) Ὃν ἕν, ὡς φυτὴν τὴν Λογικὴν ψυχὴν Φρονοῦντα, οἱ περὶ τὸν Ἀφροδισιέα διερμηνεύσι,. ταύτης τὸ ἀθάνατον λαμπρῶς ἅπαντες μαρτυροῦντα προβάλλονται· ἐδὲν μᾶλλον τὸ ἐκείνα δόγμα ἐμφῆναι, ἢ τὸ σφίσι δοκδν, δι' ἐκείνε συνῆσαι ἀγωνιζόμενοι. Ἐφ ᾧ καὶ θαυμάσειέτις τὸν ἅτως ἀσαφῶς τὰ ἑαυτῆ διαινιξάμενον, ὡς μηδ' ἐν ὁλοκλήροις, ας συνέταξε βίβλοις, φανερὸν ἀναμφηρίστως γενέσθαι, οἵε ποτὲ ὑπῆρξε Φρονήματος.

(2) „Δεῖ τὰς λόγας ἕκασον ὧν ἐλέγχει, καὶ τὰ γράμματα, μὴ παρέρ-„γως διελθεῖν, μηδὲ φωνὰς ἀλλαχόθεν „ἅπας ἀποσπῶντα, καὶ ῥήμασιν ἄνευ „γραμμάτων ἐπιτιθέμενον, ἀποκρέ-„σθαι τὰς ἀπείρας. Πλάτ. Ὅτι ἀδὲ ζῆν ἔσιν ἡδὺ κατ' Ἐπίκηρ.

πλεοναχῶς λεγομένων διασολὴ, καὶ ἡ τῆς τῶν ὀνομάτων συνηθείας εἴδησις (1), καὶ ἡ τῆς παραχρήσεως, καὶ ἡ τῶν ἐπιθεωρεμένων δὲ τοῖς ὅροις ἐμμελὴς παρατήρησις ἁπάντων περὶ ὧν ἡμῖν (§. σκ. καίτ.) εἴρηται.

§. τιζ'. Τοιγαρῆν πολυπραγμονεῖν μὲν τὰς ἐν τῷ λόγῳ ἐμφάσεις εἴτινες εἰσίν· Ὅσον τε ἐγχωρεῖ, τέτων ἑρμηνεύοντας ἐκ

(1) „Τετὶ δὲ ἀναγκαῖον καὶ χρήσιμον... τὸ γινώσκειν πῶς τοῖς ὀνόμασιν οἱ ποιηταὶ χρῶνται (ταυτὸ δὲ καὶ περὶ τῶν ἄλλων συγγραφέων νοείσθω.) καὶ πότερον ταῦτα τῶν ἁπλῶς, ἢ τῶν πολλαχῶς λεγομένων ἐστί. (Μέτιθι τὸ Πλάτ. περὶ τε πῶς δεῖ τὸν νέον ποιημ. ἀκέ.). Καὶ γὰρ οἶκον ποτὲ μὲν τὴν οἰκίαν καλεῖσιν. Οἶκον ἐς ὑψόρροφον. Ποτὲ δὲ τὴν ἀσίαν· ἐσθίεται μοι οἶκος. Καὶ τὸν βίον ποτὲ μὲν τὸ ζῆν, ποτὲ δὲ τὰ χρήματα. Καὶ τῷ ἀλύειν ποτὲ μὲν ἀντὶ τε διάκνεσθαι καὶ ἀπορεῖσθαι κέχρηνται· ἡδ' ἀλύσα ἀπεβήσατο, τείρετο δ' αἰνῶς. Ποτὲ δὲ ἀντὶ τε γαυριᾶν καὶ χαίρειν· ἢ ἀλύεις ὅτι Ἶρον νενίκηκας τὸν ἀλήτην. Καὶ τῷ θοάζειν, ἢ τὸ κινεῖσθαι σημαίνεσιν ὡς Εὐριπίδης, ἢ τὸ καθέζεσθαι, ὡς Σοφοκλῆς. Χάριεν δὲ καὶ τὸ τὴν χρείαν τῶν ὀνομάτων συνοικεῖν τοῖς ὑποκειμένοις πράγμασιν, ἄλλην πρὸς ἄλλα δύναμιν λαμβανόντων.

„Νῆ ὀλίγην αἰνεῖν μεγάλη δ' ἐνὶ Φορτία θέσθαι· τὸ μὲν γὰρ αἰνεῖν σημαίνεται τὸ ἐπαινεῖν· αὐτῷ δὲ τῷ ἐπαινεῖν ἀντὶ τε παραιτεῖσθαι νῦν κέχρηται. Οὕτω δὲ καὶ τοῖς τῶν Θεῶν ὀνόμασιν οἱ ποιηταὶ χρῶνται· ποτὲ μὲν αὐτῶν ἐκείνων ἁπτόμενοι τῇ ἐννοίᾳ, ποτὲ δὲ δυνάμεις τινὰς ὧν οἱ Θεοὶ δοτῆρες εἰσὶ καὶ καθηγεμόνες, ὁμωνύμως προσαγορεύοντες. Οὕτω γὰρ καὶ αὐτὸ τέκνωμα τῆς τύχης λέγοντες, εἰδότες δὲ τὴν τῆς ἀτάκτως, „καὶ ἀορίστως περιφερομένης αἰτίας δύναμιν ἰσχυρὰν καὶ ἀφύλακτον ἔσαν „ἀνθρωπίνῳ λογισμῷ, τοῖς τῶν Θεῶν „ὀνόμασιν ἐξέφραζον. Ὥσπερ ἡμεῖς κῆ „πράγματα, καὶ ἤδη, καὶ νηδία λόγως, καὶ Ἄνδρας εἰώθαμεν Δαιμονίους καὶ Θείους προσαγορεύειν, οἷον ἐσὶ „καὶ τὸ τῆς ἀρετῆς. Ἐπεὶ γὰρ ἐ „μόνον ἔμφρονας παρέχεται καὶ δικαίους, καὶ ἀγαθὲς, ἀλλὰ καὶ δόξας ἐπιεικῶς, καὶ δυνάμεις περιποιεῖ, παρὰ τᾶτο ποιῆνται καὶ τὴν εὐδοξίαν ἀρετὴν καὶ δύναμιν ὀνομάζοντες, ὥσπερ ἐλαίαν τὸν ἀπὸ τῆς ἐλαίας, καὶ φηγὸν τὸν ἀπὸ τῆς φηγᾶ καρπὸν ὁμωνύμως τοῖς φέρσι. Καὶ γὰρ καὶ „τῇ κακότητι ποτὲ μὲν ἰδίως σημαίνουσι κακίαν καὶ μοχθηρίαν ψυχῆς· „Ποτὲ δὲ ἄλλην τινὰ κάκωσιν, ἢ δυσυχίαν. (ὃ δὴ καὶ ἐν τοῖς καθ' ἡμᾶς „ἱεροῖς σεσημείωται γράμμασιν· ὡς ἐν „οἷς γέγραπται Ἡσ. μέ. ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. Ὅρα καὶ Δ'. Βασιλ. Κεφ. κβ'. καὶ Ἀμὼς Κεφ. γ'.)

„Ἐπεὶ καὶ τὴν εὐδαιμονίαν ἐξαπατηθέντες ἄν, ἔτω τὲς ποιητὰς οἰόμενος λέγειν, ὡς οἱ Φιλόσοφοι λέγεσι, „τὴν παντελῆ τῶν ἀγαθῶν ἕξιν, ἢ κτῆσιν, ἢ καὶ τελειότητα βίε κατὰ φύσιν εὐροῆντος, ἀλλ' ἐχὶ καταχρωμένες πολλάκις τὸν πλέσιον εὐδαίμονα „καλεῖν, ἢ μακάριον, καὶ τὴν δύναμιν, ἢ τὴν δόξαν, εὐδαιμονίαν, ἂν „μήτις ταῖς μεταφοραῖς καὶ καταχρήσεσι τῶν ὀνομάτων ἕπηται.

ἐκτιθέναι τὴν δύναμιν. Ἐπεὶ δὲ δι' ἄλλης τὰ πολλὰ φωνῆς ἐπαξίως αὐτὰς ἐκφράζειν οὐχ οἷόντε, μὴ τούτων πῇ μὲν ὑποχαλῶντας τὸν τόνον, πῇ δ' ἀνάπαλιν, καὶ πέρα τοῦ συμμέτρου ἐντείνοντας, τὸ γοῦν μᾶλλον σύμφωνον, καὶ προσφυῶς ἔχειν δοκοῦν, ἐπάγειν, καὶ ὅτι ἔγγιστα πειρᾶσθαι τοῦ νοουμένου, διὰ παραφράσεως γίνεσθαι (1). Ἐκεῖνο μέν τοιγε παραφυλαττομένους ἀεὶ, μὴ εἰκῇ, κἀκ τοῦ τυχόντος, τῆς προκειμένης ἐννοίας ἀπαναχωρεῖν, καὶ ἄλλην πορρωτέρω διώκειν, ἐμφάσεις οὐκ οἶδ' ἅς τινας ὀνειροπολοῦντας, καὶ ἐν οἷς οὐκ εἰσί. Καὶ μάλιστα ὁπότε ἀνεμφάτως τὴν φωνὴν παραδεξαμένοις, οὐδέν τι παραλυμανεῖται τὸ εἰρημένον τὴν τοῦ λόγου ἀλήθειαν. (2).

T 5 §. τιζ.

(1) Τὸ δεινὸς ὄνομα κατὰ τὴν Ἑλλάδα φωνὴν, πολλαχοῦ ἐμφερόμενον τῷ λόγῳ, οὐκ ἰσοδυνάμως παῖδες Λατίνων ἐπὶ τὴν ἑαυτῶν μεταφέρουσι. Τουτὶ γοῦν, ἐκ τῆς ὑπὲρ Σωκρ. Απολογ. τοῦ Πλάτωνος ἐν αὐτοῖς προοιμ. προβαλλόμενος ὁ Κλέρικος (Κριτ. Μέρ. Α'. τμήμ. ά. Κεφ. β'.) τὸ δεινὸς λέγειν, εἰς τὸ peritus dicendi, τουτέστιν ἔμπειρος, δεξιὸς, μεθηρμήνευσε, καί περ ἄλλως ὁμολογήσας, ὅτι Maior est Græcarum vocum ἔμφασις. Ἔνθα δὴ καὶ Ἐρρίκου τοῦ Στεφάνου θαυμάζων φαίνεται οὐκ ἀπεικότως, τοῦ ἐν τῷ Θησαυρῷ, τὸ δεινὸς φαγεῖν, εἰς τὸ peritus edendi, μετειληφότος· τὶς γὰρ ἐπιεικῶς ἡ πρὸς τὸ φαγεῖν δεξιότης, καὶ ἐμπειρία; Ἧττον οὖν ἀδόκιμος ἡ τοῦ Ὀνόματος ἐκδοχὴ, κατὰ Ἰοῦστον Οὐλτήϊον, ὅς τὸ τοῦ Αἰλιανοῦ (ἐν Ποικ. Ἱστορ. Βιβ. Α'. Κεφ. ά.). δεινοὶ κατὰ κοιλίαν εἰσὶν οἱ πολύποδες, firmo et robusto ventre, ἐκτίθησιν, εἰ μόνον τὸ ventre προσδιορθώσειέτις, τὸ stomacho ἀντιτιθεὶς, ἵν' ἐμφαίνηται (φησὶν ὁ Κριτικὸς) τῷ λόγῳ, ἡ τοῦ στομάχου εἰς πέψιν περιοῦσα τῷ ὀκτάποδι ῥωμαλεότης. Ἀλλὰ γὰρ οὐδ' οὕτως, ἐμοὶ δοκεῖ, οὐδ' ἄλλως ὁπωσοῦν, τὴν ἔμφασιν τοῦ ἑλληνικοῦ ὀνόματος, διὰ μιᾶς ἄντις φωνῆς Ῥωμαϊκῆς ἐκδηλώσειεν. Ἐμφαίνει γὰρ, ἐν οἷς ἂν κέηται, τῆς περὶ ἧς ὁ λόγος ποιότητος ὑπερβολήν τινα, καὶ ἐπίτασιν. Οἷον δεινὸς εἰπεῖν, ᾧ ὑπεροχήτις ἐπιθεωρεῖται τῆς ἐν λόγοις δυνάμεως· καὶ φαγεῖν, ἢ πέψαι, ὁ ὑπερέχων ἐν τούτοις, καὶ ἔξω τοῦ συνήθους γινόμενος. Οὕτως οὖν καὶ τὸ παρὰ τῷ Ξενοφ. ἐν Κύρ. παιδ. δεινὸς τὸ κάλλος καὶ μέγεθος, εἴρηται, ὁ ἐν ὑπεροχῇ κάλλους ὤν, καὶ τῇ καθ' ἡλικίαν τοῦ σώματος ἀναδρομῇ παρὰ τὸ εἰωθὸς προβαίνων. Ὡσαύτως δὲ καὶ οἱ Παφλαγόνες τοὺς Ἕλληνας θεώμενοι τὴν ἐνόπλιον ὀρχουμένους, δεινὰ ὡς τὸ εἰκὸς ἐποιοῦντο (ἐν τῷ περὶ Κύρ. Ἀναβ.) ἐπειδὴ πλέον τι τοῦ κοινοῦ καὶ συνήθους ἐδόκουν ὁρᾷν. Κείσθω οὖν τοῦτο Ἐμφάσεως δεῖγμα, ἐκ μυρίων ἕν, ἥντις καὶ διακρίνων εὖ μάλα, δι' ἀλλοτρίας ὅμως φωνῆς ἀποδοῦναι οὐ δύναται.

(2) Τὸ ἐπαπειληθὲν τοῖς Γενάρχαις θανάτῳ ἀποθανεῖσθε, ὡς ἔμφασιν ἔχον, παρὰ τὴν τῆς τοῦ συνθέτου λύσεως, καὶ τῆς ἀπὸ τῆς χάριτος ἐκπτώσεως, καὶ μὴν καὶ τῆς αἰωνίου ποινῆς, ὁ Ἱερὸς Αὐγουστῖνος (Βιβλ. περὶ Θεοῦ πόλ. ΙΓ'. Κεφ. ιβ'.) ἐξεδέξατο. Οἱ δ' ἀνεμφάτως φασὶ (Κλέρ. Κριτ. Μέρ. Β'. τμ. Α'. Κεφ. δ'. §. έ.) νοεῖσθαι πρόκειται τὸ λεγόμενον τῆς τοῦ ῥηματικοῦ ἐπὶ τῷ ῥήματι ἐπιφορᾶς συνήθους

§. τιζ'. Ἐπὶ τῶν ἀποφάνσεων προσεκτέον εἶναι παραινοῦσι τοῖς ὑποκειμένοις καὶ κατηγορουμένοις, καὶ δι' ἀλλήλων ταῦτα ἐπικριτέον, διὰ θατέρου θάτερον ἀναπτύσσοντας. Ἀλλὰ γὰρ καὶ ἀπόφανσις ἀποφάνσει τὰ πλεῖστα, καὶ φράσις ἄλλη ἄλλῃ, καὶ μὲν δὴ καὶ ἐπενεχθὲν ὄνομα ἐπιθετικὸν, δαψιλὲς ἐπιχέει τοῖς ὑποκειμένοις τὸ φῶς, καὶ πρὸς σύνεσιν τοῦ, ὃ χρὴ νοεῖν, τοὺς προσέχοντας χειραγωγεῖ. (1).

§. τιή.

θους οὔσης τῇ Ἑβραΐδι, καθάπερ καὶ τῇ Ἀτθίδι διαλέκτῳ, τὸ ἀγορὰν ἀγορεύειν, καὶ βουλὴν βουλεύειν, καὶ τὰ ὅμοια, ὡς ἐκ μυρίων τῆς Γραφῆς τόπων ἐστὶν ἰδεῖν. Τουτὶ μὲν οὖν οὕτως ἔχει· οὐμὴν ἐντεῦθεν μεμπτέος, εἴτις (καθάπερ ὁ Ἱερὸς Ἀνὴρ) ἐπὶ τὸ ἐμφατικώτερον προσβιβάσας τὸν λόγον, διδασκαλίας ἀφορμὴν ἐκπορίζεται τοῖς ἀκροωμένοις, δεικνὺς ὅσα ἐκ τῆς παρακοῆς τῷ γένει τὰ δεινὰ εἰσέφρησεν. Ἐφεῖται γὰρ τὸ τοιοῦτο τοῖς τὰ Ἱερὰ Γράμματα, οὐ μόνον εἰς ἀκρίβωσιν τοῦ ἐν αὐτοῖς νοῦ, ἀλλὰ καὶ εἰς παραίνεσιν ἡθῶν καὶ βίου διερμηνεύειν ἐπιχειροῦσιν, εἰ μόνον τὰ ἑρμηνευόμενα πρὸς διάνοιαν ἀνάγοιτο ἀληθῆτε καὶ πρέπουσαν.

(1) „Δεῖ δὲ μηδὲ τὰς ἐκ τῶν παρα„κειμένων, ἢ συμφραζομένων παραλι„πεῖν ἀφορμὰς πρὸς τὴν ἐπανόρθωσιν „(ἢ τοῦ λεγομένου τὴν διασάφησιν.). „Ἀλλ' ὥσπερ οἱ ἰατροὶ τῆς κανθαρίδος „οὔσης θανασίμου, τοὺς πόδας ὅμως, καὶ „τὰ πτερὰ βοηθεῖν οἴονται, καὶ ἀνα„λύειν τὴν δύναμιν, οὕτως ἐν τοῖς ποιήμασι κἂν ὄνομα, κἂν ῥῆμα παρακείμενον, ἀμβλυτέραν ποιῇ τὴν πρὸς „τὸ χεῖρον ἀπαγωγὴν (ἢ τὴν τοῦ νοη„τέου διάγνωσιν εὐχερεστέραν) ἐπιλαμ„βάνεσθαι καὶ προσδιασαφεῖν, ὡς ἐπὶ „τούτων ἔνιοι ποιοῦσι.

„Τοῦτο νύπου γέρας ἐστὶν οἰζυροῖσι βροτοῖσι,
„Κείρασθαί τε κόμην, βαλέειν τ' ἄπο δάκρυ παρειῶν.

Καὶ „Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
Ζώειν ἀχνυμένοις . . . . .

Οὐ γὰρ ἁπλῶς εἶπε καὶ πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν ἐπικεκλῶσθαι λυπηρὸν βίον, ἀλλὰ τοῖς ἄφροσι καὶ ἀνοήτοις· οὓς δειλαίους καὶ οἰκτροὺς διὰ μοχθηρίαν ὄντας, εἴωθε δειλοὺς καὶ οἰζυροὺς προσαγορεύειν. (Πλούτ. ἐν τῷ πῶς δεῖ τὸν Νέον Ποιμ. ἀκού.). Τοιῷδε δὴ λόγῳ, καὶ τὸ θανάτῳ ἀποθανεῖσθε, ἐκ τοῦ παρακειμένου, παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἄνευ ἐμφάσεως νοεῖσθαι δεῖν διατείνονται. (Κλέρ. Ἔνθ. ἀνωτ.). Ἐντεῦθεν καὶ τὸ τοῦ Ἀποστόλου πρὸς Γαλ. Κεφ. Δ'. ἐδαφ. 8. ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς· εἰς τὸ τοῖς μὴ πράγματι, μὴ ἀληθέσιν, ἀλλὰ ψευδοθέοις, ἐκδεκτέον εἶναιμοι δοκεῖ, οὐκ εἰς τὸ θέσει, οἷαπου διὰ πολλῶν ὁ Κριτικὸς ἀποφαίνεται. (Μέρ. Β'. Τμήμ. Α'. Κεφ. Ζ'. Καν. ϛ'. §. 4.). Τὸ γάρ τοι θέσει, εἰ καὶ τῷ παντὶ ὑφειμένην τινὰ μοίραν σημαίνει θειότητος, σημαίνει γεμήν. Θέσει γὰρ θεοὶ καὶ παρ' Ἕλλησιν, οἱ τυχεῖν λεγόμενοι τῆς ἀποθεώσεως, καὶ παρ' ἡμῖν οἱ δι' ἀρετῆς καὶ ὁσιότητος βίου τῆς θεουργοῦ μεταλαμβάνοντες χάριτος, καὶ υἱοθεσίας. Οὔμενουν οὐδ' εἰς τοῦτο εὐφημίας ἥκειν ἡγητέον τὸν Ἀπόστολον, ὥστε τὸ μὴ φύσει ἀντὶ τοῦ θέσει, ἐξειληφέναι, τὴν ἀθείαν τῶν Γαλατῶν κατονειδίζοντα. Ἀλλ' ἐκεῖνο μάλιστα ἐπιτιμῆσαι αὐτοῖς, ὅτι τοῖς παρὰ

§. τιή. Ἐφ' ὧν δ' ἂν ἦτοι ἐξ ἱστορίας τι παρεισάγοιτο, ἢ ἐκ τῆς ποιήσεως παρωδοῖτο, ἢ ἐξ ἀποφθέγματος, ἢ παροιμίας τοῖς προκειμένοις ἐναρμόζοιτο, χαλεπώτατον ὄν, τῆς ἀκριβεῖς ἰκέσθαι ἐννοίας, μὴ ἐκεῖνα προειληφόσιν, ἐπιμελητέον ἡμῖν πρῶτον, τῇ τῶν τοιούτων ἀνακρίσει ἅπασαν ἐκ μέσου ποιησαμένοις τὴν ἀπαντῶσαν δυχέρειαν, εἶθ' ἑξῆς ἀσφαλῶς ἐπὶ τὴν τῆδε ζητουμένην κρίσιν χωρητέον. (1).

§. τιθ'. Καὶ τὰ παραπλήλως δὲ παρὰ τοῖς ἄλλοις φερόμενα, μέγα τοῖς φιλολογοῦσιν ἐστὶ βοήθημα εἰς σύνεσιν τῆδε προκειμένου, λαμπρότερον ἐκείνου εἰπόντος, ὅπερ ἔτος διεμέλανε τῇ φράσει, καὶ κατεζόφωσε. (2).

§. τκ'.

ρὰ φύσιν, καὶ ἀδὲ τῆδε κατὰ θέσιν ὀνόματος ἀξίοις, ἀλλὰ πάντῃ ματαίοις, καὶ ἀθενέσι, καὶ ἀδυνάτοις ἐδέλευσαν. Δῆλον δὲ ἐκ τῶν παρακειμένων· προσίθησι γὰρ ἑφεξῆς τῷ λόγῳ „πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀθενῆ καὶ πτωχὰ στοιχεῖα; Καὶ ταῦτα μὲν ἔτως. Εἰς δὲ διασάφησιν ὁμοίως τῆδε διὰ τῶν παρακειμένων τὰ λεγόμενα διερμηνεύειν χρῆναι Κανόνος (§. τζ'.), καὶ ἡ ἐν χερσὶ φράσις συμβάλλεται. Τὰ γὰρ ἀθενῆ φησὶ καὶ πτωχά; Πῶς γὰρ πτωχά; ἢ δῆλον ὅτι ὥσπερ καὶ ἀθενῆ. Καθότι ἄμοιρα ἔσι Νε, καὶ Αἰθήσεως, καὶ δυνάμεως, καθάπερ ἄρισα ὁ Ἱερ. Θεοφύλ. (Αὐτ.) ἐξέθετο.

(1) Τὸν μηδόλως ὑπὸ φιλοπλουτίας νικώμενον παρισᾶς ἡμῖν τῷ λόγῳ ὁ Μέγας Βασίλ. (ἐν τῇ πρὸς τὰς Νέας παραιν.) τὸ τῆς χρείας, φησὶ περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα, κἂν τῶν Μυρμήκων ἔργον τῶν χρυσοφόρων, τοσούτῳ πλέον ἀτιμάζει (ὁ ἔτως ἐλευθεριάζων) ὅσῳπερ ἂν ἧττον προσδέηται. τῷ γὰν ἐντεῦθεν ὡς ἀπὸ χρυσίτιδος τῷ ὄντι, τὸν καθαρὸν, καὶ σφυρήλατον, χρύσεον ὡς ἀληθῶς νᾶν μεταλλεύσοντι, τό, τε Λύδιον ψῆγμα, καὶ τὸ τῶν Μυρμήκων ἔργον, ἐκ τῆς Ἱστορίας καλῶς προϊσέον. Εἰδότι γὰρ ὡς τὸ μὲν, κατ' ὄχθας τὰς τῆδε χρυσάμμου Πακτωλοῦ, παρῆν ἀπονητὶ, καὶ ῥαδίως συλλέξασθαι· (Ἡροδ. Τερψιχ. Κεφ. ρά'.), τὸ δὲ περὶ τὴν Κασπάτυρον πόλιν, καὶ κατὰ χώραν τὴν Πακτυϊκὴν, ὑπὸ τῶν Μυρμήκων ἦν ἐκφορούμενον „οἳ μεγάθεα ἔχοντες Κυνῶν μὲν ἐλάσσονα, ἀλωπέκων δὲ μείζονα .... ποιεύμενοι οἴκησιν ὑπὸ γῆς ἀναφορέουσι τὴν ψάμμον. (Αὐτ. Θάλ. Κεφ. ρβ'.) τῆς τῆδε συγγράψαντος διανοίας ἡ δύναμις εὐθὺς ἀναφαίνεται. Οὐ γὰρ ὁ νῆς αὐτῷ ἁπλῶς δηλώσας, τὰς περὶ τὰ πρόσκαιρα τῶν ἀγαθῶν μηδαμῶς ἐπτοημένας, καὶ αὐτῆδε τῆδε πλέτε καταφρονεῖν, ἀλλὰ (ὃ τέτε πολλῷ μεῖζον καὶ τῆς ἀκροτάτης ἐλευθερίας ἐνδεικτικὸν), κἂν ἐν ποσὶν αὐτοῖς ὁ χρυσὸς προκείμενος ᾖ, κἂν ἕτοιμος καὶ ἀταλαιπώρως παρῇ κύψαντας μόνον αὐτὸν ἀναλέξασθαι, ὅμως παρέρχονται, μηδὲν ἐπισφρεφόμενοι.

(2) Σιμωνίδης περὶ τῶν Θετταλῶν εἰπὼν ὅτι ἀμαθέστεροι εἰσὶν, ἢ ὥσε ὑπ' αὐτῆδε ἑξαπατᾶσθαι, περιενεγκόντα προήνεγκεν ἐπιεικῶς. Ἀλλὰ τῆτ' αὐτὸ ὑπὸ τῆδε Γοργίε ῥηθὲν, ἅλις διαλευκάνεται. Γοργίας γὰρ τὴν τραγωδίαν εἶπεν ἀπάτην, ἧν ὁ, τε ἀπατήσας δικαιο-

§. τκ΄. Ἔπειτα δὲ καὶ ἐπ' αὐτὰς μεταβαίνοντες τὰς ὑποθέσεις, τῶν περὶ ἃ ἡ πραγματεία, (καὶ μάλιστα ἐὰν ἐπιστημονικῆς ᾖ τυγχάνοντα σκέψεως, καὶ θεωρίας βαθυτέρας δεόμενα.), ἐγκρατέστατον εἶναι δεῖν φαμὲν τὸν τιὺ Ἑρμηνείαν ἀνειλημμένον. Καὶ ὲ μόνον, ἀλλὰ καὶ ὅσα τέτοις, ἢ πρὸ ὁδῦ γινόμενα ἐστὶν, ἢ ὁπωσδῆν ἄλλως ἐμπαρεισάγεται, τελεώτατα ἐξακριβῶντα. (1).

§. τκα΄. Καὶ τῦ χρόνε δὲ λόγον ποιεῖσθαι καθ' ὃν ἤκμασεν ὁ Συγγράψας, καὶ γένες ἅπερ ἔτυχε, καὶ χώρας ἐν ᾗ, καὶ θρησκείας, καὶ αἱρέσεως, καὶ ἤθες, καὶ τῶν παραπλησίων, ὡς πολλιὺ ἐχόντων ῥοπιὺ, πρὸς τιὺ τῶν αὐτῷ νοηθέντων ἐπίκρισιν. (2).

§. τκβ΄.

δικαιότερος τῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς σοφώτερος τῦ μὴ ἀπατηθέντος. (Ὅρα Πλάτ. ἐν τῷ πῶς δεῖ Ποιμ. ἀκέ. καὶ ἐν τῷ Πότερ. ὁι Ἀθην. κατὰ Πόλεμ. ἢ κατὰ Σοφ. ἔνδοξότ.) Τοιᾶδε μηχανῇ, καὶ τῶν παρὰ Λατίνοις φιλολογέντων, καίπερ μετρίως Ἑλληνικῆ Λόγε πολλάκις γευσάμενοι, καὶ τῶν μάλιστα δυσξυνέτων ἐνίοτε περιγίνονται, τὰ τῶν Ἑλλήνων διερμηνεύοντες.

(1) Τὶς γὰρ, φέρε, τὰ τῶν ἐφ' ἡμῶν φυσιολογέντων, μὴ ταῖς τῶν Μαθηματικῶν στοιχειώσεσι προενασκηθεὶς, περινοῆσαι οἷος ἂν γένοιτο; τὶς δ' ἂν περὶ τὰ ἰσορέμενα, ὅσην ἂν βάλοιο καταβάλλων σπεδῆν, ἄνευ τῆς τῶν Γεωγραφικῶντε καὶ Χρονολογικῶν εἰδήσεως, εὐδοκιμῆσαι ἐλπίσειεν; (περὶ τέτε Κλήρικος ἐν Κριτ. Μέρ. Α΄. Κεφ. Α΄. §. 1 καὶ 2.) Διὸ δὴ καὶ τὸν ἁπλῶς Γραμματικὸν τὸ τῆ Κριτικῆ ἔργον παραιρέμενος Σέξτος ὁ Ἐμπειρικὸς (Βιβ. Α΄. κατὰ τῶν Μαθημ. Κεφ. ιγ΄.) ἐκ ἂν ἄτοπος δόξειε. Δεῖ γὰρ „τὸν μὲν Φυσικοῖς ἐπιβαλόντα πράγ„μασιν, εὐθὺς Φυσικὸν εἶναι· Καὶ „τὸν Μαθηματικοῖς εὐθὺς εἶναι Μα„θηματικόν. Καὶ ἐπὶ τῶν ἄλλων ὁ„μοίως. Ὁ μέντοι Γραμματικὸς ἐκ „ἔστιν ἐν τῷ αὐτῷ πάνσοφος, καὶ πά„σης Ἐπιστήμης δαήμων .... Πῶ γάρ„τις δύναται τῶν ὠφρυωμένων Γραμ„ματικῶν Ἡράκλειτον συνεῖναι, καὶ Πλάτωνι παρακολαθῆσαι; Τοιγαρῦν, ἕως ἡμῖν ὁ Κριτικὸς, ἀμὴ πάνσοφος (τὸ ἀδύνατον.) Σοφὸς γᾶν, ἐν οἷς κρίναν ἐπιχειρᾶ· τᾶτο δ' ἔσαι ἐμὴ τὴν κρίσιν ἀναβάλλοιτο, ὧν ἡμοίρησε τῆς εἰδήσεως. Ὡς ἄτισί πε περιτύχοι, ἑτέρε γένες συνεπιπλεκομένοις, οἷαπε συμβαίνει, σκέμμασι, ταχὺ καταφευγέτω πρὸς τὸν ταῦτα ἔμπαρον, ὑφ' ᾧ διδαχθεὶς ὑπερβήσεταί τὴν ἀπαντῶσαν δυσχέραιαν. Εἰ γάρπε, κἀνταῦθα χώραν ἔχει τὸ „Ἐπιχάρμειον„. Ἀδὲ χεὶρ τὰν χεῖρα νίζει· Δόσ τι, καὶ λάβέτι. (Μετιτέος ἂν εἴη περὶ τέτων ὁ Κλήρικος Κριτ. Μέρ. Β΄. Τμήμ. Α΄. Κεφ. ΙΔ΄. Κανόν. ιγ΄.

(2) Ὡς ἂν ἅπαντα τὰ εἰρημένα, πρὸς ἃς ἕκαστος φέρει μὲν ἐννοίας, κατέχα δὲ δόξας, ποιᾶται δὲ κρίσεις, τὸ πᾶν ἐπιῤῥᾶ, συμφανὲς ἄλλως ὂν, ἐπὶ λεπτᾶ διελθᾶν, τοῖς ἐκ προθέσεως περὶ τῆς Κριτικῆς πραγματευομένοις παρίεμεν. Πολλὰ δὲ συνείρει, εἰς τᾶτο

§. τκβ'. Καὶ ἐπὶ τὸ τέλος μάλιστα ἀφορᾶν, καὶ τιὼ πρόθεσιν, καὶ τὸ Εἶδος, καὶ τιὼ Ἐπαγγελίαν τῦ συγγράφοντος· Οἷον εἰ Φιλοσοφῶντις τῦ ἀληθῦς θηράτωρ ἐπαγγέλλεται εἶναι, εἰ σοφιςὴς μελετῶν, ἢ ποιητὴς ῥαψωδῶν, καὶ πλάττων, κτ'. Οὐγὰρ ὡς ἀφ' ἑνὸς δηλαδὴ, καὶ τῦ αὐτῦ σκοπῦ ἐκδεκτέον, τὰ κατὰ πολλιὼ τιὼ διαφορὰν ἐκφερόμενα.

§. τκγ'. Καὶ ἐν μέρει δὲ τῶν ὑφ' ἑνὸς καὶ τῦ αὐτῦ λεγομένων, ἄλλα ἄλλων πλεῖσα διαφέροντι ἂν λέγοιτο τῷ σκοπῷ. Καὶ ἐπισκεπτέον δῆτα, εἰ παρεκβατικάτερον ἐπὶ τῦ προκειμένε διείλεκται. καὶ παροδικώτερον· ἢ ὡς ἐξ ἄλλε προσώπε ἠθοποιῶν· ἢ ἀντιπεριῖσὰς τὸ ἀπαντῶν· ἢ εἰρωνδόμενος· ἢ ἀντιφράσει χρώμενος· ἢ μεταφέρων· ἢ ἐν ὑπερβολαῖς, οἷα φιλεῖ, ἐκπίπτειν τῆς ἀκριβείας, καὶ τῦ ὀρθῦ ἐξίσαθαι φρονήματος δοκῶν· τὰ γὰρ τοιαῦτα ἢ δέον παρατετηρηκότι, ὅ, τε νῆς τῦ λέγοντος ῥάδιον ἀναφαίνεται, καὶ τῆς δόξης τὸ γνήσιον, ἢ μὴ, ἀκριβῆται.

§. τκδ'. Ἐπεὶ δὲ τοῖς συγγράφεσιν αἱ διὰ τῶν ὀνομάτων ἐνθέσεις, τῶν ἃς αὐτοὶ περὶ τῶν πραγμάτων ἐνοίας ἔχον, καὶ κρίσεις, μάρτυρες εἰσὶν, εἰκὸς καὶ τὸν ἐκείνε διεξηγήσαθαι προθέμενον, τῶν ἰδίων αὐτῦ νοημάτωντε καὶ προλήψεων παντελῶς ἀλογήσαντα, καὶ μὲν δὴ καὶ τῶν πραγμάτων αὐτῶν, (ἃ καὶ σιγῶντα ἄλλως ἑαυτὰ πολλάκις ἀνακηρύττει.), ὅλον τῦ νῦ γίνεθαι τῦ Συγγράψαντος· τετέχθαι ὅλον συμμορφῶθαι τοῖς ἐκείνε διανοήμασι, καὶ κατὰ δόξαν καὶ κρίσιν τιὼ ἐκείνε φθέγγεθαι ἐπὶ πάντων. Ἔργον γὰρ τῦ διερμηνεύοντος, ἔκδν τὰ οἱ δοκῦντα δηλῶσαι, τὰ δὲ τῷ λέγοντι. Οὐδὲ παραδιορθῶθαι τὰ τῶν ἄλλων φρονήματα, ἐκτιθέναι δὲ, οἷον προσερανίζοντα τιὼ παρ' ἑαυτῦ λέξιν, πρὸς δήλωσιν τῶν κατ' ἐκείνες ἐνθυμημάτων καὶ διανοήσεων.

§. τκε'. Ἀλλ' ἔτω μὲν, οἷς ἡ πρόθεσις αὐτόντε τὸν νῆν ἀρύσαθαι τῶν γεγραμμένων, καὶ ὅσον ἐν τῷ λόγῳ χρήσιμον ἀπενεγκαμένες, παριδεῖν ἔτι ἐχ ὑγιῶς ἐμφέρεται, καὶ ἀχρήσως λεγόμενον. (1). Ἐπειδὴ δὲ συμβαίνει ἐθότε καὶ τιὼ αὐτηρο-

τὸ τεῖνοντα, Κλέρ. ἐν Κριτ. Μέρ. Α'. Κεφ. Α'. §. γ'. Καὶ Μέρ. Β'. Κεφ. ιγ'. Καν. ιβ'.

(1) „Εἰ δέτινας ἔχα καὶ κῆρας „βραχυτάτας, καθάπε σῶμα καλὸν, „δοθιῆνας τινὰς ἐ προφανεῖς τοῖς πολ„λοῖς, ἢ λειχῆνας παρεμπεφυκότας „ἔκ ἐν καιρῷ, ἀφ' ὧν ἥκιστα τὸ πολὺ „τῦ

σηροτέραν, καὶ ἀπελεγκτικὴν Κριτικὴν ἐν χρήσει παραλαμβάνεσθαι, μὴ οὕτω προχείρως τις, ὡς ἄρα ψευδόμενος, ἢ ἀντιφάσει περιπίπτων, ἢ τι τῶν ἀτόπων ὑποτιθεὶς, εἰ μὴ μετ' οὐ μετρίαν τὴν προσοχὴν καὶ διάσκεψιν, ἐλεγχέσθω. Ἀλλ' εἴπερ οἷόν τε καὶ ἐπὶ τὸν κρείττονα λόγον (ἐπειδὰν ἰσοσθενὲς ἑκατέρωθεν τὸ πιθανὸν ἀνακύπτῃ) τὰ εἰρημένα ἐκλαμβανέσθω· τὸ γὰρ ἐπὶ τὸν χείρονα παραβιάζεσθαι, καὶ εἰς ἄτοπα ἀφέλκειν, ἐπισήμου κακοηθείας τεκμήριον. (1). Εἰ δ' οὖν, ἀλλὰ στηλιτευέσθω μὲν τὸ μὴ ὀρθῶς εἰρημένον, μὴ λοιδορείσθω δὲ ὁ σφαλείς· Ἀνθρώπινα γὰρ πέπονθεν· Καὶ οὐκ ἔστιν ὃς εἰπὼν, ἢ γράψας (εἰ μὴ τοὺς ἐκ θείας ἐπιπνοίας ἐξέλοις.) οὐ διήμαρτέποτε.

§. τκϛ'. Ἀπαντήσας δέτινι χωρίῳ ἀσαφεστέρῳ (ἀσαφὲς δὲ λέγω, οὐ τὸ τοῖς ἀπαιδεύτοις μὴ ξυνετὸν, περὶ ὃ δὲ καὶ οἱ σοφοὶ διαποροῦντες, ἀμφίδοξοί τε εἰσὶ τὰς κρίσεις καὶ διχογνώμωνες.) ἁπάσας μὲν βασανιεῖ τὰς τῆς λέξεως δυνάμεις καὶ χρήσεις, ἁπάσας δὲ τὰς ἐξ αὐτῶν συνισταμένας ἐννοίας περισκοπήσει, τὴν δὲ μᾶλλον προσήκουσαν καὶ τῷ τέλει, καὶ τῇ αἱρέσει τοῦ λέγοντος, πρὸ τῶν ἄλλων, ὡς δοκιμωτέραν ἑλεῖται. Ἐὰν δ' ἐξ ἴσου παρῇ, δισσῶς ἐκδέξασθαι τὸ λεγόμενον, τόγε αὐτῷ δοκοῦν, εἰ δεήσει, περὶ ἑκατέρου ἐν μέρει ἀποφανεῖται (2). Οὐδὲν δὲ λόγου, οὐδ' ὁπωσοῦν ἐχόμενον ἀνευρίσκων, ὁμολογήσει μὲν εἰλικρι-

„τοῦ κάλλους ἀχρειοῦται, σκεπτέσθωσαν „οἱ περίεργοι, καὶ οὐ πάνυ φιλόκαλοι. „Ἡμεῖς γὰρ οὐ μεῖαι τοῖς ἕλκεσιν ἐφι„ζάνουσαι, μέλισσαι δὲ τοῦ τῶν μουσῶν „λειμῶνος τὸ κάλλιστον ἀπανθίζουσαι. „Ευστ. εἰς Διονύσ. τὸν Περιηγ. περὶ τοῦ Γέν. καὶ τοῦ Ποιήμ. ἐν Προοιμ.

(1) „Ἔστι γὰρ κακοήθεια τὸ ἐπὶ „τὸ χεῖρον ὑπολαμβάνειν ἅπαντα. „Ἀριστ. Ῥητ. Β'. Κεφ. ιγ'.

(2) Ὅπου δὲ ἀσάφεια τῆς γνώμης, „διοριστέον οὕτωπως ἐφιστάντας τὸν Νέον. „Εἰ μὲν Ναυσικάα ξένον Ἄνδρα τὸν „Ὀδυσσέα θεασαμένη, καὶ παθοῦσα „τὸ τῆς Καλυψοῦς πάθος πρὸς αὐτὸν, „ἅτε δὴ τρυφῶσα, καὶ γάμων ὥραν ἔχουσα, τοιαῦτα μωραίνει πρὸς τὰς „θεραπαινίδας.

„Αἴ γὰρ ἐμεῦ τοιόσδε πόσις κεκλημένος εἴη,
„Ἐνθάδε ναιετάων, καὶ οἱ ᾄδοι αὐτόθι μίμνειν.

„ψεκτέον τὸ θράσος αὐτῆς, καὶ τὴν „ἀκολασίαν. Εἰ δὲ τοῖς λόγοις τοῦ ἀν„δρὸς τὸ ἦθος ἐνιδοῦσα, καὶ θαυμάσα„σα τὴν ἔντευξιν αὐτοῦ πολὺν νοῦν ἔ„χουσαν, εὔχεται τοιούτῳ συνοικεῖν μᾶλ„λον, ἢ πλωτικῷτινι, καὶ ὀρχηστικῷ „τῶν πολιτῶν, ἄξιον ἄγασθαι. Ὅρα „καὶ ἑξῆς. Παρὰ Πλουτάρχ. ἐν τῷ Πῶς δεῖ τὸν Νέ. Ποιημ. ἀκού.

λικρινῶς τὴν ἄγνοιαν, ἀριθμήσει δ' ἐν τοῖς ἀξυμβλήτοις τὸ λελεγμένον, ἀδὲν αἰδέμενος· ἐπάσας τό,

„Οὐ γὰρ ἐγὼ σάφα οἶδα τὶ κάλλεται εἰκόνι τῆδε.

Τῆς μὲν ἓν Ἑρμιωδυτικῆς Κριτικῆς Κανόνες οἵγε κεφαλαιωδέστεροι ἔτοι.

§. τκζ'. Ἐπεὶ δέτοι καὶ συγγράμμασίτισιν ἐντυγχάνειν συμβαίνει τὰ πολλὰ, ἢ δι' ὅλε ὑποβολιμαίοις ἔσι καὶ τὸν γεννήσαντα ψελδομένοις, ἢ καὶ ἐν μέρει, τὰ μὲν προθήκαις, τὰ δ' ἀφαιρέσεσι, τὰ δ' ἐξαλλοιώσεσι καὶ παραλλαγαῖς, πῆ μὲν ὑπὸ χρόνε μακρῆ τὴν διαφθορὰν καὶ λύμην παθέσι· πῆ δ' ὑπὸ τῶν βιβλιογράφων διὰ ῥαθυμίαν ἢ ἀμαθίαν παρεφθαρμένοις· πῆ δὲ καὶ ὑπὸ τῶν ἀπαιδεύτως καταχρησαμένων τῇ ἰδίᾳ κρίσει αὐτῶν παρασεσημασμένοις τε καὶ χετλίως κατηκισμένοις· πῆ δὲ τέως καὶ ὑπὸ ἀπαταιώνων τινῶν, τῶν ἐπὶ συσάσει τῆς σφῶν αἱρέσεως καὶ δόξης, τὴν ὑποβολὴν ἐῤῥαδιεργηκότων, διανενοθδμένοις (1), ὑποθετέον δὴ καὶ εἰς τὴν τέτων ἐπικρι-

(1) Ἀρχαῖον κομιδῇ γενέδαι τὸ τῆς διαφθορᾶς τῶν βιβλίων, πάθος μανθάνομεν. Ἀράτε γὰρ διαπυνθανομένε, πῶς τὴν Ὁμήρε ποίησιν ἀσφαλῆ κτήσαιτο, ἀπαντῆσαι λέγεται Τίμων ὁ Φλιάσιος, ἐτοῖς Ἀρχαίοις Ἀντιγράφοις ἐντυγχάνοι, καὶ μὴ τοῖς ἤδη διωρθωμένοις. (παρὰ Λαερτ. βιβλ. Θ'. §. 113.) Ὁ δέτοι Ἄρατος, καὶ αὐτὸς εἰς τῶν ἐπανορθδαι ἐπικεχειρηκότων τὰ Ὁμήρε· Ὅθεν καὶ Διόρθωσις Ἀράτειος, ὥσπερ καὶ Ἀριστάρχειος, καὶ Ἀριστοφάνειος. Ἐθαυμάζετο δὲ τῶν ἄλλων διαφερόντως ἡ ἐκ τῆς Ἀριστοτέλες Φιλοπονίας, ἣν ἐκ τᾶ Νάρθηκος ἐκάλλυν, ὅτι ταύτην ἑαυτῷ συμπεριφέρων ἦν ὁ τᾶ Φιλίππε, πολεμικῆς θίον ἀρετῆς ἐφόδιον. Δεῖ μέντοι αἰδέναι, ὡς πολλὰ καὶ οἱ διορθδαι ἐπαγγελόμενοι διελυμαίνοντο, τὰ μὲν ἀλλοιᾶντες, τὰ δὲ, ὅσοις μὴ αὐτοὶ ἤρεσκοντο, καὶ ἀποδιοπομπέμενοι· ὅ καὶ περὶ Ἀρισάρχε καὶ Ζυνοδότε Λεκιανὸς φησὶν Ἀλληθ. Ἱσορ. Βιβλ. Β'. Ὁ δὲ Ἀρίσαρχος, καὶ τὰ τᾶ Φοίνικος πρὸς Ἀχιλλέα Ἰλιάδ. ί. „τὸν μὲν ἐγὼ „ἔλευσα κατακτάμεν κτ. ἀπὸ τῶν Ὁμηρικῶν ἐξεῖλε, φοβηθεὶς τὰ ἔπη, ἐκ εὐλόγως, ἢ Πλετάρχω δοκεῖ, ἐν τῷ πῶς χρὴ τῶν Ποιητ. ἀκέ. Ἄρατος ἓν τὰ Ὁμήρε περιξέσας, καὶ αὐτὸς ἐν ποῖς αὐτᾶ ἀντιπεριέξεσαι ὑπ' ἄλλων, παθὼν ὅπερ ἔδρασεν· ὡς γὰρ Ἵππαρχ. εἰς βίον Ἀράτε διέξεισιν, „ἐλύμηναν πολλοὶ καὶ τὸ αὐτᾶ ποίημα· „Ζωγράφοι, καὶ Ἀστρονόμοι, καὶ Γραμματικοὶ, καὶ Γεωμέτραι, ἕκασος αὖ„τῶν πρὸς τὸ βέλτιον τὸ ἴδιον γρα„φὰς καὶ ἐξηγήσεις ποιέμενοι. Πα„ρὰ δὲ τὴν ἐκ τῶν παραδιορθωμένων, „καὶ ἀλλαχόθεν τοῖς ἀρχαίοις ὑπομνήμασιν ἐπισυμβᾶσαν τὴν λύμην, εὖ„ρήσεις παρὰ Στράβωνι Γεωγρ. Βιβ. ιγ'. Καὶ Ὠριγ. δὲ ἐς Ματθ' Σελ. 381. „Πολλὴ, φησὶ, γέγονεν ἡ τῶν Ἀντι„γράφων διαφορὰ (ἢ διαφθορὰ) ἄτε „ἀπὸ ῥαθυμίας τινῶν γραφέων, ἄτε „ἀπὸ τόλμης τινῶν μοχθηρᾶς (ὃ γε-

„νο-

πίκρισιν τεκμήρι ἄττα, οἷς ἂν οἱ ἐντυγχάνοντες, τὰ ὑποβολιμαῖα, καὶ κίβδηλα, καὶ παρέγγραπτα, τῶν γνησίωντε καὶ εἰλικρινῶν, καὶ ἀρτίων, διαγιγνώσκειν ὑμαρῶς ἔχοιεν, καὶ ἐς Κυνόσαργες ἀποπέμπειν.

§. τκή. Καὶ δῆτα πρωτίστη βάσανος ἐν τέτοις ἔστω, ἡ ἐκ τῆς σεμνῆς Ἀρχαιότητος· Τὰ γὰρ ἐν Κώδιξι τοῖς ἀρχαιοτάτοις σωζόμενα, τῶν ὕστερον γεγραμμένων δίκαιον ἀεὶ περὶ πλείονος ποιεῖσθαι. Οἷς δ' ἂν οἱ πάλαι ἐπιγραψάμενοι φαίνοιντο, τέτοις καὶ ἡμᾶς τὸ πόνημα ἐπιγράφειν, καὶ παραπλησίως ἐκείνοις καὶ ἀναγινώσκειν (1). Εἰ δὲ τοῖς πρὸ ἡμῶν σιγὴ περὶ τῦ προκειμένυ βαθεῖα, τοῖς τε συνακμάσασι, καὶ ἐς εἰκὸς λῷ εἰδέναιτε καὶ ἀπομνημονεῦσαι· καὶ ἐ μόνον, ἀλλὰ καὶ τὲς προσεχῶς μετ' ἐκείνες, εὔλογον καὶ ἡμᾶς ὑφορᾶσθαι τῷ γε-

„νομένης) τῆς διορθώσεως τῶν γραφο-„μένων, ἅτε καὶ ἀπὸ τῶν τὰ ἑαυτοῖς „δοκοῦντα τῇ διορθώσει προσθέντων, ἢ „ἀφαιρούντων. Ἀλλὰ καὶ πολλὰ τῶν „ψευδεπιγράφων ἀνέδειξεν ὁ χρόνος, τῶν μὲν ἐπὶ χρηματισμῷ τοῖς εὐκλεεσ-στάτοις τινὰ ἀναγεγραφότων (ὡς ἔστι μαθεῖν παρὰ Γαλην. εἰς τὸ Ἱπποκρ. περὶ φύσ. Ἀνθρ. καὶ ἐν Προοιμ. τῆ Β'. ὑπομν. καὶ παρὰ Ἀμμ. ἐν ὑπομν. εἰς τὰς Κατηγορ.) τῶν δὲ, ἵνα σφίσι κλέος περιποιήσωσι, γόνας ἑαυτοῖς ἀλλοτρίας καθυποβαλλόντων, καθάπερ Αἰσχίνης ὁ Σωκρατικὸς διεβλήθη, ὡς τὰς πλείστας Διαλόγυς ὄντας Σωκράτες ὑποβάλλοιτο λαμβάνων παρὰ Ξανθίππης. (Παρὰ Λαερτ. Βιβ'. β'. §. 60.) τῶν δὲ, καὶ ἵνα τὴν ἰδίαν αἵρεσιν συστήσωνται, τὰ μὲν ὅλως τοῖς ἀξιοπίστοις δοκοῦσιν ἀναθεμένων, τὰ δὲ ἢ παρεγγραψάντων, καὶ προδήλως καὶ ἀφαιρέσεσι παντοίως διανοθευσάντων. Περὶ ὧν ἀφθόνως ἔστι τὰ εἰς πίστιν ἀναλέξαθαι παρὰ τοῖς Νεωτέροις Κριτικοῖς, ἃς μέντοι καὶ αὐτὰς ἐκ ἄνευ ὑπονοίας μετιτέον, ἅτε δὴ Κρίσεως ἐν τῷ κρίνειν ὑπευθύνων συνεχῶς γινομένων, ὡς ἔφητις αὐτῶν. Possemus permulta exempla erratorum a criticis recentioribus commissorum hue congerere, sed nimis quam frequentia sunt, et postea nonnulla adferentur. Πολλὰ μὲν ἂν εἰς δεῖγμα τῶν τοῖς Νεωτέροις Κριτικοῖς διημαρτημένων ἔχοιμεν ἂν ἐνταῦθα συνεπισωρεῦσαι. Ἀλλ' ἐξ αὐτῶν, παρὰ τὸ πυκνὰ πάνυ ἁπαντᾶν, ὀλίγα ὕστερον ἡμῖν ἐπενεχθήσεται. Ἰωάν. Κλέρ. Τέχν. Κριτ. Μέρ. Γ'. Τμήμ. Α'. Κεφ. ιδ'. Ἀριθμ. 27.

(1) Οὕτως ἡ ἐν Ἀφρικῇ συγκλῆσα σύνοδος Ἐτ. 419. κατὰ Ἀπιαρίε τῆ Σίκης, τὲς ὑπὸ τῶν Ῥώμης Ἐπισκόπων Ζωσίμε, Βονιφαλίε, Καιλεστίνε, ὡς δῆθεν ἐν Νικαίᾳ συνόδε προβαλλομένες Κανόνας, τῇ παραθέσει πρῶτον τῶν ὑπὸ Καικιλιανῦ, κομισθέντων Ἀντιγράφων, ἔπειτα τῶν ἐν Κωνσταντινοπόλει, καὶ Ἀλεξανδρείᾳ σωζομένων Αὐθεντικῶν, νοθείας προφανῶς ἀπήλεγξαν, καὶ κατέκριναν. Ὅρα ἐν τοῖς Πρακτ. τῆς εἰρηνικ. Συν.

γενομένῳ νοθείαν (1). τοσοῦτον προσιθέντας τῷ λόγῳ τῆς ὑπονοίας, ὅσον οἱ μεμνημένοι ὕστερον, τῇ τε αὐ λόγοις διωάμει καὶ δόξῃ, γεγόνασιν ἥττονες, καὶ τοῖς χρόνοις μᾶλλον ἀπέχοντες.

§. τκθ'. Ἐν ᾧ δ' ἂν συγγράμματι τινὸς τῶν ὕστερον ἀκμασάντων γίγνοιτο μνεία, ἢ πράξεως μετὰ χρόνον γενομένης, ἢ ἐπινοίας, ἢ φράσεως καὶ ὀνομάτων, καὶ τρόπε συγγραφῆς καινοφανεστέρων, καὶ τοῖς εἰσέπειτα οὐ χρήσει ὄντων, ἢ διαφορᾶς καὶ ζητήματος χρόνῳ ὕστερον ἀνακυψάσης, καὶ κινηθείσης, οὐ τοῖς μὴ γνησίοις, ἢ ἐᾶν τοῖς παρεγγεγραπλάτινα φέρεσι, τὸ τοιόν δε σύγγραμμα ἀριθμητέον (2).

§. τλ'. Καὶ ἡ ὑφὴ δὲ τᾶ λόγε, καὶ ὁ χαρακτὴρ, καὶ ὁ τρόπος τῆς ἑρμηνείας μονονεχὶ φωνῇ ἀφιέντα, κέκραγε πολλάκις, καὶ μαρτυρεῖ τιὶ ὑποβολὶ τᾶ συγγράμματος. Ταύτητοι ἀδὲ γνήσιον εἶναι ἐπιδικαστέον γόνον, ὅτῳ τῆς γε φράσεως

(1) Οἷον Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. γ'. Κεφ. γ'. τὸ μὲν τῶν ἐπικεκλημένων αὐτᾶ (τᾶ Ἀποστόλε Πέτρε) πράξεων, καὶ τὸ κατ' αὐτὸν ὠνομασμένον Εὐαγγέλιον. τό, τε λεγόμενον αὐτᾶ κήρυγμα, καὶ τὴν καλκμένην Ἀποκάλυψιν, ἀδόλως ἐν Καθολικοῖς ἴσμεν παραδεδομένα, ὅτι μήτε Ἀρχαίων, μήτε τῶν καθ' ἡμᾶς τις Ἐκκλησιαστικὸς Συγγραφεὺς, ταῖς ἐξ αὐτῶν συνεχρήσατο μαρτυρίαις. Τᾶ ἐπ' ὀνόματι ἀλλ' ἓν τᾶ Πέτρε κηρύγματος Κλήμ. ὁ Ἀλεξ. μέμνηται Στρωμ. Βιβλ. ε'. ὡς τῷ Κλειρίκῳ σεσημείωται Κριτ. Μέρ. Γ'. Τμή. β'. Κεφ. Γ'. Ἀριθμ. 12. Παράγεμὴν τὸν ἕνα τᾶτον λόγον καὶ ἄλλων ἕνεκα, τὸ βιβλίον ἐκσυρικτέον. Διὰ τὸν αὐτὸν δὲ λόγον ἀδὲ τὰ ἐπ' ὀνόματι τῶν ἄλλων φερόμενα Εὐαγγέλια ὁ αὐτὸς Εὐσέβιος ἀποδέχεσθαι ἠξίε (Κεφ. κε'.) ὧν ἀδὲν ἁδαμῶς ἐν Συγγράμματι τῶν κατὰ διαδοχὰς Ἐκκλησιαστικῶν τις ἀνὴρ εἰς μνήμην ἀγαγεῖν ἠξίωσεν.

(2) Οὕτω νοθείας ἀπελέγχοντας οἱ παρὰ Λατίνοις τῶν Ποντιφίκων Decretales, ἤτοι Ἀποφαντικαὶ Ἐπιστολαὶ, τῶν κατὰ τὴν Πρώτην, καὶ Δευτέραν, καὶ Τρίτην ἀπὸ Χριστᾶ Ἑκατονταετηρίδων ἀκμασάντων, ἐν αἷς πολλὰ ἐμφέρεται ἐκ τῆς τᾶ Ἱερωνύμε Ἑρμηνείας ἀναγινωσκόμενα, καὶ ἐκ Πατέρων, καὶ ἐκ Συνόδων τῶν μετ' ἐκείνας γενομένων. Ὡσαύτως δ' αἱ τῷ Φιλοσόφῳ καὶ μάρτυρι Ἰεστίνῳ ἐπιγραφόμεναι Ἐρωταποκρίσεις, τὴν τῆς κακοπλαστίας εὐθύνην διέφυγον, ὡς μνήμην τᾶ Εἰρηναίε, καὶ τᾶ Ὠριγένες ποιέμεναι. Οὐδ' αἱ τῷ Ἀθανασίῳ πρὸς Ἀντίοχον, τᾶ Ἐπιφανίε. Ἐπὶ τέτοις καὶ ἡ ὡς ἀπὸ Κλήμεντος πρὸς Ἰάκωβον τὸν Ἀδελφόθεον φερομένη Ἐπιστολὴ, αὐτόθεν φανερὸν τῆς ῥαδιεργίας φέρε τὸν ἔλεγχον. διαλαμβάνει γὰρ ὡς Κλήμης κατὰ πρόσταγμα Πέτρε ταύτην συγγράψαι, καὶ πέμψαι πρὸς τὴν ἀγήρω μετασάντος, ἀποστέλοι Κλήμης πρὸς Ἰάκωβον (Φώτ. ἐν Κωδ. ριβ'.) ὁπότε ἀμαχόθεν πρόδηλον, ὡς Ἰάκωβος πρὸ τᾶ Πέτρε, τὸν διὰ τᾶ μαρτυρίε ἀγῶνα ἀθλήσας.

σεως τὸ εἶδος, ἀλλότριον πάντῃ, καὶ ἄηθες, καὶ ἀνομοιότατον (1), ἄλλῳ δέτῳ, εἰ μηδέντι εἴη τὸ κωλύον, προσαναπτέον, ὅπερ ἂν, εἰτύχοι, ἡ κατὰ τὴν συγγραφὴν λέξις ἀκριβῆ παρέχοιτο συνιδεῖν τὴν ἐμφέρειαν.

§. τλά. Καὶ τὰ εὐτελῶς δὲ, καὶ ἀπαιδεύτως συγγεγραμμένα, καὶ ψευδῶντινων καὶ ἀτόπων ὄντα ἀνάπλεα, κἂν ἄλλως ἐν Κώδιξιν οὐχ οὕτω προσφάτοις ἐμφέρηται, τῶν ἐνδοξοτάτων τινὶ καὶ γνωριμωτάτων ἐπὶ σοφίᾳ προσανατιθέμενα, ἤτοι ὅλως καὶ ταῦτα εἰς Κυνόσαργες ἀπορριπτέον, ὡς τῷ παντὶ νόθα καὶ σκότια, ἢ γοῦν τὰ πλεῖστα παρακεχαράχθαι ὑποληπτέον, εἰ μάλιστα τοῖς λόγου ἀξίοις, συμμεμιγμένα ἀκόσμως ἐνορῷτο τὰ εὐτελῆ, καὶ φαῦλα, καὶ ἄτοπα (2).

§. τλβ'. Καὶ ἐν οἷς δὲ τἀναντία ἐκ προθέσεως, αὐτὸς ὅτῳ προσαναγράφεται, δογματίζων ἐν ἄλλοις φαίνεται, καὶ ταῦτα ἤτοι νοθείας (3), ἢ παρεγγραφῆς εὐθύναις καθυποβλητέον. Πλὴν εἰ μὴ ἀποσκυβαλίσαι ἔπειτα μεταβουλευσάμενον, τὰ προεκδοθέντα αὐτῷ, δῆλον ποθὲν ἡμῖν εἴη, καὶ δευτέραις φροντίσι τὰ προημαρτημένα, ἐπιδιορθώσασθαι, ὅ τισὶν ἐγένετο (4). Καὶ εἰμὴ γυμνάζων ἑκατέροθεν τὸν λόγον, ἢ σκεπτικώτερον ὑπενδοιάζων καὶ ἀμφιγνωμῶν, ἢ τέως καὶ περίτινα μὴ πάνυ πολλοῦ λόγου ἄξια διὰ λήθην παρολισθαίνων, εἰς τὸ ἀντιδοξεῖν παρενήνεκται. Συμβαίνειν γάρ τι καὶ τοιοῦτον ἐνίοτε φιλεῖ, καὶ μάλιστα τοῖς πολλὰ συγγράφουσιν. Ἀλλὰ καὶ περὶ τούτων ἅλις.

ΚΕΦΑ-

(1) „Τὰ τοίνυν Λιθιακὰ, ἐκρίθη„σαν ἴδια Διονυσίου καὶ αὐτὰ, διὰ τὴν „τοῦ χαρακτῆρος ὁμοιότητα· τὰ δὲ „Βασσαρικὰ διὰ τὴν τραχύτητα οὐκ „ἄξια τούτου κριθέντα, εἰς τὸν Σάμιον „ἀνηνέχθησαν Διονύσιον. τὰ δὲ Ὀρνι„θιακὰ εἰς ἄλλον τινὰ Φιλαδελφέα Διο„νύσιον. Εὐστάθ. εἰς Διονύσ. τὸν Περιηγ.

(2) Οἷον τὸ περὶ ὑποτυπώσεων, εἰ τῷ ὄντι τοῦ Ἀλεξανδρέως Κλήμεντος ἦν, ὁ Φώτιος ὑποδιστάζει; (Κώδ. ρθ'.) „Τῶν γὰρ ἐν ἐκείνῳ τῷ βιβλίῳ ἔντισι „μὲν ὀρθῶς δοκεῖ λέγειν, ἔντισι δὲ παν„τελῶς εἰς ἀσεβεῖς καὶ μυθώδεις λόγους ἐκ„φέρεται ... καὶ ἄλλα δὲ μυρία βλασφη„μεῖ καὶ φλυαρεῖ, εἴτε αὐτὸς, εἴτέ τις ἕτε„ρος τὸ αὐτοῦ πρόσωπον ὑποκριθείς.

(3) Τῷ Κανόνι τῷδε ἑπόμενος ὁ Γαλην. (ὑπομν. Α'. εἰς τὸ περὶ Φύσ. Ἀνθρ.) „τὸν μὲν πρῶτον λόγον τοῦ „Ἱπποκράτους εἶναι γιγνώσκει, ἅτε δὴ „παντοίως ἐχόμενον τῆς Ἱπποκράτους „τέχνης. Τὸν δὲ περὶ τῆς τῶν φλε„βῶν ἀνατομῆς, ἐναργῶς παρεγκείμε„νον ἔχει μοχθηρὸν ὅλον. οὔτε γὰρ „τοῖς φαινομένοις ὁμολογεῖ, καὶ τοῖς „ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν εἰρημέ„νοις μάχεται.

(4) Ὡς Αὐγουστίνῳ συγγράψαντι τὰ περὶ τῶν Ἐπανορθώσεων.

ΚΕΦ. ΕΚΤΟΝ.

Ὅπως τὸ Πιθανὸν παραδεκτέον, οὐ τοῖς ὑπὸ τῶν ἄλλων, ἢ διὰ λόγε μαρτυρεμένοις, ἢ οὐ συγγράμμασιν ἱσορεμένοις.

§. τλγ'.

Διὰ τῆς Ἱσορικῆς λεγομένης Κριτικῆς (§. τζ'.), ἰῶ τῆς μεθοδικῶς τὰ τῶν Ἱσορικῶν τεχνολογέσης, τῷ παντὶ διαφέρειν εὔδηλον (§. τγ'.), ἐδὲν ἄλο, ἢ ὅσον εἰς παραδεχλὺ ἀξιόπιςοι εἰσὶν αἱ ἀπὸ σόματος, ἢ διὰ συγγραφῆς ὑπότινων κατατιθέμεναι μαρτυρίαι, κρίνειν ἐπαγγελλόμεθα, τλὺ, ἰῶ περ ὑφορᾶθαι δίκαιον, ἀπάτλω ἐμφρόνως τε καὶ προσεκτικῶς παραφυλατλόμενοι (1). Τὸ γὰρ εὔπιςον εὐαπάτητον· ψυχήτε ἡ παντὶ τῷ λεγομένῳ ῥᾴξα πιςεύσα, εὐχερῆ εἰς ἑαυτλὺ παρασκλάζει τῷ ψεύδει τλὺ εἴσοδον. Τῶν γὰρ ἀφηγεμένων, πολλοὶ μὲν εἰσὶν οἱ ἐθελοψεύδεντες ἐπίτηδες. Πολλοὶ δὲ καὶ ἐξ ὧν ἤκεσαν εἰς ἀπάτλω αὐτοὶ παρασυρέντες, πρὸς τλὺ τῶν αὐτῶν πίςιν καὶ ἄλλες σωωθεῖν εἰώθασιν. Ὁ γᾶν περὶ τῶν προχείρως διαψευδομένων εἰρηται, ὡς τᾶτο ἂν ἐκ τᾶ ψεύδεθαι ὄναιντο, τὸ καὶ ἐφ' οἷς ἀληθεύεσιν ἀπιςεῖθαι, μικρὸν ἄλως τις μεταλαβὼν εἴποι, ὡς ἡμᾶς ὅλόγως τὸ πλῆθος τῶν ψευδομένων, ὑπόπλες καὶ πρὸς τὲς μὴ τᾶτο εἰωθότας ἀποφαίνειν προσῆκεν. Ἀλλὰ γὰρ καὶ τὸ πέρα τᾶ μετρίε ὕποπλον τῆς γνώμης καὶ ἄτεγκτον, ἐδὲν ἧτλον ἀλλαχόθεν, εἰμήτι καὶ μᾶλλον, τᾶ ὀχερᾶς εἰς πίςιν, γένοιτ' ἂν ἐπιζήμιον (2). Διο καὶ ὅροις τισὶ καὶνταῦθα ἐμμένειν δέον,

(1) „Εἰ μὲν πάντα τὰ Ἱσορέμενα „ἀληθῆ τινὰ Κριτὴν ἔχε, καλῶς ἂν „ἦν παραδέχεθαι τὴν Ἱσορίαν. ἐπεὶ „δὲ ἐχ ἕτως ἔχα, δεῖ κριτήριόντι εὑρῆ„θαι τῆς Ἱσορίας, ᾧ διακρινῶμεν τὴν „ἀληθεσαν ἀπὸ τῶν ψευδῶν. Γαλην. πρὸς Θρασύβ. περὶ Ἀρίς. Αἵρ.

(2) Οὐ γὰρ οἵοντε ἀφ' ἑαυτῶν, ἀπάντων ἐκπορίζεθαι τὴν γνῶσιν, ὧν χρήζομεν. Ἀλ' ἃ μὴ καὶ τοῖς παρὰ τῶν ἄλλων λεγομένοις πιςεύοιμεν, τῶν πλειόνων ἦν ἐπάναγκες ἡμᾶς σέρεθαι, μηδὲν μὲν ὄφελος ἐξ αὐτῶν ἀρνυμένες, ἄθλιόν δέ τινα βίον, καὶ βραχυτελῆ ἐπὶ γῆς διαζῶντας. ῥᾴδιον δὲ παντὶ ἐνοῆσαι καθ' ἑαυτόν, οἷοι ποτ' ἂν εἴημεν ἐκεῖνα

οἷς προσέχων ἐκ ἄν τις ῥαδίως παρακρουσθείη, ἢ γᾶν ἐκ ἂν παρενεχθεὶς εὐτύχοι, καὶ ἀληθείας γέλωτα προσοφλήσειε.

§. τλδ'. Προσεκτέον τοίνυν ἐπὶ τῷ εἰς πίστιν προβαλλομένῳ, εἰ ὑφ' ἑνός τε καὶ μόνου φέρεται μαρτυρούμενον, ἢ ὑπὸ πολλῶν. Τοῖς πολλοῖς γὰρ ἔοικε πιστευτέον εἶναι, ἢ τῷ ἑνί. Εἰς μὲν γάρ τις, καὶ εἰς τὸ ἀπατῆσαι ῥαδίως ἂν ἐναχθείη, καὶ ἀπατηθεῖναι πρόχειρος. ὑπὸ δὲ πολλῶν ἕνα, φασὶν, ὡς ἐπὶ τοῦτο εἰς ταυτὸ συνελθόντων, καὶ πολλοὺς ὑφ' ἑνὸς τοῦτο πάσχειν, οὐ πάνυ ῥάδιον. Καὶντεῦθεν τὸ, νέφος μαρτύρων· καὶ τὰ παραπλήσια. Φιλεῖ γὰρ τῶν πλειόνων ἡ συγκατάθεσις κρατύνειν τὰ νοηθόντα, ἢ λέγεται. Δεῖ μέντοι καὶνταῦθα σημειῶν ἀκριβῶς, μὴ περὶ ἀληθοῦς τοῦ κατὰ δόξαν, ἢ δόγμα ἡμῖν ἐνταῦθα νοεῖσθαι τὸ εἰρημένον, περὶ δὲ τῆς καθ' ἱστορίαν τοῦ ὄντος, ἢ γενομένου ὑπάρξεως. τὸ μὲν γὰρ λόγῳ θεμελιῶται, ἡ δὲ τῇ μαρτυρίᾳ κρηπίζεται. Εἶτα καὶ εἰμήτις φέρεται λόγος ἀντίξους, διὸν τὸ ὑφ' ἑνὸς, ἢ τῶν πλειόνων, μᾶλλον ἂν δόξειεν ὑπαραδεκτον. Οἷον εἰ μήτι ἦ, τῶν ὅσα ἐ τοῦ παντὸς ἐστὶν ἢ δέον, καὶ ἐπισαμένως παρατηρεῖν, ὡς φρονήσεως, ἢ τέχνης ἐχόμενα, περὶ ὧν ἐ τῶν πολλῶν ἐστὶ κρίνειν, τοῦ δὲ σοφοῦς, καὶ σωστοῦ, καὶ νοήμονος, ἢ ὁπωσοῦν ἄλλως ἐμπειρίαν καὶ δεξιότητα ἔχοντος. Ἔπειτα καὶ εἰμὴ τῶν πλειόνων ὑποπλῶν διὰ αἰτίας τινὰς γινομένων, εἰς ἀξιοπιστίαν ἐπισήμως εἴη διαφέρων ὁ εἷς ἐκεῖνος, καὶ πολλῶν, ὃ λέγεται ἀντάξιος ἄλλων.

§. τλέ. Ἀνάλογον ἓν ἀεὶ προσοφείλεται ἡ πίστις τῷ τοῦ λέγοντος ἀξιώματι. Τὸ δὲ ἀξίωμα διττόθεν ἐστὶ, καὶ κατὰ λόγον ἢ φασὶ, σωθὲν σωιζάμενον, ἔκτε τοῦ ἤθους δηλονότι, καὶ ἐκ τῆς περὶ τὸ κρίνειν ἐπιτηδειότητος καὶ δυνάμεως. Καὶ ἐκ μὲν τοῦ ἤθους· οἷον εἰ σώφρων ὁ μαρτυρῶν, καὶ ἐμβριθὴς τὸν τρόπον, καὶ βέβαιος, καὶ τὸ πιστὸν ἐν ἔργοις καὶ λόγοις μελέτῃ πεποιημένος (1). Καὶ ἐδ' εὐνοίᾳ χαριζόμενός τινι, ἐδὲ δυσμενείᾳ τε καὶ ἔχθει τἐναντίον ἀγόμενος, ἐδ' ἄλλῳ τινὶ τῶν παθῶν δηλοῦν. Οἷς γὰρ τὸ φιλοψευδὲς ἢ ἄπιστον πρὸς τρόπου ἐστὶ, καὶ τὸ ὑπὸ τοῦ ἐνδομυχοῦντος πάθους ὑπεμφαίνεται κέντρου,

ἑκάνα μόνα κατὰ νοῦν φέροντες, ὧν ἂν αὐτοὶ παρ' ἑαυτῶν πεῖραν λάβοιμεν. ἄλλο δ' οὐδέν.

(1) „Τοῖς γὰρ ἐπιεικέσι πιστεύομεν „μᾶλλον καὶ θᾶττον, περὶ πάντων μὲν „ἁπλῶς· ἐν οἷς δὲ τὸ ἀκριβὲς μὴ ἐστὶν, „ἀλλὰ τὸ ἀμφιδοξοῦν, καὶ παντελῶς. Ἀριστ. Ῥητορ. Βιβλ. Α'. Κεφ. β'.

κέντρον, τούτοις οὐ ῥαδίως πιστεύειν καλῶς ποιοῦντες, εἰώθαμεν. Ἐκ δὲ τῆς περὶ τὸ κρίνειν ἐπιτηδειότητος· οἷον εἰ νοήμων ὁ ἀνὴρ, καὶ τὸ ὂν συνιέναι ὀξὺς, οὐδ' ὑπόκουφος τὰς φρένας, καὶ εὐπαράκρουστος (1). Εἰ αὐτοψεὶ τεθεαμένος, ἢ παρὰ τῶν θεασαμένων ἀμέσως, ἢ ἐμμέσως τὸ λεγόμενον παρειληφώς· οὐ γὰρ τῆς ἴσης ἀξιωτέον πίστεως τὰ οὕτως, ἢ ἐκείνως μαρτυρούμενα. Καὶ ὀφθαλμοὶ, φασὶν, ὠτίων πιστότεροι. Εἴπερ Ἱστορῶν (τὰ γὰρ αὐτὰ καὶ περὶ τῶν ἐν συγγραφαῖς τὴν μαρτυρίαν κατατιθεμένων δέον παρατηρεῖν), τοῖς πράγμασιν ἐγένετο σύγχρονος· ἢ μὴ πολλῷ κατόπιν τῷ χρόνῳ ἀπολειπόμενος. Ὁ γὰρ τοῦ χρόνου ῥοῦς πολλὰ μὲν καθίστησιν ὑποβρύχια λήθης βυθοῖς, ὅσα δὲ καὶ πρὸς τοὺς εἰσέπειτα παραπέμπει, ἐξαλλοιοῦν αὐτὰ πέφυκε, καὶ παντοίως παραμορφάζειν. Διὸ καὶ τῷ συγγράψαι φθάσαντι πρὸ τῶν ἄλλων, πλεῖον ἀεὶ πιστευτέον, τοῖς δ' ἐξ αὐτοῦ παρειληφόσι, κἂν μυρίοι τινὲς ὕστερον γένοιντο, ἰσόμετρον, καὶ πλέον οὐδὲν, τὸ τῆς πίστεως ἀποδοτέον.

§. τλϛ'. Ὁ λόγῳ μὲν τὸ ὀφθῆναι παρὸν, καὶ πρόχειρον ἐπικριθῆναι διαμαρτυρόμενος, καὶ μὲν δὴ καὶ ὑπερδιατεινόμενος ᾗ μὴν οὕτως ἔχον εὑρεθήσεσθαι ἐπικριθὲν, ποινήν τε τίσειν ὑφιστάμενος εἴπερ ἄλλως· εἰς δὲ τὴν τούτου ἀπόπειραν καὶ τῶν ἀκουόντων, ὅτῳ ἂν ᾖ βουλητὸν, ἐλθεῖν προκαλούμενος, εἰμήτις ἐπιεικῶς ἄνους ὑπάρχοι, καὶ τὸν ἐγκέφαλον ἐξεπτυκὼς, ἐντελοῦς ἂν εἴη πίστεως ἀξιωτέος. Ὡσαύτως δὲ καὶ τῶν συγγραψάντων ὁπόσοι τοιαῦτα ἱστοροῦντες εἰσὶν, ἃ τοὺς ἐπ' αὐτῶν γεγονότας λανθάνειν οὐκ ἦν, καὶ περὶ ὧν παρῆν τῷ βουλομένῳ τελεωτάτην τὴν πληροφορίαν λαβεῖν, ἔξω ὑπονοίας ἁπάσης παραδεκτέοι εἰσὶν· οὐδεὶς γὰρ καθ' ἑαυτοῦ ψεύδεται (2).

(1) „Πυνθανομένων δὲ ἡμῶν πῶς „τὴν ἀξιοπιστίαν (τῶν Ἱστορικῶν) κρίνε„τε, ἄλλων ἐν ἄλλοις διαμαρτανομένων „καὶ κατορθούντων; ὅτι μὴ διὰ φιλο„δοξίαν τινὰ, φασὶν, ὁ Ἱστορῶν ἱστορεῖ· „μηδὲ διὰ δόγματα πρὸς πάθος· μηδὲ „διὰ φιλονεικίαν τινὰ, τότε ἀληθὲς „εἶναι φαμὲν ἡμεῖς τὸ Ἱστορούμενον. (Οὐ μὴν ἀλλ' οὐ τοσοῦτον ἀπόχρη· σώζεται γὰρ ἐν τούτοις τὸ ἐκ τοῦ ἤθους, προσαπαιτεῖται μέντοι καὶ θάτερον, τὸ μὴ εἰς πίστιν εὐχερῆ τυγχάνειν τὸν λέγοντα. τυχὸν γὰρ ἐξαπατηθεὶς ἐξηπάτησε). „Πρὸς ἐκεῖνα οὖν ῥητέον. „Πρῶτον μὲν διὰ μηδὲν τῶν εἰρημένων· „ἐξαπατηθεὶς δ' ὁ Ἱστορῶν ἱστορεῖ. Ἄρα„γε διότι μήτε διὰ δόξαν, μήτε διὰ „δόγματα πρὸς πάθος, μήτε διὰ φι„λονεικίαν ἱστορεῖται ἀληθές ἐστι τὸ ἱστο„ρηθέν; (Γαλην. πρὸς Θρασύβ. περὶ Ἀρίστ. Αἱρέσ.)

(2) Ὁ πολλὰ κατὰ τὴν Ἱστορίαν ψευσά-

§. τλζ'. Τὸ ὑπὸ πλειόνων, ἐν χρόνοις μὲν τοῖς αὐτοῖς γενομένων, συγγράψαι δὲ ἐπιβαλομένων περὶ τῶν ἐπ' αὐτοῖς συνενεχθέντων, σιγῇ βαθείᾳ παραδοθὲν, εἴτις τῶν πολλῷ ὕστερον διέξεισιν, ἀπίθανος ἡμῖν ἔσται (1). Εἰ δὲ κατὰ τὸν αὐτὸν ἐκείνοις χρόνον, ἢ ὀ πάνυ νεώτερος ὁ διεξιὼν ἐτύχανε γεγονώς· εἴη δέτι τῶν ἀποῤῥήτων τὸ ὑπὸ τοῦδε φερόμενον, ἢ ἄλλως τῶν μὴ τοσούτου λόγου ἀξίων, ὡς τάχα ἂν καὶ τοὺς πλείστους δυνηθῆναι λαθεῖν, τάχα δὲ καὶ ὑπ' ἐκείνων ἑκόντων παροφθῆναι, ὀ παντάπασι τὸ ὑπὸ τοῦδε ἀποπεμπτέον, εἴπερ ἄλλως πλουτοίη τὸ ἀξιόπιστον. Τῶν προδηλοτάτων δὲ ὂν, καὶ τῇ Ἱστορίᾳ προυργιαιτάτων, οἷον μήτε διαλαθεῖν ἂν, μήτ' ὀλιγωρηθῆναι, χαλεπὸν αὖ πάλιν πίστεως ἀξιοῦν. Πλὴν εἰ μὴ τὸν ἕνα τοῦτον διαφέρειν ἴσμεν τῇ ἀξιοπιστίᾳ, ἄλλως τε, καὶ ἐπ' αὐτῶν ἐκείνων τὴν Συγγραφὴν ἐκδεδωκότα, οὕς περ εἰκὸς καὶ αὐτόπτας γενέσθαι τοῦ πράγματος.

§. τλή. Καὶ ἐπὶ τῶν πραγμάτων δὲ ἃ διεξίασι πολλῆς χρεία τῆς σκέψεως· οἷον εἰ καθ' ἑαυτὰ τῶν ἥκιστα δυνατῶν· εἰ ταῖς περιστάσεσιν ἀντιπίπτοντα, καὶ ὅλως αὐτόθεν ἀνατρεπόμενα. Εἰ δὲ μὴ τοῦτο, ἀλλ' εἰ δυχερῆτινα ἄλλως, καὶ τῶν ὀ ῥᾳδίως συμβαι-

ψευσάμενος Ἡρόδοτος, πολλὰ δήπου καὶ τοιαῦτα διέξεισιν, οἷς μὴ πιστεύειν τοὺς τὴν συγγραφὴν μετιόντας οὐκ εὔλογον. Ἃ γὰρ Γύγης τε πρῶτον, καὶ ἑξῆς Ἀλυάττης, τέως δὲ Κροῖσος, ἀποπέμψαι παρ' αὐτῷ Ἱστόρηνται εἰς Δελφοὺς ἀναθήματα, καὶ τὰ λοιπὰ τῶν Χρηστηρίων, τὶς οὐκ ἂν ὡς ἀληθῶς λεγόμενα παραδέξαιτο; ὁπότε τοῖς ἐφ' ὧν ἐτύγχανε συγγράφων παρῆν ἰδεῖν καὶ πιστωθῆναι δι' αὐτῆς ὄψεως τὰ λεγόμενα; Καὶ γάρ τοι τῶν ἀνατεθέντων χρυσέων τε καὶ ἀργυρῶν Κρατήρων τε καὶ Πίθων, καὶ ἡμιπλινθίων, καὶ τῶν λοιπῶν ἀγαλμάτων, καὶ ἀριθμὸν αὐτὸν, καὶ ὕλην ἐξ ἧς, καὶ τοὺς Δημιουργοὺς ὧν ἕκαστον ἔργον ἦν, καὶ σταθμὸν, καὶ μέγεθος γράφει, καὶ ὡς τὰ μὲν ἐν Δελφοῖς ἀνάκειται, τὰ δ' ἑστᾶσι φησὶν ἐν τῷ Κορινθίων θησαυρῷ, τὰ δὲ ἐν τῷ Κλαζομενίων, κτ. (Ἡροδ. ἐν Α'. Ἱστορ.) Ταῦτα γοῦν ἐνώπιον πάντων ἑλλήνων διεπιστοῦτο, ὧν πολλοὶ μὲν ἀγνοεῖν οὐκ εἶχον, οὐδεὶς δὲ μὴ πληροφορηθῆναι ἐθελήσας περὶ τὴν τούτων ἀλήθειαν.

(1) Οἷον τὸ ἱστορηθὲν περὶ Θαλη„στρίας ἣν Ἀλεξάνδρῳ συμμίξαι φασὶν „ἐν τῇ Ὑρκανίᾳ, καὶ συγγενέσθαι τεκνο„ποιίας χάριν, δυναστεύουσαν τῶν Ἀμα„ζόνων. Οὐ γὰρ ὁμολογεῖται τοῦτο, „ἀλλὰ τῶν συγγραφέων τοσούτων ὄντων „οἱ μάλιστα τῆς ἀληθείας φροντίσαν„τες οὐκ εἰρήκασιν. οὐδ' οἱ πιστευόμενοι „μάλιστα οὐδενὸς μέμνηνται τούτων. (Στράβ. Γεωγρ. Βιβλ. ΙΑ'.) Καὶ γὰρ παρ' Ἀῤῥίαν. Βιβλ. Ζ'. Κεφ. ιγ'. Ἀρι„στόβουλός τε καὶ Πτολεμαῖος οἱ ἐπι„μελῶς τὰ κατ' Ἀλέξανδρον ἐξιστορη„κότες οὐδέν τι περὶ τῶν Ἀμαζόνων „παρέδωκαν, οὐδὲ μὲν οὖν ἄλλος τις, „ἱκανὸς ὑπὲρ τῶν τηλικούτων τεκμη„ριῶσαι.

συμβαινόντων· τὰ μὲν γὰρ αὐτέλεγκτα, τὰ δ' ὑπονοίας μεσα, ἐξ ὧν καὶ δυσπαράδεκτα (1). Διὸ καὶ ἐπὶ τῶν τοιούτων μάλισα, καὶ τὸ πλῆθος ἀπαιτεῖται τῶν μαρτυρέντων, καὶ τὸ ἀξιόπιστον, ὧν παρόντων ἐπειδὰν ἐκ ἔξω γίγνεται τῷ διωατῷ τὰ λεγόμενα, ἀδὲ κομιδῇ ῥᾳδιωτάτῳ φέρεται τῷ εἰκότος, ἃ πάντῃ ἐφέξομεν, εἰ μήτινες αὐθέκαστοι τὸν τρόπον, καὶ δυσπειθεῖς δοκεῖν μέλλοιμεν (2).

(1) „Οὕτω τὰ περὶ τῶν Ἀμαζόνων „ὁ Γεωγράφος, τερατώδητε ὄντα ἔκρινε „καὶ πίστεως πόῤῥω. Τίς γὰρ ἂν πι„στεύσειεν ὡς γυναικῶν στρατὸς, ἢ πόλις „ἢ ἔθνος, συσκιὴ ἄνποτε χωρὶς Ἀν„δρῶν; Καὶ ἐ μόνονγε συσκιὴ, ἀλλὰ „καὶ ἐφόδους ποιήσαι ἐπὶ τὴν ἀλλοτρίαν, „καὶ κρατήσειεν ἐ τῶν ἐγγὺς μόνων, „ὥστε καὶ μέχρι τῆς νῦν Ἰωνίας προελ„θεῖν· Ἀλλὰ καὶ διαπόντιον σᾶλαν „στρατιὰν μέχρι τῆς Ἀτλικῆς; τᾶτο „γὰρ ὅμοιον, ὡς ἂν εἴ τις λέγοι, τὰς „μὲν Ἀνδρας γυναῖκας γενομένας τὰς „τότε, τὰς δὲ γυναῖκας Ἄνδρας. (Σράβ. Γεωγρ. Βιβλ. ΙΑ'.) Καθάπερ ἂν χρυσᾶ ψῆγμα πολῇ τῇ ψάμμῳ συναναπεφυρμένον, ἅτω καὶ τ' ἀληθὲς παρὰ τοῖς Ἱστορᾶσι πολῷ συναναμεμιγμένον τῷ ψεύδει, ὁ καθ' ἡμᾶς ἐν εὐκλείᾳ περιὼν Οὐολταίριος ἀναλέγεσθαι παραινῶν, ἐν συγγράμματι ᾧ ἐπιγραφὴ Des Mensonges imprimés. (περὶ τῶν ἐν τύποις ἐκδιδομένων ψευδολογιῶν, τοιόνδε ἡμῖν Κανόνα ὑπέθετο.) „Ἤδη ὅ, τι (φησὶν) ἅτε τῇ περὶ φύ„σεως ἐπιστήμῃ συνάδαν ἐσὶν, ἅτε τῷ „ὀρθῷ λόγῳ συμβαῖνον, ἅτε τῇ ἀν„θρωπίνῃ καρδίᾳ σύμφωνον, μυθῶδες „ἄντικρυς ἔναγ τακτέον· τὸ δὲ λοιπὸν „ὅσον, ὑπότε συνετῶν Ἀνδρῶν, καὶ „ὁμοχρόνων γενομένων τῷ πράγματι, „μαρτυρᾶται, αὐτὸ τὸ ψῆγμα τὸ „χρυσᾶν ἐσὶ τὸ ζητέμενον.

(2) Ἐγὼ γᾶν ἐκ ὀλίγοις ἐντυχὼν ἐχ ἅπαξ ἐθαύμασα, ταῖς παρὰ τῶν Φιλοσοφέντων καθ' ἡμᾶς γινομέναις πείραις, καὶ τοῖς πᾶσι μὲν μαρτυρκμέναις, τοῖς δὲ βλομένοις καὶ αὐτοῖς ὀφθαλμοῖς βλεπομέναις, ἀδὲ τὴν τυχᾶσαν πίσιν ἀξιᾶσι παρέχεδαι. Διαμφισβητᾶσι δὲ ἄλως, ἐ ἀληθεῖς, φὴ ἐπᾶν, οἱ περὶ τὸν Δία καὶ τὸν Κρόνον καθορώμενοι Λορυφόροι, καὶ ὁ περὶ τᾶτον δακτύλιος, καὶ αἱ τὸν ἡλίκ δύσκον ἐπιμαίναν τὰ πολλὰ φαινόμεναι κηλῖδες, καὶ τὰ ὁρατὰ ὑπερμεγεθύνοντα μικροσκόπια, καὶ τὰς ἐν τῷ πνευματικῷ καλεμένῳ Μηχανήματι ὁσημέραγ γινομένας παρατηρήσεις, καὶ τὰς διὰ τᾶ Ἠλεκτρικᾶ ὡσαύτως, καὶ τὰ παραπλήσια. Ὧν τὰς μὲν λόγες ἐγνηλατᾶν Φιλόσοφον δήπα, καὶ ἐπαίνε τᾶ παντὸς ἄξιον· περὶ δὲ τὴν ὕπαρξιν ἐνδοιάζειν, ἐξ ἃ ἅπαντες οἱ περὶ ταῦτα δεινοὶ ἅτως ἔχειν παρέδωκαν, καὶ μονονεχὶ πάντες ὁμολογᾶσι (τῷ γὰρ χύδην ὄχλῳ μόνον ἀγνοᾶται). Ὁμοιόν τι ἂν εἴη, τῷ καὶ περὶ τῆς Ξέρξα διαβάσεως ἀμφιγνοᾶν ἐθέλειν, καὶ ἀπιστᾶν, ἔπορε ἄρα ὁ Μακεδὼν ἐκᾶνος ἐγένετο, περὶ ὧν τοσαῦτα τοσῶτοι φάσαντες συμφώνως συνέγραψαν. Εἰμήτι καὶ πλέον ἐνταῦθα τὸ τῆς δυσπιείας, ἢ ἐπ' ἐκείνοις. Καθότι ταῦταγε περιόντα καὶ καθ' ἡμᾶς μαρτυρᾶται, καὶ τοῖς βλομένοις ἰδᾶν ἅπασι πρόκειται.

§. τλθ'. Καὶ ὁ τȣ̃ λόγȣ δὲ χαρακτὴρ τὰ πολλὰ, περὶ τὸ κομψὸν καὶ πανηγυρικὸν σχήμασί τε καὶ τρόποις ἀναιδῶς ἀσελγαίνων, καὶ ἀκολαστῶν, ȣ̓χ ὅπως τὸ σεμνὸν καὶ ἐν ἁπλότητι κόσμιον (§. τγ'.) τῆς Ἱστορίας διέφθειρε καὶ κατήσχυνεν, ἀλλὰ καὶ εἰς ὑπόνοιαν ψεύδȣς ἐνέβαλεν. Ἐνὸν ὑφορᾶσθαι δικαίως τȣ̀ς μετιόντας, μήποτε ἄρα τὸν λόγον γυμνάζων (1), ἢ τισὶν ἀνελευθέρως χαριζόμενος (2), εἶτα ἡμῖν τῶν πράξεων, τὰς μὲν εἰς κλέος ȣ̃τω μέγα ἤρατο καὶ ἐπύργωσε, τὰς δὲ τȣ̀ναντίον κατασπάσας τε καὶ κατερείψας τέλεον κατηυτέλισέτε καὶ κατηχρείωσε, ποιητικώτερον πλαστȣργήσας, ἢ διεξελθὼν λογικώτερον. καὶ τῇ ἡδύτητι τέρψαι, ἢ ὠφελῆσαι τῷ ἀληθεῖ προελόμενος.

§. τμ'. Δόγματος δὲ προβαλλομένȣ, ἡ παρὰ τῶν ἄλλων μαρτυρία (κἂν πλεῖστοι ὦσιν οἱ κατατιθέμενοι, κἂν τῶν ἐνδοξοτάτων), ȣ̓δὲν ἡμᾶς εἰς παραδοχὴν ἐπιστρέψει· ὅτι μὴ καθ' ἱστορίαν, πειθομένȣς μὲν, ὡς ἐκείνοις ȣ̃τως ἐπῆλθε φρονεῖν, (τυχὸν δὲ ȣ̓δ' ἀλόγως), οἷς καὶ πρεσβεύεσθαι λέγεται, ἐνδοιάζοντας δὲ ἅμα περὶ τȣ̃ αὐτοῖς δόξαντος, (Προδ. Β'. §. λέ. κξ'.), καὶ τὴν ἐκ τῶν ἀποδείξεων κατασκευὴν καθ' ἑαυτȣ̀ς πολυπραγμονȣ̃ντας. Ἡ γὰρ ἐκ μαρτυρίας πίστις ἐπὶ τῶν τοιȣ́των χωρεῖ, ἐφ' ὧν ȣ̓κ αἰσθήσει, ȣ̓ συνειδήσει, ȣ̓δὲ τῷ παρὰ τȣ̃ λόγȣ φωτὶ, ἐπὶ τȣ̃ ζητȣμένȣ ἐνὶ προσχρήσασθαι. Οἱ δὲ τοῖς παρὰ τῶν ἄλλων δογματιζομένοις ȣ̃τως εἰκῇ καὶ ἀκρίτως πιστεύοντες, τοῖς καὶ ὁρᾷν καταδεξαμένοις ἂν δι' ὀφθαλμῶν ἀλλοτρίων,

(1) „Πολλοὶ γὰρ παιδείας κλέος „ἀΐδιον μνώμενοι, ὅπως μὴ σιωπήσαν„τες λάθοιεν εἰς τὸν πολὺν ὅμιλον ἀ„ριθμȣ́μενοι, τῆς μὲν ἀληθείας ἐν „ταῖς ἀφηγήσεσιν ὀλιγώρησαν, ȣ̓χ „ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε „καὶ εὐφωνίας. θαῤῥȣ̃ντες ὡς εἴτι καὶ „μυθῶδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς „ἀκροάσεως αὐτοὶ καρπώσονται, τὸ δὲ „ἀκριβὲς τῆς ἐξετάσεως ȣ̓κ ἐλεγχθήσεται. (Ἡρωδ. ἐν προοιμ. τῆς Ἱστορ.)

(2) „Ἐρατοσθένης ὁ Κυρηναῖος πα„ρὰ Ἀῤῥιανῷ Βιβλ. ε'. τȣ̀ς Μακεδόνας „φησὶ, Παραπάμισον τὸ ὄρος, Καύκα„σον αὐτȣ̀ς ἀποκαλέσαι, τῆς Ἀλεξάν„δρȣ ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν Καύ„κασον ἄρα ἐλθόντα τὸν Ἀλέξανδρον „ἐνδείξωνται. Ὁ δὴ καλῶς συνέβαλε „καὶ ὁ Γεωγράφος (Στράβ. Βιβλ. ΙΑ'.) „τὰ γὰρ πρὸς τὸ ἔνδοξον θρυλληθέντα, „κἂν ὁμολογῆται παρὰ πάντων, οἱ δὲ „πλάσαντες ἦσαν, οἱ κολακείας μᾶλ„λον, ἢ ἀληθείας φροντίζοντες. οἷον „τὸ τὸν Καύκασον μετενεγκεῖν εἰς τὰ „Ἰνδικὰ ὄρη κτ.... ἦν γὰρ ἐνδοξότε„ρον τὸ τὸν Ἀλέξανδρον μέχρι τῶν Ἰν„δικῶν ὀρῶν καταστρέψασθαι τὴν Ἀσίαν „..... χαριεῖσθαι γάρ τι τῷ βασιλεῖ „ὑπέλαβον, τȣ̃νομα τȣ̃ ὄρȣς μετενέγ„καντες εἰς τὴν Ἰνδικήν.

λοτρίων, δοκεσιμοι παραπλήσιοι. ἢ, ὃ ταυτὸν ἐσὶ, τοῖς μηδὲν μὲν ὁρῶσιν, ὁρᾶν δὲ ὑπολαμβάνεσι.

§. τμά. Περὶ τὰ ὑπὸ ΘΕΟΥ ἡμῖν, ἤτοι δογματικῶς, ἢ Ἱερικῶς ἀποκαλυφθέντα ἐν πάσῃ Γραφῇ Θεοπνεύσῳ, ἰῷ ἡ Καθολικὴ Ἐκκλησία ἠπατάσατο κανονίσασα, τὸ καὶ ἐπὶ ποσὸν ἀνδοιάζειν, ἀσεβείας τῆς ἐχάτης ἔλεγχός ἐσι. „Καὶ „γινέσθω ἄρα ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύςης, „ὅτι πιςὸς ὁ Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτῦ. Καὶ τὰ λό„για αὐτῦ λόγια ἁγνά· Ἀργύριον καθ χρυσίον ἑπταπλασίως „πεπυρωμένον.

ΚΕΦ. ΕΒΔΟΜΟΝ.

Ὅπως τῶν παρ' ἑκάσοις Ἐθῶντε καὶ Ἠθῶν, Ῥοπῶντε ψυχῆς καὶ Ἐπικλίσεων τὸ δυάμιν, πιθανῶς ἐπικριτέον.

§. τμβ'.

Οὐκ ἀπραγμόνως τὰ τῶν ἄλλων ἔθητε καὶ ἤθη, καὶ τὰς ἐνθεῦθεν ἑκάσε διαθέσεις, καὶ δυάμεις ἐπικλίσεων, περισκοπεῖν εἰωθότας, δεῖ δήπε μηδὲ τέτων ἀλόγως, μηδ' ἔξω τῦ πιθανῦ, καὶ παρὰ τὸ προσῆκον ἐπιχειρεῖν τὸ ἐπίκρισιν, ἀλλ' ἔκλινων σημείων εἰκολογεῖν πειρᾶθαι τῶν ἐν τῇ ψυχῇ κινημάτων καὶ βελθμάτων τὰ λανθάνοντα, ὃ τῆς Πολιτικῆς εἰρημένης (§. τή.) Κριτικῆς ἔργον ὑπόκειται.

§. τμγ'. Ἀλλ' ὁ μὲν περὶ τῶν παρ' ἑκάσοις τῶν ἐθνῶν, ἢ τῶν κατὰ πόλεις, ἐπικρατέντων ἐθίμων λόγος, ὡς ἄρα πρὸς τὰ νομιζόμενα τὸ ἀναφορὰν ἐχόντων, καθ' ὃ τὸ καλὸν, καὶ πρέπον καὶ εὐδόκιμον, ἢ μὴ, ἐν αὐτοῖς ἐπιθεωρεῖται, ἃ χαλεπὸ ἔχει τὸ διάσκεψιν, τοῖς τὸ ἐκ προλήψεως καὶ φιλαυτίας εἰς ἐξαπάτιν πρόχειρον (§. Προδ. Β'. §. κτ'. κή. κζ'.) διδλαβεμένοις, καὶ τῷ λόγῳ πάθες παντὸς καθαρεύοντι τὸ περὶ τέτων δίκιν ἐφιεῖσιν. Ἅπαντες γὰρ μονονχὶ ὥσπερ ἐθάδες εἰσὶν ἀγωγῆτε καὶ χρόνῳ, ἐδὲ τὰ τυχὸν ἀνάχοιντο ἄν, τῶν

παρ' ἄλλοις χεῖρον ἡγεῖσθαι, μὴ καλῶς κρίνοντες (1). Οὐδέν τε Ἔθνος, οὔτε πόλις, εὐχερῶς ἂν φέροι τὰ δευτερεῖα ἐν ἔθεσι τοῖς παρ' ἄλλοις κρατοῦσι γινομένης τῆς παραθέσεως (2). Χρῆν ἀλλ' οὖν μὴ οὕτω διεστράφθαι περὶ τὴν κρίσιν, σκοπεῖν δὲ καὶ περὶ τούτων οὕτωσί.

§. τμδ'. Τῶν πρακτέων τὰ μὲν ἐστὶ κατὰ ἔθνη καὶ χώρας νομιζόμενα, τὰ δὲ κοινάτε καὶ δεδογμένα τοῖς πᾶσι. Κακεῖνα μὲν ἀρχὴν τὸ ἔθος, καὶ τὸν πάτριον οἶδε νόμον, τὰ δὲ τὴν φύσιν, ἥτις ἀνέκαθεν ἡμῖν τῶν ἀγαθῶν ἐνῆκε τὰ σπέρματα. Ἀμφισβητεῖν τοιγαροῦν περὶ τὰ δεύτερα, εἰ καθήκοντα ἐστὶ καὶ πρακτέα· οἷον εἰ χρὴ σέβειν ΘΕΟΝ, καὶ Γονέας τιμᾷν, καὶ φίλους εὖ ποιεῖν, καὶ πρὸς τοὺς εὖ πεποιηκότας εὐγνωμόνως ἔχειν, καὶ τὰ παραπλήσια, παρὰ τὸ ἀνόσιον εἶναι, καὶ ἀλογίας οὐχ ἧττον διαφεύγει γραφὴν (3). Ἐκεῖνα δὲ διαταλαντεύειν τῷ λόγῳ, μήδ' εἰκῇ φαῦλατε καὶ ἀποτροπῆς ἡγεῖσθαι ἄξια, οὐδὲ τοὐναντίον ἀγαθάτε καὶ διωκτέα, ψυχῆς ἂν εἴη ἐχέφρονος. Οὐ γὰρ ὅτι βάρβαρον φέρε τὸ Σκυθῶν γένος, ἀρετῆς ἐγένετο τὸ παράπαν ἀπότροφον. Οὐδὲ μὲν οὖν τὸ Ἑλληνικὸν οὐδὲν οὐδόλως τοῦ εὐθέως διετέλει παρεκτρεπόμενον. Ὁπόσα δὲ τῆς ἀδιαφόρου φαίνεται μοίρας, οἷον ἐσθὴς καθειμένη ποδήρης, ἢ μόνον εἰς γόνυπου ἥκουσα· Καὶ τὸ ἄλλως ἐντυγχάνειν τοῖς φίλοις, ἢ χεῖρα τῷ στήθει προσάγοντας, ἢ τὴν κεφαλὴν ἀνακαλύπτοντας, ἢ δεξιὰν ἐμβάλλοντας ἀλλήλοις, ἅτε δὴ μὴ πρὸς τὸ ὅσιον, καὶ δίκαιον, καὶ ὅλως τὸ ἐπαινετὸν ἠρτημένα, ἀδιαφόρως εἰσὶν ἐκληπτέα. Οὔκουν ἐπαινετέον, οὐδ' ἀνάπαλιν παρὰ φαῦλον θετέον (4) τὰ τοιαῦτα, ὅτι μὴ παρ' ὅσον τὴν ἀναφορὰν ἴσχει πρὸς τὰ καθήκοντα· εἰδὲ μήτι γένοιτο τὸ κωλύον, καὶ μιμητέαπου τάχα ἔστιν ὅτε διὰ τὸ συνήθες (5).

§. τμέ.

(1) „Καὶ ἦπου ὁκόσοι τυγχάνουσιν „ἐπιχθόνιοι τῆς μὲν ἀληθείης, καὶ δι„καιοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ, „καὶ δόξῃ τεῇ προσέχουσι κακῆς εἵνε„κεν εὐνοίης. Ἡρακλ. Ἐπιστ. Ἐπιγρ. Δαρείῳ.

(2) „Ἀνάχαρσις παρ' Ἀθηναίοις „σολοικίζει, Ἀθηναῖοι δὲ παρὰ Σκύ„θαις. Ἀνάχ. Ἐπιστ. Ἀθην.

(3) „Διὸ τὸ τὸν πατέρα θύειν, εἴ„τις καλὸν ἐρεῖ, οὐμὴν ἁπλῶς, ἀλλὰ „τισὶν, ἤγουν ἐν Τριβαλλοῖς, θαυμά„σαιμι ἄν. Τὸ δὲ τὸν ΘΕΟΝ τι„μῶν ἐρεῖς καλὸν μηδὲν προστιθείς. Ἀριστ. ἐν τέλ. τοῦ Γ'. τῶν Τοπ.

(4) „Μυκτηρίζει πολίτας ἐνδεὴς „φρενῶν. Παροιμ. Κεφ. ιά.

(5) „Τὸ γὰρ σύνηθες οὐδαμοῦ παρο„πτέον. Μένανδρ.

§. τμέ. Ἀλλὰ γὰρ ἡ τῶν ἀνθρώπων ἐπίκρισις οἷς ἐντυγχάνομεν, ἡλίκον δηλονότι τῶν ἐν αὐτοῖς δυνάμεων τὸ ἐνεργὸν καὶ δραστήριον, ὑφ' ὧν τε μάλιστα παθῶν ἄγεσθαι καὶ φέρεσθαι πεφύκασιν, οἷαιτε αὐτοῖς αἱ τῶν ἠθῶν καὶ τρόπων διαφοραὶ, ἐξ ὧν ὁ χαρακτὴρ ἑκάστου γνωρίζεται, ἑτέρας ἂν εἴη διασκέψεως. Διακριτέον οὖν τούτου γε ἕνεκα τὰς ψυχικὰς τῶν ἐν αὐτοῖς δυνάμεων, καὶ τούτων τὰς δεξιότητας, καὶ τὰς ἐπ' αὐταῖς ἕξεις, καὶ τὰ πάθη, καὶ τὰς ἡλικίας, καὶ τὰς τύχας. Τούτοις γὰρ ὡς τὰ πολλὰ φιλεῖ τὰ ἤθη παρακολουθεῖν, καθ' ἃ αἱ ῥοπαὶ τῆς ψυχῆς, καὶ ἐπικλίσεις, ὧν ἡ κρίσις τὸ σπουδαζόμενον. Λέγω δὲ Δυνάμεις μὲν, οἷον Νοῦν καὶ Βούλησιν. Δεξιότητας δὲ, τοῦ μὲν Εὐφυΐαν, Κρίσιν, Μνήμην. Τῆς δὲ, Ἐλευθερίαν ἀκώλυτον, Προαίρεσιν Αὐτεξούσιον. Ἕξεις δὲ, τοῦ μὲν Ἐπιστήμας, καὶ τέχνας, καὶ τὴν περὶ ἕκαστα ἐμπειρίαν, τῆς δὲ, ἀρετὰς, καὶ κακίας. Πάθη δὲ τὰς τῆς ψυχῆς ἀλλοιώσεις, ὑφ' ὧν αἱ τῶν κρίσεων ἐμποιοῦνται παραλλαγαὶ, μετὰ τοῦ λυπηροῦ καὶ ἡδέος· οἷον ὀργὴν, ἐπιθυμίαν, κτ. Ἡλικίας δὲ, Νεότητα, καὶ Ἀκμὴν, καὶ Γῆρας. Τύχας δὲ, εὐγένειαν, πλοῦτον, εὔκλειαν, ἢ τἀναντία, ἐν οἷς ἡ κατὰ τὸν βίον εὐημερία, ἢ δυσημερία ὁρίζεται.

§. τμϛ'. Ἐκ μὲν οὖν τῆς τοῦ Νοῦ δεξιότητος, οἱ μὲν εὐφυΐᾳ διαφέροντες ἐφευρετικοὶ εἰσίν (1), εἰς εὐπορίαν μέσωντε καὶ τρόπων παντοίων πολὺ τὸ γόνιμον ἔχοντες. Διὸ ἐνίοτε καὶ κατορθωτικοί. Πρόχειροι δὲ, καὶ ἐπιχειρηματικοί. τοῦ δυνατοῦ μᾶλλον, ἢ τοῦ ὄντος στοχαστικοί. Εὐεπίβολοι μὲν ὡς τὰ πολλὰ τοῦ εἰκότος, οὐχ οὕτω δὲ καὶ τοῦ ἀκριβοῦς ἐπιτυχικοί. Νοῆσαι μὲν τὸ τυχὸν ὀξεῖς· οὐμὴν δὲ καὶ τὸ ἑπόμενον, ἢ ἀντιπίπτον καὶ ἐνέχον ἐκ τοῦ ῥάστου συνιδεῖν. Εὐέλπιδες, εὐαπάτητοι, ἐπιπολαιογνώμονες, προπετεῖς, χαλινοῦ δεόμενοι. Σεσαλευμένοι τὰς φρένας, οὐμὴν εὐήθεις· πλαστικοὶ, μιμητικοὶ, πιθανοί· σκῶπται, εὐτράπελοι, ἐν συνουσίαις ἡδεῖς καὶ χαρίεντες· Εὐδοκιμεῖν δὲ πεφύκασι, περὶ ποίησιν, μυθοποιΐαν, τερατολογίαν, τὰ ὅμοια.

§. τμζ'. Οἱ δὲ Κρίσει διαφέροντες, σύνοες, σκεπτικοὶ, ὁριστικοὶ, διαιρετικοὶ, ἀκριβολόγοι· εἴτι ἑπόμενον, ἢ δυσχερὲς, ἢ ἀντίζουν,

(1) „Ἡ δ' Ἀγχίνοια ἐστὶν εὐπορίατις, ἐν ἀσκέπτῳ χρόνῳ τοῦ μέσου. Ἀριστ. ὑστέρ. Ἀναλ. Α'. Κεφ. ἐσχάτῳ.

ἀντίξȣν, φωρᾶσαι δεινοί. Τάξεως τῆς ἀρίςης διαιτητικοὶ ἔντε λόγοις καὶ πράγμασι. Βαθυγνώμονες, ὕποπτοι, κἀντεῦθεν καὶ δυσαπάτητοι. τῶν παρὰ μικρὸν ὁμοίων τε καὶ ἀνομοίων διακριτικοί. Οὐκ' ἀεὶ ταχεῖς συνιέναι, ὅθεν κέντρȣ πολλάκις χρήζοντες· Ἀλλ' ἐν βραδυτῆτι ἐπιτυχικοί. Πολυπράγμονες, δοκιμαςικοὶ, ἑαυτῶν τε καὶ τῶν ἄλλων ἐπανορθωτικοί. Ἄριςα εἰς θήραν ἐπιςήμης, καὶ τὴν τῶν βαθυτέρων θεωρημάτων ἐπίκρισιν ἔχοντες.

§. τμή. Οἱ δὲ Μνήμονες εὐφυΐας χήτει, καὶ κρίσεως, ζωώδεις τινὲς εἰσὶ, καὶ συνιέναι βραδεῖς, καὶ κρίναι ἀμβλεῖς, καὶ ἐν εὐροίᾳ τῶν ἀλλεπαλλήλως αὐτοῖς ἐπερχομένων ἐννοιῶν ἀτάκτως τε καὶ συγκεχυμένως ἀντιληπτικοί. Καὶ πολυΐςορες μὲν οἷοι γενέσθαι, ἄκριτοι δέ. Καὶ μετὰ μὲν Ἀγχινοίας τȣ̃ Μνημονικȣ̃ εὐμοιρȣ̃ντες, ἀδολέσχαι, λάλοι, λογοποιοί. Μετὰ δὲ Κρίσεως, ἔμπειροι, ἐχέφρονες, λέγειν ἄριςοι. Καὶ εὖ μὲν πρὸς Ἱςορίας ἀνάληψιν ἔχοντες, εὖ δὲ πρὸς Γενεαλογίαν, καὶ Γεωγραφίαν. Καὶ Διαλέκτȣς δὲ καὶ γλώσσας παντοίας ἐκμαθεῖν δεξιώτατοι. Οἷς ȣ̃ν αἱ τοιαίδε διαφοραὶ ἀναφαίνονται τοιοίδε.

§. τμθ'. Τῇ δὲ δὴ κατὰ τὸ Βȣλητικὸν δεξιότητι, τὴν ἔφημεν (§. τμέ.), οἷς μόνοις κυρίοις ἑαυτῶν εἶναι τῷ ὄντι ἐφεῖται, καὶ πρὸς τὸ δοκȣ̃ν τῇ ἰδίᾳ χρῆσθαι ἐλευθερίᾳ, ἐκεῖνοι ῥαδίως, οἵτινες τὰς ἔνδον εἰσὶ διαθέσεις καὶ κλίσεις, διαγιγνώσκονται. Δεῖ γὰρ δὴ τὴν ψυχὴν πάντῃ ἀκώλυτον ȣ̃σαν παραφυλάττειν, ȣ̃τω τε ἐχȣ́σης, τὸ ἐντρεχὲς αὐτῆς, καὶ κάταντες, καὶ ἐπίφορον, εἰς ὅπερ ἂν τύχοι πολυπραγμονεῖν. Κωλύει δὲ αὐτῇ τὸ ἐλεύθερον, ȣ̓δ' ἄνετον ἐᾷ ἐφ' ὃ ἂν βȣ́λοιτο φέρεσθαι νόμος, φόβος, αἰσχύνη, ἐλπὶς, τὸ ἡδὺ, τὸ συμφέρον. Ὁ μὲν δίκας ἐπιβάλλων, ὁ δὲ τὸ λυπηρὸν ἐπισείων, ἡ δὲ ἀτιμίαν ἐφεπομένην προφαίνȣσα. Ἡ δὲ ἐλπὶς τὸ βέλτιον ἐπαγγελλομένη. τό, τε ἡδὺ καταθέλγον καὶ γοητεῦον, τό, τε συμφέρον αἱρȣ́μενον αὐτὴν καὶ ὑπαγόμενον. Διὸ ἐκ τȣ́των, καὶ περὶ ταῦτα, αἱ προτροπαὶ, καὶ ὑποθῆκαι, καὶ παραινέσεις. Ἐπισφαλὴς ȣ̃ν τὰ πολλὰ ἡ τȣ̃ ἤθȣς ἀνάκρισις δι' ὧν ἕκαςοι κοινῇτε καὶ δημοσίᾳ ἐπιχειρȣ̃σι, καὶ πράττȣσι. Καὶ μάλιςα ἐφ' ὧν ὑποπτεύȣσιν, ἢ δεδίασιν, ἢ αἰδȣ̃νται, ἢ ἐν ἐλπίσιν, ἢ πρὸς ἀπολαύσεις εἰσίν. οἷον τέκνα ἐπὶ παρȣσίᾳ γονέων, καὶ παῖδες ἐπὶ τροφέων, καὶ παιδαγωγῶν, καὶ διδασκάλων, καὶ ὅλως τῶν ὑπ' ἀρχὴν ἕκαςος τελȣ́ντων πρὸ τȣ̃ Ἄρχοντος. Καθ' ὃ δὴ

καὶ

καὶ τὸ τοιοῦτον Ἀρχίλου τὸν Ἄνδρα δεικνύειν ἐκ ἀπροσφυῶς ἄντις εἰρημένον ἐκδέξαιτο· ὡς ἐ μόνον ἀρετῆς τε καὶ δὐπραξίας ὑπόθεσιν τῷ Ἄρχοντι παρεχομένιω, ἀλλὰ καὶ ἐπ' ἀδείας ἐνδιδοῦσαν, καθ' ἡδονὴν βιῶν, καὶ πράττειν ἥπερ ἂν βέλαιτο.

§. τν'. Περὶ δὲ τῶν διανοητικῶν ἕξεων ἀδὲν ἐπιὸν λέγειν ἐν τῷ παρόντι, λοιπὸν ἡμῖν σκοπεῖν, περὶ τῶν βελτικῶν, καὶ περὶ τῶν παθῶν, ἐκ γὰρ τέτων, καὶ κατὰ ταῦτα, καὶ τὰ ἤθη. Τριτὸς δὲ φέρεται τρόπος τῆς τῶν Ἠθῶν Ἐπικρίσεως. Ἦτοι γάρ τις διὰ τῶν ἐκτὸς τῷ σώματι ἐπιφαινομένων σημείων, τὰ ἔνδον τῆς ψυχῆς παθήματα συμβάλλειν ἐπιχειρεῖ. Καὶ ὁ τρόπος καλεῖται Φυσιογνωμονικός (1). Ἢ ἐκ τῶν ἑκάςε φρονημάτων, καὶ λόγων, καὶ πράξεων, τὲς τῶν ἐν αὐτῷ ἠθῶν χαρακτῆρας, ὡς ἄρα ἐκ τε καρπε τὸ δένδρον διαγνωρίζειν. Καὶ καλεῖται Χαρακτηριςικός (2). Ἢ τέως ἐκ τῆς διαφορᾶς τῶν ἡλικιῶν, καὶ τῶν, οἱ τύχης τέτακται, καταςάσεων, τὰς ἔνδον διαθέσεις, καὶ τὰς κατ' αὐτὰς τε βελτικε ῥοπάς τε καὶ ἐπικλίσεις, ὥς γε ἐκ τε δένδρε τὸν καρπὸν ἀνάπαλιν, πειρᾶται εἰκοτολογεῖν, καὶ καλείσθω Διαγνωςικός (3). Τέτων τὸν μὲν καὶ Σημειωτικὸν ἄντις ἐκ ἀπεικότως προσείποι, ὡς ἐκ τῶν σημείων προβαίνοντα· τὸν δὲ Ἀποτελεσματικὸν, ὡς ἐκ τῶν Αἰτιατῶν· τὸν δὲ Αἰτιολογικὸν, ὡς ἐκ τῶν Αἰτίων.

§. τνά. Ὁ μὲν ἓν Σημειωτικὸς τρόπος ἐκ τῆς ἔξω μορφῆς, καὶ διαπλάσεως, καὶ τῆς σαρκὸς, καὶ τῆς φωνῆς, καὶ τριχώσεως, καὶ λειότητος· Καὶ ὅλως ἐκ τε τύπε, καὶ τῆς διαρθρώσεως ὅλε τε τε σώματος, καὶ ἑκάςε τῶν μελῶν, τὰ ἤθη διασκοπεῖ (4). Ἔςι δὲ τοιὲτος, οἷον εἰπεῖν, μικρομελὴς, μικρογλάφυρος, ἰχνὸς, μικρόμματος, καὶ μικροπρόσωπος. ἕτος μικρόψυχος (5). Καὶ ᾧ τὸ ἀπὸ τε ὀμφαλε πρὸς τὸ ςῆθος μεῖζον, ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα, βορὸς καὶ ἀναίσθητος (6). Καὶ ὁ ἐξόφθαλμος ἀβέλτερος. Καὶ ὁ κοιλόφθαλμος κακὲργος (7). Ἡ δὲ διάγνωσις ἐπικρηπίζεται τῷ λόγῳ, ὅτι

(1) Κατὰ τὴν δὲ δὴ τὴν Ἰδέαν συντέτακται τῷ Ἀριστοτέλει τὰ Φυσιογνωμονικά.

(2) Τῆς Ἰδέας ταύτης εἰσὶν οἱ Θεοφράςε χαρακτῆρες. Καὶ τὸ Πλατάρχε Βιβλ. περὶ τε πῶς ἄντις διακρίνοι τὸν Κόλακα τε φίλε.

(3) Τῷδε τῷ τρόπῳ Ἀριστοτέλης ἐχρήσατο ἐν Βιβλ. Β'. τῶν Ῥητορικῶν, Ἀπὸ Κεφ. ιβ'. ἄχρι τε ις'.

(4) Ἀρις. Φυσιογν. Κεφ. β'.

(5) Αὐτ. Κεφ. γ'.

(6) Αὐτ. Κεφ. ε'.

(7) Αὐτ. αὐτ.

ὅτι συμπαθεῖ ἀλλήλοις ψυχὴ καὶ σῶμα, καὶ συνεξαλλοιοῦται κἀκείνη ταῖς τοῦδε ἀλλοιώσεσιν (1). Ἐναπαιτεῖται δὲ πρὸς ταῦτα πολὺ τὸ τῆς συνηθείας, εἰ μέλλοιτις αὐτὸς ἔσεσθαι ἱκανὸς περὶ τούτων ἕκαστα λέγειν (2). Καίτοι κἂν ἐπ' ἐνίων ἐπιτυγχάνειν πως ἐξεῖναι, οὐκ ἂν ἔξαρνος εἴην, καὶ μάλιστα ἀπὸ τῶν ἐν ὀφθαλμοῖς κινημάτωντε καὶ ἐμφάσεων τὰ τῆς ψυχῆς συνεικάζοντας (3), ἀλλ' ἐπὶ πάνυ πολλῶν ἡ σημειολογία αὕτη ἐπισφαλὴς ἂν φωραθείη. Ἀμέλειτοι καὶ τοῦ βασιμωτάτου λόγου τοῖς φυσιογνωμονεῖν ἐπιχειροῦσι σαλευομένου, παρὰ τὸ μηδόλως ἐκ τῆς ψυχῆς, ἀλλὰ ὑπὸ ἐξωτερικῶν ἄλλων ἐξηρτῆσθαι αἰτίων, τὰ τῆς σωματικῆς διαπλάσεως.

§. τνβ'. Τὸ δὲ δὴ ἐκ τῶν ἀποτελεσμάτων, οἷον φρονημάτων, καὶ λόγων, καὶ πράξεων, τὸ ἦθος χαρακτηρίζειν, τοιοῦτον. Προσελθὼν τῷ ἐχθρῷ λαλεῖν ἐθέλει. ἐπαινεῖτε παρόντα ᾧ λάθρα ἐπέθετο· καὶ συλλυπεῖσθαι πλάττεται ἡττωμένῳ. καὶ ὅμοιος ἐστὶ συγγνώμην ἔχοντι τοῖς κακῶς αὐτὸν λέγουσι. Καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις πράως διαλέγεται. Καὶ μηδὲν μὲν ὧν πράττει ὁμολογεῖ, ἀεὶ δὲ λέγει βουλεύεσθαι. Καὶ ἀκούσας τι δείκνυσι μὴ προσποιεῖσθαι, καὶ ἰδὼν μὴ ἑωρακέναι, καὶ ὁμολογήσας μὴ μεμνῆσθαι κτ. Ἀπόχρη ταῦτα (4). Εἴρων ἀναμφιλέκτως. Ὁ δέ τις ἀεὶ τοῖς ἐν πλούτῳ παραβάλλει, καὶ δυνάμει, καὶ ἀξιώμασι. Καὶ ψέγει μὲν οἷς ἐκείνους ἀχθομένους αἰσθάνεται ἀνθρώποις, καὶ βίοις, καὶ πράγμασιν, ἐπαινέτης δὲ τῶν ἀρεσκόντων οὐ μέτριος, ἀλλ' ὥστε ὑπερβάλλειν σὺν ἐκπλήξει καὶ θαύματι φαινόμενος. Ἀείτε τὸ ἡδὺ, καὶ τὸ πρὸς χάριν εἴωθεν ὑποκρέκειν. Καὶ οὔτε ἔργον οἶδεν ἀντιτεῖνον, οὔτε ῥῆμα

(1) Αὐτ. Κεφ. δ'.

(2) Αὐτ. αὐτ.

(3) „Οὕτω θαυμαστῶς ὁ ἐκ Ναζιαν„ζοῦ Γρηγόριος, τὸ τοῦ Ἰουλιανοῦ ἦθος „Ἀθήνησι φυσιογνωμονήσας φέρεται. „Οὐδενὸς γὰρ ἐδόκειμοι σημεῖον εἶναι „χρηστοῦ, αὐχὴν ἀπαγὴς, ὦμοι παλ„λόμενοι, καὶ ἀνασηκούμενοι· ὀφθαλ„μὸς σοβούμενος, καὶ περιφερόμενος, „καὶ μανικὸν βλέπων. πόδες ἀστατοῦν„τες, καὶ μετοκλάζοντες. μυκτὴρ „ὕβριν πνέων, καὶ περιφρόνησιν. προ„σώπου σχηματισμοὶ καταγέλαστοι τὸ „αὐτὸ φέροντες· γέλωτες ἀκρατεῖς τε „καὶ βρασματώδεις· νεύσεις, καὶ ἀνα„νεύσεις σὺν οὐδενὶ λόγῳ· λόγος ἱστά„μενος, καὶ κοπτόμενος πνεύματι· „Ἐρωτήσεις ἄτακτοι, καὶ ἀσύνετοι. „Ἀποκρίσεις οὐδὲν τούτων ἀμείνους, ἀλ„λήλαις ἐπεμβαίνουσαι, καὶ οὐκ εὐστα„θεῖς, οὐδὲ τάξει προϊοῦσαι παιδεύσεως. „τί ἂν τὰ καθ' ἕκαστον καταγράφοιμι; (Στηλιτευ. Α'.)

(4) Θεοφράστου Χαρακτ. Α'.

ξῆμα λυπεῖν, ἀλλὰ μόνῳ παρέπεται τῷ βελομένῳ σωφάδων ἀεὶ, καὶ συμφθεγγόμενος (1). τὶς ἂν δὴ ἐκ τέτων ὀθνὺς εἰσβάλοι τὸν Κόλακα; Ἀλλὰ δὴ πλατυῶσι τὰ φυλακτήρια καὶ τὰ κράσπεδα, καὶ τὰ πρόσωπα ἀφανίζεσι, καὶ ἐν ταῖς ἀγειαῖς ἑσῶντες προσδύχονται κτ. (2). Τίνι ἐχὶ δῆλοι εἰσὶ τὸ δοκεῖν πρὸ τῦ εἶναι αἱρέμενοι, καὶ τλὺ παρ' ἀνθρώποις δόξαν θηρεύοντες; Ἀλλ' ἡ μὲν κατὰ τλὺ χαρακτηρισικλὺ ἰδέαν ἐπίνοιαις τοιάδε· δῆλον δὲ, ὡς ἐ μόνον ἡ τῆς περὶ τὰ ἤθη φιλοσοφίας εἴδησις πρὸς αὐτλὺ ἀπαιτεῖται, ἀλ' ἐδὲν ἧτλον καὶ ἡ τῶν ἀνθρωπίνων ἐμπειρία πραγμάτων, λὼ διάτε πολλῦ τῦ χρόνυ (3), καὶ δι' ἐμμελῆς τῆς παρατηρήσεως, καὶ μόλις ἀποχρῶσάν ἐσιν ἀναλέξαθαι.

§. τνγ'. Ὁ δὲ Τρίτος τρόπος τῆς τῶν ἠθῶν διαγνώσεως, ἐκ μὲν τῆς ἡλικίας, τοιῦτος (4). Οἱ μὲν Νέοι ἐπιθυμητικοὶ, καὶ περὶ τὰ ἀφροδίσια μάλισα ἀκρατεῖς. Πρός τε τὰς ἐπιθυμίας ὀμετάβολοι, καὶ ἀψίκοροι. Καὶ θυμικοὶ, καὶ φιλότιμοι, διὸ καὶ φιλόνικοι· ἥκισα δὲ φιλοχρήματοι. Καὶ ἐ κακοήθεις, ἀλ' ὀήθεις. Ἐξ ἧ εὔπιςοι, ὀέλπιδες, ὀεξαπάτητοι. Καὶ θυμώδεις δὲ, καὶ ἀνδρειότεροι, καὶ αἰχμωτηλοί. Μεγαλόψυχοι, φιλόκαλοι, ἢ φιλοκερδεῖς· φιλόφιλοι καὶ φιλέταιροι. Πάντα ἄγαν αὐτοῖς. Πάντα εἰδέναι οἴονται, καὶ διιχυρίζονται. Εἰς ὕβριν καὶ ἐ κακεργίαν ἀδικῆντες. Ἐλεητικοὶ, φιλογέλωτες, ὀτράπελοι. Οἱ δὲ Πρεσβύτεροι (5) πάντα ἀμφισβητῆντες, καὶ ὑποδιαίζοντες, διὰ τὸ πολλὰ ἐξηπατῆθαι, καὶ ἡμαρτηκέναι. Κακοήθεις, ἄπιςοι, ταχύποποι, εἰς φιλίαν καὶ μίσος ἀμβλεῖς. Μικρόψυχοι, ἀνελεύθεροι, δειλοὶ, προφοβητικοὶ, φιλόζωοι, φιλαίτιοι. Πρὸς τὸ συμφέρον ζῶντες, ἢ πρὸς τὸ καλόν. Ἀναίσχυντοι, δυσέλπιδες. Μνήμη μᾶλλον, ἢ ἐλπίδι ζῶντες. Ἀδόλεχοι, καὶ ἔτ' ἐπιθυμητικοὶ, ἔτε κατὰ τὰς ἐπιθυμίας πρακτικοὶ, ἀλλὰ κατὰ τὸ κέρδος.

(1) Πλετ. ἐν τῷ πῶς ἄντις διακρίν. τὸν Κόλ. τῦ φίλ.

(2) Ματθ. Κεφ. κγ'.

(3) „Ἐγὼ γὰρ ὦ Πολύκλεις, συν„θεωρήσας ... ἐκ πολλῦ τῦ χρόνυ τὴν „ἀνθρωπίνην φύσιν. Ἅτε δεδιωκὼς ἔτη „ἐννενήκοντα ἐννέα. ἔτι δὲ ὡμιληκὼς „πολλοῖς τε καὶ παντοδαπαῖς φύσεσι, „καὶ παρατεθεαμένος ἐξ ἀκριβείας „πολλῆς, τότε ἀγαθὰς τῶν ἀνθρώ„πων καὶ τὰς φαύλας, ὑπέλαβον δεῖν „συγγράψαι, ἃ ἑκάτεροι αὐτῶν ἐπιτη„δεύσυσιν ἐν τῷ βίῳ. Θεόφ. ἐν Προσιμ. τῶν Χαρακτ.

(4) Ἀρισ. Ῥήτορ. Βιβλ. β'. Κεφ. ιβ'.

(5) Αὐτ. αὐτ. Κεφ. ιγ'.

κέρδος. Διὸ καὶ σωφρονικοὶ δοκοῦντες. Εἰς κακουργίαν, ἢ εἰς ὕβριν ἀδικοῦντες. Ἐλεγκτικοὶ, οὐχ ὡς οἱ νέοι διὰ φιλανθρωπίαν, διὰ δὲ ἀσθένειαν. Ὀδυρτικοὶ, οὐκ εὐτράπελοι, οὐδὲ φιλογέλοιοι. Οἱ δὲ ἀκμάζοντες (1) οὔτε ὑπερθαρροῦντες, οὔτε λίαν φοβούμενοι· οὔτε πᾶσι πιστεύοντες, οὔτε πᾶσιν ἀπιστοῦντες· οὔτε πρὸς τὸ καλὸν μόνον ζῶντες, οὔτε πρὸς τὸ συμφέρον· οὔτε πρὸς φειδῶ, οὔτε πρὸς ἀσωτίαν, ἀλλὰ πρὸς ἄμφω· ὁμοίως δὲ καὶ πρὸς θυμὸν, καὶ πρὸς ἐπιθυμίαν. Καὶ σώφρονες μὲν μετὰ ἀνδρείας, ἀνδρεῖοι δὲ μετὰ σωφροσύνης. Ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διῃρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων ταῦτα ἄμφω ἔχουσιν. ὅσα δ' ὑπερβάλλουσιν ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον, καὶ τὸ ἁρμόττον.

§. τνδ'. Ἐκ δὲ τῶν ἀπὸ τύχης, οἱ μὲν εὐγενεῖς (2) φιλότιμοι, καταφρονητικοὶ, εὐαλαζόνευτοι. Οἱ δὲ πλουτοῦντες (3), ὑβρισταὶ, καὶ ὑπερήφανοι, καὶ τρυφεροὶ, καὶ σαλάκωνες, καὶ σόλοικοι, καὶ ἀνόητοι. Οἱ δὲ νεόπλουτοι, καὶ ἔτι μᾶλλον. Καὶ ἀδικήματα ἀδικοῦντες οὐ κακουργικὰ, ἀλλὰ τὰ μὲν ὑβριστικὰ, τὰ δὲ ἀκρατευτικά. Οἱ δὲ δυνατοὶ (4) φιλοτιμότεροι καὶ ἀνδρωδέστεροι τὰ ἤθη τῶν πλουσίων, καὶ σπουδαστικώτεροι, καὶ σεμνότεροι, ἢ βαρύτεροι. Καὶ οὐ μικραδικηταὶ, ἀλλὰ μεγαλάδικοι. Τοῖς δὲ ἐκ τούτων τε, καὶ εὐτεκνίας, καὶ τῶν περὶ τὸ σῶμα ἀγαθῶν εὐτυχέσιν ἐκ τῶν εἰρημένων παρακολουθεῖ καὶ τὰ ἤθη. Καὶ δὴ, καὶ ὑπερηφανότεροι, καὶ ἀλογιστότεροι διὰ τὴν εὐτυχίαν εἰσίν. Ἓν δ' ἀκολουθεῖ βέλτιστον ἦθος τῇ εὐτυχίᾳ, ὅτι φιλόθεοί εἰσι, καὶ ἔχουσίπως πρὸς τὸ θεῖον πιστεύοντες, διὰ τὰ γιγνόμενα σφίσιν ἀγαθὰ ἀπὸ τῆς τύχης (5). Νοείσθω δὲ ἐπὶ τῶν ἄλλως τύχης ἐχόντων, τἀναντία τῶν τεθέντων παροπηδεῖν.

§. τνέ. Ἐκ τῶν ἄχρι τοῦδε εἰρημένων οὐ χαλεπὸν ἐφιστάντας, καὶ τὰς τῶν Ἠθῶν ἤτοι εἰς ταυτὸ συνεμπτώσεις, ἢ κατ' ἀλλήλων

(1) Αὐτ. αὐτ. Κεφ. ιδ'.
(2) Αὐτ. αὐτ. Κεφ. ιέ.
(3) Αὐτ. αὐτ. Κεφ. ιϛ'.
(4) Αὐτ. αὐτ. Κεφ. ιζ'.
(5) Τὰ τῶν εὐτυχούντων ἤθη, μακρῷ ἄρα μετριώτερα γενέσθαι ἔοικε τῶν ἐπὶ τοῦ Σταγειρίτου, ἢ τῶν ἐπὶ Δαυὶδ, καὶ ἐφ' ἡμῶν· Ἐκτὸς εἰ μὴ ἐπὶ τοὺς πολλαῖς τε καὶ δειναῖς ταῖς συμφοραῖς ἐξεταζομένους ἀπιδεῖν φαίημεν τὸν φιλόσοφον, ὑφ' ὧν πολλὰ βλάσφημα πολλάκις καὶ ἀσεβῆ ῥήματα δυσαναχετούντων ἐκτοξεύεται κατὰ τῆς Προνοίας, ὥς που Ἰωάν. Ματθίᾳ τῷ Γεσνέρῳ σεσημείωται ἐν τῇ ἐκδοθ. ὑπ' αὐτοῦ Ἑλλην. Χρηστομαθείᾳ.

λήλων ἀντιπεριπτώσεις διασκοπεῖν, κἀντεῦθεν τὸν ἐπὶ ἑκάστῳ χαρακτῆρα, οἷον εἰκὸς εἶναι ἐκ τῶ συνέγγυς συμβάλλειν, καὶ ὅσον εἰς τὸ πράττειν τὸ βρίθος τῆς κατ' αὐτόν ἐστι ῥοπῆς ἐκλογίζεσθαι. Φέρε γάρ τις ἐκ δυσχερῆς ὑποτιθέσθω εἰς ἀπάτλιω, ἅτε δὴ τὸ νοητικὸν εὖ ἡρμοσμένος τῇ ἐπὶ τὸ κρίνειν (§. τμζ.) ὀξύτητι· ὁ δ' αὐτὸς ἄλλοθεν, ὡς ἤδη καὶ τῇ ἡλικίᾳ προήκων, διὰ πλῆ τῶν πραγμάτων ἐμπειρίαν, καὶ τὸ λελογισμένον πλατείτω, καὶ ὕποπτον ἐν τοῖς αὐτῷ λεγομένοις, καὶ μὴ πάνυ εὔπιστον (§. τνγ'.)· φανερὸν ἔν ὡς τῷ τοιούτῳ καθ' ὑπεροχλὶὼ λόγε, ἢ τῷ ἁπλῶς, εἴτ' ἐν νεότητι κριτικῷ, εἴτ' ἐν γήρᾳ ὑποπτῳ, περιέσαι τὸ δυσταράκρεσον. Ἀλλὰ γὰρ ἐχέτω τις αὖθις, ὡς μὲν ἐκ τῆς νεότητος (§. τνγ'.) τὸ εἰς ὕβριν ἐκφέρεσθαι, ὡς δ' ἐκ τῆς τύχης, εἰς ὀλιγέλειαν κατλυέχθω τρόπε, καὶ οἷος κακεργεῖν μᾶλλον ἔσω, ἥπερ ὑβρίζειν, (§. τνδ'.), καὶ φανερὸν αὖθις ὅτι ἑκατέροθεν ὑφεθήσεται τὸ ἦθος αὐτῷ, πάθες πάθος ἀντικρούοντος, καὶ ἧττον μὲν ὑβριστικὸς διὰ πλῆ πενίαν ἔσαι, ἧττον δὲ κακεργικὸς διὰ πλῆ νεότητα. Πάλιν τῷ αὐτῷ τινὶ ἐνυποτιθέσθω τὰ ἀντιπεριλάμνα τῶν παθῶν, ἔνθεν μὲν τὸ φιλοχρήματον, καὶ περὶ τὰς δαπάνας φειδωλὸν, ἄνθεν δὲ τὸ πρὸς ἡδονλὶω, ἧς ἀδαπάνως ἀπολαύειν ἐχόντε, ὀλιγάφορον. Καὶ δῆλον ὁμοίως, ἀντεμβολῆς οἷον τινὸς γινομένης, ἑκάτερον μὲν κολάσεσθαι ἰσοσθενῶν ὑποτιθεμένων, δυνάμει δὲ διαφερόντων, νικᾷν τὸ κρεῖττον τῇ ὑπεροχῇ ἀνάλογον. Ἀλλὰ γὰρ περὶ τούτων, παντίπε καὶ καθ' ἑαυτὸν τὸ πιθανὸν ἐπιθεωρεῖν ἐξέσαι· ἡμῖν δὲ ἐπὶ τὰ ἑξῆς χωρητέον.

ΚΕΦ. ΟΓΔΟΟΝ.

Ὅπως ἐξ ὧν πάρεσιν ἰδεῖν φαινομένων, ἔσιν ἃ τῶν εἴτε κατὰ φύσιν εἴτε κατὰ τὰς ἀνθρωπίνας πράξεις ἀποβησομένων προεικάζειν πιθανῶς ἐσί.

§. τνς'.

Τῶν ἐσομένων, ὅσα μὲν ἐπιδήλως τεταγμένας ἔχει τὰς ἐκβάσεις, καὶ θεσμοῖς εἰκότας ἀπαραβάτοις, ταῦτα δὴ μὴ κομιδῇ ἄληπτα τυγχάνειν τοῖς θηρωμένοις, κἂν αὐτὰ μαρτυρήσειε τῶν ἀστέρων, τὰ καὶ ἐπὶ λεπτῇ προαναφωνέμενα πάθη. Ὧν δὲ τὰ αἴτια ἀόριστά ἐσιν, οἵας τὰς ἀπὸ βελῆς ἐλαθήρας ἠρτημένας τῶν ἀνθρώπων ἴσμεν προαιρέσεις, καὶ πράξεις· ἢ γᾶν ἡμῖν ἀόριστα, οἷα τε πολλὰ τῶν ἐν τῇ φύσει συμβαινόντων, ταῦτα γε εἰκὸς ἴσως ἡμᾶς καὶ διαφεύγειν, ὡς ἐν βυθοῖς ἀδήλιας λανθάνοντα. Ὁμίλει ἀλλ' ἐδ' ἐν τούτοις ἀπραγμονεῖν ἰσχοντο, (ἔτως ἀκρατῶς ἔχει καὶ λίχνως περὶ τὸ τῇ εἰδέναι ὄρεξιν ἄνθρωπος.) τὸ δέτοι νέφος τὸ συγκαλύπτον αὐτὰ διαχόντες, καὶ τούτων ἐδὲν ἧκισα ἀπετόλμησαν, δι' εἰκότων τινῶν καὶ σημείων, καθάπερ δι' ἀμυδρᾶ φωτὸς, διαφαίνειν δοκᾶσαν (καὶ νηδία ἐκ ἀνεπιτυχῶς ἀεί.) τὸ ἀπόβασιν προεικάσαντες (1). Ἐν τούτοις δ' ἐν, καὶ περὶ ταῦτα τῆς Κριτικῆς τὸ Εἶδος τῆς τῶν ἐσομένων ἐξεικασικῆς. (§. τί.). Ἥτις πῇ μὲν περὶ τὰ τῆς Φύσεως ἔργα, πῇ δὲ περὶ τὰς ἀνθρωπίνας τῶν πράξεων ἐναχολεμένη, ἐκ τούτων μάλισα καλεῖθαι καὶ Πρακτικὴ (§. τθ'.) ἐξενίκησεν.

§. τνζ'. Ἡ τοίνυν πρόγνωσις τῶν ἐν τῇ Φύσει μελλόντων συμβαίνειν, ἤρτηται μὲν ἐκ τῆς ἐπιμελᾶς παρατηρήσεως τῶν φαι-

(1) „Ὀψίας γενομένης λέγετε, εὐ„δία· πυῤῥάζει γὰρ ὁ ἀρανός. Καὶ „πρωΐ, σήμερον χειμών. Πυῤῥάζει „γὰρ συγνάζων ὁ ἀρανός· Ὑποκριταὶ, „τὸ μὲν πρόσωπον τᾶ ἀρανᾶ γινώσκετε „διακρίναν, τὰ δὲ σημεῖα τῶν καιρῶν „δ' δύνασθε; (Ματθ. ιϛ'.) .... Ὅταν „ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ „δυσμῶν, εὐθέως λέγετε, ὄμβρος ἔρ„χεται, καὶ γίνεται ἔτω. Καὶ ὅταν „Νότον πνέοντα, λέγετε, ὅτι καύσων „ἔσαι· καὶ γίνεται. Ὑποκριταὶ τὸ „πρόσωπον τῆς γῆς, καὶ τᾶ ἀρανᾶ οἶ„δατε δοκιμάζαν· τὸν δὲ καιρὸν τοῦτον „πῶς δ δοκιμάζετε; (Λκκ. ιβ'.).

Φαινομένων, οἷς παροπηδεῖν συχνὰ σεσημείωται τὸ ζητούμενον, ἐρήρεισαι δὲ τῇ κατὰ τὸ ἀνάλογον κρίσει, καθ' ἣν εἰκὸς ἡμᾶς ἐκ τῶν ὁμοίων τὰ ὅμοια προσδοκᾶν. Κρατοῦσι γὰρ ἐν τοῖς ἔσιν ὁροι οἱ τεταγμένοι, δι' ἃς δυνάμεις αἱ αὐταὶ, ἀποτελεσμάτων παραίτιοι καθίσανται ἀεὶ τῶν αὐτῶν. Καίγε τὰ αὐτὰ αἰτιατὰ πρὸς τὰς αὐτὰς (εἰ μήτι κωλύει) ἢ πρὸς τὰς ἴσα δυναμένας αἰτίας ἐθέλει ἀνάγεσθαι. Ἡ γὰρ Φύσις ἐν ἑδενὶ περιττῇ. Οὐδέν τε μάτιω ἐργαζομένη, ἀεὶ τιὼ ἁπλες έραν εἰωθε βαίνειν, ὁδὸν ὡς ἐπίπαν ἑαυτῆς τὰς κελεύθες περαίνεσα. Ταῦτ' ἔν καὶ οἱ φιλοσοφοῦντες τῇ θεωρίᾳ κατ' ἴχνια βαίνειν χαίρεσι τὰ τῆς φύσεως, ἐξ ὧν ἂν πολλάκις συνθεωρῆσαι φθάσειαν γινομένων, ἐπὶ τοίαις, ἢ τοίαις μεταβολαῖς, καὶ τὸ κατὰ τὰς παρέσας εἰκὸς ἀποκαραδοκεῖν προδιαγορεύοντες. Οἷον οἱ μὲν φυσιολογοῦντες διάτε τῶν βαρομέτρων καὶ τῶν παραπλησίων ἄλλων ὀργάνων (1), ἀμφιλαφεῖς ποιέμενοι τὰς παρατηρήσεις, τὰς ἐσομένας ἐν τῷ περιέχοντι τροπὰς ἡμῖν προσημαίνεσι, καὶ ἐξαλλοιώσεις. Καὶ ἰατρῶν παῖδες ὁμοίως, τὸ πολύτροπον τῆς τῶν ὡρῶν καταστάσεως, οἷα ἐφεξῆς ἀποτελεῖν φιλεῖ, διὰ πυκνῆς συνιδόντες τῆς πέρας, τὸ μετὰ ταῦτα ὑγιεινὸν, ἢ νο-

(1) Ἔσι δὲ ταῦτα τὸ Ὑγρόμετρον, δι' ὃ, τὰς ἐν τῇ ἀτμοσφαίρᾳ, κατὰ τὸ νοτερὸν ἢ αὐχμῶδες, ἐξαλλοιώσεις παρασημαινόμεθα. Τὸ Μανόμετρον, δι' ὃ, τὰς κατὰ πύκνωσιν, ἢ μάνωσιν· τὸ Θερμόμετρον, δι' ὃ τιὼ θερμότητα, καὶ τὸ ψύχος· τὸ Βαρόμετρον, δι' ὃ, τὸ βάρος, καὶ τὸ, ὅ φασιν, ἐλατήριον. Ἐκ γὰρ δὴ τῶν κατὰ ταῦτα γινομένων παρατηρήσεων, ἀνέμωντε διαφορὰς πνέειν μελλόντων, ἢ νηνεμίας, ἢ ὄμβρων καταῤῥαγησομένων, ἢ αὐχμῶν ἐσομένων, εὐδίας τε, καὶ ζάλης, καὶ τῶν παραπλησίων τὰς γενέσεις προτεκμαιρόμεθα. Οἷον κατὰ τὰς ὑπὸ Ὀλυμπίου ἐπὶ ἐννέα συνεχῶς ἐνιαυτοῖς γενομένας παρατηρήσεις, ὧν ὁ Εὐκλ. μέμνηται Οὐιγκλέρος Λογ. §. 1056. ἡ μὲν τῷ ἐν τῷ Βαρομέτρῳ ὑδραργύρε κάθοδος συννεφῆ τὸν Οὐρανὸν ἐσόμενον προαγγέλλει, καὶ ὑετῶ γένεσιν, ἢ ἀνέμε. Ἡ δ' ἄνοδος τἐναντίον αἰθρίαν. Οὐμιὼ ἀμεταθέτως τᾶτο, ἀλ' ἐν ἀναλόγοις ἀεὶ τοῖς τᾶ ὑδραργύρε βαθμοῖς. Ὤφθησαν γάρ ποτε, καὶ ἐν ἀνεπαιδήτοις πάτε ταῖς μεταβολαῖς, μέγισαι αἱ ἐνσκήψασαι τῇ ἀτμοσφαίρᾳ ἐξαλλοιώσεις, καὶ ἀνάπαλιν τἐναντίον. Τὸ δ' αἰφνίδιον τῆς καθόδε ἐξαπιναίε καὶ ἡ ἄνοδος ἐνίοτε διεδέξατο. Ὅτε καὶ ἐν μεγάλοις Γῆς διασήμασι συμπεσόντα τὸν κλύδωνα, παρατετηρηκέναι Οὐϊγκλέρος φησὶν, ὥσε καὶ ἐν Ἀμερικῇ κατὰ τὸ αὐτὸ τᾶ χρόνε, τοῖς παρ' ἡμῖν γενέσθαι τὰ ὅμοια. Ἐφ' οἷς καὶ εὐλόγως ἐπισήσας προσέθετο, μὴ ἆρ' ἐχίτινα ἐντεῦθεν ὄνησιν καρπώσασθαι δύναιντο, οἱ τὰς διαπεντίκις, καὶ μακρὰς ἐμπορίας ποιέμενοι;

σῶδες προαφορίζονται (1). Καίγε ἐκ διαφόρων συμπτωμάτων τὰ ἐπισυμβαίνοντα πάθη, καὶ τὰς πρὸς ζωὴν, ἢ θάνατον προδιαγνώσεις (2) μονονȣχὶ προφοιβάζȣσι. Τῆς δὲ τοιαύτης περὶ τὰ ἀποβησόμενα εἰκοτολογίας, ἀποχρῶντα ἡμῖν παρετέθη τὰ παραδείγματα, ἐν οἷς περὶ βαθμῶν τȣ̃ πιθανȣ̃ ἐγίνετο λόγος, καὶ ὅπως τȣ̃το ὀρθῶς δέον καὶ ἐπισταμένως ὑπολογίζεσθαι. (Ὅρα Κεφ. Γ'. §. σπδ'. -- σύ.).

§. τνή. Πολλῆς ἀλλ' ȣ̃ν ἐπὶ τῶν τοιȣ́των τῆς προσοχῆς χρεία, πολλῆς δὲ τῆς διαστολῆς, ᾗ χρώμενος τάχα ἄντις ποτὲ καὶ τὸ μέλλον σκοπεύσειεν, ἢ γȣ̃ν μὴ εἰκῇ δόξειεν ἐπιτοξεῦσαι, μηδὲ πάνυ πόῤῥω τῆς νύσσης ἀπενεχθῆναι. Παρατηρεῖν γὰρ δέον, οἵαν τὰ φαινόμενα, πρὸς τὸ δι' αὐτῶν προγνωσθησόμενον ἔχει τὴν ἀναφοράν· Τȣ̃το δὲ ἐστὶ, πότερον ἐκείνȣ ταῦτα σημεῖα τυγχάνει, ἢ τῶν πρὸ ὁδȣ̃ πως εἰωθότων γίνεσθαι, ἢ ἄλλως αἴτια, καὶ τȣ̃ εἶναι αὐτῷ χορηγά. (3). Πολὺ γὰρ διαφέρει, ὅτι τόδε μετὰ τόδε εἰπεῖν, καὶ τόδε ἐκ τȣ̃δε, ἢ διὰ τόδε. Ἔπειτα καὶ σημεῖα ὄντα; πότερον τῶν ἀναγκαίως, καὶ ἀπαραιτήτως τὸ σημαινόμενον δηλȣ́ντων ἐστὶν, οἷον τὸ γαλακτοφορεῖν τȣ̃ κύειν, ἅτινα τεκμήρια φιλȣ̃σι (4) καλεῖν, ἢ τῶν μὴ τοιȣ́των, ἀλλὰ τῶν ἐνδεχομένως. Εἰ γὰρ ἐκεῖνο, ȣ̓δ' ἐνδοιάζειν ἐξέσται περὶ

(1) Τοιαῦτα τὰ παρ' Ἱπποκράτει „Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡ„μέρας, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ „ψύχος γίγνῃται, φθινοπωρινὰ τὰ νȣ„σήματα προσδέχεσθαι χρή. Καὶ ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γέ„νῃται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, „ἀνάγκη τȣ̃ θέρȣς πυρετȣ̀ς ὀξέας, καὶ „ὀφθαλμίας, καὶ δυσεντερίας γίνε„σθαι· μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ „ἀνδράσι τοῖσιν ὑγροῖσι τὰς φύσιας. Ἀφορ. Τμήμ. Γ'.

(2) „Οἷον κόποι αὐτόματοι φράζȣσι νȣ́σȣς. Καὶ ὁκόσοισι νέοισιν ἐȣ̃σιν „αἱ κοιλίαι ὑγραὶ, τȣτέοισιν ἀπογη„ράσκȣσι ξηραίνονται· καὶ ἀνάπαλιν. „Καὶ οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυ„ρῶς, ἄνευ φανερᾶς προφάσιος ἐξαπί„νης τελευτῶσι. Καὶ οἱ παχέες σφό„δρα κατὰ φύσιν ταχυθάνατοι γίγ„νονται μᾶλλον τῶν ἰσχνῶν. κτ. Ἀφορ. Τμήμ. Β'. Καὶ ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι θανάσιμον. Ἀφορ. Δ'. κτ.

(3) Ἡ τῶν ὠῶν τȣ̃ Κροκοδείλȣ, παρὰ τὸ χεῖλος ἐπ' ἀκριβὲς, τῆς ἐσομένης ἐπικλύσεως τȣ̃ Νείλȣ (εἰ τȣ̃το ἀληθὲς, περὶ ȣ̃ Πλȣ́τ. ἐν τῷ πότερα τῶν ζώ. φρονιμ.) ἀπόθεσις, σημεῖον ἂν εἴη τῆς-τε πλημμύρας, καὶ τῆς εὐφορίας. Ἡ δὲ πλημμύρα, τῆς εὐφορίας ȣ̓χ ὅπως σημεῖον διὰ τȣ̃ Νειλομέτρȣ τεκμαιρομένοις, ἀλλὰ καὶ παραίτιος.

(4) „Τῶν δὲ σημείων, τὸ μὲν ἀναγ„καῖον τεκμήριον, τὸ δὲ μὴ ἀναγκαῖον „ἀνώνυμόν ἐστι κατὰ τὴν διαφοράν. (Τῷ „γενικῷ μόνῳ τȣτέστιν ὀνόματι σημεῖον καλȣ́μενον) Ἀριστ. Ῥητορ. Βιβ. Α'. Κεφ. β'.

περὶ τῆς ἐκβάσεως· Εἰ δὲ τȣ̃το, ȣ̓κ ἀσφαλὲς ἀεὶ τὸ τῆς διαγνώσεως. Καὶ ἐπὶ τȣ́των ὅρος ἔςω τὸ μηδέποτε ἑνὶ καὶ μόνῳ ἐπιθαῤῥεῖν, τῇ δὲ πλειόνων εἰς ταὐτὸ συνδρομῇ, τὸ τȣ̃ πιθανȣ̃ βάρος ἐπιςαθμᾶσθαι. Οὕτως ȣ̓ν καὶ τὰς ἐπὶ τῶν καμνόντων προγνώσεις, ἐκ πολλῶν ὡς τὰ πολλὰ φαινομένων οἱ ἰατρικοὶ ποιεῖσθαι (1) εἰώθασιν.

§. τνθ΄. Ἀλλ᾽ εἴπερ ἄρα αἴτια τυγχάνει τὰ προφαινόμενα, πρῶτον εἰδέναι δέον, πότερον τῶν ὁλοσχερῶν αἰτίων ἐςὶν, ἢ τῶν ἐν τῷ μέρει; λέγω δὲ ὁλοσχερῆ μὲν, τὰ καὶ δίχα συνδρομῆς ἑτέρων, ἀφ᾽ ἑαυτῶν ὄντα τελεσιȣργὰ, ἐν μέρει δὲ, τὰ καὶ ἄλλων εἰς τȣ̃το τῶν συνεπιληψομένων αὑτοῖς δεόμενα· ταυτὸν εἰπεῖν τὰ συναίτια. Ἐὰν ȣ̓ντι τȣ́των φανῇ τῶν μὴ αὐτάρκως ἐχόντων, εὔηθες τὸ, δι᾽ αὐτȣ̃ μόνȣ, τὸ ἀποβησόμενον προσδοκᾷν· ἐὰν δέτι τῶν ἀποχρώντων, πάλιν ἀνασκοπεῖν μήτι ἕτερον ἀπαντῶν ἀντίξȣν, τὴν ἐκείνȣ δύναμιν ἐξ ἀντιπεριςάσεως κολȣ́οι, καὶ διαθραύοι, ἢ καὶ ἄρδην ἀνατρέποι. Οἷον ἐπὶ τȣ̃ κοινȣ̃ τȣ̃δε, ἡ μὲν εἰς ταυτὸ συνεπισώρευσις τῶν ἀναθυμιάσεων καὶ συμπίλησις, συννεφῆ τὸν Οὐρανὸν καταςήσασα, ὄμβρον ἡμῖν πολλάκις ἐπήρτησεν· Πνεῦμα δὲ μετὰ σφοδρότητος ἐμβαλὸν, καὶ τὴν νοτίδα διασκεδάσαν, τὸν ὑετὸν ἀπεκρȣ́σατο. Ἐκπεριεργάζεσθαι τοίνυν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

§. τξ΄. Οὐ μόνον δὲ ἐκ τῶν ἐν τῇ φύσει παντοίων μεταβολῶν, καθ᾽ ὃν εἴρηται τρόπον (§. τνή. τνθ΄.). συμβάλλειν εἰώθασι τὰ ἐκβαίνοντα, ἀλλὰ καὶ ἐκ τῶν ἐν ἀνθρώποις ἠθῶντε, καὶ προαιρέσεων, καὶ πράξεων τῶν πρὶν γενομένων, καὶ ἤδη συνήθων, καὶ ἐκ τῆς ἐπὶ τὸ ἐνεργεῖν δυνάμεως, καὶ δεξιότητος· Ἐνίοτε δὲ καὶ ἔκτινων ἐπισήμωντε, καὶ παραδόξων γενομένων, τὸ εἰκὸς ἔσεσθαι συνιδόντες (2), πολλοὶ χρησμȣ̀ς ἄντικρυς ἀ-

(1) Ὄνυχες μέλανες, καὶ οἱ δάκ„τυλοι τῶν χειρῶν, καὶ ποδῶν ψυχροὶ, „συνεςαλμένοι, ἢ καθειμένοι .... χεί„λη πελιδνὰ, ἢ καὶ ἀπολελυμένα, „καὶ ἐξεςραμμένα, ἢ ψυχρά .... „τὰ ὦτα ψυχρὰ, διαφανέα, συνεςαλ„μένα ... Κοιλίαι ἐπαιρόμεναι, καὶ „φυσȣ́μεναι .... Σημεῖα δὴ ταῦτα „ὥριςαι θανατώδη. Παρ᾽ Ἱπποκρ. Ἀ„φορ. Τμ. Η΄.

(2) Οἷον ἐκ μὲν τῶν περὶ τὴν γέννησιν τȣ̃ Ἰωάννȣ γενομένων θεοσημειῶν, εἰκὸς ἦν τȣ̀ς ἰδόντας, καὶ ἀκȣ́σαντας ἀναβοῆσαι τὸ „τὶ ἄρα τὸ παιδίον τȣ̃„το ἔςαι; (Λȣκ. Κεφ. α΄.) Ἐκ δὲ τῆς, ἦν ἔτι μείρακε ὄντε, ὅ, τε τȣ̃ Φιλίππȣ Μακεδὼν, καὶ ὁ Ῥωμαῖος Καίσαρ, ἐνεδεικνύσθην μεγαλοφυΐας, ῥαγδαίως ἐν ἅπασι καὶ σφοδρῶς φερομένω, παρῆν ἑκάςῳ συμβάλλειν, οἵω ποτὲ ἔσεσθαι

νεφθέγξαντο. Ἀλλ' ἐκεῖνο δὴ συμφανὲς καὶ ὁμόλογον, ὅτι τῷ ὁπωσδὴν ἐκ τῶν φαινομένων τὸ μέλλον ἰχνοσκοπεῖν καὶ στοχάζειν ἐπιχειρεῦντι, ἡ τῶν πραγμάτων αὐτῶν ἀκριβὴς τε, καὶ πλήρης, ὅσον ἐφικτὸν, εἴδησις ἐναπαιτεῖται ἀπαραιτήτως, περὶ ἃ ἡ ἀνάκρισις· Οἷον τῶν μὲν φυσικῶν, ἐάντι δέῃ τῶν ἐν τῇ φύσει πρωτοδιαγορεῦσαι, τῶν δὲ ἰατρικῶν, ἐάντι τῶν πρὸς ὑγίειαν ἀναφερομένων, ἢ νόσον, ἢ πρὸς ζωὴν, ἢ πρὸς θάνατον· τῶν δὲ ἠθικῶντε καὶ πολιτικῶν, ἐάντι τῶν κατὰ τὰ ἀνθρώπινα. Εἰ γὰρ καὶ τὰς περὶ ταῦτα δεινὰς ἀτευκτεῖν τὰ πολλὰ συμβαίνει περὶ τὰς προῤῥήσεις καὶ σφάλλεσθαι (1), τί ἄντις ἐκ τῶν ἀπαιδεύτων ἐλπίσειεν;

§. τξά. Εἰδέναι δὲ δεῖ, ὡς ἐχὶ παιδιᾶς ἄλλως κενῆς, καὶ περιττῆς χάριν περιεργείας, τὰς ἐξεικαστικὰς τάσδ' ἐπικρίσεις, τῶντε κατὰ φύσιν, καὶ τῶν ἀνθρωπίνων πραγμάτων μετιτέας εἶναι ἡ φιλοσοφία προβάλλεται, τῶ δὲ λυσιτελῶς ἕνεκα, καὶ τῶ ὠφελίμως, ὅ δι' αὐτῶν, εἰδ' ἡμῖν, εἴτε καὶ τοῖς ἄλλοις προσγίγνεται. Τῷ γὰρ ὁλόγως τε καὶ πιθανῶς τεκμηριῶν τὰ αὐτῷ ἀποβησόμενα δυναμένῳ, ἢ παῤ ἄλλῳ ἐκπυνθανομένῳ, πάντα δὴ πρὸς τὸ συνοῖσον τὰ κατ' αὐτὸν ἀπευθύνειν πάρεξι καὶ προ-

σθαι ἐμελέτων· Ὥσε ἀκότα περὶ μὲν τῶ πρώτω τὸν πατέρα προαναφωνῆσαι „ὦ Παῦ (φήσαντα) ζήτα σεαυτῷ βα„σιλείαν ἴσον. (Πλάτ. ἀξ βί. Ἀλεξ.) Περὶ δὲ τῶ δευτέρω τὸν Σύλλαν „πολ„λὰς ἐν τῷ παιδὶ τούτῳ Μαρίκης ἐνορᾶν „δόξας. (Αὐτ. ἀξ βί. Ἰκλ. Καίσ.). Ἐκ δὲ τῶν ἄλλοτε πεπραγμένων, καὶ ἤδη συνήθων, αὐτόθεν δῆλος ἰῶ ὁ Σεβῆρος, μετὰ τὸν τῶ Νίγρα ἧτταν, ἅπαν ἐκ τῶ ῥάστα τὸ ἐν τῇ Ἀσίᾳ Ἑλληνικὸν ὑφ' ἑαυτῷ ποιησόμενος· προοδοποιήσης οἱ τὸ κράτος τῆς αὐτίκα μάλα ἐμπεσούσης ταῖς πόλεσι τάσεως. „Ἀρ„χαῖον γὰρ δὴ τοῦτο πάθος Ἑλλήνων, „οἳ πρὸς ἀλλήλες σασιάζοντες ἀεὶ, καὶ „τὰς ὑπερέχειν δοκοῦντας καθαιρεῖν θέ„λοντες, ἐτρύχωσαν τὴν Ἑλλάδα. (Ἡρωδ. Ἱστορ. Βιβλ. Γ'.). Ἐκ δὲ τῶ Ἤθους, καὶ τῆς προαιρέσεως, Ὁ Ἀποστάτης καὶ πόῤῥωθεν τῷ Ναζιανζηνῷ ἐωρᾶτο, οἷον κακὸν ἐμελλεν ἔσεσθαι. „τότε γὰρ, ἐ Φαῦλος ἐγὼ (φησὶ) τῶ „ἀνδρὸς εἰκαιης οἶδα γενόμενος .... ἐ„ποίει γάρμε μαντικὸν ἡ τῶ ἤθους ἀνωμαλία, καὶ τὸ περιττὸν τῆς ἐκτά„σεως .... τοῦτον πρὸ τῶν ἔργων ἐθεα„σάμην, ὃν καὶ ἐπὶ τῶν ἔργων ἐγνώ„ρισα. (Λόγ. Στηλιτ. Α'.).

(1) Μὴ προπετῶς διὰ τοῦτο, τὸ προγνωστικὸν μετιέναι τοῖς Ἰατροῖς παραινεῖ Ῥιδιγέρος (Βιβλ. Γ'. Κεφ. ἡ. §. δ'. περὶ Ἀντιλήψ. τῶ Ἀληθ. καὶ τῶ ψεύδ.) ὃς καὶ περὶ Ἰατρῶ τινὸς διέξεισιν, ὅτι Μητρὶ, ἐπὶ δυσὶ νοσήσαις θυγατράσιν ὑπερασχαλλήσῃ, ὑπιοχνεῖτο, καὶ ὑπερεδιετείνετο, ᾗ μὴ ἀχρεῖον τὰ λοιπὰ αὐτὸν, καὶ ἐδενὸς ἔσεσθαι ἄξιον, ἐμὴ ἐντὸς ὀλίγα ἀποκατασήσειεν αὐτῇ τὰ θυγάτρια. Ταῦτα δὲ εἰς τρίτην, ἀπὸ τῆς ὑποχέσεως ἡμέραν, ἐτελοῦτο.

προοικονομεῖν, ἢ γοῦν πρὸς τὸ ἧττον βλάψον· Περιποιήσεται γὰρ, καὶ προάξει τὰ πρὸς τὸ τέλος φέροντα ἐκ τοῦ ῥάστου, ἀποκλινεῖ δὲ καὶ ἀποσοβήσει, ὡς ἀνθρώπῳ οἷόντε, τὰ ἀντίξοα. (1). Τοῦτο δὴ τὸ Προμηθέως καλόν. Καὶ οὐδὲ μάτην ἐπιχανεῖ φρούδαις τε καὶ ματαίαις ἐλπίσιν, ὧν οὔποτε τεύξεται, παραφερόμενος, οὐδ' εἰκῇ ἐπαθυμήσει πτοίαις κεναῖς, καὶ φόβοις ἀλόγοις, οὗ οὐκ ἔστι φόβος, κατασειόμενος. Ὡς εἴπερ ἄλλως ἄφυκτον ποτὲ τὸ κακὸν προωρῶτο, τόγε πειθαρχεῖν εὐγνωμόνως, εἰ μηδὲν ἄλλο, ἀποκερδανεῖ τῇ ἀνάγκῃ, καὶ τὰ ἐπιόντα ἀνθρωπίνως φέρειν, ἐν ᾧ τὸ πλέον ἵδρυται τῆς φρονήσεως.

§. τξβ'. Ἀλλὰ γὰρ καὶ τοῦτο τέως εἰδέναι χρὴ, ὡς αἱ ἐπὶ τῶν ἡμῖν ἀνηκόντων προδιαγνώσεις σφαλερώτεραι γίνονται ὡς τὰ πολλὰ, ἢ ἐπὶ τῶν τοῖς ἄλλοις, καὶ μάλιστα τοῖς μηδὲν σφίσι διαφέρουσι. Τὸ γὰρ τῆς φιλαυτίας πάθος καὶ τὰ ἄλλα, καθάπερ ἐπὶ τῶν παρωχημένων, καὶ τῶν ἐνεστώτων (Ὅρα Προδιατ. Β'. §. κγ'. κδ'.) οὕτω δὴ κἀπὶ τῶν μελλόντων, δεινὸν ἕκα-

(1) Ἐκ μὲν οὖν τῶν παρόντων τὰ τῆς ἐκβάσεως χρῆναι προανασκοπεῖν, ἐφ' αἷς πράξεσιν ἐπιχειρεῖν μέλλομεν, καὶ ὁ Σωτὴρ παραβολικῶς προδιατυποῦται. (Λουκ. ιδ'.) „τὶς γὰρ ἐξ ὑμῶν, θέλων „πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον κα„θίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει „τὰ πρὸς ἀπαρτισμόν; . . . . ἢ τὶς „βασιλεὺς πορευόμενος συμβαλεῖν ἑτέ„ρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθί„σας πρῶτον βουλεύεται, εἰ δυνατός „ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ „μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐ„τόν; εἰ δὲ μήγε, ἔτι πόῤῥω αὐτοῦ ὄν„τος, πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ „πρὸς εἰρήνην. Τοῦ δὲ δὴ πρὸς τὸ συνοῖσον χρῆσθαι ταῖς τῶν φύσει ὄντων προγνώσεσι, παράδειγμα ἡμῖν ἔσται καὶ τὸ τοῦ Θάλεω κατανόημα. Κατανοήσαντα γὰρ, φασὶν, αὐτὸν ἐλαιῶν φο„ρὰν ἐσομένην ἐκ τῆς Ἀστρολογίας, ἔτι „χειμῶνος ὄντος, εὐπορήσαντα χρημά„των ὀλίγων, ἀῤῥαβῶνας διαδοῦναι τὸν ἐλαιουργίων, τῶντ' ἐν Μιλήτῳ, καὶ „Χίῳ πάντων ὀλίγου μισθωσάμενον, ἅτ' „οὐδενὸς ἐπιβάλλοντος· Ἐπειδὴ δ' ὁ καιρὸς ἧκε, πολλῶν ζητουμένων ἅμα, καὶ „ἐξαίφνης, ἐκμισθοῦντα ὃν τρόπον ἠβού„λετο, πολλὰ χρήματα συλλέξαντα, „ἐπιδεῖξαι ὅτι ῥάδιον ἐστὶ πλουτεῖν τοῖς „φιλοσόφοις ἂν βούλωνται· Ἀλλ' οὐ „τοῦτ' ἐστὶ περὶ ὃ σπουδάζουσιν. Ἀριστ. „Πολιτ. τὸ Α'. Κεφ. ια'. Ἀλλὰ καὶ Παυσανίας, διὰ τοῦ ἐμφαινομένου ἤθους τῷ προσώπῳ τοῦ Ἐφόρου, τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον συνεικάσας, φυγῇ τὴν σωτηρίαν, ὥσγ' ἐκ τοῦ παραυτίκα ἐπραγματεύσατο· „λέγεται γὰρ αὐ„τὸν μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ „ὁδῷ, ἑνὸς μὲν τῶν Ἐφόρων τὸ πρόσω„πον προσιόντος ὡς εἶδε, γνῶναι ἐφ' ᾧ ἐ„χώρει. . . . . Καὶ πρὸς τὸ Ἱερὸν τῆς „Χαλκιοίκου χωρῆσαι δρόμῳ, καὶ προκαταφυγεῖν. (Θουκυδί. Βιβ'. α').

σον παρακρέσαθαι, καὶ ἤτοι πλέον ἐλπίσαι, ἢ πλέον δεδιέναι παραχεῖν τῶ προσήκοντος· ὥσε συμβαίνειν, τὸν ἀφαυλον ὄντα προϊδεῖν, καὶ συνεικάσαι εἰς ὃ τελευτῆς ἥξει τὰ ἀλλότρια, τῶτον περὶ τὰ ἴδια καθίσαθαι μάντιν φαυλότατον (1).

(1) Περὶ τῶν σφίσιν ὑπωσῶν ἐπαγγελόντων καθισαμένης τῆς σκέψεως, τὰ πρὸς ὑμᾶς αὐτοῖς, ἢ ἄπο ὑμᾶς προφαινόμενα, εἰς ὑπολογισμὸς ἀκρίτες συνεχῶς τὰς πόλεις παρεξάγα, τὰ μὲν ἐλπίσιν ἀτελέσοις ὑποκεφίζοντα, τὰ δὲ πτοίαις τε, καὶ φόβοις ἀμέτροις, τλὼ ψυχλὼ ἐξισῶντα καὶ ἐκταράσσοντα. (Περὶ τάτε ἄρισα διείληπται τῷ συγγραφεῖ τῆς Τέχν. τῶ Νοεῖν, Μερ. Δ'. Κεφ. ις'.) Καὶ γὰρ ὡς μὲν ἐλαχίσε πάνυ, τὸ πολλαπλάσιον ἐσὶν ἀποκερδάναι ὐ τοῖς δημοσίοις Λάχεσιν, ἅς Loteries ἡ Γαλλικὴ οἶδε φωνὴ, τῶτο ἀναπολῶσιν οἱ πάντες· ὡς δὲ καὶ ὑπερπολλαπλάσιον τὸ μὴ τυχεῖν, τῶ τυχεῖν ἐλπίσαι, τᾷδ' ἤκισα οἱ πολλοὶ ἐοίκασι προσλογίζεθαι. Οὐ γὰρ ἂν, ἔπερ, ἅτως ἐντρεχῶς ἐπὶ τοῖς μανονεχὶ ἀπιθάνοις, τὰ ὐ χερσὶ κατεβάλοντο. Εἰ γὰρ δεκάκις χίλια, φέρε, ἀνθ' ἑνὸς τῶ καταβαλλομένε ἐλπὶς αὐτὲς λήψεθαι, ἀλλὰ τόγε δεκάκις μυριάκις, καὶ πρὸς, μᾶλλον πιθανὸν εἶναι τὸ μὴ λαχεῖν τῶ λαχεῖν, ἐννενηκονταάκις δήπε χιλιοσὸν τῆς ἐλπίδος αὐτοῖς καταλείπει τὸ μόριον. Τἐναντίον δὲ, κινδύνε ποθὲν, κἂν ὅτι πορρώτατω, ἐπηρτημένε· οἷον ἐπειδὰν κεραυνοῖ, πολλοὶ ὅσον ἐχ ὑπὸ τῶ δέκας ἐκθνήσκεσιν. Ἐννοῦντες γὰρ τὸ δεινὸν ὅσον, ἡλίκον καὶ τὸ πιθανὸν ἐσὶν αὐτοῖς ἐπισκήψαι, ἐδαμῶς συμβάλλεσι· συνεῖδον γὰρ ἂν, μηδὲν πλέον, ἢ τὸ διακοσιασομυριοσὸν τῶ κινδύνε αὐτοῖς ἐπικρέμαθαι. Μόλις γὰρ ἐν διακοσίαις ἀνθρώπων μυριάσιν ἕνα, κεραυνῷ βληθῆναι, ὁσάκις ἂν συμβαίη, παρατετήρηται. Δεῖ τοίνυν μὴ τὸ μέγεθος τῶ ἀγαθῶ, ἢ κακῶ μόνον περισκοπεῖν, ἀλλὰ καὶ τὸ μέτρον τῶ εἰκότος ἀναλογίζεθαι, καὶ τάτῳ συμμέτρως ἐλπίζοντε, καὶ δεδιέναι. Ἀλλὰ γὰρ ἅτω μὲν περὶ τῶν ἐνταῦθα. Ἐπὶ δὲ τῶν μετὰ τλὼ ἐνθάδε λῆξιν ἐλπιζομένων, καὶ τῶν ἐκεῖθεν φοβερῶν, ἐκέτι δὴ ὁ ῥηθεὶς ὑπολογισμὸς ἔχει τὸ εὔλογον. Περὶ γὰρ ἐκεῖνα, ἐδ' ἐλπὶς ἂν γένοιτο περιττὴ, ἐδὲ φόβος ἄμετρος· Οὐδὲ γὰρ ἐδ' ἂν εἰ τλὼ σύμπασάντις τῶν ἀνθρώπων ὐδαιμονίαν, ἢ κακοδαιμονίαν, εἰς ἓν ἀθροίσας τῷ λόγῳ, ἐδὲ τὸ πολλοσὸν ἂν ἐκείνων ἀντισηκώσειν· Οὐδεμία γὰρ παράθεσις, ἐδὲ λόγος ἐδεὶς, τῶ πέρας ἔχοντος πρὸς τὸ ἄπαρον.

ΚΕΦ. ΕΝΝΑΤΟΝ.

Ὅπως τῶν ἐν τοῖς ἄστρασι φαινομένων τὰς αἰτίας πιθανῶς θηρώμεθα.

§. τξγ'.

Ἡ δὲ Φυσικὴ Κριτικὴ, ἧς ἴδιον τὰ αἴτια τῶν ἐν τῇ Φύσει συμβαινόντων, καὶ τὸν τρόπον τῆς τέτων ἑκάστε ὑπάρξεως ἐστὶ πολυπραγμονεῖν (§. τί.), περί τε τὰς πείρας ἀναστρέφεται, καὶ τὰ φαινόμενα, δι' ὧν μάλιστα τὰ κατὰ τὴν Φυσιολογίαν κρατύνεται Δόγματα, ἢ τῶν Αἰτίων τὰ λανθάνοντα δηλοποιεῖται.

§. τξδ'. Διαφέρει δὲ πείρας φαινόμενον, καίτοι πρὸς αἴσθησιν ἔχον ἑκάτερον. Τὸ μὲν γὰρ, παρασκευῆς ἄνθ', καὶ ἐπινοίας τῆς παρ' ἡμῶν, αὐτόματον ἀπαντᾷ τῇ δυνάμει, καὶ οἷον εἰπεῖν ἀνεπιτεχνήτως· τοιαῦτα δὲ, εἴτε τῶν πλανητῶν περίοδοι, καὶ αἱ φάσεις, καὶ τὰ ποικίλα τῶν μετεώρων, καὶ ὅσα ἁπλῶς τῶν ἐν τῇ Φύσει γινόμενα τὴν αἴσθησιν ἐ διαφεύγει. Περὶ δὲ τὰς πείρας καὶ αὐτοὶ τὸ παρ' ἑαυτῶν συνεισφέρομεν, τὴν κατ' αὐτὰς παρατήρησιν τρόποις παντοίοις τεχνιτευόμενοι. (1). Ἡ γὰρ ὡς ἄλλοι, τὸ μὲν Φαινόμενον, κοινῆτις καὶ Δημώδης ἐστὶ πεῖρα, πρόχειρος ἅσα καὶ τῷ τυχόντι λαβεῖν· οἷον ὅτι τὸ πῦρ καίει. Ἡ δὲ πεῖρα τοῖς ἰχνηλατοῦσι τὴν Φύσιν ἰδιάζον προσπίπτει Φαινόμενον· οἷον ὅτι ὁ ἀὴρ βρίθει. Οἱ δὲ τέως καὶ τὴν κοινοτέραν ἐκείνην καὶ Δημώδη πεῖραν, εἰς τὴν μὲν ἐξωτερικὴν, τὴν δὲ ἐσωτερικὴν, ἀντιδιαιρέθησαν· ὧν ἡ μέν τινι τῶν ἔξω αἰσθητηρίων ἐστὶ ληπτὴ, ἡ δὲ διὰ συναισθήσεως, ἧς ἐν ἑαυτοῖς πάσχοντές τι συναισθανόμεθα. Ἐπὶ γὰρ τέτων τοῖς ἐφεξῆς Κανόσι προσέχειν ἄξιον.

(1) Χρώμεθα γὰρ Ὀργάνοις τισὶν, οἷον τῷ Πνευματικῷ καλουμένῳ Μηχανήματι, καὶ τῷ Ἠλεκτρικῷ, καὶ τῷ ἀπὸ τε ἐπινενοημότος Τορικελείῳ λεγομένῳ σωλῆνι, τοῖς τε Βαρομέτροις, καὶ τοῖς Θερμομέτροις, κτ. (περὶ ὧν σεσημείωται §. τνζ'.) καὶ Τηλεσκοπίοις, καὶ Μικροσκοπίοις, Τριγώνοις τέτοις Πρίσμασι, καὶ ποικίλοις ἄλλοις, δι' ὧν τὰ κατὰ τὴν Φυσικὴν, καὶ τὴν Ἀστρονομίαν παράμετα λαμβάνομεν.

§. τξέ. Πρὸ πάντων πείρας συνισαμένης, ἢ φαινομένῳ προσπίπτοντος, ἐπεί τοιγε ἀντιληπτικὴ τούτων τυγχάνει ἡ κατ' αἴσθησιν δύναμις, ἐπιμνησέον τῶν ἐν ἄλλοις εἰρημένων (Προδι Β'. §. θ'.) περὶ Αἰσθητικῆς ἀντιλήψεως· τετέσιν ἐπιμελητέον τῶν οἷς τὸ αἴσθημα τὸ πιστὸν ἔχει, καὶ ἀνεπίληπτον. Οἷον εἰσὶν οἱ ἀστράπτειν ἔδοξαν ἑωρακέναι κατ' αὐτιῶ τιὼ σελήνιω, τῷ ἡλίῳ ποτὲ ἐκλελοιπότος. „Ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ· Ἀλλὰ καὶ ἡ αἴσθησις, τῶν ὅτι πορρωτάτω κατατολμῶσα· ἐχρῆν ἔν τὸ τοιοῦτο, καὶ πολλάκις, καὶ ὑπὸ πολλῶν οὕτω συμβαῖνον παρατηρηθῆναι, ἵν' οὐ τοῖς φαινομένοις ἐδόκει, εὐλόγως τάττεσθαι.

§. τξ'. Αὐτερῶσι δὲ (ὅπερ ἀσφαλέστερον) τῇ δυνατῇ ἀκριβείᾳ ἐπὶ τῶν πειραμάτων χρηστέον. (1). Καὶ ἐν διαφέρουσι καὶ τόποις, καὶ καιροῖς τὰ αὐτὰ πειρατέον. Τῶν δὲ παρ' ἄλλων, τοῖς μὲν ὑπὸ τῶν ἀπαιδεύτων παρατηρεμένοις ἐπιδοσακτέον (πολλὰ γὰρ δι' ἀμαθίαν οἷον ἀβλεπτοῦντας διαφεύγει, ὑφ' ὧν διαφορὰ μεγάλα συμβαίνειν εἰώθασι.) τοῖς δὲ ὑπὸ τῶν ἐμπειροτέρων, καὶ οἵπερ ἂν τρίβωνες ἤδη τὰ τοιαῦτα εἶεν μεταχειρίζεσθαι δεξιῶς, καὶ ἐπισαμένως παρατηρεῖν, πιστευτέον. Πλὴν ἀλλ' ὅπῃ παρεῖκρι, τὰ αὐτὰ καὶ καθ' ἑαυτὸς ἐπαναληπτέον. Καὶ τά γε ὑπὸ πλειόνων, εἰ τύχοι, ληφθέντα, ἀλλήλοις παρεξεταστέον· τὸ γὰρ τῶν μαρτυρέντων σύμφωνον καὶ ταῦθα εἰς πίστιν (§. τλδ'. τλή.) ἰσχυρότατόν ἐστιν.

§. τξζ'. Ἔτι μὴ πεῖραν οἴεσθαι, μηδὲ φαινόμενον, τὸ ἐκ πείρας ἄλλως, ἢ φαινόμενον, σοχασμῶτε καὶ εἰκασίᾳ ἐπιφέρεσθαι δοκεῖν· τοῦτο δὴ τὸ κατὰ τιὼ συναρπαγιὼ ἀκὸν ἁμάρτημα, ὅτισιν ἁμαρτάνεται. Οἷον δὴ πεῖρᾳ διατείνοντας κατέχειν, ὅτι Κομῆται ὀφθέντες, τῶν ἐν ὕψει ἀξιωμάτων θανάτου τινος καταγγέλλουσι. Καὶ μετὰ σεισμὸν, ὅτι νόσοι τῇ σεισθείσῃ χώρᾳ ἐπιδημοῦσιν. Ἀλλὰ σεισμοὶ μὲν, καὶ Κομῆται τῶν φαινομένων εἰσὶν ὁμολογεμένως. Καὶ θάνατοι δὲ, καὶ νόσοι ἐνσκήπτουσαι ὁμοίως. Ὁ δὲ τῆς τούτων πρὸς ἐκεῖνα σχέσεως λόγος, κἂν ᾖτις, ἐκέτι πείρας ἐδὲ φαινόμενα ὅρος ἔσαι, ἐπεὶ ἐδὲ αἰσθήσει ληπτός.

§. τξή.

(1) Πολλῆς δεῖται τῆς προσοχῆς ἡ πειραματικὴ πραγματεία, περὶ ἧς διεξοδικῶς φησὶ διειλθεῖν Κράφφτιος (Φυσ. 206) ἐν ἰδίᾳ Φυσικῇ Διατριβῇ, De vera experimentorum physicorum constitutione.

§. τξή. Πολλῆς δὲ τῆς παραφυλακῆς χρεία καὶ ἐπὶ τῶν Ἀποφατικῶς φαινομένων. Ἐκεῖνα δὲ λέγω, ὅσα ἐν τοῖς ὁμοιοπαθεῖν φαινομένοις ἐξηρῆσθαι δοκεῖ. Οὐ γὰρ ἀσφαλὲς τὰ τοιαῦτα ἁπλῶς παραδέχεσθαι, ἐπειδὰν μάλιστα τῶν ἀνίως ἢ ξυμβαινόντων, καὶ ὧν ἡ ῥᾴδιον ἀπόπειραν λαβεῖν. Τῶ μὲν ἂν εἶναι τὰς ὧν οἱ κόρεις ἀχ ἅπτονται, ἐδὲν ἔργον παρατηρῆσαι καὶ πιστωθῆναι· τὸ δ' ὅτι κεραυνὸς, φέρε, διὰ τῶν ἐν ὕδασιν ὑποβρυχίων τῆς νεὼς ἡ πέφυκε διελαύνειν, ἢ ὅτι τῶν ὑπὸ κεραυνῶ διαφθαρέντων ἄσηπτα τὰ σώματα διαμένει, καὶ τὸ τὰς καθεύδοντας μὴ κεραυνῶσθαι, καὶ τὰ τοιαῦτα τρόπα, χαλεπὸν τινὶ πίστιν λαβεῖν ἐκ παρατηρήσεως. Καὶ ταῦτα μὲν δὴ αὐτὸς ἀ τοῖς λεγομένοις τάξαιμι, ἢ τοῖς φαινομένοις.

§. τξθ'. Τἐναντίον δὲ καὶ τὸ ἐξ ἑνὸς, ἢ δυοῖν πειραμάτων, ἢ φαινομένων συμφώνως ἀλλήλοις ἐχόντων, τὸ καθόλε ἐπιφέρειν ἀποφαινόμενος, ἀ πόῤῥω θρασύτητος ὄν, (Προδ. Β'. §. ιθ'.) καὶ σφαλερώτατόν ἐςι. Πῶς γὰρ ἔ; ὁπότε καὶ ἐφ' οἷς ἀ πάνυ ὀλίγα συμβαίνει, τὸ κατὰ παντὸς ὅμως ἐφωράθη ψευδόμενον; Ἑώρων μὰ ἄνθρωποι πάλαι τὰ πλανητῶν σώματα ταῖς ἀφ' ἡλίε ἀκτῖσι καταυγαζόμενα, εἰσέβαλλον δὲ κομιδῇ ἀπαιδεύτως, καὶ τὰς ἀπλανεῖς τῶν ἀςέρων, ἑτεροφώτους εἶναι κατὰ τὰς πλάνητας. Ψύχος συσέλλον γῆν, καὶ κηρὸν, καὶ πολλὰ τῶν σωμάτων ἄλλα ὠπτάνετο, καὶ κοινήτις αὕτη παρὰ τοῖς Φυσικοῖς ἐκυλίετο δόξα, μηδὲν ὅλως ἐν τοῖς σώμασιν εἶναι τὸ ὑπὸ τῶ ψύχες μὴ συσελλόμενον· Καίτοι τἐναντίον συμβαίνειν ἀποκρυσαλλεμένῳ τῷ ὕδατι, πείρᾳ κοινῇ δεδεκίμασαι.

§. τό'. Ἐπειδὴ δὲ τάς τε πείρας λαμβάνεσι, καὶ τὰ φαινόμενα παρατηρῆσι τέλος πρόκειται, εἴπως τότων τινὶ αἰτίαν λανθάνεσαν διασμιλεῦσαι γένοιτο, ἐλευθέρῳ Νῷ, καὶ ἀπαθεῖ πρὸ παντὸς τῆς ἐρώνης ἀπτέον· (Προδ. Β. §. κ'. καὶ. κτ'.). Καὶ τῶ μὲν πρὸς τὸ σφίσι δοκῶν ἐκβιαζομένες ἀνθέλκεσθαι πᾶν τὸ συμβαῖνον Φιλονεικεῖν, ἀφεκτέον· τἐναντίον δὲ τινὶ δόξαν πρὸς αὐτὰ τὰ πράγματα μεθαρμοσέον. Ὧ δὴ προσέχειν τοσότῳ μᾶλλον παραινῶμεν, ὅσῳ καὶ τῶν ἄλλως εὐδοκιμηκότων, ὡς πλείσες ἴσμεν, οἵ ἐκ ἔσιν ἐφ' ὅτῳ τῶν φαινομένων τὸ καθ' ἑαυτὸς δόγμα ἐπονειρῶξαι ἐκ ἔδοξαν, ὡσανεὶ κάῤῥῳ δεινῷ τῇ προλήψει καταχεθέντες, καὶ ψόγον, ἢ κλέος ἐντεῦθεν ἀραίμενοι.

§. τοά

§. τοά. Πολλῶν δὲ εἰς ταὐτὸ συμπροσπιπτόντων φαινομένων καὶ συγκυρέντων, μὴ θάτερον ἡγεῖσθαι ἀεὶ, θατέρου παραίτιον· Σκοπεῖν δὲ, ὡς τὰ μὲν ὁμοχρονεῖν ἐν τῷ παντὶ συμβαίνει, ὑπὸ μακρῷ καίτοι διαφερούσης αἰτίας τὸ εἶναι ἔχοντα· οἷον ἡ τῶν κυνῶν ἐπιτολὴ, καὶ τὰ καύματα. Τῶν δὲ σημεῖον ὁπωσοῦν ἕτερον ἐστὶν ἑτέρου (§. τνη.), δι' ὃ τὸ πρὶν λανθάνον προφαίνεται· οἷον διὰ τῶν βροντῶν τὰ ὕδατα· τὰ δὲ καὶ αἰτίαν ἅμα ἄλλου οἷόν τινος αὐτοῦ (1).

§. τοβ'. Τῶν ὁμοίων φαινομένων αἰτίαν ἐκ ἀεὶ ἡγητέον εἶναί τινα αὐτοῦ. Καίτοι γὰρ αἰτιατὰ τὰ αὐτὰ, ἐπὶ τὰς αὐτὰς ἀεὶ αἰτίας ἐθέλει ἀνάγεσθαι, τινὸς ἁπλουστέραν βαίνειν περφυκείας τῆς φύσεως (§. τνζ'.)· Ἀλλὰ πρῶτον μὲν ἀντὶ τῶν αὐτῶν ἐκδέχεσθαι δίκαιον καὶ τὰς ἴσα δυναμένας, ἔπειτα δὲ καὶ αἱ τῶν γινομένων ὁμοιότητες παράγεσιν ἡμᾶς, μὴ ῥᾳδίως τὰς ἐγχωρούσας διαφορὰς διασκέλλοντας. Καθάπερ ἔν ἐπὶ τῶν μηχανικῶν δὴ τούτων ὡρολογίων, τοῖς μὲν ἡ τῆς κινήσεως ἀρχὴ ἐκ τοῦ βάρους ἐστὶ, τοῖς δὲ παρὰ τὸ ἐνὸν ἐλατήριον, ὅτως ἔχειν καὶπὶ τῶν κατὰ φύσιν ὑποληπτέον. Ποικίλη γὰρ ἡ φύσις ἐστὶ τὰς δυνάμεις, καὶ ἄφθονος· καὶ τῇ μὲν ταὐτὰ ταῖς διαφερούσαις, τῇ δὲ τὰ διαφέροντα ταῖς αὐταῖς, ἔστι δ' ὅπῃ καὶ ἐκ τῶν ἐναντίων τὰ παραπλησιώτατα, ἢ καὶ ἀνάπαλιν (2), εἰς θαῦμα ἐμηχανήσατο.

§. τογ.

(1) Ταῖς ῥωγμαῖς τεκμαιρομένων τῶν τὰ ὕδατα μετιόντων, ἐκ τότε δόξα „ἐγένετο τοῖς πολλοῖς, ὅτι τὸ ὕδωρ „αἱ βρονταὶ γεννῶσιν ἐ δεικνύουσιν· ὥ„σπερ ἅτις οἴοιτο τὰς κοχλίας ποιεῖν „τὸν ὄμβρον, ἀλλὰ μὴ προάγειν, μη„δὲ ἀναφαίνειν. (Πλατ. Συμπ. Προβλ. Βιβλ. Δ'. Προβ. β'.) Σκοπῶμεν ἔν „ὅτι πολλὰ συμπτώματα ἔχοντα ἑπα„κολούθησιν, αἰτιῶν λαμβάνει δόξαν „ἐκ ὀρθῶς· ὡς ἅτις οἴοιτο τῇ ἀνθή„σει τῆς ἄγνε, πεπαίνεσθαι τὸν τῆς ἀμ„πέλε καρπόν· ὅτι δὴ ὅτε (τοῦτο τὸ „λεγόμενον) ἡ ἄγνος ἀνθεῖ, καὶ ὁ βό„τρυς πεπαίνεται. Ἡ τοῖς ἐπὶ τῶν „λύχνων φαινομένοις μύκησι συγκυκεῖσθαι καὶ συννεφῶν τὸ περιέχον. κτ. ὥ„σπερ ἔν τούτων ἕκαστον ἐπακολούθημα „τῆ πάθες ἐστὶν ἐκ τῶν αὐτῶν γεννώ„μενον αἰτιῶν, ἅτως ἔφην ἐγὼ μίαν „αἰτίαν εἶναι δὶ ἰῶ βραδέως τε πλεῖ, καὶ προσάγεσθαι τινὰ Ἐχενηίδα τὸ πλοῖον. (Αὐτ. Συμποσ. Βιβλ. Β'. Προβ. ζ'.). Οὐδὲ γὰρ τῇ συνυπάρξει κριτέον τινὰ ἀκολουθίαν, ἀλλ' ἃ ἀνασκευαζομένα ἐξ ἀνάγκης τι συναναιρεῖται, καὶ τιθεμένα τίθεται, ἐκείνῳ ἐκεῖνο ἀκόλουθον ἡγητέον εἶναι. (Γαλιν. περὶ Ἀρίστ. Αἱρέσ.).

(2) Οἷον ἐκ χαρᾶς καὶ λύπης γενᾶται δάκρυον. Καὶ τῆξις δὲ καὶ σκλήρυνσις ἐκ τῆς ἐν τῇ ἡλιακῇ ἀκτῖνι θερμότητος. Καὶ ψύχος δὲ καὶ θέρμης ὑπερβολαὶ σῆψιν ἐγγενέσθαι ἐ συγχωρῆσι τοῖς σώμασι, τῆς μὲν δηλονότι τινὰ περιοῦσαν ἰκμάδα διαφορᾶσης, τοῦ δὲ κινηθῆναι μὴ ἐπιτρέποντος.

§. τογ'. Τῶν φαινομένων οὖν οὕτως ἀκριβολογουμένων, τὸ αἴτιον διὰ θεωρίας ζητούμενον, ἔστι μὲν ἐφ' ὧν καὶ πάντῃ ἄποπτόν ἐστιν, καὶ οἷον περ οὐδεὶς ἂν οὔτε χρόνος, οὔτε μελέτη ἀνακαλύψαι ἰσχύσειεν· ἔστι δ' ἐφ' ὧν καὶ προδήλως κατείληπται, ὥστε καὶ τὸ ἀπορεῖν τοῦ λοιποῦ περὶ αὐτὸ εἶναι ἄλογον· ἔστι δ' ἐφ' ὧν μέσως πως ἔχει, ὡς εἰ μὴ τοῦτ' αὐτό ἐστιν, οὐκ ἂν ἀπιθάνως μέντοι δύνασθαι ἀποδοθῆναι ὡς αἴτιον. Τῶν τοίνυν δευτέρων (οὐδεὶς γὰρ λόγος ἐνταῦθα περὶ τῶν πάντῃ ἀλήπτων.) ἡ οὖσα αἰτία κατὰ θέσιν ἀποδίδοται τοῖς φιλοσοφοῦσιν, οἷον ὅτι ἡμέρας αἴτιον ἡ τοῦ ἡλίου ἀνατολή· καὶ ἡλίου ἐκλείψεως ἡ παρεμπίπτουσα σελήνη· καὶ σελήνης ἡ παρεμπίπτουσα γῆ· καὶ τῶν παρεμπτώσεων τουτωνὶ αἱ τεταγμέναι περιόδοι· καὶ τοιούτων ἄλλων παραπλησίως αἰτίαι ἄλλαι· δι' ὧν εὖ μάλα διασαφοῦσιν ὅπως τὰ γινόμενα τελεῖται, σαφῶς εἰδότες, ὅτι ἐκείνων ἑκάστου αὕτη αἰτία ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν. Τῶν δὲ τρίτων, οὐχ ἡ οὖσα τῷ ὄντι, ἡ δὲ δοκοῦσα αἰτία καθ' ὑπόθεσιν ἐπάγεται· οἷον τῶν σελήνης, καὶ τῶν ἄλλων περιόδων, τὸ ἔφορον Εἶδος παραίτιον, ἢ ἡ δίνη, ἢ τὸ ἐκ τῆς ἐπικέντρουτε καὶ ἀποκέντρου κράμα δυνάμεως, ἤ τι ἕτερον, ὃ αὐτὸ μὲν εἶναι ἀνενδοιάστως οὐκ ἴσμεν, τοσοῦτον δὲ εἰδέναι ἔχομεν, ὡς εἴπερ τῶν, οὐδὲν ἂν ἧττον εὐλόγως δι' ἐκείνου τὸ φαινόμενον ἀναπτυχθείη. Ἐξ ὧν τὶ θέσις ὑποθέσεως τοῖς φιλοσοφοῦσι διαφέρει, μαθεῖν ἐστί. Καὶ ὅτι τῷ μὲν ἐκ θέσεως αἰτιολογοῦντι ἐπιστήμη περίεστι, τῷ δ' ἐξ ὑποθέσεως ὑπόληψις. Καὶ ὅτι διὰ μὲν ἐκείνης ἅπας λόγος ἀπορίας ἐκ μέσου αἴρεται, διὰ δὲ ταύτης (κἂν ἄλλως εἰς ἀπόδοσιν τῶν φαινομένων ἐπαρκούσης) ἀείτις πρόφασις περιλείπεται ὑπονοίας, μὴ ἀραγέτι ἕτερον, παρὰ τὸ ὑποτιθέμενον τοῦ γινομένου τυγχάνει τὸ αἴτιον. Καὶ ὅτι τέως θέσιν θέσεως βεβαιοτέραν οὐχ οἷόντε λαβεῖν, ὑπόθεσιν δὲ ὑποθέσεως καὶ μάλα· ὥστε καὶ τοῦ θεωροῦντος εἶναι ἐκ τῶν ὑποτεθῆναι δυναμένων ἑλέσθαι τὸ πιθανώτατον.

§. τοδ'. Ἔνθεντοι τὰ περὶ τὸ φαινόμενον ἐπ' ἀκριβὲς παρατετηρηκόσιν, ἁπαξαπάσας δὴ τὰς αἰτίας, ὅσαι ποτ' ἂν δόξειαν τοῦ τοιούτου δύναμιν ἔχειν ἀποτελεστικὴν, μηδεμιᾶς παροφθείσης, περισκεπτέον· Καὶ τούτων δὲ ἑκάστην ἰδίᾳ πρὸς αὐτὸ παρεξεταστέον, ὅπως ποτ' ἂν ἔχωσιν εἰς παραγωγὴν τὴν ἐκείνου ἐπιμελῶς διασκοπουμένοις, καὶ τὴν μᾶλλον ἐοικεῖαν πρὸ τῶν ἄλλων ἐγκρίνουσιν. Τοιαύτη δ' ἂν εἴη, δι' ἧς ἂν πληρέστερον μὲν

τῶν

τῶν ἄλλων, τὸ κατὰ τὸ φαινόμενον αὐτὸ ἀποδιδῶτο, ἐλάσσων δ' ὁ τῆς εἰς ἀπάτην ὑπονοίας λόγος ἐγκαταλείποιτο. Οἷον ἐπὶ τῶν παλιῤῥοιῶν, οἱ μὲν τὴν πίεσιν αἰτιῶνται τὴν ὑπὸ τῆς σελήνης, οἱ δὲ τὴν ἕλξιν· Ἀλλὰ τὸ μὲν τῆς πιέσεως, παρὰ τὸ ὑγρόντε καὶ εὐδίϊκτον τοῦ μεταξὺ ἀέρος, καὶ τὸ μὴ ἐξοιδουμένην ὁρᾶσθαι τὴν θάλασσαν, οὗ τὸ σελήνης σῶμα ἐπικείμενον φέρεται, οὐκ ἀποχρῶν εἰς αἰτιολογίαν εἶναι ἔδοξε· τὸ δὲ τῆς ἕλξεως, ἅτε δὴ τοῖς φαινομένοις μᾶλλον ὁμολογοῦν ἤδη σχεδὸν τοῖς πᾶσιν ἐγκέκριται· ἐξ αὐτοῦ γὰρ τάτε ἄλλα ἀποχρώντως, τὰ περὶ τὰς πλημμύρας παρατηρούμενα, αἰτιολογεῖται, καὶ τὶ δήποτε αἱ μέγισται καὶ ἀφθονώταται συμβαίνουσι κατὰ τὰς συνόδους, κατὰ δὲ τοὺς τετραγωνισμοὺς, καὶ τὰς ἀντιθέσεις ἐλάσσονες.

§. τοέ. Ἐνίοτε τῶν ἐξ ὑποθέσεως εἰς ἀνάπτυξιν τοῦ φαινομένου προχειριζομένων αἰτίων, θάτερον θατέρῳ συνεργεῖ, καὶ τότε δὴ οὐχὶ τὸ πιθανώτερον πρόκειται σκοπεῖν, τὸ δὲ εἰς ἓν ἀγαγεῖν αὐτὰ, συμβιβάσαι. Οἷον διατὶ τῶν φυτῶν τὰ ἐλαιώδη, Κῶνος, Κυπάριττος, Πίτυς, Πεύκη οὐκ ἐνοφθαλμιάζει (1); ἢ ὅτι τὸ ἔλαιον τοῖς φυτοῖς πολέμιον· ἢ ὅτι ἐλαιηράτε οὖσα καὶ πίειρα ἡ ἐν ἐκείνοις ἰκμὰς, οὐκ εὔτρεπτος, ὥστε καὶ κρατηθεῖσα ἐξομοιωθῆναι. Ἢ ὅτι δυσμίκτως ἔχει τῷ τοῦ ἐμφυτευομένου χυμῷ. Ἢ ὅτι καὶ ὁ φλοιὸς ἐκείνων λεπτὸς ὢν καὶ ξηρὸς, οὐ παρέχει ἕδραν, οὐδ' ἐμβίωσιν τοῖς ἐντιθεμένοις κολλώμενος. Τῶν μὲν οὖν ὑποτεθέντων τὰ τρία εἰς ταυτὸ σχεδὸν ἥκει· τὸ δέ τοι τέταρτον, οἷον ἐστὶν ἐκείνοις καὶ συνεργεῖν.

§. τοστ'. Τὸ εἰς αἰτίαν ὑποτιθέμενον, ποτὲ μὲν καὶ αἰσθήσει τυγχάνει ληπτὸν, οἷον ἀνωτέρω τὸ ἐλαιῶδες τοῦ χυμοῦ, καὶ τὸ ἰσχνὸν τοῦ φλοιοῦ· οὐκ ἀεὶ μέντοι τοιόνδε εἶναι ἐπάναγκες· ἀμέλειτοι διὰ τοῦ ζωτικοῦ ἀπαυγάσματος ὑποτεθέντος, αἱ ἐν τῷ ζώῳ κινήσεις τε καὶ αἰσθήσεις πιθανῶς αἰτιολογοῦνται, καίτοι αἰσθήσει ἥκιστα ληπτοῦ· Ὡσαύτως καὶ ὁ Σταγειρίτης τὰ νοερὰ τῶν Εἰδῶν ὡς παραίτια τῆς τῶν σφαιρῶν κινήσεως ὑπετίθετο.

§. τοζ'. Ἐὰν τὸ φαινόμενον κρατῇ, καὶ ἐφ' ὧν προδήλως ἄλλοθεν χώραν οὐκ ἔχει τὸ ὑποτεθὲν αἴτιον, ψευδὴς ἡ ὑπόθεσις· οἷον εἴτις τοῦ, ταυτὸ ἀγγεῖον τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον, αἴτιον ὑποθείη, ὅτι

(1) Πλουτ. Συμποσι. Βιβλ. Β'. Προβλ. ς'.

ὅτι ἡ τέφρα θερμὴ οὖσα τέμνει τὸ ὕδωρ καὶ ἐξαεροῖ (1), οὐδὲν ὑγιὲς ἔσται ὑποτιθέμενος· τὶ γὰρ εἴτις, ἀντὶ κονίας ψάμμον ἐγχέοι; οὕτω Βορέλλος τῆς τοῦ ὕδατος μανώσεως ἐν τῷ πήγνυσθαι, τὴν ἐν αὐτῷ ἐξαραίωσιν τοῦ ἀέρος αἴτιον ὑπετίθετο· Ὁ δὲ Μουσχεμβροέκιος πείρα ἐδείκνυ, ὅτι καὶ τοῦ ἀέρος διὰ τῆς Μηχανῆς ὑπεξενεχθέντος, οὐδὲν ἧττον ἡ τοῦ ὕδατος πηγνυμένου μάνωσις γίνεται. (2).

§. τοή. Ἔτι δὲ καὶ μᾶλλον ψευδὴς ἡ ὑπόθεσις, ἧς τεθείσης ἀναπτύσσεται μὲν ὁπωσοῦν τὸ ἐν χερσὶ φαινόμενον, συμβαίνει δὲ ἄλλοθέν τι τῶν ἀτοπωτάτων. Οἷον ἐπὶ τοῦ, περὶ τοῦ ἀσβέστου λύχνου, ὑπὸ τῶν ἐν Ἄμμωνος Ἱερέων λεγομένου· ὡς ἀεὶ ἔλαττον ἀναλίσκοιτο ἔλαιον ἔτους ἑκάστου· ὅπερ ἐποιοῦντο τεκμήριον ἐκεῖνοι τῆς τῶν ἐνιαυτῶν ἀνωμαλίας, τὸν ἕτερον τοῦ προάγοντος ἀεὶ τῷ χρόνῳ βραχύτερον ποιούσης· Ἦπου μὲν γὰρ τούτου δοθέντος, ἕψοιτο ἂν κἀκεῖνο· Ἀλλ' ὅσα δὴ καὶ τὰ ἄτοπα; Συστέλλοιτο γὰρ ἂν καὶ ἡ ἀπὸ τροπῶν ἐπὶ τροπὰς τοῦ ἡλίου πάροδος· Καὶ τὸ θέρος δ' ἂν ἡμῖν βραχύτερον γίγνοιτο. Οὐδ' ἂν οἱ ἐν Συήνῃ γνώμονες οὐκέτ' ἂν ἄσκιοι φαίνοιντο περὶ τροπὰς τὰς θερινάς· καὶ μυρία ἄλλα ἐκ τῆς τοῦ λόγου τοῦδε συμβαίη ἀλαζονείας, περὶ ὧν τὸν Χαιρωνέα μέτιθι Πλούταρχον. (3).

§. τόθ'. Ἐκ τούτων οὖν διδασκόμεθα, μὴ μόνον τῷ ὑποκειμένῳ προσέχοντας, τῇ ληφθείσῃ καθ' ὑπόθεσιν αἰτίᾳ παραβάλλειν αὐτὸ, καὶ ἀγαπᾶν εἰ ἐξ αὐτῆς ἕπεται· Περαιτέρω δὲ προάγειν τὴν ἀνάκρισιν, ἐπιθεωροῦντας καὶ ὅσα δήποτε παρ' ἐκεῖνο ἄλλα τῇ ὑποθέσει φαινόμενα δέον παρακολουθεῖν. Εὰν μὲν γάρ τινα ἀντιπίπτοντα ἀναφανῇ (§. ἀνωτ.) ψευδὴς ἐλεγχθήσεται ἡ ὑπόθεσις· Εἰ δέ τινα ἐφ' ὧν οὐκ ἔχει χώραν τὸ ὑποτεθὲν αἴτιον (§. τοζ'.), οὐδ' οὕτως ἀληθής. Εἰ δὲ τινὰ τῶν φαινομένων

(1) Ἀριστ. Προβλ. Τμήμ. κέ. Προβλ. ή.

(2) Παραπλησίως τοῦ μὴ τοὺς καθεύδοντας κεραυνοῦσθαι, αἴτιον ὑπετέθη, ὅτι ἧττον ἀδικεῖται τὰ εἴκοντα τῶν ἀνθισταμένων· τὰ μὲν γὰρ τῶν ἐγρηγορότων σώματα μᾶλλον ἔῤῥωται, καὶ συνέστηκε, καὶ ἀντερείδει ... Ἐν δὲ τοῖς ὕπνοις ἐξανεῖται, καὶ μανὸν, καὶ ἀνώμαλον, καὶ ἄτονον, καὶ διακεχυμένον ἐστὶ, καὶ πόρους ἔσχηκε πολλούς. .... Ἀλλὰ γὰρ τούτοις ἀντιβαίνει, ὅτι κεραυνὸς πολλάκις οἶνον ἐκ πίθου διεφόρησε, τοῦ κεράμου μηδὲν παθόντος, ὃ φθάσας Δωρόθεος αὐτόθι ὁ Ῥήτωρ προεμαρτύρατο. Παρὰ Πλουτ. Συμποσ. Δ. Προβλ. β'.

(3) Ἐν τῷ περι τῶν Ἐκλελοιπ. Χρηστηρ.

μένων ἡ ὑπόθεσις αἰτιολογῆσα, τῶν λοιπῶν ἐκ ἐξικνεῖται (καίτοι μὴ ἀντιπιπτόντων·) ἀποδεῖναι τὸν λόγον, ἡ ὑπόθεσις ἀτελής. Εἰδὲ τέως, ἅπαντα δι' αὐτῆς ἀναπτύσσεται, ἡ ὑπόθεσις ἔσαι πλήρης· οἷα ἡ κατὰ Οὐγένιον, περὶ τῦ περὶ τὸν Κρόνον δακτυλίε, φέρεται· Ἐξ αὐτῆς γὰρ, καὶ τὸ κατὰ τλὺ ξεφάνιν σώζεται φαινόμενον, καὶ τὸ κατὰ τὰς μᾶλλον καὶ ἧττον ἀρωμένας ἀμφώτιδας, καὶ τὸ ἀφανὲς ἐνίοτε γίνεθαι τέτων ἑκάτερον. Τὶ δὲ διοίσει τῆς θέσεως τὸ τλωικαῦτα; ἢ ὅτι περὶ τλὺ ὑποτιθεμένλω αἰτίαν, οἵατις καθ' ἑαυτλὺ ἔσα ἐστὶν, ἔτι λείπεται ὑπνδοιάζειν. (§. τογ'.). Εἰ δὲ μήγε, θέσις ἔσαι αὐτόχρημα.

§. τπ'. Δυνατὸν γὰρ καὶ εἰς θέσιν μεταβαλέθαι ποτὲ τλὺ ὑπόθεσιν, ἐὰν τέως ἡ προσληφθεῖσα εἰς ἀνάπτυξιν τῦ φαινομένε αἰτία, ἐκτὸς πάσης ἀμφισβητήσεως γένηται. Οἷον ἥττοβαρῆ τὰ σώματα ὑπὸ τῷ ἰσημερινῷ εἶναι, ἢ ὑπὸ ταῖς Ἄρκτοις οἱ Νεώτεροι συνεωρακότες, αὐτεῦθεν τὸ πεπιέθαι μὲν τλὺ γῆν ὑπὸ τοῖς πόλοις, κυρτῆθαι δὲ μᾶλλον κατὰ τὸ μέσον ἐτόπασαν· Καὶ ἦν ἐκ ἀπιθάνως ἐν ὑποθέσεως λόγῳ, τῆς τῦ βάρες ἐπαυξήσεως αἰτία προβαλλομένη, ἡ τῆς ἀπὸ τῦ κέντρε τῶν βαρέων ἀποσάσεως μείωσις· Εἰς ὃ τῆς γῆς τέως, ὑπὸ τῶν ἐπίτηδες σαλέντων σοφῶν Ἀνδρῶν ἀκριβῶς καταμετρηθείσης, τό, τε χῆμα αὐτῆς σαφῶς διεγνώσθη, καὶ εἰς θέσιν εἶναι ἡ πρὶν ὑπόθεσις ἐξενίκησεν.

§. τπά. Ὡς μὲν ἓν τὰς τοιάσδε ἐπικρίσεις μόνες ἐσὶν ὀρθίκτως μετιέναι, τὰς αὐτὰ τὰ πράγματα ἀκριβῶντας, περὶ ἃ συνίστανται, ἐκ ἄθλον. Ἀλλὰ καὶ τῆς Λογικῆς ἔμπης πραγματείας λῶ ἔργον, ὡς ἄρα πρὸς ἐπίτδξιν ἀληθείας τὸν νῶν ἰθύνειν ἐπαγγελλομένης, καὶ τὰς παντοίας τῆς σκέψεως τρόπες ὑποτιθέναι, τλὺ, εἴτις ἅπαντα ὡς ἐκ τῶν ὑποκειμένων, δυχέρειαν, ταῖς περὶ ἕκασα ἐναχολεμέναις θεωρίαις ἐφιεῖσαν καὶ ἐπιτρέπεσαν.

ΤΗΣ ΛΟΓΙΚΗΣ.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ Κρίσεως.

ΚΕΦ. ΠΡΩΤΟΝ.

Ὁποίατις ἡ κατὰ τὴν Κρίσιν τοῦ Γνωστικοῦ τῆς ψυχῆς ἐνέργεια ἐστίν.

§. τπβ'.

Τρίτην ἡμῖν ἔδοξε παραθέσθαι τῇ τάξει, τῶν ἐνεργειῶν τῆς ψυχῆς, ἣν Κρίσιν μὲν οἱ νῦν, Ἀπόφανσιν δὲ οἱ παλαιοὶ ὀνομάζουσι. Φύσει γὰρ ἡγεῖσθαι δοκεῖ (§. σλγ'. σλέ.). Κρίσεως μὲν Σκέψις ἐπὶ πάνυ πολλῶν, Σκέψεως δὲ Πρόληψις ἐπὶ πάντων. Ὡς σκέψασθαι μὲν μηδὲν προειληφότας ἀμήχανον ὄν, κρίναι δὲ μὴ προεσκεμμένους, τὰ πολλὰ ἁμαρτῶδες καὶ σφαλερώτατον.

§. τπγ'. Ἔστιν οὖν ἀπὸ τῶν πρὸ ὁδοῦ γινομένων τῇ Κρίσει ἐνεργημάτων, ταύτης τὴν οὐσίαν ἐπιγνῶναι ῥάδιον, ἥτις ἐστὶ, κἀντίνι κεῖται. Ἀμέλειτοι πέρας ἐστὶ, τῆς περὶ τὰ προειλημμένα κατὰ σκέψιν διατριβῆς τοῦ γνωστικοῦ, καὶ τῆς ἐκείνων ἀνακρίσεως λύσις, ἡ Κρίσις. Προλήψει μὲν γὰρ (§. γ'.) παρίστησι τὰ νοητὰ ἐν ἑαυτῇ ἡ ψυχή· τῇ δὲ Σκέψει ἀνακρίνει αὐτὰ, ὅπως ἔχει πρὸς ἄλληλα (§. σλϛ'.) σχέσεως· τῇ δὲ Κρίσει κρίνει, συνάπτουσα μὲν οἷς ἂν ἐγχωροῦντα λόγον συνίδοι τινὰ συμφωνίας καὶ οἰκειότητος, διιστῶσα δὲ τὰ ἀσύμφυλα καὶ ἀσύμβατα.

§. τπδ'. Καὶ ἔστιν ἄρα ἡ Κρίσις, τῆς Γνωστικῆς δυνάμεως ἐνέργεια τῶν προειλημμένων, καὶ ὅσον ἅλις προεξητασμένων συναπτικὴ, ἢ διαστατική· ψῆφος τὶς ἄντικρυς, ἣν ἐν νοερᾷτινι κατανεύσει, ἢ ἀνανεύσει ἡ ψυχὴ ἐπιφέρει τοῖς ὑφ' ἑαυτῆς νοουμένοις. Ἤτοι γὰρ τὰ ἐννοηθέντα οἰκείως τε ἀλλήλοις καὶ

προσφυῶς ἔχοντα συνιδὼν, συνέθετό τις καταναλύσας, ἢ ἀλλοτρίως ἔχοντα καὶ ἀμίκτως διέσησεν· οἷον ἄνθρωπον ἀνθυμηθεὶς, καὶ τὸν ἥλιον, καὶ τὸ γελαστικὸν, τὰ μὲν παρὰ τὸ οἰκεῖα προειληφέναι συνῆψε κρίνας, ὅτι γελαστικὸς ὁ ἄνθρωπος, τὰ δὲ παρὰ τὸ ἀλλότρια διεῖλετε, καὶ χωρὶς ἔσησαν, ὅτι ἥλιος γελαστικὸς ἂν ἔσιν ἀποφλυάμενος. Καὶ νεῦσις ἄρα τις ἐσὶ ψυχῆς ἡ κατὰ τλὺ Κρίσιν, ἢ γᾶν ἀνάνδυσις, ἡ μὲν τῷ καταφατικῷ ΝΑΙ, ἡ δὲ τῷ ἀποφατικῷ ΟΥ, τοῖς ἐν τῷ προφορικῷ λόγῳ μορίοις, ἀντιστοίχως βαίνουσα.

§. τπέ. Ἁπλουστάτη τοίνυν ἐσὶν ἡ κατὰ Κρίσιν ἐνέργεια, ὡς ἐν τῷ τοιῷδε νοερῷ νεύματι τὸ εἶναι πᾶν ἔχουσα, καὶ ὅλως ἐν ἀδιαιρέτῳ τῷ χρόνῳ ἐκτελεμένη. Καὶ περὶ ὅλον μὲν λόγον κρίσις ἐκφέρεται, περὶ ὅλον ζήτημα, περὶ ὅλιν βίβλον πολλάκις, περὶ πᾶν ὅ,τι τύχοι λογισμοῖς τε καὶ σκέψεσιν ὑπαγόμενον. Ἀλλ' εἰ καὶ πολλὰ καθ' ἑαυτὰ τὰ κρινόμενα, καὶ διὰ πλειόνων ἐννοιῶν παρισάμενα τῇ ψυχῇ, ἦγε μιὰ περὶ αὐτῶν ἀποφαινομένη, ἀπαριθμίατις ἐσὶ προαιρέσεως ῥοπὴ, καὶ γνώμης ἐπίκλισις. Ὥσπερ γὰρ ἐνὶ δεσμῷ πλείω πολλάκις συνδεῖται τὰ συναπτόμενα, καὶ τομῇ μιᾷ πολλὰ χωρὶς τίθεται, ἕτως ἀποφάνσει μιᾷ πολλὰ συνάπτεσθαι φύσιν ἔχει, πολλάτε διαχωρίζεσθαι. Ἐνθεντοι καὶ καλῶς οἱ διδάξαντες, ἁπλιῦ εἶναι τινὰ καὶ τλὺ Κρίσιν, κατὰ τλὺ ἁπλῶς προσληπτικλὺ πρώτιν ἐνέργειαν. Πλιῦ ὅσον ἡ μὲν ἀντίληψίς τις αὐτῶν ἐσὶ τῶν νοητῶν πρώτη, ἡ δὲ τῆς τότων πρὸς ἄλληλα σχέσεως· ἤτοι τῆς μεταξὺ αὐτῶν οἰκειότητος, ἢ διαφορᾶς, δευτέρατις οἱονεὶ ἐπαντίληψις.

§. τπς'. Τὰ δὴ πολλὰ ταῦτα, καὶ ἅμα μὲν, ἀλλὰ καὶ χωρὶς ἐννοεῖν ἐσὶν ἐνίοτε, καίτοι περὶ αὐτῶν μηδὲν κρίνοντας· τὸ μὲν γὰρ πολλῶν ἂν εἴη ἐννοιῶν οἱονείτις σωρεία, καὶ τῇ γνωσικῇ πρώτῃ ἐνέργεια, εἴτε κατὰ σύγκρισιν, (§. ξή.) ἢ συμπλοκλὺ (§. μγ'.), εἴτε καὶ ἐκ διαδοχῆς τὰ πολλὰ παρισάνοιτο, οἷον εἴτις νόμισμα ἐνδάλλοιτο χρυσῆν, καὶ τλὺ ἐν αὐτῷ εἰκόνα, καὶ τλὺ ἐπιγραφλὺ, καὶ τλὺ ἀξίαν, κτ. τὸ δὲ ψιλήτις ἀφαίρεσις (§. οέ. κξ'.), οἵα ἡ τῆς ἐν τῷ χρυσῷ ὠχρότητος καθ' ἑαυτλὺ, ἢ τῆς βαρύτητος μόνης ἐνθύμησις. Ἔσι γὰρ ἐδὲ τῦτο κρίσις. (§. πγ'.). Τῆς γὰρ ψήφε κατὰ νεῦμά ψυχῆς μηδαμῶς ἐπιφερομένης, κἂν μυρίοις τις φθάσας τὸν νῶν ἐπιβάλοι, κἂν ἀφέλοι, ἐξ ἑγκάτων ἕτως εἰπεῖν, τῇ πράγματος

τος τὸ ἐσιωδέστατον, ἐδὲν ἂν εἴη ἀποφθεγόμενος, μὴ συνθέσει καταναλύσας, μηδ' ἀναναλύσας κατὰ διαίρεσιν.

§. τπζ. Ἐξ ὧν ῥάδιον ἐστὶ συνιδεῖν ἐπιβάντας, ὡς αἱ μὲν πρῶται τῶν προσλήψεων, εἰ μόνον τὸ κινεῖν ἔξωθεν εἴη (§. ι.) ἀναγκαῖαι πως εἰσὶ κατὰ νέαν προσβάλλοντα ἡμῖν παθήματα· τῶν γὰρ ἐκτός τι τῶν αἰσθητηρίων κινέντων, καὶ τὸ κρίνον ἀναγκαίως λαμβάνειν πᾶσα ἀνάγκη· ἐδὲ γὰρ οἷόντε κενὸν, φέρε εἰπεῖν, ἢ γῆν, ἢ ἥλιον προσιδόντα, ἢ ἀφλοῒ διατεθέντα θερμότητι, μὴ κενὸν, μὴ γῆς, μὴ ἡλίε, μὴ θέρμης ἁπλῶς κατὰ γνῶσιν ἀντιληφθῆναι· τλῶ δὲ Κρίσιν ἐπιχεῖν, καὶ μηδὲν ἀποφλοῦσθαι, ἐθ' ὅτι τῇ γῇ ἐκ ἔνεστι τὸ κενὸν, ἐθ' ὅτι μεσημβρινὸς ὁ ἥλιος, ἐθ' ὅτι κινήσει ἀείτινι συνῆπται τὰ τῆς θερμότητος, καὶ μάλα ῥάδιον. Πολὺ γάρτι ἐπὶ πολλῶν σωτελεῖ εἰς κρίσιν τὸ βέλεσθαι· καὶ τὸ συνθέσθαι, ἢ διελεῖν τὰ πολλὰ παρ' ἡμῖν ἐστὶ κείμενον· ταύτητοι καὶ βίβλες ὅλας μεσὰς αἱρέσεων, καὶ κακοφροσύνης μετιόντι τῷ ὀρθοδόξῳ, ἢ ὀρθῶν δογμάτων τῷ κακοδόξῳ, ἔτ' ἐκείνῳ ἄντις προσριβείη δυσέβεια ἐκ τῆς ἀναγνώσεως, ἐδὲ τέτῳ τὰ τῆς μελέτης εἰς δυσέβειαν ἐπιλογισθήσεται. Νοητέον δὲ τὸ εἰρημένον, ἐφ' ὧν μάλισα τὰ τῆς ἐποχῆς δοκιμάζεται. (§. σμθ'. σν'.). (1).

(1) Ὁ τὸ περὶ τῆ Νῆ συγγράψας ἡμῖν (Λώκι. Βιβλ. Δ'. Κεφ. ΙΖ'. §. 17.) μόνῳ ἀξιοῖ Κρίσιν ἀποκαλεῖν, τλῶ διὰ προλαβέσης σκέψεως δόκησιν, τῆς μεταξὺ δυεῖν ἰδεῶν κατὰ συμφωνίαν, ἢ διαφωνίαν ἐγχωρέσης σχέσεως, δι' ἰδέας ἄλλης μεσιτευέσης μιᾶς, ἢ πλειόνων, ὧν ἡ πρὸς ἐκείνας ἀναφορὰ ἐ πάντη βεβαία, πιθανὴ δὲ, καὶ οἵα τλῶ ψυχλῶ εἰς συγκατάθεσιν ἐπισπάσαθαι. Τρία γὰρ ἔδη γνώσεως καταλέγει τάδε ἀπ' ἀλλήλων διασείλας. Γνῶσιν Ἐποπτικλύ· τλῶ ἀντίληψιν τῆς τῶν ἰδεῶν σχέσεως τλῶ ἀμέσως τελεμένλω, εἰς ὧ ἀνάγονται αἱ καθ' ἡμᾶς ἐπὶ τῶν βεβαίωντε καὶ αὐτοπίσων γινόμεναι Ἐποπτικαίτε καὶ Ἐννοηματικαὶ ἀποφάνσεις (§. σμε'.). Γνῶσιν Συλλογιστικλύ· τλῶ ἀντίληψιν τῆς τῶν ἰδεῶν συμφωνίας, ἢ διαφωνίας, διὰ μέσε βεβαίε· ὡς ἐπὶ τῶν δὶ Ἀποδείξεως κατασκευαζομένων· οἷον ὅτι, αἱ τρεῖς τε τριγώνε γωνίαι δυσὶν ὀρθαῖς ἴσαι. Καὶ τρίτον Γνῶσιν τλῶ κατὰ Κρίσιν, ἧ ὑπόληψιν ἕναι βέλεσθαι περὶ τὸ ὑπειλῆφθαι τὰς προληφθείσας ἰδέας, ἢ ἀλλοτριῶσθαι, διάτινων πιθανολογιῶν, ὥσπερ εἴρηται. Ἐκ τέτων ἂν εἰσβαλεῖν ἔστιν, ὅτι περὶ τὰ πιθανὰ κυρίως ἡ Κρίσις. Καὶ ταῦτα τῆς δεήσης προσοχῆς τε καὶ σκέψεως προηγησαμένης. Οὐ γὰρ ἐδὲ τὸ περὶ τὰ τοιαῦτα ἀσκέπτως τε καὶ ἀκῆ, καὶ ἀδενὶ σὺν λόγῳ εἰδέναι, ἐθ' αὐτὸ κυρίως εἰπεῖν Κρίσις, ἅτε δὴ ἀκρίτως γινόμενον. Ταῦτα

§. τπή. Ἐπιςῆσαι γὰρ δὴ κἀνταῦθα πρὄργȣ ἂν εἴη, μὴ πᾶσαν κρίσιν ἐλευθέρας εἶναι βȣλῆς ἐπιγέννημα· Οὐ γὰρ τὰς περὶ τὰ ἐναργέςατα, καὶ ἀσφαλέςατα φερομένας, (§. σμγ'. κζ'.), ȣὐδὲ μὲν δὴ τὰς περὶ τὰ πάντῃ ἀγνοȣμένα, (§. σμβ'.), καὶ παντελεῖ τῇ ἀσαφείᾳ συνειλημμένα. Ἐπ' ἐκείνων μὲν γὰρ τὸ ἐπέχειν ἤδη ἀδύνατον ὄν, τὸ ἀποφαίνεσθαι παραυτίκα προσλαβόντας ἐςὶν ἀναγκαῖον. Ἐπὶ δὲ τȣ́των ἀναγκαῖον μὲν ἐςὶν ἐπέχειν, ἀποφαίνεσθαι δὲ ἀδύνατον. Οὕτως ἄρα ἰσχυρόν ἐςιν ἀλήθεια (1)· Ἐπειδὰν αὐτὴν μηδὲν προσσεσὸν νέφος κατασκιάζῃ, καὶ νȣ̃ν τὸν λίαν ἀτεγκτότατον πρὸς ἑαυτὴν ἀνίησίτε, καὶ προσεφέλκεται· τȣ̀ναντίον δὲ ἐν παραβύςῳ πȣ κειμένη, καὶ ȣὐδὲ βραχύτι προκύπτȣσα, ȣὐδὲν ἂν οἷατε γένοιτο, συνθέσθαι καὶ ὁμολογῆσαι ποιεῖν, ȣὐδ' αὐτὸν τὸν εὐπειςότατον. Οὐδεὶς γὰρ ἂν ἐπιεικῶς ἐνδοίη ποτὲ τὸν ἀριθμὸν τῆς ψάμμȣ περιττὸν εἶναι, ȣὐδ' ȣ̃ν ἄρτιον· καίτοι θάτερον ἐκ πάσης ἀνάγκης ὄντα καὶ εἰδὼς, καὶ πειθόμενος.

τα γεμὴν καίπερ ȣ̃τως ἔχειν καὶ αὐτοὶ πειθόμενοι, Κρίσιν ὅμως πλατυκώτερον ἀποκαλεῖν εἱλόμεθα, πᾶσαν ἁπλῶς Ἀπόφανσιν, τὴν δισσὰς ἰδέας συνάπτȣσαν, ἢ διακρίνȣσαν, κἂν ἐπὶ τῶν ἀναγκαιοτάτων εἴτε δι' αὐτοπιςίας, ἢ καὶ δι' ἀποδείξεως αὕτη περαίνηται· τȣ̃το δὲ, ἐπείτοιγε ȣ̃τως ὀνομάζεσθαι κοινῇ ἐξενίκησον. Ἡ δὲ Κρίσις ȣ̃τω ληφθεῖσα τὴν ἰδεῶν ἡμῖν παράθεσιν σημανεῖ, ὧν ἔπειτα αἱ ἐκ τȣ̃ ἀμέσȣ ἢ ἐμμέσȣ, καὶ τȣ̃ ἀναγκαίȣ καὶ τȣ̃ ἐνδεχομένȣ, καὶ αἱ ἄλλαι διαφοραὶ, εἰς εἴδη παντοῖα ἀντιδιαςέλλȣσι.

(1) „Οὕτως ἰσχυρόν ἐςιν ἀλήθεια, „ὥςε πάντων ἐπικρατεῖν τῶν ἀνθρωπί„νων λογισμῶν. Αἰσχ. κατὰ Τιμάρχ. Παρὰ Στωβ. Λογ. ιά.

ΚΕΦ.

ΚΕΦ. ΔΕΥΤΕΡΟΝ.

Περὶ Σημείων Κρίσεως· ἤτοι περὶ Ἑρμηνείας, καὶ τῦ Ἀποφαντικῦ λόγυ.

§. τπθ'.

Ὁ τῆς ἀνδιαθέτυ Κρίσεως ἐξαγγελτικὸς ὢν προφορικὸς λόγος Ἑρμηνεία τῷ Ἀριστοτέλει προσείρηται, καὶ Ἀπόφανσις. Ὥσπερ ἓν οἱ ὅροι τῶν πρώτων ἀνοιῶν σημεῖα (§. σά. κξ'.) ἐτέθησαν, ἕτως ἡ Ἀπόφανσις προσφυῶς τῆς Κρίσεως ἑρμηνεία ὠνόμασαι.

§. τή. Πολυώνυμος δὲ ἐς'ν, ὡς ἐ μονοειδὴς ἔσα τιὼ χρῆσιν ἡ Ἑρμηνεία (1). Καὶ γὰρ, καὶ προτεινομένη μὲν, Πρόταsις λέγεται· ἀντιτεινομένη δὲ, Ἔνσασις, ἢ Ἀπάντησις· ζητεμένη δὲ, Ζήτημα· Προκειμένη δὲ, ἵν' ἐξ αὐτῆς τὶ ἕτερον ἐπαχθῇ, Ἡγέμενον, καὶ κείμενον· Ἐπιφερομένη δὲ ἐκ προκειμένων τινῶν, Ἑπόμενον, ἢ Συμπέρασμα· Καὶ τιθεμένη δὲ ἐπὶ τῷ ἀποδειχθῆναι, Θέσις, παρὰ τοῖς ὕσερον· Παρὰ γὰρ τοῖς παλαιοῖς πολλαχῶς καὶ ἄλλως (2) ἐξειλήπται τὸ τῆς Θέσεως. Ἐπὶ πάντων ἀλλ' ἓν τῶν καταλεχθέντων σημαινομένων, τὄνομα κοινῇ ἀπαάζεται τὸ τῆς Ἑρμηνείας, καὶ Ἀποφάνσεως.

(1) „Ὡς γὰρ προτεινομένης αὐτὲς „(τὲς ἀποφαντικὲς λόγες) ὑπὸ τῶν „συλλογισαδαί τι βελομένων τοῖς κοι„νωνοῖς τῶν λόγων, ἕτως οἱ παλαιοὶ „προτάσεις ἐπονομάζεσιν. Ἀμμών. εἰς τὸ περὶ Ἑρμη. Ὁ δὲ Βλεμμίδ. Λογικ. Ἐπιτομ. Κεφ. κζ'. „Πρότα„σις, καὶ Πρόβλημα, καὶ Ἀπόφαν„σις, καὶ Ἔνσασις, καὶ Συμπέρα„σμα, κατὰ μὲν τὸ ὑποκάμενον ἐδὲν „διαφέρει, κατὰ σχέσιν δὲ δνλώοχεν.

(2) „Τάς τε γὰρ ὑποθέσεις, Θέ„σεις πολλάκις προσαγορεύομεν. . . . „καὶ τὰς παραδόξες ὑπολήψεις τῶν „γνωρίμων τινὸς κατὰ φιλοσοφίαν.... „Καὶ τὰς ὁμολογίας, ἤτοι προτάσεις „ὡς δὴ καὶ τὸ λεγόμενον παρὰ τοῖς „κοινοῖς ἀλληλογία, ἀναθέσαι λέγο„μεν, καὶ τὸ ἀναπαλαῖσαι τιὼ ὁμο„λογίαν. Καὶ τὰ ἐπιρρήματα τὰ θε„τικὰ καλέμενα, Θέσεις καλέσι τι„νές. . . Ἔτι Θέσεις λ τὲς ὁρισμὲς, „ὡς προϋποκειμένης τῶν ἀποδείξεων... „Καὶ ἔτι τάτε κοινότερον Θέσεις ἀξιοῖ „καλεῖν Ἀριστοτέλης, ἁπλῶς ἁπάσας „τὰς ἀμέσες ἀρχὰς τῶν Ἀποδεί„ξεων, τὰς ἀντιδιαιρεμένας τοῖς ἀξιώ„μασιν· οἷον τές τε ὁρισμὰς ὡς εἴρη„ται, καὶ τὰ αἰτήματα, καὶ τὰς ὑ„ποθέσεις, ἀποδείξεως μὲν ἤδη δεομέ„νας, ἄνευ δὲ ταύτης εἰλημμένας. „Ἀμμών. ἔνθ. ἀνω.

§. τγά. Ἔστι δὲ, ὡς Ἀριστοτέλης (1) ἡ Ἀπόφανσις, λόγος ἀληθείας, ἢ ψεύδες δεκτικός. Καὶ λόγος καταφάσκων τὶ κατάτινος, ἢ ἀποφάσκων τὶ ἀποτινος, ὧν τὸ μὲν τὰ παρεπόμενα τῇ Ἀποφάνσει, τὸ δὲ, τῶν εἰδῶν αὐτῆς τὰ ἄμεσα καὶ πρῶτα παρίσησιν. Ἀπτομένοις δὲ πρὸ τέτων καὶ τῶ ἐσιωδεσάτω, λόγος ἐστὶν ἡ Ἀπόφανσις προφορικὸς, τῆς ἐν τῇ ψυχῇ ἐνδιαθέτε Κρίσεως μιωυτικὸς, καταφάσκων ἢ ἀποφάσκων, ἀληθεύων ἢ ψευδόμενος. Πρῶτον γὰρ αὐτῇ, καὶ εἰδοποιὸν, τὸ ἑρμιωεύειν τὸ ἐνδιαθέτως κριθὲν· σιὼ ὦ τὸ σιωάπτειν τὶ τινὶ, ἢ ἀπάγειν τι ἀποτινος· ἐξ ὦ τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι· οἷον ὁ Φιλόσοφος ἐστὶν, ἢ ἐκ ἔστιν ἄνθρωπος· ὁ ἄνθρωπος ἐκ ἔστιν, ἢ ἐστὶν ἄνες. Ὁ δὴ τῶν κατὰ Ῥήτορας λόγων διέσησε τὶω Ἀποφανσιν· ἐς τῶν ὀρεκτικῶν σημαντικὲς γινομένες τῆς ψυχῆς παθημάτων (2) αἰνέσι μὲν οἱ Φιλοσοφέντες, μόνων δὲ τῶν Ἀποφαντικῶν ἔχονται, δι' ὧν ἀληθειάτις, ἢ ψεῦδος ἐκφέρεται. (3)

§. τγβ'. Μέρη μὲν ἓν τῆς Ἀποφάνσεως ἐστὶν, ἃ καὶ τὸ λόγε τὰ κυριώτατα εἰρηται (§. σβ'.) εἶναι, καὶ ἐμψυχότατα· τὸ Ὄνομα φημὶ (§. σγ'.), καὶ τὸ Ῥῆμα (§. σδ'.), ἤτοι ἡ πτῶσις, κατὰ τὲς παλαιοτέρες εἰπεῖν (4), καὶ τὸ κατηγόρημα· ὧν τὸ μὲν ὄνομα, ὡς οἷα βάσις ἐν τῷ λόγῳ ὑποβεβηκὸς, καὶ θεμέλιος, (§. αὐτ.) ἐκ ἀπεικότως ὑποκείμενον τοῖς διαλεκτικοῖς ἤκεσε, τὸ δέτοι ῥῆμα κατηγορέμενον, ὡς κατ' ἐκείνε ἀγορεύόμενον, τετέσι λεγόμενον. Ἃ καὶ τὶω τάξιν ἀμεί-

(1) Ἐν τῷ περὶ Ἑρμίω.

(2) Οἷος ὁ Θαυμασικὸς βαβαὶ τῆς δυνάμεως! Καὶ ὁ Περισατικὸς, φεῦ τῆς ἀθλιότητος! Καὶ ὁ Κλητικὸς, ὦ μάκαρ Ἀτρείδη κτ. Καὶ ὁ Προσακλικὸς, σιγᾶτ' Ἀχαιοὶ, σίγα πᾶς ἔσω λεώς. Καὶ οἱ κατ' ἐκεῖνον, ὅ, τε Ἀπαγορευτικὸς, κυάμων ἀπέχε· καὶ ὁ Παρακελευσματικὸς, δεῦρ' ἀναβῆθι κάτω· Καὶ ὁ Ἐρωτηματικὸς, ἢ πυσματικός, ἦνυσας; πεπαῦσο πάρες; καὶ ὁ Εὐκλικὸς, ἢ Ἀρατικὸς, εἶθε γενοίμαν ἃ βομβεῦσα μέλισσα. ὡς ἀπόλοιτο καὶ ἄλλος ὅς τις τοιαῦτα ῥέζοι.

(3) „Οἱ μὲν ἓν ἄλλοι ἀφεῖδωσαν· „Ῥητορικῆς γὰρ, ἢ Ποιητικῆς οἰκειοτέ„ρα ἡ σκέψις. ὁ δὲ Ἀποφαντικὸς τῆς „νῦν Θεωρίας. (Ἀρισ. περὶ Ἑρμίω. „Κεφ. δ'.) Μόνον γὰρ τᾶτο τὸ εἶδος „τῆ λόγε δεκτικὸν ἐστὶν ἀληθείας τε καὶ „ψεύδες, καὶ ὑπὸ τᾶτο τελᾶσιν αἱ Ἀ„ποδείξεις, ὑπερ ὧν ἡ Λογικὴ πᾶσα „πραγματεία τῷ Φιλοσόφῳ συντέτα„κται. (Ἀμμών. ὑπόμν. εἰς τὸ περὶ Ἑρμίω.

(4) „Ἡ πρότασις δὲ ἐξ ὀνόματος, „καὶ ῥήματος συνέσηκεν, ὧν τὸ μὲν „πτῶσιν οἱ Διαλεκτικοὶ, τὸ δὲ κατη„γόρημα καλᾶσιν. Πλάτ. ἐν Πλατ. των. Ζητήμ.

ἀμείβοντα ἐπὶ τῆς προτάσεως, συνεξαμείβει καὶ τὴν κλῆσιν καθάπερ (§. σέ.) εἴρηται. Οἷον ὁ Ἀριστοτέλης φιλοσοφεῖ· ὅς τις φιλοσοφεῖ ἀληθείας θηράτωρ ἐστί. Καλεῖται δὲ κοινῇ τῇ προσηγορίᾳ, καὶ πέρατα (§. σϛ΄.), καὶ ἄκρα, καὶ ὅροι τῆς Ἀποφάνσεως.

§. τυγ΄. Οὐκ ἀεὶ δὲ τὸν Ἀποφαντικὸν λόγον ἐν συνθέσει λέξεων πλειόνων ἔχειν ἐπάναγκες τὸ τῆς διανοίας αὐτοτελές. Πολλάκις γὰρ καὶ φωνὴ μία κρίσιν τελείαν ἐξήγγειλε, καὶ ἀπόφανσιν ἀκοῦσαι παρέσχεν ὁλοσχερῆ· οἷον νοῶ, ἀγνοεῖς. Σαφὲς δὲ ὅτι τοιαῦτα πάντα τὰ ῥήματα, ὅσα μάλιστα πρωτοπροσωπεῖ, ἢ δευτεροπροσωπεῖ (1). Ἐπειδὴ γὰρ οὐσιῶδες τῷ ῥήματι τὸ κατάφασιν δηλοῦν, ἢ τῇ προσθέσει τοῦ μορίου καὶ ἀπόφασιν, (ὅρα §. σδ΄. τὴν Σημ.), οὐδὲν ἐνδεῖ δήπου αὐτῷ πρὸς ἔκφανσιν Κρίσεως. Καὶ γάρ τοι καὶ τὸ κατηγορούμενον ἐν αὐτῷ ἐμφαίνεται, οἷον ἡ ἐνέργεια, ἢ τὸ πάθος, ἤτι ἕτερον, καὶ τὸ καθ᾽ οὗ κατηγορεῖται, οἷον ἐγὼ, ἢ σὺ, ἢ ἐκεῖνος, εἴποθεν ἀλλαχόθεν καὶ τὸ τρίτον τῇ γνώσει διώρισται· Τοιγαροῦν καὶ τοῦ μὲν προσώπου ἐνεργείᾳ προκειμένου, τὸν Ἀποφαντικὸν λόγον ὡς μέρος πληρώσει τὸ κατηγόρημα, οἷον ὁ μαθητὴς ἧκεν· ἐξυπακουομένου δὲ, καὶ ὅσα ὁλοσχερὴς καθ᾽ αὑτὸ δυνήσεται λόγος, καὶ πλήρης Ἀπόφανσις. Οἷον ἀναγινώσκω, περιπατῶ, ζῶ· Συνεπτυγμένως μὲν γὰρ, ἀνελλιπῶς δὲ, κατ᾽ ἐμοῦ διὰ τούτων κατηγορεῖται, ἥτε ἀνάγνωσις, καὶ ὁ περίπατος, καὶ ἡ ζωή. Καὶ μανθάνεις, σὺ δηλονότι· Καὶ ὕει, βροντᾷ κτ΄., ἡ ἐν τοῖς οὖσι τοῦ ποιεῖν τὰ τοιαῦτα ὑπὸ τοῦ Θεοῦ παραχθεῖσα δύναμις (2).

(1) Ἡ κατ᾽ αὐτὰ δὲ πρότασις μονολήμματος εἴρηται. Ὅρα Σουΐδ ἐν Λέξ. Λῆμμα.

(2) Οἱ ἐκ τῆς Στοᾶς ἀσύνθετον κατηγόρημα τὸ ῥῆμα εἰπόντες, λεκτὸν ἐλλιπὲς ἀπέδωκαν, πρὸς διαφορὰν τῶν αὐτοτελῶν, οἷα παρ᾽ αὐτοῖς ἦν τὰ ἀξιώματα, τουτέστιν αἱ προτάσεις. Δέον ἀλλ᾽ οὖν καὶ διὰ παραδείγματος τὸ ἐλλιπὲς τῶν κατηγορημάτων ὑποδεῖξαι, ὡς ἀναπάρτιστον ἐχόντων τὴν ἐκφορὰν, οἷον τὸ γράφει (ἔφασκον), ἐπιζητοῦμεν γὰρ, τίς; (παρὰ Λαερτ. ἐν Βίῳ Ζηνων. Κιττιέως.) Τὸ μέντοι ἐν πρώτῳ, ἢ δευτέρῳ προσώπῳ κατηγόρημα (ὡς γοῦν ἐκ τοῦ ἐπενεχθέντος λόγου) οὐκ ἂν τοῖς ἐλλιπέσι συγκαταλέξειαν. Γελοῖον γὰρ, εἴτις ἐμοῦ εἰπόντος, ὅτι γράφω, ἐπιζητήσειε, τίς; Ἔσται ἄρα ἡμῖν αὐτοτελῆ κατηγορήματα, τῶν ῥημάτων τὰ πρώτου, καὶ δευτέρου προσώπου σημαντικά. Καὶ τὰ τριτοπροσωποῦντα δὲ, ἐφ᾽ ὧν διώρισται. Ἀλλὰ γὰρ ὅτι τινὲς τῶν νεωτέρων, καὶ τὰ

θέσεως

§. τγδ'. Ἐνθαντοι καὶ τιὼ πρόταση διεῖλον εἰς τιὼ ἐξ ἑνὸς κειμένε, καὶ τιὼ ἐκ δύο τέρε προσκειμένε, καὶ τιὼ ἐκ τρίτε προσκατηγορεμένε. Καὶ ἐξ ἑνὸς μὲν κειμένε, ἰὼ αὐτὸ πολλάκις σωίσησι τὸ ῥῆμα καθ' ἑαυτὸ ἐκφερόμενον, ὥπερ εἴρηται· οἷον νοῶ· ἀναλυθὲν γὰρ, τοιῦτοτι σαφῶς λέγει, ὅτι ἐγὼ εἰμὶ νοῶν. Ἐκ δύο τερε δὲ προσκειμένε, ἐν ᾗ πρὸς τῷ ἐνεργείᾳ ὑποκειμένῳ ἐπιφέρεται τὸ κατηγορέμενον· οἷον ὁ Ἀριστέλης ἀληθεύει. Ἐκ τρίτε δὲ προσκατηγορεμένε, καθ' ἰὼ ἀνεπτυγμένως ἐκφέρεται τό, τε ὑποκείμενον, καὶ τὸ κατηγορέμενον, καὶ πρὸς δὴ τέτῳ, καὶ τὸ ἐσὶ ῥῆμα, ὅπερ ὡς ἤδη σωάπλον τὲς ὅρες, καὶ Σώδεσμος παρὰ τοῖς Διαλεκτικοῖς λέγεται. Καὶ συμπεριείληφε τοίνυν τὸ ῥῆμα ἐν μὲν ταῖς ἐξ ὑποκειμένε καὶ κατηγορεμένε, τὸν Σώδεσμον, ἤτοι τὸ ΕΣΤΙΝ ὃ καὶ Ἀρχοειδὲς ἐν τοῖς ῥήμασι διὰ τῦτο ἔλαχε καλεῖθαι, ὅτι εἰς αὐτὸ καὶ τιὼ ἰδίαν μετοχιὼ ἅπαν ῥῆμα πέφυκεν ἀναλύεθαι. Ἐν δὲ ταῖς ἐξ ἑνὸς κειμένε, καὶ τὸ ὑποκείμενον συνεμφαίνει διὰ τὸ πρόσωπον. Ἐξ ὃ κἀκεῖνο πάρεσι σωιδεῖν, τὶ ὅτι τῷ κατηγορεμένῳ σωεπινοεμένε τὰ πολλὰ τῦ ὑποκειμένε, ἐδέποτε τέτῳ ἐκεῖνο σωεξακέται. Οὐ γὰρ ὥπερ τῷ ῥήματι καὶ τὸ πρόσωπον ὡρισμένως τὰ πολλὰ συμπαρίσαται, οἷον γράφω, ἀναγινώσκεις, ἕτω τοι καὶ τῷ ὑποκειμένῳ προσώπῳ ἐγὼ, Σὺ, κτ. ἐνέργειάτις, ἢ πάθησις, ἢ τὶ ἕτερον παρακολεθῆν σωεπινοεῖται. Ἐιδέποτε καὶ τῷ ὑποκειμένῳ, ἢ προσώπῳ, ἢ πράγματι ἀναγκαίως τι παροπηδῆν νοεμένῳ, ἢ λεγομένῳ ἐνθεωρῆπο, οἷον τῷ ἀνθρώπῳ φέρε τὸ λογικὸν, καὶ τὸ περιφερὲς τῷ κύκλῳ, ἀλλὰ πρῶτον μὲν, ἐχὶ καὶ τὸ τῆς καταφάσεως ἐνεπισημαίνεται, ἢ τῆς ἀποφάσεως, ἐν ᾧ ἡ φύσις πᾶσα τῆς κρίσεως (§. τπδ'.)· Ἔπειτα δὲ καὶ πολλῶν καὶ ἄλλων σωεπιθεωρεμένων παντὶ ὑποκειμένῳ παθῶν, ὁποῖον ἂν ἐξ αὐτῶν γένοιτο τὸ πρὸ τῶν ἄλλων κατηγορέμενον;

§. τγέ. Κατὰ τιὼ τῶν ῥημάτων ἐν ἄλλοις (§. σδ'. Σημ.) σημειωθεῖσαν δύναμιν, καὶ ἐν αὐτῷ ἐχ ἥκιστα τῷ ΕΣΤΙ, καὶ

θέσεως ἐπιῤῥήματα οἷον γραπτέον, λεκτέον, κτ. παραπλησίως προτάσεων δύναμιν ἔχειν φασὶ, τᾧ ἥκιστα ἡμῖν δοκεῖ. Συνείληπται γὰρ ἐν τέτοις ἡ τριπροσωπία, ὡς καπὶ τῶν ἀπαρεμφάτων· γραπτέον γὰρ, ἤτοι ἐμοὶ, ἢ σοὶ, ἢ ἑτέρῳ τινὶ, διὸ ὡς ἀδεμίαν ἀφ' ἑαυτῶν διωρισμένην ὑποκειμένε ἔμφασιν ἔχοντα, τῆς τε ἀποφαντικῆς λόγε ἐνπίπτε δυνάμεως.

καίτοι ἀρχοειδεῖ ὡς εἰρηται (§ Ἀνωτ.) ὄντι, καὶ τῶν ἄλλων ἁπλουστέρῳ, διπλόϊν τινὰ θεωρητέον παρασυμβαίνουσαν. Καὶ γὰρ καὶ τοῦτο, ἐπὶ τῇ ἰσιώδει τοῦ καταφάσκειν δυνάμει, καὶ ὑπαρξιν δηλοῦν πολλάκις παραλαμβάνεται. Καὶ τότε δὴ ἐχὶ τὰ τοῦ συνδέσμου ἀν τῇ προτάσει πληροῖ, τὰ δὲ τοῦ κατηγορήματος· οἷον χειμών ἐστι· τετέσιν ἐνέστηκεν. Ἔστι τὸ κενὸν· ἤτοι ἀν τοῖς ἔστιν ὑπάρχει. Ὅτε καὶ τοῦ ἀρχοειδοῦς ἐκπίπτει, αὐτὸ δι ἑαυτοῦ, ὥσπερ δι αὐτοῦ τὰ ἄλλα, ἀναλυόμενον· οἷον ἐγὼ εἰμὶ· τετέσιν ἐγὼ εἰμὶ ὤν. (ὑπερεζητήθω ἡ διὰ τοῦ ἄρθρου κατὰ τὴν Θεοπτείαν ἔμφασις· Ἐγὼ εἰμὶ Ο ΩΝ.) Ἔστι τὸ κενόν· ἤτοι ὑπάρχον ἐστί. Τοιγαροῦν τῇ μὲν ὑπαρκτικῶς τὸ ΕΣΤΙ νοητέον, οἷον ἔστι βότρυς· πέπειρος δηλονότι ἤδη ὑπάρχει. Τῇ δὲ συνδεσμικῶς, οἷον ὁ βότρυς ἐστὶν ἡδύς· ἔνθα τὸ ΕΣΤΙΝ ἐχὶ κατηγορηματικῶς τὴν ὕπαρξιν παρέφηνε τῆς ὀπώρας, προσκατηγορηματικῶς δὲ μεσιτεύσαν, τὸ προσῆκον αὐτῇ, καίτοι μηδὲ τὴν ἀρχὴν ὑπαρχέσῃ, ἑαυτίσεν (1). Διὸ καὶ τοῦ ῥήματος, ἢ μέρος, τῇ προτάσει παρεχομένῃ τὴν ὁλοχέρειαν, τὸ ΕΣΤΙΝ ἕτω προσκατηγορέμενον, ἅτε ῥῆμα κυρίως ἂν εἴη, ὡς ἐδὲ μέρος προτάσεως, ἀλλ' ἢ σύνδεσμος (2).

(1) „Οὐκ ὀρθῷ τῷ βλέμματι κατιδεῖν ὁ Βλεμμίδης τἄτομοι δοκεῖ, ἐν οἷς φησιν (Ἐπιτομ. Λογικ. Κεφ. κϛ'.) „ὅτι καθ' αὐτὸ μὲν ὂν τὸ ἐστὶ διπλοῦν „ἔχει τὴν σημασίαν ὡς ῥῆμα, τὴν „ὑπαρκτικὴν καὶ τὴν χρονικήν. . . . „ὅταν δὲ προσιθέμενον τοῖς ὀνόμασιν „ὁμοῦ μετ' αὐτῶν ἐξετάζηται, μόνην „ἔχει τὴν χρονικήν, ὡς ὅταν εἴπωμεν „Σωκράτης Σοφός ἐστιν. Εἴπερ γὰρ „χρόνον ἐδήλου ἐν τοῖς τοιούτοις τὸ προσκατηγορέμενον ἐστὶ, συνεδήλου δήπου καὶ ὕπαρξιν· ἡ γὰρ ὕπαρξις τοῦ ἐν χρόνῳ. Καὶ τόγε ἐν χρόνῳ τινὶ θεωρέμενον, καὶ ὑπάρχει δήπου, ἢ ὑπάρξει, ἢ ὑπῆρξε, κατὰ τὴν ἐν τῷ χρόνῳ διαφοράν. ἡ γὰρ ὑπαρκτικὴ τῆς χρονικῆς σημασίας ἐστὶν ἀχώριστος. ἐκ ἄρα τοῖς ὀνόμασι συνεξεταζόμενον τὸ ἐστὶ, χρονικὴν ἔχει τὴν σημασίαν, ἀλλὰ καθ' ἑαυτὸ μὲν, ὡς κατηγόρημα ἐν τῇ προτάσει κείμενον, ἀμφοτέρας ἔχει καὶ τὴν ὑπαρκτικὴν, καὶ τὴν χρονικὴν, μετὰ δὲ τῶν ὀνομάτων προσκατηγορέμενον, μόνην τὴν συνδεσμικὴν, τὴν δὲ χρονικὴν ἀδήλως. Δῆλον δὲ ἐπὶ ταῖς ἀναγκαίαις προτάσεσι μάλιστα, ἐν αἷς ἀσιῶδες τὸ κατηγορέμενον ἐστὶ, ταῖς ἀϊδίοις ἀληθείαις ἐκφαντορικαῖς καλυμμέναις, ὡς ἐφ' ὧν ἀδεὶς λόγος περὶ τοῦ πότε ἐστὶν, ἀλλ' ἢ μόνον περὶ τοῦ τί ἐστίν. οἷον ὁ βότρυς ἐστὶν ὀπώρα· ὁ κύκλος ἐστὶ περιφερὴς· ὁ ἄνθρωπος ἐστὶ λογικός· ὁ Θεὸς ἐστὶν ἀγαθός· τὰ δὶς δύο ἐστὶ τέτταρα, τίς γὰρ λόγος ἐν τούτοις περὶ τοῦ χρόνου;

(2) „Τὸ μὲν μέρος τῆς ἀποφάν„σεως, ἢ ὄνομα πάντως, ἢ ῥῆμα ἐ„ναι χρή. ἐ μέντοι τὸ ῥῆμα πάντως „ἐστὶ τῆς προτάσεως μέρος, ὅταν μὴ „αὐτὸ-

§. τγς'. Οὐδὲν ἓν, ὃ μέρος ὁπωσοῦν καθίσταται τῆς προτάσεως ἄλλο ῥῆμα, κυρίως συνδεσμος ἔσται, εἰ μηδὲ τὸ ΕΣΤΙ τοιοῦτον, ὁπότε ὑπάρξιν κατηγορεῖν τοῦ ὑποκειμένου, ὡς μέρος ἐν αὐτῇ κεῖται (§. ανωτ.). Ταύτῃ τοι καὶ τῆς συνδεσμικῆς τοῦ προσκατηγορεμένου δυνάμεως ἀκριβῆ τιὼ ἔννοιαν ἐκ ἐοίκασιν (1) ἐχηκέναι, οἱ τὸ ἔχειν, καὶ τὸ δεῖν, ἢ ὀφείλειν, ἢ ποιεῖν, ἢ σκοπεῖν, κ.τ.λ., τοῦ προσκατηγορήματος, ΕΣΤΙ, τιὼ χρείαν αὐτοῖσι προτάσεσιν ὑπειληφότες πληροῦν, καὶ διδάξαντες. Ἐπὶ γὰρ ἐκείνων ἑκάστου, ἐχ ἁπλῶς ἡ συνδεσις θεωρεῖται, ἀλλὰ καὶ τρόπος τις τοῦ κατηγορεμένου συνεμφαίνεται, καθ' ὃν τῷ ὑποκειμένῳ συνάπτεται, ἤτοι ὡς χέσιν ἔχον, οἷον ὁ Πατὴρ ἔχει υἱὸν· ἢ ὡς κτῆμα ἐκείνου ὄν, οἷον ἔχει οἶκον, ἢ ὡς ὀφειλόμενον αὐτῷ, οἷον ὁ προϊσάμενος τῶν ὑπὸ χεῖρα προνοεῖν ὀφείλει· ἢ ὡς ἀποτέλεσμα αὐτοῦ, οἷον ἡ κίνησις θερμότητα γεννᾷ· ἢ ὡς τέλος, οἷον ὁ περιαυτολογῶν εἰς δόξαν βλέπει. Ἐν

„αὐτόθεν τοῦ ὑποκειμένου κατηγορῆται, „ὡς ἐνέργειαν, ἢ πάθος, ἢ ἁπλῶς ὑ„παρξιν, ἢ ἀνυπαρξίαν τοῦ ὑποκειμένου „σημαίνει ὀφεῖλον, ἀλλ' ἕνεκα τοῦ συν„αρμόσαι τὸ κατηγορούμενον τῷ ὑπο„κειμένῳ παραλαμβάνεται. Ἀμμών. εἰς τὸ περὶ Ἑρμ.

(1) Ὅτι τῷ ΕΣΤΙ μόνῳ τὸ τοῦ Συνδέσμου ἔργον ἄχρι τότε κεκλήρωται, ἐκ ἐπαινεῖ ὁ νεώτερος Ῥιδιγέρος. (Ἐν τῷ περὶ Λιθ. Ἀληθ. καὶ ψευδ. Βιβ. Β. Κεφ. Α. Σημ. §. 12.) Ἀλλὰ καὶ δεινοπαθοῦντι ὅμοιος, ὅτι αὐτεύθεν (φησὶ) καὶ Λογικὴ, καὶ αἱ λοιπαὶ τῶν Ἐπιστημῶν, ὑπὸ τῇ τυραννίδι τοῦ Ἀριστοτελισμοῦ τετρύχωνται. Ἀμέλετοι τῶν μὲν ἐκ Μεταφυσικῆς (ὡς αὐτὸς) ἀφαιρέσεως προτάσεων, οὗ οἷς γένος, ἢ διαφορὰ, κτ. τὸ κατηγορούμενον, Σύνδεσμος ἐστὶν ὁ ΕΣΤΙ, καὶ τὰ τούτῳ συνώνυμα· τῶν δὲ ἐκ Μαθηματικῆς, τὸ περιέχει, τὸ συμπληροῖ, τὸ ἐξισοῦται, τὸ ἔστιν ἄνισον, ὅλον, μέρος, ἥμισυ, καὶ τὰ ὅμοια. Τῶν δὲ ἐξ Ἠθικῆς, ἐπὶ μὲν τοῦ κατὰ τὸ δίκαιον, τὸ ὀφείλει, καὶ τὰ συνώνυμα· ἐπὶ δὲ τοῦ κατὰ Φρόνησιν, ἐὰν μὲν περὶ τῶν μέσων ὁ λόγος, τὸ καθήκει, καὶ τὰ τοιαῦτα. Ἐὰν δὲ περὶ τοῦ τέλους τὸ βέλτιστον, καὶ τὰ παραπλήσια. Τέως δὲ τῶν ἐκ τῆς Φυσικῆς, τὸ ποιεῖ, ἢ παράγει, τὸ γεννᾷ κτ. τὰ μὲν δηλ. ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως, καὶ ἐπὶ τῶν ὁμωνύμων λεγομένων αἰτιατῶν, τὸ δὲ ἐπὶ τῶν συνωνύμων. Οἷς δὴ καὶ πέμπτον εἶδος Συνδέσμων συγκαταλέγει, τῶν ἐκ τῶν τρόπων (§. 14,) περὶ ὧν ἐρῶμεν αὖ τοῖς ἑξῆς. Ἀλλὰ γὰρ ἡμεῖς τὰς ἔτω δόξης ἔχοντας, δεῖξαι πρῶτον ἀξιώσομεν, τὸ μηδὲν ὅλως ἐπὶ τῶν κατηγορουμένων τὰ τοιαῦτα ῥήματα ἐπιβρεῖν· μόνῳ δὲ φιλιῷ, ἁπλαστάτῳ, εἰλικρινῆ τῶν ὅρων ἐμφαίνειν τιὼ συνάφειαν, ὃ τοῦ αὐ τῇ προτάσει συνδέσμου τὸ ἔργον ἐστίν (§. τγε. τγς.). Εἰς ὃ δὲ τοιοῦτοι διαχθῆναι ἐχ οἷοντε, ἐδὲν ὡς ἐκ τοῦ προσκατηγορεμένου ΕΣΤΙ τὸν Ἀριστοτελισμὸν αἰτιασόμεθα, ὡς κώλυμα τῇ τῶν Ἐπιστημῶν ἐπιδόσει γενόμενον.

Ἐν οἷς ἐχ ὁ ὑός, ὁ οἶκος, ἡ πρόνοια, ἡ θερμότης, ἡ δόξα, ἐσὶν ἁπλῶς τὰ κατηγορήματα, μέρη δὲ τῶν κατηγορεμένων καὶ ἡ χέσις, ἡ κτῆσις, τὸ ὀφειλόμενον εἶναι, τὸ αἰτιατὸν, τὸ τέλος, τὰ τοῖς ῥήμασιν ἐμφαινόμενα. Διὸ ἐδὲ τὰ ῥήματα ταῦτα σωδέσμες εἶναι ῥητέον, ὡς μέρη ἐπιδήλως τῶν προτάσεων καθισάμενα.

§. τιζ. Οὐκ ἀεὶ δὲ ἐπὶ τῶν προτάσεων ἀμετάθετον τιὼ τάξιν τῶν φωνῶν ἐπιζητεῖν χρὴ· ὡς ἡγεῖσθαι μὲν ἐπὶ πάσαις τῶν ὅρων τὸν ὑποκείμενον, ἐπιφέρεσθαι δὲ τὸν κατηγορέμενον, παρεμπίπλειν δὲ τέτων μεταξὺ, αἷς ἂν ἐγχωροίη, τὸν Σιώδεσμον. Τὰ πολλὰ γὰρ ἀθετεῖται ἡ τάξις, ἄλλοτε ἄλλως τῷ λόγῳ σωεπιπλεκομένων· οἷον παντὶ πέπρωται θανεῖν. Πολλῶν κακῶν ἐπικάλυμμα ἐσὶν ὁ πλῆτος. Πρίων ψυχῆς ὁ φθόνος. Ἀλλ' ἐδὲν ἔργον καὶν τέτοις διαγιγνώσκειν τιὼ ἑκάσε σημασίαν, ὁπὼς ποτ' ἂν θέσεως, ἢ τάξεως ἔχοιεν, ἐφισάντας ὁποῖον τὸ ἀντὶ βάσεως τῷ λόγῳ κείμενον, καθ' ὃ ἢ ἀφ' ὅτι λέγεται· ὁποῖον δὲ καὶ τὸ λεγόμενον· καὐτίνι ἡ τῆ σωδέειν τὰ ἄκρα ἔνεσι δώναμις.

§. τιή. Τέως δὲ καὶ Ἀποφάνσεις φέρονται τινες, ἐν αἷς τὸ αὐτὸ ὑπόκειται καὶ κατηγορεῖται· ἃς ἐν τῷ ταυτολογεῖν ἐχέσας τὸ ἀναντίῤῥητον, διὰ τὸ κενῆς τερθρείας δοκεῖν ἐμπιπλᾶν τὸν λόγον, τῶν Διαλεκτικῶν τινὲς παραγράφσιν· οἷον τὸ ζῶον ἐσὶ ζῶον· ὁ κύκλος κύκλος. Ταυτολογέσας δέ τινες τῶν Σχολασικῶν ἐκάλεσαν, καὶ τὰς ἐπὶ Θεῦ ταύτας, ἡ παντοδυναμία ἐσὶ σοφία, καὶ ἀνάπαλιν, ἐκ δὲ λόγως οἶμαι τὰ τῇ ὑπερτάτῃ καὶ ὑπερσίῳ Οὐσίᾳ συγχέοντες ἐπιθεωρέμενα, ὧν ἓ μίαν, ἐδὲ τιὼ αὐτιὼ, ἀλλ' ἐννοίας φέρομεν μακρῷ διαφορωτάτας. Ταυτολογέσας δὲ, ἢ μᾶλλον ταυτοδωαμέσας αὐτοὶ καλέσομεν, ἐφ' ὧν τῆ ὁρισῆ ὡς ὑποκειμένῳ κατηγορεῖται ὁ ὁρισμὸς, ἢ ἀνάπαλιν· οἷον ὁ ἄνθρωπος ἐσὶ ζῶον λογικόν. Τὸ λογικὸν ζῶον ἐσὶν ἄνθρωπος. Κεῖται γὰρ ἐν αὐταῖς σωεπτυγμένως ἐν θατέρῳ τῶν ὅρων, ὅ,τι δήποτε ἀνεπτυγμένως διὰ θατέρῳ ἐνφέρεται.

ΚΕΦΑ-

ΚΕΦ. ΤΡΙΤΟΝ.

Περὶ Εἰδῶν παντοίων Προτάσεων.

§. τιθ'.

Τῶν προτάσεων, ὡς ἐξ αὐτῶν τῶν ἐνδιαθέτων Κρίσεων (§. τπδ'.), ἃς ἑρμηνεύειν ἔλαχον (§. τιά.), τῆς διαιρέσεως ληφθείσης, αἱ μὲν εἰσὶ Καταφατικαὶ, αἱ δὲ Ἀποφατικαὶ· ὡς δὲ ἐκ τοῦ παρεπομένου τῇ καταφάσει, καὶ ἀποφάσει, συμφώνως τε καὶ κατὰ τὸ δέον τοῖς πράγμασιν, ἢ μὴ, γινομέναις, αἱ μὲν ἀληθεύουσαι, αἱ δὲ ψευδόμεναι. Ὡς εἶναι μὲν τὴν πρώτην τῶν διαιρέσεων, κατὰ τὴν τοῦ Ἀποφαντικοῦ λόγου οὐσίαν· εἶναι δὲ τὴν δευτέραν κατὰ τὸ ποιὸν· τί γὰρ ἐστὶν Ἀπόφανσις; Κατάφασις, ἢ Ἀπόφασις· ὁποία δὲ ἑκατέρα; ἤτοι ἀληθὴς, ἢ ψευδής (1).

§. υ'. Ἐκ δὲ δὴ τῆς ὕλης, ὡς φασὶν (2), ὅπερ ἐστὶν, ὡς ἐκ τῆς τῶν ὅρων πρὸς ἀλλήλους σχέσεως, αἷς μὲν ἀναγκαία τε καὶ ἀπαραίτητος ἡ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον οἰκειότης ἐστὶ καὶ συνάφεια, ἐν ὕλῃ αὗται ἀναγκαίᾳ, καὶ ἀποφάνσεις ἀναγκαῖαι ἀκούουσιν. Εἰσὶ δὲ τοιαῦται, αἱ τὰ οὐσιώδη κατηγοροῦσαι πᾶσαι, καὶ ἄλλως ἔχειν μὴ ἐνδεχόμενα· οἷον ὁ ἄνθρωπος ἔστι ζῶον, ἔστι λογικὸν, ἔστι γελαστικόν. Ἐνδεχόμεναι δὲ, καὶ ἐν ὕλῃ ἐνδεχομένῃ, αἷς παρεῖναι μὲν δηλοῦται, ὃ καὶ ἀπεῖναι δυνατὸν τοῦ ὑποκειμένου· ἀπεῖναι δὲ, ὃ καὶ παρεῖναι τούτῳ ἐνδέχεται· τοιαῦται πᾶσαι αἱ τῶν συμβεβηκότων κατηγοροῦσαι ὅσα χωριστὰ, ἢ ἀχώριστα, οἷον ὁ ἄνθρωπος καθεύδει, βαδίζει, σιμὸς ἐστὶν, ἢ γρυπὸς κτ., ἃ δὴ καὶ τῶν ἐνδεχομένων ἐστὶν ἐπίσης, καὶ ὁπότερ' ἔτυχεν εἶναι λέγεται· πρός τε τὰ ὡς ἐπὶ τὸ πολὺ, οἷον τὸ πενταδάκτυλον τὸν ἄνθρωπον εἶναι, καὶ τὰ ὡς ἐπ' ἔλαττον, οἷον τὸ ἑξαδάκτυλον γεννηθῆναι, ταύτῃ γε διαφέρειν

(1) Τό γε μὴν καταφάσκειν, ἢ ἀποφάσκειν, ἐπὶ τὸ ποιὸν ἀνάγεσθαι ἐκράτησε τῶν προτάσεων.

(2) „Ταύτας δὲ τὰς σχέσεις κα„λοῦσιν, οἷς ἐμέλησε τῆς τούτων τε„χνολογίας, τῶν προτάσεων, ὕλας. „Καὶ εἶναι αὐτῶν φασὶ, τὴν μὲν ἀ„ναγκαίαν, τὴν δὲ ἀδύνατον, τὴν δὲ „ἐνδεχομένην. Ἀμμών. εἰς τὸ περὶ Ἑρμην.

φέρειν εἴρηται, ὅτι τῶν μὲν φασὶ (1) παραίτιος ἡ προαίρεσις μάλιστα, τῶν ἐπίσης· τῶν δ' ὡς ἐπὶ τὸ πολὺ φύσις, καὶ τέχνη· τῶν δ' ὡς ἐπ' ἔλαττον ἡ τύχη καὶ ταὐτόματον, τὰ διάκενα τῶν ὀνομάτων, δι' ὧν δηλοῦται ἡ τῆς ἐπὶ τῶν πραγμάτων ἀγνοίας εὐσχήμων ἐξομολόγησις. Ἀδύνατοι δὲ, καὶ ἐν ὕλῃ ἀδυνάτῳ αἱ Ἀποφάνσεις, ὧν οἱ ὅροι εἰσὶν ἀντιπάσχοντες, καὶ ὑπ' ἀλλήλων ἀνατρεπόμενοι. Οἷον ἡ ἀλήθεια ἐστὶ ψεῦδος· ὁ κύκλος ἐστὶ τετράγωνος (2). Ἔνθα σημειωτέον εἶναι καὶ πρότασιν ἐν ὕλῃ ἀναγκαίᾳ μὲν, μὴ ἀναγκαίαν δὲ, ἀλλ' ἀδύνατον. Καὶ ἐν ἀδυνάτῳ μὲν, μὴ ἀδύνατον δὲ, ἀλλ' ἀναγκαίαν. Τοιαῦται δὲ ἐπὶ ὕλης ἀναγκαίας τε καὶ ἀδυνάτου αἱ ἀποφάσκουσαι.

§. υά. Τῷ δὲ δὴ λόγῳ τῆς ποσότητος διαιρεῖται ἡ πρότασις εἰς τὴν καθόλου, καὶ τὴν ἐπὶ μέρους, καὶ τὴν καθ' ἕκαστα, ὡς ἂν ἐκτάσεως (§. σί.) ἔχοι τῶν ὅρων ὁ ἐν αὐτῇ ὑποκείμενος. Τὴν δ' ἔκτασιν σαφῶς τὰ πολλὰ παριστῶσιν οἱ λεγόμενοι (§. σθ'.) προσδιορισμοί. Τοῦ γὰρ ὑποκειμένου προσδιορισμῷ καθόλου συμφερομένου, καὶ ἡ πρότασις καθόλου ἀποφανεῖται· μερικῷ δ' ἐπὶ μέρους, ἀλλ' ἀορίστως. Ἀπροσδιορίστου δὲ ὄντος, καὶ ἀτομικόντι, ἢ κατὰ κυριωνυμίαν, ἢ δι' ἀντωνυμίας, ἢ ἄλλως ὁπωσοῦν, σημαίνοντος, ἡ Ἀπόφανσις Ἀτομικὴ ἔσται, καὶ καθ' ἕκαστα, καὶ δι' ὅλου ὡρισμένη (3). Ἐὰν δὲ προσδιορισμοῦ μὲν ἄμοιρον

(1) Ὅρα Ἀμμών. εἰς τὸ περὶ Ἑρμην. Καὶ Βλεμμίδ. Λογ. Ἐπιτομ. Κεφ. κη'. Ἔνθα ἐπισημειοῖ, ὡς τὴν ἐνδεχομένην ὕλην εἰς δύο Ἀριστοτ. διαιρεῖ. „Εἴς τε τὴν ἐκβεβηκεῖαν, „ἣν ὀνομάζει ὑπάρχουσαν, καὶ εἰς τὴν „μέλλουσαν, ἣν καὶ κυρίως ἐνδεχομένην φησί.

(2) Ἄλλως δὲ ὁ Ἀριστοτ. τὰς μὲν ἀναγκαίας καὶ Ἀποδεικτικὰς ἀξιοῖ καλεῖν· τὰς δὲ ἐνδεχομένας, Διαλεκτικάς· τὰς δὲ ἀδυνάτους, Σοφιστικάς. Ἀποδεικνῦντες γὰρ ἐπιστημόνως, ἀναγκαίαις ἀποφάνσεσι χρώμεθα· ἐνδόξως δὲ διαλεγόμενοι, ταῖς ἐνδεχομέναις· Σοφιστιῶντες δὲ, τὰς ἀδυνάτους παρεισάγομεν.

(3) Ὀρθῶς ὁ Θεόφραστος τὴν μὲν καθ' ἕκαστα ὡρισμένην καλεῖ, τὴν δὲ μερικὴν ἀόριστον. (παρ' Ἀμμων. εἰς τὸ περὶ Ἑρμην.) Κινεῖται δέ τι ζητημάτιον παρὰ τοῖς ὕστερον, πότερόν ποτε ταῖς καθόλου ἀποφάνσεσι τὰς καθ' ἕκαστα δίκαιον συναριθμεῖν, ἢ ταῖς κατὰ μέρος; πρὸς ὅ, τις ἂν φαίη, ὡς οὐδετέρᾳ, ἐπεὶ καὶ ἑκατέρας διαφέρει τῷ εἴδει. Πρὸς μέντοι τὴν χρῆσιν ἀφορῶσι, ταῖς καθόλου συγκαταλεκτέον (φασὶν) ὅτι ἅπαν ὅσον σημαίνειν πέφυκε τὸ ἐν αὐταῖς ὑποκείμενον, ὥσπερ κἂν ταῖς καθόλου, ἀνελλιπῶς λαμβάνεται, συστολῆς ἄνου. Διὸ καὶ ἐν τοῖς Ἐκθετικοῖς τῶν Συλλογισμῶν, κατὰ τὰς καθόλου εὐθέτως ἔχουσι. (Τέχ. τοῦ Νοεῖν Μέρ. Β. Κεφ. γ'.)

ἄμοιρον ἢ τὸ ὑποκείμενον, ἀόριστον δὲ, ἄλλοτε ἄλλως, ἡ τῆς προτάσεως ποσότης κατὰ τὰ ἀλλαχῆ εἰρημένα (§. σλ΄.) ἐπικριθήσεται.

§. υβ΄. Ταῖς ἓν ἔτω ποσότητος ἐχέσαις, καὶ τῆς ἀπὸ τῦ καταφάσκειν, ἢ ἀποφάσκειν πρωτίσης διαφορᾶς (§. τιθ΄.), ἢ ὡς λέγειν εἰώθασι τῆς ἀπὸ τῦ ποιῦ, σωαναικεκραμένης, τὰ εἴδη τῶν ἀντικειμένων ἀποφάνσεων ἀνακύπτει, ἥτε ἐπισημειωμένη τῷ Φωνήεντι Α, καθόλε ἅσα καταφατικὴ, οἷον πᾶς ἄνθρωπος λογικός. Καὶ ἡ τῷ Ε, καθόλε ἀποφατικὴ, οἷον ἀδεὶς ἄνθρωπος ἐσὶ λίθος. Καὶ ἡ τῷ Ι, ἐπὶ μέρες καταφάσκεσα, οἷον τὶς ἄνθρωπος ἐσὶ φιλόσοφος. Καὶ ἡ ἐπὶ μέρες ἀποφατικὴ ἡ τῷ Ο, οἷον ἐ πᾶς ἄνθρωπος ἐσὶ δίκαιος. Καὶ ἡ ἀτομικὴ καταφατικὴ, οἷον ὁ Πλάτων Μωσαΐζει. Καὶ ἡ Ἀποφατικὴ, οἷον Ἐπίκερος ἐ φιλόσοφεῖ. Ἃς δὲ φωνήεσιν εἰώθασι παρασημειῦν, τῆς χρείας ἧκισα ἀπαιτέσης. Καὶ ἡ ἀπροσδιόριςος, καθόλε μὲν καταφάσκεσα, τὸ τρίγωνον ἐσὶ τρίπλευρον. Καθόλε δ' ἀποφάσκεσα, ὁ κύκλος ἒκ ἔσιν εὐθύγραμμος· ἢ ὡς τὰ πολλὰ, ἢ ὡς ἐπ' ἐλατῖον, καὶ ἐν μέρει. (§. σλ΄.) (1).

§. υγ΄. Καὶ ἀπὸ τῦ ὡρισμένε δὲ, ἢ τῦ ἀορίςε (2) τῶν ὅρων (§. σή.), αἱ μὲν τῶν Ἀποφάνσεων εἰσὶν ὡρισμέναι, ὧν ἄμφω οἱ ὅροι θετικοί. Αἱ δὲ ἀόριςοι, ἐφ' ὧν ὁ ἕτερος τῶν ὅρων, ἢ καὶ ἄμφω ἀοριςαίνεσιν (3). Ἀόριςος ἓν, ὡς μὲν ἐκ τῦ ὑποκειμένε,

(1) Σημειωτέον ὅτι τὰς μὲν καθόλε προσδιωρισμένας, Καθόλε ὡς Καθόλε ὁ Ἀρις. (ἐν τῷ περὶ Ἑρμῆν.) χαίρει ἀποκαλῶν, ὡς ἑκατέρωθεν δηλονότι ἔκτε τὸ ὑποκείμενε ὅρε, καὶ ἐκ τῦ προσδιορισμῦ καθολικῶς μενας. Τὰς δὲ Καθόλε ἀπροσδιορίσες, Καθόλε ὡς μὴ Καθόλε· „διὰ τὸ μὴ περι„κεῖσθαι ἐπ' αὐτῶν τῷ Καθόλε ὑποκει„μένῳ τὰς καθόλε προσδιορισμὰς. ὡς ὁ Ἀμμών. ἐνταῦθα φησί. Τὰς δὲ καθόλε μὲν καθ' ἑαυτὸν ἐχέσας τὸν ὑποκείμενον ὅρον, συνεκλόμενον μέντοι διὰ τῦ ἐπὶ μέρες προσδιορισμῦ, Καθόλε ὡς μερικάς. (ὡς ὁ Βλεμμίδ. Κεφαλ. κή.)

(2) „Οὐ ταυτόν ἐσιν ὡρισμένον, „ἢ ἀόριςον ὄνομα λέγειν (δῆλον δ' αὐ„τόθεν ὡς ἐδὲ πρότασιν.) καὶ διωρι„σμένον, ἢ ἀδιόριςον. Τὰ μὲν γὰρ „πρότερα ποιεῖ τὸ ἀρνητικὸν μόριον „προσκείμενον τοῖς ὀνόμασιν, ἢ μή, „τὰ δ' ὕςερα οἱ προσδιορισμοί. (Ἀμμών. εἰς τὸ περὶ Ἑρμῆν.)

(3) Τὰς Ἀορίςες, ἐκ μεταθέσεως, παρὰ Θεοφράςε λαβόντες, οἱ ἐκ τῦ περιπάτε ἐκάλεσαν· γίνονται γὰρ ἐκ τῶν ὡρισμένων μεταθέσει τῦ ἀρνητικῦ μορίε. Τέτε γὰρ οἰκεῖος ὁ τόπος, ἐπὶ μὲν τῶν ἐκ δευτέρε προσκειμένε (§. τιθ΄.) ἀμέσως κεῖσθαι πρὸ τῦ ῥήματος, οἷον ἡ γῆ ἐ κινεῖται. ἐπὶ δὲ τῶν

κειμένε, τὸ μὴ ἄρτιον ἐλλείπει· ὡς δὲ ἐκ τῆ κατηγορεμένε, τὸ ζύλον ἐςὶν ὁ λίθος· ὡς δ' ἐξ ἀμφοῖν, ὁ μὴ ἄνθρωπος ἐςὶν ὁ γελασικός. Δεῖ δ' ἐπὶ τέτων τὸ μόριον, ἀμέσως τῷ ὑποκειμένῳ, ἢ κατηγορεμένῳ προσκεῖσθαι, ἵνα σώζηται τὸ τῆς ἀορισίας. Τῷ γὰρ σωδέσμῳ, ἢ τῷ προσδιορισμῷ τῆς ἀρνήσεως συμφερομένης, ἢ καὶ τῷ τρόπῳ εἰ τύχοι, ἐὰν ἡ πρότασις τῶν μετὰ τρόπε ᾖ, περὶ ὧν ὕσερον, ἐκ ἀόρισος ἡ πρότασις ἔσαι, ἀλλ' ἀποφάσκεσα.

§. υδ'. Παραπλησίως δὲ τῇ ἑτέρᾳ τῶν ὅρων, ἢ καὶ ἀμφοῖν σερητικῶν ὄντων (§. σή.), ἡ ἐξ αὐτῶν πρότασις σερητικὴ λέγεται. Καὶ ἀπὸ μὲν τῇ ὑποκειμένε, οἷον ὁ ἄδικος ἀ κατορθοῖ. Ἀπὸ δὲ τῇ κατηγορεμένε, ὁ δίκαιος ἐςὶν ἀνόθωτος. Ἐξ ἀμφοῖν δὲ, ὁ ἄδικος ἐςὶν ἄφρων. Διαλιπόχασι δὲ τῶν Ἀορίσων αἱ Στερητικαὶ, ὅσα καὶ οἱ ἐν αὐταῖς ὅροι. Ὁ μὲν γὰρ Ἀόρισος ὅρος, κατὰ πάντων κατηγορεῖται παρεκτὸς τῇ αἱρομένε· ὁ δὲ Στερητικὸς, κατὰ τῶν δεκτικῶν τῆς ἕξεως, ἢ τῆς δυνάμεως, ἢ ἄλλης ὁποιασῦν διαθέσεως, ἧς ἔτυχον ἀμοιρήσαντα (§. αὐτ.).

§. υέ. Καὶ ἐκ τῆς κατὰ χρόνον δὲ διαφορᾶς εἴδη προτάσεων διαλέλεται, ἡ ἐπὶ τῇ παρωχηκότος, ὁ Μεσίας ἦκεν· ἡ ἐπὶ τῇ ἐνεςῶτος, οἷον γράφω· ἡ ἐπὶ τῇ μέλλοντος, ἢ τῇ ἐσομένε (1), οἷον ὁ μαθητὴς ἔσαι διδάσκαλος, ὁ Ἀντίχριςος ἥξει. Ἐν οἷς ἐπισημειωτέον, ἢ τὰς παρὰ τὸ ἐσιῶδες καὶ ἀναγκαῖον (§. υ'.) τῆς τῶν ὅρων χέσεως, ἀϊδίε ἀληθείας (§. τγέ. Σημ.) λεγομένας εἶναι ἐκφαντορικὰς, ὡς κατὰ πᾶσαν χρόνε διαφορὰν τ' ἀληθὲς ἀποφαινομένας. Οἷον ὁ Θεὸς ἀγαθὸς καὶ ἰῶ, καὶ

τῶν ἐκ τρίτε προσκατηγορεμένε, ἀμέσως πρὸ τῇ συνδέσμε. οἷον ἡ γῆ ἐκ ἔςι κινεμένη· ὡς εἴγε τῆς τοιᾶς δε μετασαίη Χώρας, καὶ τῷ ὑποκειμένῳ, ἢ τῷ κατηγορεμένῳ ἄλλως μετὰ τὸ ἐςὶ προσκφθείη, ἡ πρότασις τότε ἔσαι ἐκ μεταθέσεως ἐκ ἀποφάσκεσα, ἀλλ' ἀορισέσα. οἷον ἐχ ἡ γῆ κινεῖται· τόποῦον δὲ δὴ; ἡ γῆ ἐςὶν ἀ κινεμένη, τί δαί; πᾶν ὁτιοῦν, ἢ ταὐτα. (§. σή.) Ἄλλοι δὲ (Ἀμμ. εἰς τὸ περὶ Ἑρμ.) ἐκ μεταθέσεως φασὶν αὐτὰς ἀποκαλέσαι τὸν Θεόφρασον, ὅτι μετατέθεται αὐτῶν ἐν τῷ Διαγράμματι ἡ τάξις κατὰ τὴν πρὸς τὰς ὡρισμένας ἀντίθεσιν, περὶ ἧς ἡμεῖς ἐν οἰκείῳ τόπῳ.

(1) Ἄλλο γάρ ἐςιν, ὡς αὐτὸς Ἀριστότελης ἐν τοῖς περὶ Γεν. καὶ Φθορ. διορίζεται, τὸ μέλλον παρὰ τὸ ἐσόμενον. „Καὶ τὸ μὲν ἐσόμενον τὸ „πάντως ἐνβησόμενον σημαίνει. . . Τὸ „δὲ μέλλον, τὸ ἐνβιῶναι, καὶ μὴ ἐν„βιῶναι δυνάμενον. Ἀμμών. εἰς τὸ περὶ Ἑρμ.

καὶ ἔστι, καὶ ἔσαι. Καὶ περιφερὴς ἀεὶ ὁ κύκλος. Καὶ ἐκ ἔστιν ὅτε λογικὸν ἐκ ἔστιν ὁ ἄνθρωπος.

§. υς'. Παρεισάγονται δὲ τὰ πολλὰ ἐπὶ τῶν Προτάσεων καὶ φωναί τινες, δι' ὧν ἡ τῆς Κρίσεως ἐμφαίνεται δυνάμις, καὶ τὸ σωτονον, ἢ ὑφειμένον τῆς ἐν αὐτῇ συγκαταθέσεως ἐκδηλᾶται· ὡς ὅτε φαμὲν, σαφῶς ὁ ἄνθρωπος ἐστὶ ζῶον κοινωνικόν. Σχεδὸν ἐπιζήμιον ὁ πλᾶτος. Πάντη τυφλὸς ὁ τύφος. Μανία ἀντικρυς ὁ ἔρως. Καλᾶνται δὲ αἱ ἕτως ἔχουσαι Προτάσεις μετὰ τρόπε, μυριάχως μὲν ποικιλόμεναι (1), κατὰ τὰς ἐν τῷ νοᾶν, ἢ ἀναιρᾶν τᾶ Κριτικᾶ ἐπιτάσεις τε καὶ ἀνέσεις, εἰς τρεῖς δὲ ἢ τέτταρας ἀναγόμεναι, ἐφ' ὧν οἱ ἐπιφερόμενοι τρόποι Ἀναγκαίως, Ἐνδεχομένως, Δυνατῶς, Ἀδυνάτως, ταῖς τῆς ὕλης (§. υ'.) ἀκολεθᾶσι διαφοραῖς. Εἰσὶ δὲ αὗται, ἤτοι τῶν τρόπων Ἐπιῤῥηματικῶς ἐκφερομένων, ἀναγκαίως ὁ ἄνθρωπος ἐστὶ λογικὸς· ἐνδεχομένως πνέεται· ἢ καὶ Κατηγορικῶς, οἷον δυνατὸν τὸν ἄνθρωπον πλετῆσαι· ἀδυνάτον κορεθῆναι.

§. υζ'. Ἐπὶ τῶν τοιᾶτων σημειωτέον Α. ὅτι τῶν τρόπων ὁ μὲν Ἀναγκαίως τιὼ οἰκείαντε καὶ καταλληλον χώραν ἔχει, ἔνθα ἕτως ὑπάρχειν τὸ κατηγορέμενον τῷ ὑποκειμένῳ νοεῖται, ὡς ἀδυνάτον εἶναι μὴ ὑπάρχειν· ὁ δὲ Ἐνδεχομένως, ἐφ' ὧν ὑπάρχει μὲν, δυνατὰι δὲ ὅμως, καὶ μὴ ὑπάρχειν. Ὁ δὲ Δυνατῶς, ἐφ' ὧν ἐχ ὑπάρχει μὲν, ἐκ ἀδυνατεῖ δὲ, καὶ ὑπάρχειν· ὃς Ἰσοδυναμεῖ πολλάκις καὶ τῷ Ἐνδεχομένως, ὁλοχερέστερον δέποτε, καὶ ἐπὶ τὸ ἀναγκαῖον (2) ἐπλείνεται. Β. Ὅτι ὁ μὲν ἀναγκαίως τῷ πᾶς προσδιορισμῷ ἰσοδυναμεῖ· ὁ δὲ ἀδυνάτως, τῷ οὐδεὶς· ὁ δὲ ἐνδεχομένως τε καὶ δυνατῶς, τῷ τὶς· ὁ δὲ ἐνδεχομένως μὴ, καὶ δυνατῶς μὴ, τῷ οὐ πᾶς. Γ. Ὅτι τιὼ καθ' αὐτιὼ ἀληθεύσαν ἀπόφανσιν, διὰ τὸν ἀλλοτρίως τε καὶ μὴ καταλλήλως ἐπαγόμενον τρόπον συμβαίνει (3) ψεύδεσθαι. Οἷον ἐπὶ τῆς, Ἀριστοτέλης ἀναγκαίως ἀληθεύει. Ἀληθεύει μὲν γὰρ τυχὸν, ἐκ ἐξ ἀνάγκης δὲ, ἀλλ' ἐνδεχομένως.

Ἐξ

(1) „Τρόποι δὲ εἰσὶ τὸ ἀναγκαῖον, „τὸ ἀδύνατον, τὸ ἐνδεχόμενον, τὸ „καλῶς, τὸ σαφῶς, καὶ ἕτερα· ὧν „ὁ ἀριθμὸς φύσει μὲν περιληπτὸς, ἡ„μῖν δ' ἀπερίληπτος. Βλεμ. Κεφ. κζ'.

(2) „Τὸ δυνατὸν, ἢ τῷ ἐνδεχομέ„νῳ μόνῳ συντρέχει, ἢ ἐκτάνεται καὶ „ἐπὶ τὸ ἀναγκαῖον. Ἀμμων. εἰς τὸ περὶ Ἑρμῆν.

(3) Πολλάκις συμβαίνει τιὼ πρό„τασιν παρὰ τιὼ ὕλιω ἀληθεύσαν, „διὰ τὸν τρόπον τὸν προσιθέμενον ψεύ„δεσθαι. Αὐτ. αὐτ.

Ἐξ ἧς καὶ διπλόη τις ἐπὶ τῶν μετὰ τρόπε Προτάσεων θεωρεῖται, περὶ ἧς ἑξῆς.

§. υἡ. Τὰ μὲν ἓν Εἴδη τῶν προτάσεων, ὅσα ἐκ τῶν παρεπομένων τῷ Ἀποφαντικῷ λόγῳ σωίσαται, ταῦτα· ἃ καὶ τοῖς ὑπολογίσαθαι εὐδόσιτε καὶ βελομένοις, εἰς χιλιάδας διὰ τὲ ἐπαλλήλε πολλαπλασιασμὲ προάγεται (1) πληθυόμενα. Ἀλλ' ἐν

(1) Ὁ τὰς Διαλεκτικὰς καρκίνες περιτῶς διαμασσήσας Χρύσιππος, τὸ μὲν καταφατικὸν τῶν συμπεπλεγμένων ἀξιωμάτων. „(Συμπεπλεγμένον δὲ ὧ ἀξίωμα τοῖς Στωϊκοῖς, ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκλο· οἷον καὶ ἡμέρα ἐσὶ, καὶ φῶς ἐσί. Λαέρτ. ἐν βίῳ Ζήνωνος. Κιτιέ.) ἐς 103049. ἐπλήθυνε· τὸ δὲ ἀποφατικὸν ἐς 310952. „ὃν καὶ πάντες ἐλέγχεσιν οἱ Ἀριθμητικοὶ, ὧν καὶ Ἵππαρχος ἐσὶν, ἀποδεκνύων τὸ διάπλωμα τῆ Συλλογισμῆ παμμεγεθες αὐτῷ γεγονός. (Πλάτ. περὶ Στωϊκ. Ἐναντιωμ.) Ὅθεν ἓν ἐγίνετο Χρυσίππῳ τοσαύτας τῶν συμπεπλεγμένων λαμβάνειν τὰς διαφοράς, ἐμοὶ γᾶν, ἐ δῆλον. Ἀλλ' εἴτις ἄρα ἓκ τῶν ἀνωτέρω διαιρέσεων (§. τιθ' - - υς'.) ὅσας τὸν ἀριθμὸν αἱ ἀνακύπλεσαι προτάσεις κατιδεῖν ἐδελήσειε, τύχοι ἂν θυμαρῶς τῆ ἀληθῆς ἔτως ἐκλογισάμενος.

Ἐὰν γὰρ Α. τὰς ἓκ δυτέρε προσκειμένε (§. τιθ'.) λαβὼν ἐν μέρει, ἓκ μὲν τῆ καθόλε ἓναμ, ἢ μερικῆς, ἢ καθ' ἕκασα, ἢ ἀπροσδιορίσε (§. υά.), τετραπλασιάσῃ. Ἓκ δὲ τῆ ὡρισμένε, καὶ τῆ ἀορίτε (§. υγ'.) κατὰ τὸν ὑποκείμενον μόνον ὅρον, (ἐπὶ γὰρ τῶν τοιάτων τῷ κατηγορεμένῳ τὸ ἀρνητικὸν μόριον συνταχθεὶ, εἰς ἀπόφασιν (§. αὐτ.) ἀπολήξα), ἐπιδιπλασιάσῃ· Ἐπιτριπλασιάσῃ δὲ καὶ ἓκ τῆ τριτ. τῆ τῆς ὕλης (§. υ'.)· Καὶ ἓκ τῆ τριμερῶς δὲ ἔτι τῆ χρόνε (§. υε.), Προτάσεων τῶν ἓν δυτέρε προσκειμένε Εἴδη ἀνακύπλοντα εὑρήσε τὰ πάντα δύο ἐπὶ τοῖς ἑβδομήκοντα.

Β. Πάλιν τῶν ἓκ τρίτε προσκατηγορεμένε (§. τιθ'.) ἐπὶ τοῖς ῥηθεῖσι πολλαπλασιασμοῖς, καὶ τὸν ὡς ἓκ τῆ ὁρισμῆ καὶ τῆς ἀορισίας τῆ κατηγορεμένε (§. υγ'.) διπλασιασμὸν ἐπιδεχομένων, Εἴδη συνήσονται τέτλαρα καὶ τετταράκοντα ἐπὶ τοῖς ἑκατόν.

Καὶ Γ. τέως ἐπὶ τῶν μετὰ τρόπε (§. υς'.) (τῆ ἀρνητικῆ μορίε, καὶ τῷ τρόπῳ εἰς ἀντίθεσιν δεῆσαν ἐπιφερομένε) τῶν μὲν ἐξ ὑποκειμένε καὶ κατηγορεμένε, τῷ παρεῖναι αὐτὸ, ἢ ἀπεῖναι καὶ τῶν ὅρων, ἤτοι κατ' ἄμφω, ἢ κατὰ θάτερον, εἴδη ἀνακύπτε. τέτταρα ἐξ ἑκάσε τρόπε· τῶν δὲ ἓκ τρίτε προσκατηγορεμένε, (ἤτοι τῶν τριῶν τῷ μορίῳ διατιθεμένων, ἢ τοῖν δυοῖν ἐναλλάξ, ἢ τῆ ἑνὸς) εἴδη ὀκτώ· Ἐὰν ἓν, ἀθροίσε ὄντα δυοκαίδεκα, τετραπλασιαθῇ μὲν παρὰ τὸ καθόλε, καὶ τὸ ἐπὶ μέρες, καὶ τὸ καθ' ἕκασα, καὶ τὸ ἀπροσδιόρισον, ὡς καὶ ἀνωτέρω ἐπὶ τῶν ἄνω τρόπε ἐλέγετο (ἓν Α. καὶ Β.). Τριπλασιαθῇ δὲ καὶ κατὰ τὲς χρόνες ὡσαύτως· ἐπιτριπλασιαθῇ δὲ καὶ κατὰ τὰς ὕλας· προσεπιτριπλασιαθῇ δὲ καὶ κατὰ τὲς τρόπες (τὸ γὰρ ἐνδεχόμενον ὡς εἴρηται (§. υζ'.) τῷ κυρίως δυνατῷ εἰς ταυτὸν ἦκε.), εἰς ἓξ καὶ ἐννενήκοντα πρὸς τοῖς διακοσίοις ἐπὶ τοῖς χιλίοις τὰ τῶν μετὰ τρόπε προτάσεων εἴδη ἀριθμηθήσεται. Ἃ καὶ τοῖς κατὰ τὸν Α. καὶ τοῖς κατὰ τὸν Β. ἀναλογισμὸν συγκεφαλαιόμε-

Ἀλλ' ἐν τέτοις καὶ τῶν Ἀποφάνσεων ἐκείνων ἐπιμνηθῆναι πρέπει ἂν εἴη, αἳ, ὥσπερ τοῖς ἀπὸ τῶν Μαθημάτων ἐπίσημοι εἰσὶν, ἕτω καὶ τοῖς ὀτιοῦν κατ' Ἐπιστήμην πραγματευομένοις ἐν χρήσει γίγνονται. Διὸ καὶ Ἐπισημονικαὶ καλεῖσθαι δίκαιαι.

§. υθ'. Τῶν γὰρ ἐν Ἐπιστήμαις εἰσαγομένων Ἀποφαντικῶν λόγων οἱ μὲν ὑποθέσεις ἀκέασιν, οἱ δὲ προτάσεις. Καὶ ὑποθέσεις μὲν καλέονται, αἳ τῶν Ἀποφάνσεων Ἀναπόδεικτοι, ὧν αἱ μὲν Ὅροι, αἱ δὲ Ἀξιώματα, αἱ δὲ Αἰτήματα. Προτάσεις δὲ αἳ Ἀποδεικταὶ, ὧν τὰ μὲν Θεωρήματα, τὰ δὲ Προβλήματα, τὰ δὲ Πορίσματα. Μέσα δ' ἄντις τάξειε τῶντε Ἀναποδείκτων καὶ τῶν Ἀποδεικτῶν, τὰ Λήμματα, ὡς ἐν ἄλλοις μὲν ὄντα ἀποδεικτὰ, ἀναποδείκτως δὲ καὶ ὁμολογεμένως πρὸς τὸ παρὸν λαμβανόμενα.

§. υί. Καὶ Ὅρος τοίνιν ἐστὶν ὁ ὁρισμὸς ὁ ὀνοματώδης, (§. ριή.) ἢ καὶ ὁ πραγματιώδης (§. ρκθ'.) ἐὰν ᾖ ἔξω ζητήματος. Οἷον ὅτι ὀξεῖα φέρε γωνία ἐστὶν ἡ ἐλάσσων ὀρθῆς. ὅτι Σελήνης ἔκλειψις, ἡ ταύτης ἐστὶ μεταξὺ, καὶ ἡλίε τῆς γῆς παρέμπλωσις. Ἀξίωμα δὲ (ι) πρότασις θεωρητικὴ καθ' ἑαυτὴν ἐναργῶς τινὶ τῶν ὅρων σωάφειαν, ἢ διαφωνίαν παρισῶσα· οἷον τὰ ἴσα ἀλλήλων ἀντικαθιζάμενα, μεταβολὴν τῆ ποσῆ ἤκιστα ἐμποιεῖ. Αἴτημα δὲ πρότασις πρακτικὴ, ἣν ἀδιζάκτως πᾶς τις ἂν αἰτέμενος δοίη· οἷον τὸ ἴσον ἀντὶ τῆ ἴσε, τῷ τῆ ποσῆ λόγῳ, λαβεῖν

να, ἀδὴ δώσει δυωκαίδεκα πρὸς τοῖς πεντακοσίοις ἐπὶ τοῖς χιλίοις.

Δ. Ἐὰν ἓν ἅπαντα καὶ τῷ λόγῳ τῆ ποιᾶ (§. τιθ'.) τετέσιν ὡς ἐκ τῆς καταφάσεως, καὶ τῆς ἀποφάσεως, ἐπιδιπλωσιαδὴ (πάση γὰρ καταφάσει δῆλον ὅτι ἀντιστοιχεῖ ἡ οἰκεία ἀπόφασις.). Αἱ μὲν ἀντιφάσεις τοῖς τεθεῖσιν εἴδεσιν ἰσάριθμοι ἔσονται. Αἱ δὲ Ἀποφάνσεις ἀριθμῷ διπλασίονες. Τετέσι, τέτλαρες καὶ εἴκοσιν ἐπὶ τριχιλίοις. „Ἅμα ἄρα πᾶσαι αἱ ἓν τῷ „περὶ Ἑρμωνείας πυραδεδομέναι ἀντι„φάσεις ἔσονται χίλιαι πεντακόσιαι „δέκα καὶ δύο Προτάσεις δὲ δηλονό„τι διπλάσιαι τέτων, ἦγουν τριχίλιαι „εἴκοσι καὶ τέσσαρες. Ἀμμών. εἰς τὸ περὶ Ἑρμείν.

(ι) Τοῖς μὲν Στωϊκοῖς Ἀξίωμα ἐστὶν ἅπας λόγος ἀποφαντικὸς, ἀπὸ τῆ ἀξιᾶδαι μὲν ἀληθεύων, ἀδετεῖσθαι δὲ ψευδόμενος. (Ὅρα Λαέρτ. εἰς βίον Ζήνων. Κιτλ.) Κυρίως γεμὶν πρότασις ἐστὶ τὸ Ἀξίωμα ὁμολογκμένη τοῖς πᾶσιν, ὡς κρείττων ἅσα καὶ ἀποδείξεως. Καλέσι δὲ τὰ Ἀξιώματα, καὶ κοινὰς ἐννοίας. Ἀξιωματικαὶ δὲ προτάσεις, καὶ αἱ ταυτολογᾶσαι (§. τιή.) καὶ αἱ τὸν ὁρισμὸν, ἤτοι ὅλον, ἢ μέρος κατὰ τῆ ὁρισῆ κατηγορᾶσαι· καὶ ἀνάπαλιν.

λαβεῖν (1). Ταῦτα ἓν πάντα ὑποτίθεται, καὶ ἐδεὶς ἐν αὐτοῖς ὁ ἐνέχων.

§. υιά. Τῶν δὲ Ἀποδεικτῶν προτάσεων τὸ Θεώρημα, πρότασις ἐστὶ θεωρητικὴ δείξεως χρήζουσα. Οἷον ἡ σφαῖρα ἴση ἐστὶ δυσὶ Κυλίνδροις τριτημορίοις, ἧς βάσις μὲν ἡ τῆς Σφαίρας μεγίστη τομὴ, ὕψος δὲ ἡ διάμετρος· Ὁ ἀὴρ ἐστὶ βαρύς. Τὸ δὲ Πρόβλημα πρότασις πρακτικὴ, ἡ προτιθεῖσά τι ποιητέον, ἧς καὶ τινὶ κατασκευῇ δέον ὑποθέσθαι, καὶ τῆς κατασκευῆς τινὶ ἀποδεῖξιν· οἷον Κῶνον κόλουρον ἧς ἡ τομὴ παράλληλος τῇ βάσει τό, τε ὕψος δεδομένον, καταμετρῆσαι. Τὸ τῆς ἀτμοσφαίρας βάρος ὁρῶντες, καὶ εἰπεῖν ὅσον. Τὸ δὲ Πόρισμα πρότασις ἐκ τῆς ἤδη ἀποδειχθείσης ἀμέσως ἐπιφερομένη, μηδὲ χρήζουσα ἄλλης δείξεως. Οἷον ἐπεὶ τὸ ἀπὸ τῆς ὑποτεινούσης τινὶ ὀρθιῇ γωνίαν τετράγωνον ἴσον τοῖς ἀπὸ τῶν περιεχουσῶν, τοιγαροῦν τῷ τριγώνῳ καὶ ἰσοσκελεῖ ὄντος, τὸ ἀπὸ τῆς ὑποτεινούσης τῷ ἀπὸ τῶ σκέλους ἔσται διπλάσιον. Καὶ εἰ βαρὺς ὁ ἀὴρ, ἐκεῖν πιέζειτε καὶ θλίβει τὰ ἐφ' ὧν ἐπίκειται σώματα.

§. υιβ'. Τὸ δέτοι Λῆμμα ἐν μεταχμίῳ κείθω τῶν ἀναποδείκτων καὶ ἀποδεικτῶν· Ὅτι πρότασις ἐστὶν, ἧς ἡ ἀπόδειξις ἐν ἄλλῃ πραγματείᾳ ἀποδοθεῖσα, ἐπὶ τῷ προκειμένῳ ὑποτίθεται. Οἷον ἐάν ὡς Λῆμμά τις ἐκ τῶν Γεωμετρικῶν ὑποθέμενος τὰ ἰσομεγέθητε καὶ ἑτεροχήμονα τῶν Σωμάτων ἀνίσους ἔχειν τὰς Ἐπιφανείας, ἐκ τούτου ἐν τοῖς Φυσικοῖς ἀνασκευάζειν ἐπιχειρῇ τινὶ Ἀριστοτελικῷ περὶ τοῦ τόπου δόξαν, ὅτι τόπος ἐστὶν ἡ ἐχάτη τοῦ περιέχοντος ἐπιφάνεια. Ὡσαύτως ἢ εἴτις ἐκ τῆς περὶ τινὶ Φύσιν θεωρίας τὸ ἀδρανὲς τῆς ὕλης λαβὼν, ἀποδεικνύοι ἐν τοῖς Μεταφυσικοῖς τινὶ τῆς αὐλεσίας ὕπαρξιν.

§. υιγ'. Ἐπὶ τούτοις εἰώθασι καταλέγειν τὸ Σχόλιον, ὃ τὰ πολλὰ ἐκ μοναδικῆ τινὶ προτάσει κεῖται, ἐκ δὲ πλειόνων συγκεκρότηται, δι' ὧν ἔκτε τῆς παρὰ τῶν ἄλλων μαρτυρίας, καὶ ἐκ τῶν ὁμοίων, αἱ προχειρισθεῖσαι προτάσεις διασαφῆνται, καὶ δαψιλέστερόν πως κατασκευάζονται.

(1) Οἷον τὰς παρ' ἐμοὶ μαθητῶν αἰτεῖσθαι εἴωθα, τὸ ἐν ταῖς Ἀκροάσεσι προσέχειν. Τὸ πρὸς βραχὺ ἀποθέσθαι ἀς περὶ τοῦ προκαμόντα προλήψεις φέρουσιν. Οὐ γὰρ τὸ τοῦ χρησμοῦ τόδε „Ἀρκαδίῳ μ' αἰτεῖς, μέγα μ' αἰτεῖς, ἔτοι δώσω.

ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

Περὶ τῆς ἐν ταῖς Ἀποφάνσεσι διπλόης, καὶ τῶν κατὰ ταύτην Εἰδῶν.

§. υιδ'.

Ἐπειδὴ ἐπὶ τῶν Ἀποφάνσεων μία τε καὶ μόνη ἐστὶν ἡ κατηγορία, τουτέστιν ἡ τῷ κατηγορουμένῳ ἐν καταφάσει, ἢ ἀποφάσει κατὰ τὸ ὑποκειμένῳ ἀπόδοσις, αἱ προτάσεις ἁπλαῖ τε καὶ κατηγορικαὶ καλοῦνται καὶ εἰσί. τὸ δ' ἁπλοῦν αὐταῖς, ὅτε μὲν καὶ πράγματι καὶ φωνῇ, ἐν μονολεξίᾳ τῶν ὅρων κειμένων, οἷον ὁ ἄνθρωπος ἐστὶ θνητός. Θεὸς ἐκ ἠλλοίωται. Ὅτε δὲ πράγματι μέν, ἐ φωνῇ δὲ, αἷς ἐν πλήθει λέξεων τὸ μοναδικὸν σώζεται τῆς κατηγορίας. Τέτων δὲ ταῖς μὲν τὸ ὑποκείμενον μόνον, ὅρος ἐστὶ συμπεπλεγμένος (§. σζ'.) ἢ συνθετος, οἷον ἡ τῶν ἀστέρων πληθὺς ἐκ ἀριθμητή. Ταῖς δὲ μόνον τὸ κατηγορούμενον, οἷον ὁ ἔρως ψυχῆς ἐστὶ πάθος. Ταῖς δὲ μόνος ὁ συνδεσμος, οἷον ὁ κύκλος ὁμολογουμένως ἐστὶ περιφερής. Ταῖς δὲ ἀμφότεροι οἱ ὅροι, οἷον ἡ τῦ ἀνθρώπε ψυχὴ θανάτε κρείσσων· ἢ ὁ ἕτερος, καὶ ὁ συνδεσμος, οἷον τὸ τετράπλευρον ἐστὶ πάντως χῆμα τετράγωνον. Ταῖς δὲ πάντα, οἷον τὸ ὠχρὸν μέταλλον καὶ ἀνθρώποις περίτιμον, τῷ ὄντι ἐστὶν ἀγχόνη ψυχῶν (1).

§. υιέ.

(1) „Τὸ περὶ τῶν ἁπλῶν ἀποφάν-„σεων ὑπὸ τῆ Βλεμμίδα (Λογ. Κεφ. „κζ'.) λεγόμενον, ὡς ὅσα καθ' ἑνὸς „ὑποκειμένε λέγεται κατὰ μίαν πρό-„τασιν, εἰς τὰ πάντα κατηγορέμενος „ὀνομάζεται, ἐκ ἀσφαλῶς εἰρῆθαί μοι „δοκεῖ. τί γὰρ, εἰ τῶν κατὰ τὲ ἑνὸς ὑποκειμένε λεγομένων διαφόρων ὄντων, καὶ αἱ κατηγορίαι διαφέρεσαι εἰσίν; οἷον ὁ Βλεμμίδης ὀρθῶς τε, καὶ μὴ ὀρθῶς περὶ τέτε λέγει. τὸ γὰρ εἰρημένον ἐκ ὀρθῶς δήπε. Ὁ δὲ μικρὸν κατωτέρω περὶ τῆ αὐτῆ προσίθησι, καὶ μάλα ὀρθῶς ἔχον ἐστί. τῇ γὰρ ἐν πλήθει φωνῶν τῆ ἀποφαντικῆ λόγε σωζομένῃ ἁπλότητα ἐπιθέμενος. „Ἔν-„θα (φησὶν) ἑκάτερος ὅρος τῶν συμ-„πληρέντων τὴν πρότασιν, μιᾶς τινος „φύσεως ἐστὶ δηλωτικὸς, ὁ ὑποκείμενος „καὶ ὁ κατηγορέμενος, μίαν λέγομεν „εἶναι ταύτην τὴν πρότασιν. Κἂν „ὁρισμὸν ὅλον λάβωμεν ὑποκείμενον, „ἢ κατηγορέμενον, ἢ καὶ ἀμφότερα „ὁμοίως. ὡς ἐὰν εἴπῃ τις τὸ ζῶον λο-„γικὸν θνητὸν κτ. ἐσία ἔμψυχος κτ. „ἐστίν. Ἐνταῦθα γὰρ τὸ ζῶον λογι-„κὸν

§. υιέ. Τȣ̃ γε μὴν τῆς ἀποδόσεως μοναδικȣ̃τε καὶ ἐνιαίȣ ἐπὶ τῶν ἀποφάνσεων μὴ σωζομένȣ, ἀλλὰ ταῖς κατὰ τὴν ἐνδιάθετον κρίσιν συγκαταθέσεσι τῆς κατηγορίας συμπληθυνομένης, ȣ̓κέτι παραμένει τὸ ἁπλȣ̃ν τῇ προτάσει, κἂν ἄλλως τὸ τῆς διπλόης ἐπίτισιν ἧττον εὐφώρατον· οἷον ȣ̓ πρὸς ἔπος ἀπεκρίνατο. Δῆλον γὰρ ὅτι δύο τινὰ κατὰ δυοῖν, τὰ ἐνταῦθα κατηγορȣ́μενα. τὸ μέν τι καταφατικῶς κατ' αὐτȣ̃, ὅτι ἀπεκρίνατο· τὸ δέτι ἀποφατικῶς κατὰ τῆς γενομένης ἀποκρίσεως, ὅτι ȣ̓ συμφώνως ἀπεδόθη τῷ ἐρωτήματι. ὧν καὶ θατέρȣ ἀληθȣ̃ς ὄντος, τȣ̃ ἀποκριθῆναι, δυνατόν ἐςι θάτερον ψεύδεσθαι, τὸ μὴ πρὸς ἔπος. Ὅθεν καὶ τὴν ἐν ταῖς προτάσεσι διπλόην περιεργότερον τῶν παλαιῶν (1) οἱ ὕςερον πολυπραγμονήσαντες, εἴς τε τὴν σαφῆ καὶ ἀνεπτυγμένην διεῖλον, καὶ τὴν, παρὰ τὸ ἀσαφὲς καὶ συνεπτυγμένον, ἐκθέσεως χρήζȣσαν· ὧν καὶ ἡμῖν συντόμως ἐπὶ τȣ̃ παρόντος καταλεκτέον τὰ εἴδη. Τοιγαρȣ̃ν τȣ̃ μὲν πρώτȣ γένȣς εἰσὶν αἱ ἐφεξῆς.

„κὸν κτ. . . . ὡς ἐν λογίζεται ὄνομα, „κἂν ἐκ πολλῶν φωνῶν σημαντικῶν „ὑπάρχῃ συγκείμενον. Αὐτ. αὐτ.

(1) Ἀριςτ. ἐν τῷ περὶ Ἑρμην. „ἔςι „δὲ εἷς λόγος (φησὶν) Ἀποφαντικὸς, „ἢ ὁ ἐν δηλῶν, ἢ ὁ συνδέσμῳ εἷς. ὁ δὲ „Ἀμμών. (Αὐτ.) ἐν δὴ τȣ́τοις συνδέσ„μῳ μὲν ἕνα λόγον ἀκȣςέον εἶναι, λέ„γει, ȣ̓ τὸν ἐν μόναις ταῖς λέξεσιν „ἐπίκτητον ἔχοντα τὴν ἕνωσιν διὰ τὸν „σύνδεσμον, ἀλλὰ τȣ̀ς ἐν τοῖς ὑποθε„τικοῖς καλȣμένοις συλλογισμοῖς, κα„τὰ τὸ συνημμένον, ἢ τὸ διεζευγμένον „λεγόμενον, παραλαμβανομένȣς· οἷον „εἰ Θεὸς ἀγαθὸς, ἀΐδιον τὸ πᾶν. Καὶ ἤτοι ἀΐδιον τὸ πᾶν, ἢ γενητόν. Ἐξ ὧν μόνας τὰς ὑποθετικὰς καὶ διαζευκτικὰς τῶν προτάσεων, τῷ συνδέσμῳ ἑνίζεσθαι ἡγȣ́μενος δοκεῖ. Εἴπερ ȣ̓ν ἐνταῦθα τῆς τȣ̃ φιλοσόφȣ διανοίας ἥψατο ὁ ὑπομνηματιςὴς, ἀπορήσειεν ἄντις εἰκότως. Τῷ γὰρ ὀνόματι τȣ̃ συνδέσμȣ, καὶ τὰ ἄλλα τυχὸν τῶν μορίων, παρὰ τὸ συναπτικὸν, καὶ διαζευκτικὸν, ὁ Σταγειρίτης ἐνόησεν, οἷς οἱ Ἀποφαντικοὶ λόγοι ἑνίζονται, περὶ ὧν ἑχομένως ἐρȣ̃μεν. Καὶ γὰρ κἀκείνοις τὸ ἑναδικὸν ἐνθεωρεῖται ȣ̓κ ἐπικτήτως (ὡς ὁ ὑπομνηματιςὴς φησὶ) κατὰ τὰ ἐν τῷ φακέλλῳ λάχανα, ἀλλὰ κατάτινα πραγματιώδη καὶ φυσικὴν ἀναφορὰν, καθ' ἣν καὶ ἐν τοῖς συλλογισμοῖς πολλάκις, ȣ̓κ ἀχρήςως εἰσὶ παραλαμβανόμενοι. Ἀλλ' ὅπως ἂν ἔχοι τὰ περὶ τῆς διανοίας τȣ̃ φιλοσόφȣ, ἐκεῖνο δῆλον, ὅτι τὴν συνεπιπλοκὴν τῶν διαφερȣσῶν κρίσεων, ὅθεν ἂν, καὶ ὅπως ἔχοι ἐν τῷ ἀποφαντικῷ λόγῳ, συνορᾷν ἐπιςαμένως, καὶ διακρίνειν, τȣ̃ Διαλεκτικȣ̃ ἔργον ἐςί. Διὸ καὶ τȣ̃ περὶ Ἑρμηνείας μέρος τὸ ἐπιςημότερον οἱ καθ' ἡμᾶς κρίνȣσι, τὸ περὶ τὴν ἀνάκρισιν τῶν συνθέτων προτάσεων ἐνασχολȣ́μενον. (Ὅρα ἐν τῇ Τέχ. τȣ̃ νοεῖν, Τμήμ. Β'. Κεφ. έ--ί.)

§. υιϛ'. Ἡ μὲν Ἀναπτυσσομένη, ἧς τὸν ἕτερον τῶν ὅρων, ἐπεμβεβλημένη πρότασις ἄλλη, ἐπὶ τὸ σαφέστερον ἀνακαλεῖ· ἤτοι τὸν ὑποκείμενον, οἷον,

„Κεῖται Σαρπηδὼν, Λυκίων ἀγὸς ἀσπιστάων.

ἢ τὸν κατηγορούμενον, οἷον,

„Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ.

ἢ καὶ τὸν συνδεσμον, οἷον,

„Οἶδα γὰρ, ὥς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος.

τοιαῦται δὲ, καὶ αἱ μετὰ τρόπου πᾶσαι, ὡς δῆλον ἐστὶ τοῦ τρόπου μεταληφθέντος κατηγορηματικῶς (§. υϛ'.).

§. υιζ'. Ἡ δὲ Διοριζομένη, ἧς τὸν ἕτερον τῶν ὅρων ἡ ἐμπίπτουσα συστέλλει ἐπὶ τὸ μερικώτερον. ἤτοι πάλιν τὸν ὑποκείμενον, οἷον,

„Κεῖται ἀνὴρ, ὃς πρῶτος εἰσήλατο τεῖχος Ἀχαιῶν.

ἢ καὶ τὸν κατηγορούμενον, οἷον,

„Τὸν μονιὸν ὄντα, καὶ κακὴ τύχη τρέφει.

Διαφέρει δὲ τῆς ἀνωτέρω, καθ' ὅτι καὶ τῆς ἐπεμβολῆς ἀρθείσης ἐπ' ἐκείνης, ἡ κατὰ τὸ κύριον κατηγορία οὐδὲν ἧττον ἀληθεύσει· ἐπὶ δὲ ταύτης οὐχ οὕτως. ὃ γὰρ συνεσταλμένως τινὶ προσῆκεν, ἀποδιδόναι ἔπειτα τῷ ὅλῳ συστολῆς ἄνευ, οὐκ ἀσφαλές. Ἡ δὲ ἐπεμβολὴ καὶ διὰ τοῦ ἀναφορικοῦ ἄρθρου γένοιτ' ἂν, καὶ διὰ μετοχῆς, καὶ δι' ἐπιθέτου, ὡς ἐκ τῶν τεθέντων πάρεστι συνιδεῖν. Δυνατὸν δὲ καὶ ἐπεμβολὴν ἐπὶ ἐπεμβολῇ γενέσθαι, καὶ τὴν μὲν κατ' ἀνάπτυξιν, τὴν δὲ κατὰ συστολὴν, οἷον,

„Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον Ἄνδρα,
Ὦ λαοίτ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.

τὸ μὲν γὰρ βουληφόρον, συστέλλει τὸ ὑποκείμενον, Ἄνδρα· τὸ δ' ᾧ λαοίτ' ἐπιτετράφαται κτ., ἀναπτύσσει τὸν βουληφόρον (1).

§. υιή.

(1) Σεσημειώσθω, ὅτι τὰ προστακτικά τινες τῶν ῥημάτων, ἰσοδυναμεῖν φασὶ προτάσεσιν οὕτω συνθέτοις, ὧν τὸ κατηγορούμενον ἐμπίπτουσαν ἔχει τὴν τὸ κελευόμενον ἀποφαινομένην. οἷον γρηγορεῖτε, τουτέστιν ἐπιτάσσω ἡμῖν ἐγρηγορότως

§. υιή. Ἡ δὲ Ὑποθετικὴ, ἡ διασὰς προτάσεις, διὰ τῶν μορίων εἰ, ἐὰν, σωιάπλεσα. οἷον ἐὰν ᾖς Φιλομαθὴς, ἔση καὶ πολυμαθής. Καὶ εἰ ἔστι δίκη, ἀπεκδέχεταί τις ἡμᾶς ἐξέτασις τῶν βεβιωμένων. Ταύτης δὲ τὸ μὲν ἐσὶν ἡγέμενον, τὸ κατὰ τιὼ ὑπόθεσιν· τὸ δὲ ἑπόμενον, ὃ ἐπάγεται. Ἡ δὲ τέτων μεταξὺ χέσις σωέπειά τε ἀκέει, καὶ ἀκολθία. Καὶ τὸ ὅλον σωημμένον (1). Ἐφ' οἷς ἓν τὸ ἑπόμενον κατὰ τῆ ἡγεμένε δωατὸν ἐπ' ἀληθείας κατηγορεῖν, ῥάδιον τὰς ὑποθετικὰς ἐπὶ τὰς ἀπολύτες, τὰς ὡς ἐκ τῆ ὑποκειμένε ἀναπλυσομένας (§. υιε'.) ἢ διοριζομένας (§. υιζ'.) μεταχοιχειᾶν, ἐμπιπλέσης τῶ ὑποκειμένῳ τῆς ὑποθέσεως (2)· οἷον σὺ ὁ Φιλομαθὴς ὢν, ἢ ὅς ἤθα Φιλομαθὴς, ἔση κτ. Ἐφ' ὧν δὲ μή, παρὰ τιὼ τῶν ὑποκειμένων διαφοράν, καὶ ιὼ ἄλλως πως ἐκφραθεῖν, τὸ διατὸν τῆς κατηγορίας ἐδ' ἕτω λήσει, ὡς δῆλον ἐπὶ τῆ δευτέρε τῶν παραδειγμάτων, καὶ τῶν ὁμοίων. Καὶ ἀνάπαλιν δὲ, τὰς Ἀναπλυσομένας (§. υιε'.) καὶ Διοριζομένας (§. υιζ'.) ὡς ἐκ τῆ ὑποκειμένε, πρόχειρον ἐπὶ τὰς Ὑποθετικὰς μεταφράζειν. ἐ μόνον δὲ, ἀλλὰ καὶ τὰς ἁπλᾶς αὐτὰς, προσληφθέντος τῆ ἐν τῷ ὑποκειμένε ἀείποτε ἀυπονοεμένε λόγε (δι' ὃν καὶ ἡ κατηγορία ἀληθεύει) δίκιω ὑποθέσεως· οἷον εἰ ὁ ἄνθρωπος λογικὸς, καὶ νῦ, καὶ ἐπισήμης ἐσὶ δεκτικός (3).

γορότως ἔχειν. Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τὰς ἐχθρὰς ὑμῶν. Ἀλλ' ἔτως ἂν καὶ ἐπὶ τῶν θυτικῶν εὕροι ἄντις παραπλησίαν τιὼ σύνθεσιν. καὶ ἡ ἐπεμβολὴ ἀ' τᾶτοις, τὸ ἀ' θυχῆ γινόμενον. οἷον ἐθοιμίσε. τατέσιν εὐχόμοφ, τὸ σε πάντως θεάσαθαι. Ἐπιμνησέον ἔν, ὅτι μόνε τῆ ὁρισικῆ λόγε τιὼ χρῆσιν οἱ Φιλοσοφέντες ἀρᾶνται, τὰς παρ' αὐτὸν τοῖς Ῥήτορσι, καὶ τοῖς Ποιηταῖς παραιτέμενοι. (§. τιά.) Ὅρα καὶ τὰς ἀ' αὐτ. Σημειώσ.

(1) „Οἱ Στωϊκοὶ τὸ μὲν ἑπόμενον „λῆγον καλᾶσι, τὸ δὲ συνημμένον προ„ηγικόν, διότι τρεπόμεθα ἐκ τῆ ἡγε„μένε εἰς τὸ ἑπόμενον. Φιλόπ. εἰς τὸ Α'. τῶν Πρωτ. Ἀναλ. περὶ Ὑποθ. Συλλογ.

(2). Γίνονται δὲ ἐκ τῶν ὑποθετικῶν ἀπόλυτοι αἱ μὲν κατὰ τὸ ὑποκέμενον ἀναπλυσόμενοι. οἷον ἐκ τῆς, εἰ ὁ ἄνθρωπος λόγῳ κεκόσμηται, ὠφέλεια κατὰ λόγον βιᾶν, ἡ, ὁ ἄνθρωπος ὃς λόγῳ κτ., ὠφέλεια κτ. Αἱ δὲ διοριζόμεναι, οἷον ἐκ τῆς, εἰ ὁ ἀετὴρ ἐ σίλβει, ἐσὶ πλανήτης. ἡ, Ἀετὸς ὃς ἐ σίλβει, πλανήτης ἐσί. ταύτη τοι καὶ τῶν ὑποθετικῶν αἱ μὲν ἀληθεύσι καὶ τῆς ὑποθέσεως ἀρθείσης, κατὰ τιὼ πρώτιω. Αἱ δὲ ἐχί, κατὰ τιὼ δευτέραν. Δῆλον δὲ ὅτι, διὰ τιὼ μεταξὺ τῶν Ἀναπλυσσομένων, καὶ Διοριζομένων διαφοράν. (§. υιζ'.)

(3) Τιὼ ὑποθετικιὼ ὁ Ῥιδιγέρος ἐκ ἀξιοῖ πρότασιν ἀποκαλεῖν (ἐ τῷ περὶ Αἰθῆς. Ἀληθ. καὶ ψευδ. Βιβλ. Β'. Κεφ.

§. υιθ'. Ἡ δὲ Αἰτιολογικὴ, ἡ καὶ ἑτέραν συνεπαγομένη πρότασιν, ὑφ' ἧς τὸ τῶν ὅρων συμβατὸν, ἢ ἀσύμβατον αἰτιολογεῖται (1). „Τοιαύτη ἡ τοῦ Στίλπωνος· οὐδὲν ἀπώλεσα· „πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. Οἱ ἐν τοῖς εὐπνόοις τόποις βραδέως γηράσκουσιν, ὅτι τὸ γῆρας σηπεδώντις ἐστίν. Ἐξενεχθείη δ' ἂν ἡ αἰτιολογοῦσα, καὶ καθ' ὑπόθεσιν, καὶ διὰ τοῦ ἐπαναληπτικοῦ ᾖ. Εἰ ἀγαθὸς, καὶ οἰκτίρμων· ὅτι ἀγαθός. ᾖ ἀγαθός.

§. υκ'.

Κεφ. β'. §. ζ'. Σημει. 1. 2. 3.) ὡς ἄντικρυς οὖσαν Ἐνθύμημα, ἐφ' ὧν ἡ ὑπόθεσις, ἤτοι ἀποδεικτικῶς, ἢ πιθανῶς κατασκευάζεσθαι δύναται. Προσίεται δὲ ἐπὶ μόνων τῶν ἁπλῶς δυνατῶν, ἢ ὡς δυνατῶν ἀναπλαττομένων· ταυτὸν εἰπεῖν ἐπὶ τῶν φύσει ἀδυνάτων, οἵα ἡ πολυθρύλλητος (φησὶν) αὕτη. Εἴπερ ὁ ὄνος ἵπτατο, φέροι ἂν πτέρυγας. Οὐδεὶς γὰρ προσλαβὼν ἂν προσθείη. Ἀλλαμὴν ἵπταται· οὐ γὰρ ἂν, εἴπερ, ἀποδείξειεν, οὐδ' ἂν πείσειεν. Ἔνθεντοι οὐδ' ἔχει τινὰ συντέλειαν εἰς κατασκευὴν συλλογισμοῦ αὕτη. ὥστε συνελόντας εἰπεῖν, ἤτοι πρότασις ἡ ὑποθετικὴ οὐδόλως ἐστὶν, ἢ ἐφ' ὧν ἐστὶν, εἰς συλλογισμοῦ σύστασιν οὐδὲν συντελεῖ. Ἀλλ' ὅτι μὲν πρότασις ἐστὶ, καί τοιγε τῶν συνθέτων, αὐτόθεν φανερὸν, ἐπεὶ καὶ δισσὰς ἐννοιῶν σχέσεις ἀλλήλαις συνάπτει διὰ καταφάσεως, ἢ ἀπ' ἀλλήλων διΐστησι δι' ἀποφάσεως. Καὶ μήμοι, ὅτι τοῦτο καὶ ὁ συλλογισμός. Ἐκεῖνος μὲν γὰρ διὰ μέσου, ἡ δὲ Ὑποθετικὴ καὶ ἀμέσως, ᾗπου δῆλον ἐν οἷς καθ' ἑαυτὴν ἐναργὴς, καὶ ἀναπόδεικτος ἐστὶν ἡ σχέσις τῶν σχέσεων. οἷον εἰ ἔστιν ὅλον, ἔχει μέρη. Ὅμοιον γὰρ ἐνταῦθα, ὥσπερ ἐπὶ τῶν Μαθημάτων συμβαίνει, ἔνθα καὶ λόγους λόγων ἐστὶν ἰδεῖν τιθεμένους, ἐν ἰσότητι, ἢ ἀνισότητι πρὸς ἀλλήλους ἔχοντας. Ὅτι δὲ καὶ τῆς ὑποθετικῆς οὐ φαύλητις γίνεται ἐπὶ τῶν ἀποδείξεων ἡ χρῆσις, δῆλον αὖθις ἐπὶ τῶν Γεωμετρικῶν. Ἐκ γὰρ τῆς ἐν ὑποθέσει ἀποφαινομένης, ὡς ἐὰν τοῖς ἴσοις ἴσα προσθῇς τὰ ἀθροιζόμενα ἴσα ἔσται, καὶ τῶν παραπλησίων, ἃς δίκην ἀξιωμάτων ὑποτιθέασι, μυρία ὅσα θεωρήματα, καὶ προβλήματα ἀποδείκνυται. Ναὶ, φησὶν, ἀλλὰ τὴν ὑποθετικὴν ἐν τούτοις, εἰς τὴν ἀπόλυτον ἐστὶ μεταλαβεῖν. Πάντως. Ἀλλ' ὅτι δὴ καὶ τὴν ἀπόλυτον εἰς τὴν ὑποθετικὴν, καὶ αὐτὸς ὁμολογησάτω. (§. υιή.) Οὕτω καὶ γὰρ, εἰ δι' ἐκείνης, τί μὴ καὶ διὰ ταύτης συλλογισμὸς συσταθήσεται, τῆς αὐτῆς τῇ προτάσει σωζομένης δυνάμεως; Καὶ ὃ δὲ περὶ τῆς τὸ φύσει ἀδυνάτως ἔχον ὑποτιθείσης φησὶν, ὅτι πρότασις μὲν ἐστὶν, οὐμὴν δὲ καὶ εἰς κατασκευὴν συλλογισμοῦ ὑπουργοῦσα, οὐδ' ἐκεῖνο οἶμαι ὀρθῶς ἔχει λεγόμενον. Ὑπουργεῖ γὰρ εἰς συλλογισμὸν καὶ αὐτὴ, καὶ μάλα· μόνον ἐὰν κατὰ τὸ δέον ληφθῇ· τουτέστιν εἰ μὴ καταφατικῶς, ἀποφατικῶς δὲ, οἷα καὶ δεῖ, νοηθείη. Ἀποφατικαὶ γὰρ εἰσὶν ἄντικρυς, αἱ τὰ ἀδύνατα ὑποτιθεῖσαι. οἷον εἰ ἀλλάξεται Αἰθίωψ τὸ δέρμα αὐτοῦ. τοῦτο γὰρ ἐστὶν οὐκ ἀλλάξεται. οὕτως οὖν κἀπὶ τῆς θρυλλουμένης οὔτε πτερωτός ἐστιν ὁ ὄνος, οὔθ' ἵπταται.

(1) Οὐδ' αὕτη δὲ ἡ τὴν Αἰτιολογίαν φέρουσα, τοῖς Διαλεκτικοῖς κομιδῇ ἀχρηστεῖ, ὡς τῷ Ῥιδιγέρῳ (ἔνθα ἀνωτ. §. ή.) δοκεῖ. Συντελεῖ γὰρ εἰς βραχυλογίαν τοῖς συλλογιζομένοις, ὡς ἐν τοῖς περὶ τοῦ Αἰτιολογικοῦ συλλογισμοῦ εἰρήσεται.

§. υκ'. Ἡ δὲ Ἀναφορική· οἷον ἐκεῖσε ἡ Ῥώμη, ὅπȣ ποτ' ἂν ὁ βασιλεὺς ᾖ. ὅσον εὔφραινες ἄδων, τοσȣ̃τον ἔχαιρες ἐλπίζων.

§. υκά. Ἡ δὲ Ἐξομοιωτικὴ, ἢ Παραβολική· ὥσπερ ἰὸς σίδηρον, ȣ̃τω τὸ ἴδιον πάθος τȣ̀ς πονηρȣ̀ς κατεσθίει. Μιμοῖτο δ' ἂν καὶ τὴν Αἰτιολογȣ̃σαν, παρασυναπτικῶς τȣ̃ ὁμοίȣ παραβαλλομένȣ. Τὰ πράσα συμφέρει πρὸς εὐφωνίαν, ἐπεὶ καὶ τοῖς πέρδιξιν.

§. υκβ'. Ἡ δὲ Ἐναντιωματικὴ, οἵα ἡ τȣ̃ Εὐτύȣ·

„Κ' τὤ με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω.
„Καὶ .... βραχὺς μὲν δέμας, ἀλλὰ μαχητής.

Καὶ ἐφ' ὧν δὲ ἀπόφασις καταφάσει συμπλέκεται· οἷον τὸ ἁλυκὸν ὕδωρ τὰ μὲν σέλινα δέχεται, τὸ δὲ πράσον ȣ̔.

§. υκγ'. Ἡ δὲ Συμπλεκτική· πῇ μὲν θετικῶς· οἷον

„Τ' ἀργύριον ἐστὶν αἷμα καὶ ψυχὴ βροτοῖς.

Πῇ δὲ καὶ ἀποφατικῶς· ȣ̔τ' αὐτὸς ἑκώντι ποιεῖς, ȣ̔τ' ἄλλȣς ἀφίης. Καὶ ἡ παροιμιώδης, ȣ̔θ' ὕεται ȣ̔θ' ἡλιȣ̃ται. Ἐνίοτε δὲ καὶ τῶν συνδέσμων ὑπεξακȣομένων· ἥξεις, ἀφήξεις, ȣ̔ θνήξεις ἐν πολέμῳ. Τῆς δὲ ὑποδιαστολῆς κατὰ τὸ ἀφήξεις ȣ̔, γενομένης, ἡ μὲν τῶν συμπλοκῶν ἔσται Ἐναντιωματικὴ, ἡ δὲ Αἰτιολογική. ἥξεις μὲν γὰρ, ἀλλ' ȣ̔κ ἀφήξεις, διότι θνήξεις ȣ̔ν τῷ πολέμῳ.

§. υκδ'. Ἡ δὲ Διαζευκτική· οἷον δεῖ κτᾶσθαι νȣ̃ν, ἢ βρόχον. Καὶ ἢ πέντε πίνειν, ἢ τρία, ἢ μὴ τέτταρα. Ἐνίοτε δὲ καὶ ὑπὸ τοῖς συμπλεκτικοῖς τῶν μορίων, τὴν Διάζευξιν ὑπονοητέον. οἷον „ἅπαντα καὶ μένει καὶ κινεῖται, βίᾳ καὶ κατὰ „φύσιν (1). Ἐναπαιτȣ̃νται δὲ τῇ Διαζευκτικῇ προτάσει πρὸς ἀκρίβειαν, ὅ, τε δεύτερος (§. ρνή.) καὶ ὁ τέταρτος (§. ρξ'.) τῶν ὅρων τῆς ἀκριβȣ̃ς διαιρέσεως.

§. υκέ. Τȣ́των ȣ̔ν ἡ μὲν συνθεσις καταφανὴς, τὸ δ' ἐλλιπὲς ἐφ' ἑκάστης εὐέλεγκτον, εἰμὴ τὸ πρᾶγμα τῷ ὀνόματι συμβαί-

 νοι.

(1) Ἀριστ. Βιβλ. Α'. Κεφ. ή. περὶ Οὐρανȣ̃. Διὸ καὶ καλῶς σεσημείωται, (Ῥιδιγ. Βιβλ. Β'. Κεφ. β'. §. ιβ'.) ἐκ τῆς διανοίας μᾶλλον, ἢ ἐκ τῶν μορίων χρῆναι τὰς τοιάσδε προτάσεις πολυπραγμονεῖν.

νοι. Οἷον ἐπὶ μὲν τῶν Ἀναπλυτομένων (§. υιϛ'.) καὶ τῶν Διοριζομένων (§. υιζ'.), ἐμὴ κατὰ τὸ δέον, ἡ μὲν τῶν ἐπεμβολῶν, διασαφοῖ τὸν ὅρον, ἡ δὲ συσέλλοι. Ἐπὶ δὲ τῆς Ὑποθετικῆς (§. υιή.) εἰ μὴ τὰ τῆς ὑποθέσεως ἔρρωται. Καὶ τὰ τῆς ἀποδιδομένης δὲ αἰτίας, ἐπὶ τῆς Αἰτιολογικῆς (§. υιθ'.). Ἥτε ἀναφορὰ, καὶ ἡ ὁμοιότης, καὶ ἡ ὑπεναντίωσις, (§. υκ'. υκά. υκβ'.) ἥτε κατὰ τὴν συμπλοκὴν εἰς ταυτὸ τῶν πλειόνων συνέλθοσις (§. υκγ'.), καὶ ἡ κατάτινα ἀντίθεσιν, ἢ διαφορὰν ἀνελλιπῶς ἔχουσα διάζευξις, (§. υκδ'.), ἐπὶ τῶν Ἐπωνύμων. Ἀλλὰ γὰρ ἔστι καὶ γένος ἄλλο συνθέτων Ἀποφάνσεων, ὧν ἡ διπλόη, διὰ τὸ ἀσαφὲς καὶ συνεπλυγμένον (§. υιέ.), ἐκθέσεως ἐστὶ χρήζουσα. τοιαῦται δὲ εἰσίν.

§. υκϛ'. Ἡ Ἀποκλειστικὴ, ἡ κατηγορῆσαι τῷ ὑποκειμένῳ, ἢ ὑποτάσσεσθαι τῷ κατηγορουμένῳ, καὶ παρ' αὐτὸ τὰ λοιπὰ ἀποκλείσασα. οἷον τὰ χρήματα εἰσὶ μόνον ὀργανικὰ ἀγαθά. Καὶ ἡ σοφία μόνη τῶν κλημάτων ἐστὶν ἀθάνατον. Τέτων γὰρ ἡ μὲν, μόνα τὰ ὀργανικὰ ἀγαθὰ τῶν χρημάτων κατηγορήσασα, ἡ δὲ μόνῃ τῇ σοφίαν τῷ ἀθανάτῳ κλήματι ὑποτάξασα, παρὰ ταῦθ' ἃ ἐπαγήοχασι, καὶ ἀπόφασίν τινα τῶν ἀποκλειομένων ὑπεξακέειν παρέχονται (1). Τῆς δ' αὐτῆς δυνάμεως τῷ μόνος, καὶ τὸ πρῶτος ἐστὶν, ἢ ἔσχατος, ἐπὶ τῶν Ἀποφάνσεων, καὶ ὅσα ἁπλῶς διαφορὰν, ἢ ὑπεροχὴν τινὰ κατὰ πάντων δηλοῦντα εἰσάγεται. οἷον πρῶτος Ἑλλήνων πέπλωκεν ὁ Πρωτεσίλαος. Πρεσβύτατος τῶν Ἑλληνικῶν ἦλθεν εἰς Τροίαν ὁ Νέσωρ. Τῇ γᾶν

„Θερσίτης δ' ἔτι μοῦνος ἀμετροεπὴς ἐκολώα·

ὁμοειδὴς ἐστὶν, ἢ

. . . . . αἴχιπος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε.

§. υκζ'. Ἡ Ἐξαιρετικὴ, ἡ ἐξαιρῆσαι, ἢ τινὰ τῷ ὑποκειμένῳ, ἢ τῷ κατηγορουμένῳ, τῶν πλειόνων (καθ' ὃ καὶ τῆς ἀνωτέρω διαλήσοχεν) ὑπολειπομένων. οἷον ἅπαντες, πλὴν τῶν ὑπὸ τὸν

(1) „Ἔστι δὴ τὸ μόνον προσδιορισ-
„μός τις, ἃ μάτοι ἁπλᾶς .... Ἀλ-
„ὰ ἐνεργείᾳ μὲν περὶ τῷ ὧδε τῷ ὦ τῇ
„προτάσει λεγομένῳ τῇ ἀπόφανσιν
„ποιέμενος, δυνάμει δὲ καὶ περὶ τῶν
„ἄλλων, τῶν τε ὄντων, καὶ τῶν μὴ
„ὄντων. Διὸ καὶ σύμμικτος ἐκ τῷ
„ἑτέρᾳ τῶν καταφατικῶν προσδιορισ-
„μῶν, καὶ μόνᾳ τῷ καθόλᾳ τῶν ἀπο-
„φατικῶν. Ἀμμών. εἰς τὸ περὶ Ἑρμ.

τὸν ἰσημερινὸν τὴν οἴκησιν ἐχόντων, τὸν ἕτερον τῶν πόλων ὁρῶσιν ὑπὲρ τὸν ὁρίζοντα. Νοεῖται γὰρ ὡς ἐκείνοις, ὀρθὴν ἔχουσι τὴν σφαίραν, οὐδέτερος τῶν πόλων καταφανής ἐστιν ἐν ἐξάρματι. Ῥᾷστα δὲ εἰς τὴν ἀνωτέρω (§. υκϛ΄.) μεταλαμβάνεται. Οὐδεὶς ἀγαθὸς, εἰμὴ εἷς ὁ Θεός· μόνος ὁ Θεὸς ἀγαθός. ἥτε διπλόη κἀνταῦθα δήλη.

§. υκή. Ἡ Συγκριτικὴ, οἷον·

„Πολλοῦ γὰρ χρυσοῦ, καὶ πλούτου κρείσσων Πάτρα.

Ὑποδηλοῦται γὰρ καὶ ταῦτα μέντως καλὰ νομίζεσθαι καὶ θυμήρη, ἐκείνην δὲ διαφερόντως, καὶ ὑπὲρ ταῦτα. Τὴν δὲ δὴ παράθεσιν, ἐν οἷς τοῦ αὐτοῦ μέτεστι θετικοῦ ποιητέον (1). Γελοῖον γὰρ τοῦ Θερσίτου λέγειν τὸν Νιρέα καλλίονα. Εἰ δὲ καὶ κρεῖσσον εἴρηται θανεῖν, ἢ πένεσθαι. Καὶ κρείσσων δὲ, πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης. Τό γε μὴν κρεῖσσον, ἔστι μὲν ὅτε ἀντὶ τοῦ ἧττον κακοῦ ἐκδεκτέον, ὡς ἐπὶ τοῦ θανεῖν, ἢ πένεσθαι. καθ' ὃ καὶ τὸ μὴ χεῖρον βέλτιστον λέλεκται. ὁτὲ δὲ ἀντὶ τοῦ θετικοῦ τὸ συγκριτικὸν, ἔθει Ἀττικῷ, τοῦ μορίου τῆς παραθέσεως ἀρνητικῶς ἐκλαμβανομένου. Τὸ γὰρ καὶ ἐν πενίᾳ δικαιοσύνην ἀσκεῖν καλὸν, τὸ δὲ καὶ πλουτοῦντα δολιεύεσθαι αἴσχιστον.

§. υκθ΄. Ἡ Ἐπαναληπτικὴ, ἐν ᾗ κατ' ἐπανάληψιν ὁ Εἰδικός τε, καὶ αἰτιώδης λόγος, ἀμέσως, ἢ γοῦν ἐμμέσως ἐνδείκνυται, καθ' ὃν τελεῖται ἡ κατηγόρησις (§. σκγ΄.). οἷον τὸ ζῶον, ᾗ τοιοῦτον αἰσθάνεται, καὶ ὁ ἄνθρωπος ᾗ ζῶον. Καὶ ἰατρὸς, καθ' αὑτὸ, ἰᾶται· ῥάδιον δὲ τὴν Ἐπαναληπτικὴν, εἰς τὴν Αἰτιολογοῦσαν (§. υιθ΄.), μεταλαβεῖν, καὶ τὴν Ὑποθετικὴν (§. υιή.) καὶ τὴν Ἀναπτυσσομένην (§. υιϛ΄.).

§. υλ΄. Ἡ Ἀρκτικὴ, ἡ ἤδη πρῶτον ἄρχεσθαίτι γίγνεσθαι παραφαίνουσα· οἷον ὁ Σείριος ἐπιτέλλει. δηλοῦται γὰρ καὶ τὸ ἤδη, καὶ τὸ μήπω πρότερον. Τοιαύτη ἡ τοῦ Χρυσίππου πρὸς τὸν ἐπὶ προσηνεῖ καὶ ἡρεμαίᾳ τῇ διαλέξει, διὰ τὸν προσιόντα ὄχλον,

(1) Τὸν Λουκιανὸν εἰπόντα, καί τοιγε ἡ φύσις τοῖς πατράσι τοὺς παῖδας μᾶλλον, ἢ τοῖς παισὶ τοὺς πατέρας ἐπιτάττει φιλεῖν, οὐκ ἐν δίκῃ αἰτιᾶσθαι μοι δοκοῦσιν, ὅτι τὸ φιλεῖν οὐκ ἐπιτάσσεται, ὡς φασὶν, Amor non praecipitur, sed ab omni lege immunis est. Τὴν γὰρ ἔμφυτον πρὸς τὰ ἴδια τέκνα ῥοπὴν, καὶ στοργὴν, οὐκ ἄντις ἁμάρτοι νόμον φύσεως ὀνομάσας.

ὄχλον, θρασυύεσθαι ἀρξάμενον, καὶ θερμότερον διαφιλονεικεῖν. οἶμοι κασίγνητε, ὄμμα σὸν ταράσσεται· ἦτοι θωρυβεῖν ἤρξω μέχρι τοῦ δὲ ἡρέμα διαλεγόμενος.

§. υλά. Ἡ Δηκτικὴ τέως, ἡ, ὑπεναντίως τῇ ἀνωτέρω, δεικνῦσατι ἤδη τὸ εἶναι παυόμενον. οἷον ὁ λύχνος σβέννυται. ἢ ἀρτίως παυσάμενον· οἷα ἡ περὶ τοῦ ἀσεβοῦς. Καὶ παρῆλθον, καὶ ἰδὲ ἐκ ἰῶ. Καὶ ταῦτα δὴ τῶν ἀνεπλυγμένως, ἢ σωεπλυγμένως σιωθέτων εἴδη προτάσεων τὰ κυριώτερα.

§. υλβ'. Ἀριθμεῖθωσαν δ' ἐν τέτοις, καὶ αἱ ἐξ ὁμωνυμίας (§. σί.) ἔχσαί τινα διπλόϊω, οἷον τό δὲ Κάτων εἶπε. πότερος γὰρ ὁ πρεσβύτερος, ἢ ὁ νεώτερος; (1). Καὶ αἱ κατ' ἔκτασιν χρονικὴν (§. σλά.) κατηγορῆσαι τὰ μὴ συμβαίνοντα, οἷον χωλοὶ περιπατῆσι, καὶ κωφοὶ ἀκέσσι. Καὶ αἱ κατὰ τὸ Ἐνεστὼς τοῦ χρόνε ἐπαγγελλόμεναι τὸ ἐσόμενον. οἷον προπίνω σοι. καὶ σιγῶ. τὸ γὰρ αὐτίκα ἔπειται, διὰ τὸ βέβαιον, ὡς ἤδη παρὸν, διὰ τέτων ἐκφέρεται. Καὶ αἱ πρακτικαὶ, μᾶλλον δὲ παρακτικαὶ, αἱ αὐτὸ ἐκεῖνο ἐκτελῆσαι ὃ λέγεσιν· ὡς εἴτινα, φέρε, εἰπὼν ὁ βασιλεὺς, ὅτι Ὕπατος εἶ, αὐτίκα τῷ λόγῳ ὑπατικὸν ἀναδείξειε. Τοιαύτη, τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς ἐρανοῖς. Καὶ αἱ τοῖς παιδολέχαις δὲ προβαλλόμεναι Κροκοδείλειοι, ἃς παρὰ τῷ ἀκόντι ἐξὶν ἀληθεύσας ἀναδεῖξαι, ἢ ψευδομένας. οἷον πότερόν σοι δώσω, ἢ ἃ δώσω (2); Αἱ γὰρ τοιαῦται, καὶ αἱ παραπλήσιαι, ἐκθέσεώς τινος ἐπιδεεῖς εἰσί.

§. υλγ'. Ἐπὶ δὲ ταύταις τακτέον, καὶ τὰς κρυπτικὰς καλεμένας παρὰ τοῖς ὕστερον (3) Ἀποφάνσεις, τὰς ὁπωσοῦν διαλανθα-

(1) „Ὡς ὅταν εἴπητις, Αἴας ἐμο-„νομάχησεν Ἕκτορι, μὴ προσδιορισά-„μενος, περὶ ποτέρε τῶν Αἰάντων ὁ „λόγος αὐτῷ. Ταύτῃ γὰρ τῇ πρό-„τασιν οἶδεὶς οἶμαι τῶν ἐξετασικῶν, „μίαν ἐρεῖ, τὴν καὶ ψευδομένην ἅμα, „καὶ ἀληθεύσαν, διὰ τὴν ὁμωνυμίαν. Βλεμμίδ. Ἐπιτ. Λογικ. Κεφ. κς'.

(2) Ἐπὶ τέτων γὰρ γελοῖον ζητεῖν, πότερα δὴ, ἀληθείας, ἢ ψεύδες εἰσὶν ἐχόμεναι, ὡς τᾶτο παρ' ἄλλο ὄν, τῷ πρὸς ὃν ὁ λόγος. Ὁπότερον γὰρ ἂν εἰρήκει ἡ κατὰ τὸν μῦθον Αἰγυπτία περὶ τοῦ παιδὸς, εἴθ' ὡς ἀποδοθήσοιτο αὐτῇ, εἴθ' ὡς ἐχεῖ, παρὰ τῷ Κροκοδείλῳ δήπε ἦν, ἦτοι ἀληθεῦον, ἢ ψευδόμενον ἀποδεῖξαι ἑκάτερον. Ὅρα Λεκ. ἐν τῷ Βίων Πράσ. Καὶ ἐν Νεκρ. Διαλ. Διογ. καὶ Πολυδ.

(3) Οὐολφ. Λογ. §. 313. καὶ παρὰ τοῖς ἄλλοις. Ἀλλὰ καὶ τῶν παλαιῶν οἱ περὶ Ἀριστ. κρύψιν ἐκάλεν τὴν μέθοδον, δι' ἧς οἷοντε λανθάνειν τὸν συλλογιζόμενον τὸ προκείμενον. Ἀλέξ. Ἀφροδισ. ἐν τοῖς Τοπικ. Βιβλ. ή.

λαυθανέσας. οἵας εἶναι τὰς μὲν, φασὶ, παρὰ τὸ ἀσαφὲς τῆ ποσῆ, ὡς οἱ Ἀπροσδιόριστοι πᾶσαι (§. υά.). Τὰς δὲ παρὰ τὸν τῆ ὀνόματος πλαγιασμὸν (§. τγζ΄.), ἢ παρὰ τλιὼ τῶν ὅρων μετάθεσιν (§. αὐτ.). Τὰς δὲ ἢ ἐκ τῆς ἀμφιβαλλομένης ποιότητος, ὡς ἐνίοτε συμβαίνει ἐπὶ τῶν ἀορίστων (§. υγ΄.).

ΚΕΦ. ΠΕΜΠΤΟΝ.

Περὶ τῆς ἐν ταῖς Προτάσεσιν Ἀντιθέσεως.

§. υλδ΄.

Τλιὼ Ἀντίθεσιν, ἐκ ἐν ἁπλαῖς φάσεσι καὶ ὅροις, ὡς ἐν ἄλλοις (§. ργέ.), θεωρεμένλω, ἀλλ᾽ ἐν τοῖς ἀποφαντικοῖς τῶν λόγων, μάχλω εἶναι ὁριζόμεθα τῶν προτάσεων, τῶν τὰ ὁπωσῆν ἀντικείμενα κατὰ τῆ αὐτῆ κατηγορεμένων. Τλιὼ δὲ μάχλω, πῆ μὲν τῆ δλωάμει τῆ κατηγορεμένε ὅρε συμβαίνεσαν, πῆ δὲ καὶ ὡς ἐκ τῶν προσδιορισμῶν, ἢ τῶν τρόπων, ἢ καὶ μόνε τῆ ἀρνητικῆ μορίε καταλλήλως τατλομένε, πανταχόθεν ἡμῖν ἐπὶ τῶν προτάσεων θεωρητέον.

§. υλέ. Καὶ ὡς μὲν ἐκ τῆ κατηγορεμένε, κατὰ τὰς ἐν τοῖς ἁπλοῖς ὅροις ἀντιθέσεις (§. ργέ.), τριχῶς. Ἡ γὰρ κατ᾽ ἀντίφασιν, ὡς ἐκ τῆς τῆ ἀρνητικῆ μορίε δλωάμεως ἔσα, ταῖς ἐκ τῶν κατηγορεμένων ὅρων σιωισαμέναις διαμάχαις συγκαταλεκτέα ἥκιστα δοκεῖ. Δυεῖν τοίνιν προτάσεων, ἤτοι θάτερον ἢ μὲν τῶν ἐναντίων κατηγορεῖ, ἢ δὲ τῆ αὐτῆ τὸ ἕτερον. οἷον τὸ ὕδωρ ἐςὶ θερμὸν, τὸ ὕδωρ ἐςὶ ψυχρόν· καὶ ἡ μάχη ἔσαι κατ᾽ ἐναντίωσιν. Ἢ τῆ αὐτῆ ἢ μὲν τλιὼ ἔξιν, ἢ δὲ τλιὼ ςέρησιν· οἷον παῖδες Ἑλλιώων εἰσὶ σοφοὶ, εἰσὶν ἀπαίδευτοι. Ἢ τέως, ἢ μέν τινα χέσιν, ἢ δὲ τλιὼ ἀντίξεν. οἷον ὁ ἐρανὸς κινεῖ, ὁ ἐρανὸς κινεῖται. Καὶ ἡ τοιαύτη μάχη ἔσαι χετική.

§. υλς΄. Τέτων αἱ μὲν ἐναντίαι, καὶ αἱ ςερητικαὶ, τῆ αὐτῆ ἅματε καὶ κατὰ τὸν αὐτὸν χρόνον ὑποκειμένε, σιωαληθεύεσι μὲν ἐδέποτε· τὰ γὰρ ἐναντία ὑπ᾽ ἀλλήλων φύσει ἐκκρύεται, καὶ τὸ ςερηθὲν τλιὼ ἔξιν ἀπέθετο. Συμψεύδεσθαι δὲ, τὰς μὲν ἐναντίας ἐνδέχεται, ἐφ᾽ οἷς ἐςὶ λαβεῖντι μέσον, οἷον ὅτι ψυχρὸν τὸ ὕδωρ, καὶ ὅτι θερμὸν, χλιαρὸν ὄν. Καὶ ἐφ᾽ οἷς τὸ

τὸ μὴ δεκτικὸν ὑπόκειται· οἷον ὅτι ὁ ἀὴρ λευκὸς, καὶ ὅτι μέλας. Καὶ ἐφ' οἷς τὸ μὴ ὄν· τῷ γὰρ μὴ ὄντι περίεστι πάντως οὐδέν. Τὰς δὲ ἑκτικάς τε καὶ στερητικὰς ἐφ' ὧν τε μέσον ἐστὶ λαβεῖν. οἷον ὅτι ὁρῶν, καὶ ὅτι τυφλὸς, ἐπὶ τοῦ καμμύοντος, ἢ ἀμβλυωποῦντος. Καὶ ἐπὶ τῶν μὴ δεκτικῶν, καὶ ἐπὶ τῶν μὴ ὄντων ὡσαύτως. Καὶ αἱ σχετικῶς δὲ μαχόμεναι καὶ συναληθεύειν πεφύκασι, πρὸς ἕτερον δηλονότι ὅρον τῆς ἀναφορᾶς γινομένης· οἷον ὁ Φίλιππος ἐστὶν υἱὸς, ἐστὶ πατήρ. Καὶ συμψεύδονται, ἐπίτε τῶν μὴ ὄντων, καὶ τῶν μὴ δεκτικῶν, καὶ τῶν τῆς σχέσεως ἀμοιρούντων. οἷον ἐμέγε πατέρα τε καὶ υἱὸν εἴ τις ὀνομάσει ψεύσεται. Καὶ θάτερον δὲ πάσχουσιν ἐφ' οἷς τὸ ὑποκείμενον πρὸς τὸ ἀντισχετικὸν ἀποπέφυκεν, οἷον ὁ Θεὸς κινεῖ μὲν, οὐ κινεῖται δέ. καὶ ἐφ' οἷς οὐκ ἔχει· οἷον ἡ ἐξωτάτω σφαίρα περιέχει μὲν, οὐ περιέχεται δέ. Καὶ ὁ δεῖνα υἱὸς μὲν ἐστὶ, πατὴρ δὲ οὔ. ἢ ἀνάπαλιν.

§. υλζ'. Τὴν δὲ Ἀντίθεσιν ὡς ἐκ τῶν προσδιορισμῶν συμβαίνουσαν, ἢ καὶ ἐκ μόνης τῆς ἀρνήσεως (§. υλδ'.) ἐπὶ τῶν ἀπροσδιορίστων, μάχην εἶναι σὺν Ἀριστοτέλει πάντες ἀπέδωκαν δυεῖν προτάσεων, τὸ αὐτὸ ὑποκείμενον καὶ κατηγορούμενον ἐχουσῶν.

§. υλή. Καὶ ἐπὶ μὲν τῶν προσδιωρισμένων, κατὰ τὸ ποιὸν, ἢ τὸ ποσὸν, ἢ ἐξ ἀμφοῖν, παρακολουθοῦσαν τὴν μάχην, οἱ προσόντες προσδιορισμοὶ (§. υά. υβ'.) ἐμποιοῦσιτε καὶ ἐλέγχουσιν. ὧν γὰρ, τῇ μὲν ὁ Πᾶς, τῇ δ' ὁ Οὐδεὶς πρόσκειται, καθόλου μὲν ἄμφω ποσούμεναι, τῷ δὲ ποιῷ διϊστάμεναι μόνῳ, Ἐναντίαι τε εἰσὶ, καὶ εὐλόγως ἀκούουσι· συναληθεύειν μὲν κατὰ τὴν τῶν ἐναντίων φύσιν (1) μηδέποτ' ἐθέλουσαι, ἐνίοτε δὲ, ὡς εἰρήσεται, συμψευδόμεναι. οἷον πᾶς ἄνθρωπος λογικός· οὐδεὶς λογικός.

(1) „Ὀνομάζουσιν ἐναντίας ταύτας, „ὅτι τῶν ἐναντίων εἰς ἄμεσα διαιρου„μένων καὶ ἔμμεσα, αἱ προτάσεις αὗ„ται, κατὰ μὲν τὴν ἀναγκαίαν, καὶ „τὴν ἀδύνατον ὕλην, τοῖς ἀμέσοις „ἐναντίοις ἐοίκασιν, ὧν τὸ ἕτερον ἐξ „ἀνάγκης πάρεστι τῷ ὑποκειμένῳ . . . „κατὰ δὲ τὴν ἐνδεχομένην τοῖς ἐμμέ„σοις, ὧν δυνατὸν μηδέτερον παρεῖναι „τῷ ὑποκειμένῳ . . . ἢ ὅτι τὰ ἐναντία „συνυπάρχειν μὲν ἀλλήλοις κατ' ἐνέρ„γειαν ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου ἀδύνα„τον, ἅμα δὲ αὐτοῦ ἀπεῖναι δυνατὸν „. . . . ἢ ὅτι τὰ ἐναντία πλεῖστον ἀλλή„λων διέστηκε τῶν ὑπὸ τὸ αὐτὸ γένος. „Οὕτω δὲ αὗται πρὸς ἀλλήλας ἔχου„σιν, εἴπερ ἡ μὲν ἅπασι, φησὶ τοῖς „ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις τὸ κα„τηγορούμενον ὑπάρχειν, ἡ δὲ οὐδενί. Ἀμμών. εἰς τὸ περὶ Ἑρμην.

γικός. Ὧν δὲ, ὁ Τὶς, καὶ ὁ Οὐ πᾶς, ἐπὶ μέρους μὲν ποσούμεναι, τῷ δὲ ποιῷ καὶ αὐταὶ διακρινόμεναι, Ὑπεναντίαι καλοῦνται, ὡς ὑπὸ τὰς ἐναντίας ταττόμεναι (1)· οἷον τὶς ἄνθρωπος πένης· οὐ πᾶς πένης. Ἃς δὲ ὁ Πᾶς, καὶ ὁ Τὶς προσδιορίζει, ἢ ὁ Οὐδεὶς καὶ ὁ Οὐ πᾶς, αὗται ποιότητος μὲν κοινωνοῦσαι τῆς αὐτῆς, ποσότητι δὲ διαφέρουσαι, Ὑπάλληλοι προσαγορεύονται· ὡς ἄρα τούτων ἄλλης ὑπ' ἄλλῃ, τουτέστι τῆς ἐν μέρει τῇ καθόλου ὑπαγομένης τε, καὶ συνεισαγομένης· οἷον πᾶς ἄνθρωπος λογικὸς, καὶ τὶς λογικὸς· οὐδεὶς ἄνθρωπος λίθος, καὶ οὐ πᾶς λίθος. Κἀκείνην συναναιρούσης. τῆς γε τὶς, τὴν πᾶς ἄνθρωπος λίθος, καὶ τῆς οὐ πᾶς, τὴν οὐδεὶς ἄνθρωπος γελαστικὸς. (§. ρδ'.). Ἐπὶ τούτων γὰρ ἀνάγκη τοῖς μέρεσι συμψεύδεσθαι τὰ ὅλα, ἐπ' ἐκείνων δὲ συναληθεύειν τοῖς ὅλοις τὰ μέρη. οὗ γὰρ ἂν ᾖ τὸ ὅλον, καὶ τὸ μέρος. οὗδ' ἂν οὐδὲ αὐτὸ τὸ μέρος, πολλοῦ γ' ἂν δέοι τὸ ὅλον εἶναι (2). Αἱ δὲ τελευταῖον τῷ Πᾶς ἰδίᾳ καὶ τῷ Οὐ πᾶς, ἢ τῷ Οὐδεὶς καὶ τῷ Τὶς προσδιοριζόμεναι, καὶ ποσῷ, καὶ ποιῷ μαχόμεναι, Ἀντιφατικαί εἰσιν. Εἶδος δὲ τόδε ἐν ἀντιθέσεσι τὸ σφοδρότατον. οἷον πᾶς ἄνθρωπος γελαστικὸς, οὐ πᾶς γελαστικός. οὐδεὶς ἄνθρωπος λίθος, τὶς ἄνθρωπος λίθος (3).

§. υλθ'.

(1) „Ὡς ὑπὸ τὰς ἐναντίας τεταγ„μένας, κἀκείναις ἀκολουθούσας. Αὐτ. αὐτ.

(2) „Ὅταν γὰρ ἡ ἑτέρα τῶν κα„θόλου ἀληθεύῃ, τότε καὶ ἡ ὑπ' αὐ„τὴν τεταγμένη μερικὴ πρότασις ἀλη„θεύσει. ὡς οἷον μέρος αὐτῆς οὖσα, „καὶ περιεχομένη ὑπ' αὐτῆς. Διὸ καὶ „ὑπαλλήλους καλοῦσι. Αὐτ. αὐτ.

(3) Ὁ τῆς ἐν μέρει ἀποφασκούσης προσδιορισμὸς Οὐπᾶς, τὸν τῆς ὑπεναντίας Τὶς, ἔοικε συνεισάγειν τοῖς μὴ ὀρθῶς προσέχουσιν. Εἰ γὰρ οὐ πᾶς, τὶς ἄρα. Παραίτιος δὲ τοῦ οὕτω περὶ τούτου ὑπολαμβάνειν, ἡ κατὰ τὸ ἐνδεχόμενον ἐστὶν ὕλη, καθ' ἣν καὶ οὐ πᾶς δηλονότι, καί τις δὲ, τοῦ ἐνδεχομένου γίνεται ἐν μετουσίᾳ· οἷον τοῦ πένεσθαι. τούτου δὲ τὸν ἔλεγχον σαφῶς ἐνὶ λαβεῖν ἐπὶ τῆς ὕλης τῆς ἀδυνάτου. Εἰ γὰρ ἡ οὐ πᾶς ἐστὶ λίθος, τὴν τὶς ἐστὶ λίθος νοεῖν παρεῖχε, συνεψεύδετ' ἂν τῇ καθόλου καταφάσει, ἡ ἐν μέρει ἀπόφασις, ὅπερ ἀδύνατον εἶναι διὰ τὴν ἀντίφασιν μικρὸν κατωτέρω δειχθήσεται. Ἄριστα τὸ λεγόμενον συνεῖδεν ὁ Βλεμμίδης (Λογ. Κεφ. κή.) „Οὐ χρὴ „(φάσκων) ὑπολαμβάνειν τὴν μερικὴν „ἀπόφασιν ἐπὶ τῆς ἀδυνάτου ὕλης, τῇ „καθόλου καταφάσει συμψεύδεσθαι.... „οὐδὲ γὰρ ἡ οὐ πᾶς ἐξ ἀνάγκης συνεισά„γει τὴν τὶς .... τὸ γὰρ οὐ πᾶς αὐτὸ „καθ' ἑαυτὸ λαμβάνομεν μόνον ὡς „ἰδίαν ἔχον δύναμιν, καθ' ἣν τὸν πᾶς „προσδιορισμὸν ἀναιρεῖ, μηδὲν ἐπισυ„ρόμενον ἕτερον. οὐδὲν γὰρ ἕτερον φη„σὶν ὁ λέγων, ὅτι οὐ πᾶς ἄνθρωπος „ἵπταται, ἢ ὅτι οὐκ ἔστι τοῦτο, ὅτι πᾶς „ἄνθρωπος ἵπταται.

§. υλθ'. Προσαπαιτεῖται δὲ ἐν πάσαις ταῖς εἰρημέναις ἀντιθέσεσι, τὸ τοὺς ὅρους εἶναι τοὺς αὐτοὺς ἐπὶ τῶν μαχομένων προτάσεων, ἄμφω ἀπαραλλάκτως. Τῆς γὰρ τυχούσης ποθὲν ἐπιγενομένης παραλλαγῆς, καὶ τὰ τῆς μάχης λυθήσεται. οἷον αἱ πᾶς ἄνθρωπος ἐστὶν ἀναγκαίως λογικὸς, οὐδεὶς ἄνθρωπος ἐστὶν ἐνδεχομένως λογικὸς, καί τοι ὡς ἐκ τῶν προσδιορισμῶν δοκοῦσαι, ἐναντίαι γεμὴν ἥκιστα εἰσὶ, διὰ τὴν ἐκ τῶν τρόπων τοῦ κατηγορουμένου ἀλλοίωσιν. Οὕτως οὐδὲ τῇ ἀποφαινομένῃ πάντα λίθον ἡλιωθέντα θερμὸν εἶναι, ἡ οὐ πάντα λίθον ἁπλῶς θερμὸν εἶναι λέγουσα, παρὰ τὴν τοῦ ὑποκειμένου τροπὴν, οὐκ ἔστιν ἀντίφθογγος, εἰ καὶ δοκεῖ διὰ τοὺς προσδιορισμοὺς ἀντιφάσκουσα.

§. υμ'. Θεωροῦσι δὲ ὅπως πρὸς ἀλήθειαν καὶ αὗται ἔχουσιν, ἢ ψεῦδος, τῶν μὲν Ἀντιφατικῶν τῆς ἑτέρας ἀληθευούσης, ἀνάγκη πᾶσα τὴν ἑτέραν ψεύδεσθαι, ἀεί ποτε, καὶ ἐφ' οἱασοῦν ὕλης (§. ύ.). Εἴπερ γάρ ποτε συνηλήθευον, ἦν ἂν τὸ αὐτὸ, καὶ ἅμα οὐκ ἦν κατὰ τὸ αὐτό. Εἰδὲ συνεψεύδοντο, οὐδ' ἂν ἦν τὸ αὐτὸ, οὐδ' ἂν οὐκ ἦν. Καὶ περιέπιπτεν ἂν οὕτως ἑκατέροθεν τὰ ὄντα προφανεῖ τῇ Ἀντιφάσει· ὅπερ Ἀδύνατον (§. σμϛ'.).

§. υμά. Τῶν δ' Ἐναντίων ἐπὶ μὲν ὕλης ἀναγκαίας, ἡ μὲν καταφάσκουσα ἀεὶ ἀληθὴς, ἡ δ' ἀποφάσκουσα ἀεὶ ψευδής· τὸ γὰρ ἀναγκαίως προσὸν, ἀληθῶς μὲν κατὰ παντὸς λέγεται τοῦ ὑποκειμένου, ψευδῶς δὲ κατὰ μηδενός. Ἐπὶ δὲ ὕλης ἀδυνάτου ἀνάπαλιν, ψευδὴς μὲν ἡ καταφάσκουσα, ἀληθὴς δὲ ἡ ἀποφάσκουσα· τὸ γὰρ ἀδυνάτως ἔχον προσεῖναι, ψευδῶς μὲν κατὰ παντὸς λέγεται, ἀληθῶς δὲ κατὰ μηδενός. Ἐπὶ δὲ τῶν ἐνδεχομένων, ἄμφω συμψεύδεσθαι οὐδὲν ἀπεικός. τὰ γὰρ ἐνδεχόμενα οὐδ' ἅπασι τοῖς ἐπὶ μέρους πέφυκε παρακολουθεῖν, καί τισι τούτων ἐπισυμβαίνει. Ἔνθεντοι καὶ τὸ παντὶ τὰ τοιαῦτα ἀποκληροῦν τῷ Εἴδει ἐπισφαλὲς, καὶ τὸ παντὸς ἀπαλλοτριοῦν ἄτοπον. Τελευταῖον δὲ, ἐπ' οὐδεμιᾶς ὕλης, τὰς Ἐναντίας συναληθεύειν ἐνδέχεται. τῇ γὰρ Πᾶς, συνωκείωσεν ἂν ἡ Οὐδεὶς τὴν Οὐπᾶς, τὴν αὐτῇ συνείσακτον (§. υλή.), καὶ τῇ Οὐδεὶς, ἡ Οὐπᾶς, τὴν τὶς ὁμοίως. Καὶ συνέβη ταύτῃ γε τὰς ἀντιφασκούσας συναληθεύειν. ὅπερ (§. υμ'.) ἀδύνατον.

§. υμβ'.

§. υμβ'. Τῶν δὲ Ὑπεναντίων, ἐπὶ ὕλης ἀναγκαίας, ἡ μὲν καταφάσκουσα ἀεὶ ἀληθὴς, ἡ δὲ ἀποφάσκουσα ἀεὶ ψευδής. Καὶ ἐπὶ ὕλης ἀδυνάτου ἀνάπαλιν, κατὰ τὰς ἐναντίας (§. υμά'), οὓς καὶ παρέπονται (§. υλή.). Ἐπὶ δὲ ὕλης ἐνδεχομένης συναληθεύουσιν. ὁ γὰρ ἐνδέχεται, καὶ τινὶ δήπου προσεῖναι εἰκὸς, καί τινι ἁπλῶς. συμψεύδεσθαι μέντοι αὐτὰς, ἔφ' οἱασδήποτε ὕλης, τῶν ἀδυνάτων. Τῇ γὰρ ἐπὶ μέρους ὡς ψεύδει, τῆς καθόλου συναναιρεμένης (§. υλή.) οἷον τῇ Τὶς, τῆς Πᾶς, παρὰ τὸ καὶ τινὶ Οὐ πᾶς (ἐξ ὑποθ.) ψεύδεσθαι, εἴη ἂν καὶ τὸ Πᾶς ἔτω, ἢ τὸ Οὐ πᾶς, τὰ ἀντιφάσκοντα, συμψευδόμενα. ὅπερ (§. υμ.) ἀδύνατον.

§. υμγ'. Ταῖς δ' Ὑπαλλήλοις πάντα συμβαίνειν εἰκός. Ἐπὶ μὲν γὰρ τῆς ἀναγκαίας ὕλης συναληθεύειν ἐπάναγκες τὰς καταφασκούσας, συμψεύδεσθαι δὲ τὰς ἀποφασκούσας. Ἐπὶ δὲ τῆς ἀδυνάτου τἀναντίον, συναληθεύειν μὲν τὰς ἀποφασκούσας, συμψεύδεσθαι δὲ τὰς καταφασκούσας· τῶν μερῶν δηλαδὴ τοῖς ὅλοις (§. υλή.) συνεπαγομένων. Τελευταῖον δὲ τέτων ἡ μὲν ἀληθὴς, ἡ ἐπὶ μέρους, ἡ δὲ ψευδὴς, ἡ καθόλου ἐπὶ ὕλης ἐνδεχομένης. τὸ γὰρ ἐνδεχόμενον, ἐδὲ παντὶ τῷ εἴδει οἷόν προσεῖναι ἐστὶν, ἐδὲ παντὸς ἀπεῖναι.

§. υμδ'. Τῶν Ἀπροσδιορίστων (§. υά. υβ'.) ἡ μάχη, τῶν ποιότητι μόνῃ ἀνεπλυγμένως γνωριζομένων, τῇ τὸ ἀρνητικὸ μορίῳ καταλλήλῳ προθέσει (§. υλδ'. υλζ'.), πρὸ μὲν τὸ κατηγορεμένῳ, ἐπὶ τῶν ἐκ δευτέρου (§. τιθ'.), πρὸ δὲ τὸ προσκατηγορεμένῳ, ἐπὶ τῶν ἐκ τρίτου (§. αὐτ.), κρίνεται. Τὸ γάρτοι μόριον τῷ κυριωτάτῳ τῶν ἐν τῇ προτάσει ἀείποτε συντακτέον, ἵν' εἰς ἀπόφασιν μεθαρμοσθῇ ἡ κατάφασις (1). Κυριώτατον δὲ ἐν προτάσει τὸ εἰδοποιῶν αὐτὴν, καὶ χαρακτηρίζον· οἷον ταῖς μὲν προσδιωρισμέναις, αὐτὸς ὁ προσδιορισμὸς (2), ταῖς δὲ μετὰ τρόπε, ὁ τρόπος (3). ταῖς δὲ ἁπλῶς προσδιορισμένε καὶ τρόπε, τὸ κατηγορέμενον, ἢ ὁ τῷ κατηγορεμένῳ τιὼ δυνάμιν ἀναδε-

(1) „Οὐ χρὴ τὸ ἀρνητικὸν μόριον „... τῷ ἀκυρωτέρῳ τῶν μορίων ἐπιφέ„ρειν, ἀλλὰ τῷ κυριωτέρῳ. Ἀμμών. εἰς τὸ περὶ Ἑρμ. λόγ.

(2) „Ἐπὶ τῶν προσδιωρισμένων τὸ „κυριώτατόν ἐστιν ὁ προσδιορισμὸς, (Αὐτ. „αὐτ.). Διὸ καὶ ἐντεῦθεν ἡ Πρότασις „ὀνομάζεται προσδιωρισμένη.

(3) „Κυριώτατον δὲ μόριον τῶν „μετὰ τρόπε, ὁ τρόπος αὐτὸς, ἀφ' ἧ„περ καὶ ὀνομάζονται, ὡς εἰδοποιοῦντος αὐ„τάς. (Αὐτ. αὐτ.).

ἀναδεχόμενος σιώδεσμος (4). Ἐξ ὧν καὶ κατηγορήματα, καὶ κατηγορικοὶ λόγοι αἱ προτάσεις ἐκλήθησαν.

§. υμέ. Καὶ τοίνυν ἐπὶ μὲν ὕλης ἀναγκαίας, καὶ ἀδυνάτε, τῶν Ἀπροσδιορίστων προτάσεων καθόλε ὑποτιθεμένων (§. σλ΄.), ἤτε μάχη, καὶ τὸ πρὸς ἀλήθειαν ἢ ψεῦδος ἔχειν, ὡς ἐπὶ τῶν ἐναντίων (§. υμά.) παρακολθεῖ. Ἐπὶ δὲ τῶν ἐνδεχομένων, ὡς ἐπὶ τῶν ὑπεναντίων (§. υμβ΄.). Ἐν δὲ τοῖς Ἠθικῶς λεγομένοις καθόλε (§. σλ΄.) οἷα τὰ ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα λέγεται (§. αὐτ. ϗ ύ.), τῆς ἑτέρας ὡς ἀληθῶς συγχωρεμένης, ἡ ἑτέρα ψεύδης εἶναι κρίνεται.

§. υμς΄. Τῶν Καθ' ἕκαστα (§. υά. υβ΄.), ὡς προδήλως ἀντιφασκεσῶν (§. υμ΄.), ἡ μὲν ἀεὶ ἀληθὴς ἐφ' οἱασδήποτε ὕλης, ἡ δὲ ψεύδης (1).

§. υμζ΄. Ταῖς δ' αὐταῖς τῶν προσδιωρισμένων ἀντιθέσεσι (§. υλή.), μετὰ καὶ τῆς περὶ τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι διαφορᾶς (§. υμ΄. υμά. κξ΄.), καὶ τὰς ἐξ ἀορίστων, εἴτε ἀμφοῖν, ἢ καὶ θατέρε τῶν ὅρων (§. υγ΄.), ὁμοίως δὲ καὶ τὰς ἐκ σερητικῶν (§. υδ΄.), ὑπαγομένας εὑρήσομεν· πρὸς τὰς ὁμοειδεῖς δηλονότι, τὰς ἤτοι ἐξ ἀμφοῖν ὁμοίως, ἢ θατέρε τῷ αὐτῷ, τῆς παραθέσεως γινομένης, ὡς ἐπὶ παραδειγμάτων ληφθέντων, συνιδεῖν παντὶ τῷ βελομένῳ ῥάδιον.

§. υμή. Τάς γε μὴν ἐκ μόνε τῷ κατηγορεμένε ἀορίσε, ταῖς ἐκ τῶν αὐτῶν μὲν ὅρων, ὡρισμένων δὲ, ἀντιπαραθεμένοις, καὶ ἑτέρας προκύψεσιν ἀντιθέσεις ὁμοίας, παρὰ τὰς τῶν ὡρισμένων (§. υλή.), ἢ τῶν ἀορίσων (§. υμζ΄.), πρὸς τὰς ὁμοειδεῖς· Αἱ τέτων ἀμέλει πρὸς ἐκείνων ἑκάσλυ, κἀκείνων ἀνάπαλιν

(1) „Φησὶν ὁ Φιλόσοφος Πορφύ„ριος, ὡς ὠ τῷ κατηγορικῷ Εἴδε τῆ „Ἀποφαντικῆ λόγε, τὸ κῦρος ἔχε „μάλισα τὸ κατηγορέμενον .... Διὸ „καὶ ἐντεῦθεν ὁ ὅλος λόγος κατηγορι„κὸς ὀνομάζεται. Καὶ τὸ ἀρνητικὸν „μόριον ἐν ταῖς Ἀποφάσεσιν, ὡς κυ„ριωτέρῳ τέτῳ προσέθεμεν. Παρὰ Ἀμμων. αὐτ.

(2) „Ὅτι μὲν ἂν αἱ καθ' ἕκασα „μάχονται ἀντιφατικῶς παρὰ πᾶσιν „ὡμολόγηται. (Ἀμμών. περὶ Ἑρμ.) „Δεῖ δὲ σημεῖν μετὰ Βλεμμίδε „(Κεφ. κθ΄.) ὅτι αὖται κατὰ πάντα „μὲν χρόνον ἐπὶ τῆς ἀναγκαίας ὕλης „καὶ ἀδυνάτε διαιρῶσιν ὡρισμένως τὸ „ψεῦδος καὶ τὸ ἀλήθειαν. Ἐπὶ δὲ „τῆς ἐνδεχομένης κατὰ πάντα μὲν „τὸν ἐνεσῶτα, καὶ τὸν παρεληλυθό„τα ὡρισμένως, κατὰ δὲ τὸν μέλλον„τα ἀορίσως· οἷον Σωκράτης διαλέξε„ται, ἢ Σωκράτης ε διαλέξεται. Ὅτι „μὲν γὰρ ἢ διαλέξεται, ἢ ε διαλέξε„ται δῆλον, ὁπότερον δὲ τῆς ἀντιφά„σεως ἀληθεύει μόριον ... ὡρισμένως „ἐκ ἔστιν εἰπεῖν ἐπὶ μέλλοντος.

παλιν πρὸς ἑκάστω τούτων, ἀμοιβαδὸν ἀναφυόμεναι μάχαι. Οἷον πρὸς τινὰ πᾶς ἄνθρωπος ἐστὶ φιλόσοφος ὡρισμένῳ, διαφόρως ἔχουσιν αἱ ἐξ ἀορίστου κατηγορούμεναι, πᾶς, ἐδεὶς, τὶς, καὶ ὁ πᾶς ἄνθρωπος ἐστὶν ὁ φιλόσοφος. Ἡ γὰρ πᾶς ἐστὶν ὁ φιλόσοφος ἐν ταῖς ἀορίστοις μαχομέναις καθόλου καταφάσκουσα, πρὸς τινὰ ὡρισμένως ληφθεῖσαν, πᾶς ἐστὶ φιλόσοφος παραβαλλομένη, τὸ μὲν καθόλου εἶναι ἐδαμῶς παραιτεῖται, τὸ δὲ καταφάσκειν καὶ μάλα. Διὸ καὶ πρὸς ἐκείνην ὡς ἄρα καὶ ἐναντία, ἔχοι ἂν ποτε διὰ τινὰ ὕλην καὶ συμψηφιῶν, σωσαληθεύσειε δὲ, κατὰ τὸν ὅρον τῶν ἐναντίων (§. υμά.) ἐδέποτε. Ἡ δὲ ἐδεὶς ἐστὶν ὁ φιλόσοφος, καθόλου ἀποφάσκουσα ἐν ταῖς Ἀορίστοις, πρὸς τινὰ αὐτὴν ὡρισμένην, πᾶς ἐστὶ φιλόσοφος παρεξεταθεῖσα, ἰσοδυάμως αὐτῇ ἀναφαίνεται. τὸ γὰρ διττὸν τῆς ἀρνήσεως εἰς κατάφασιν λῆξαν, τῇ καθόλου καταφασκούσῃ τινὰ ἀπόφασιν σωσηλλαξε. Παραπλησίως δὲ, ἡ ὁ πᾶς ἐστὶν ὁ φιλόσοφος, τῇ πρὸς τινὰ τεθεῖσαν, πᾶς ἐστὶ φιλόσοφος, παραθέσει, καταφατικὴ ἐν μέρει διὰ τὸν αὐτὸν λόγον ἀναδειχθεῖσα, ὡς ὑπάλληλος κρίνεται. Διὸ κἀκείνης ἡγεμόνης ταύτην ἐπάναγκες ἕπεσθαι (§. υλή.). Τελευταῖον δὲ καὶ ἡ τὶς ἐστὶν ὁ φιλόσοφος, τῇ πᾶς ἐστὶ φιλόσοφος ἀντιφατικῶς περιπίπτει, καὶ πάντῃ πάντως ἐστὶν ἀσύμβατος (§. υλή. υμ.). Τὸν αὐτὸν δὲ τρόπον, καὶ πρὸς ἑκάστην τῶν λοιπῶν ὡρισμένων, ἐδεὶς, τὶς, ὁ πᾶς ἐστὶ φιλόσοφος, αἱ ἀόριστοι φέρονται, ὡς ὁ χαλεπόν ἐστιν ἐν διαγράμματι, οἷον ὑπ' ὄψιν τινὰ παράθεσιν ἕκαστον προσησάμενον, ἀφ' ἑαυτῷ διασκέψασθαι.

§. υμθ'. Ἀλλ' ἐπὶ τῇ τούτων διαγραφῇ σημειωτέον, καὶ τῆς τάξεως τὸ ἀντίστροφον, καθ' ἣν ἀνηλαγμένως, ἡ μὲν Α, τῶν ἀορίστων, ὑπὸ τινὰ Ο τῶν ὡρισμένων ταχθήσεται, καὶ ἡ Ε, ὑπὸ τινὰ, Ι ὧν ἠγέντας. Καὶ ἡ Ο ὑπὲρ τινὰ Α, ἥτε Ι, ὑπὲρ τινὰ Ε, οἷς ἔπονται (§. υλή.). ἃ χάριν καὶ ἐκ μεταθέσεως ἦκουσαν (§. υγ'. σημ.) αἱ ἀόριστοι ταῖς ὡρισμέναις παρακρινόμεναι.

§. υν'. Τὰς μέντοι παραθέσεις ταύτας αἱ ἐξ ἀορίστου ὑποκειμένᾳ πρὸς τὰς ὡρισμένας ἐκ ἂν ἐπιδέξαιντο. ἃ γὰρ κατὰ τὴν αὐτὴν κατηγορῶσιν ἑκάτεραι (§. σή.). Ἀλλ' αἱ ἀόριστοι ἐξ ἀμφοῖν, ταῖς ἐκ μόνης τῆς ὑποκειμένης ἀντιπαρεξεταζόμεναι ἀορίστοις, τὰς αὐτὰς ταῖς ἀνωτέρω (§. υμή.) σχέσεις ἰδεῖν παρέξουσιν. ὅτι ἑκατέρωσε ὁ αὐτὸς ὅρος ὑπόκειται κἀνταῦθα, ὡς ἐν ἐκείναις.

§. υνά. Καὶ ἐπὶ τῶν ἐκ κατηγορȣμένȣ δὲ ὡσαύτως ςερητικȣ̃ (§. υδ'.), αὐτὰ δὴ ταῦτα κρατήσει τὰ εἰρημένα (§. υμηκξ'.) ταῖς ἐκ θετικȣ̃ παρατιθεμένων, τῆς ςερήσεως κατὰ τὴν παράθεσιν, ὅσα καὶ ἡ ἄρνησις δυναμένης.

§. υνβ'. Ὅπως δὲ καὶ αἱ μετὰ τρόπȣ (§. υς') ἔχȣσι πρὸς ἀντίθεσιν, ȣ̓ δυσχερὲς ἂν εἴη μαθεῖν, σημειώσαντας ἐν αὐταῖς, ȣ̓ μόνην τὴν τῶν ὅρων ἐν καταφάσει ἢ ἀποφάσει ἀπόδοσιν, ἀλλὰ καὶ ὅπως αὐτοὶ συναφείας ἔχȣσι τῆς πρὸς ἀλλήλȣς ἢ διαφορᾶς, τὸ σκοπιμώτατον· ὅπερ ἄρα καὶ οἱ τρόποι προσληφθέντες (§. υς'. υζ'.) ἐκδηλȣ̃ν βȣ́λονται. Ταύτῃτοι καὶ τῶν ἀλλοιοτρόπων, ἐν αἷς καταλλήλως τοῖς τρόποις ἔχȣσι πρὸς ἀλλήλȣς οἱ ὅροι, αἱ μὲν διὰ τȣ̃ ἀναγκαίως τε καὶ ἀδυνάτως τροπολογȣ́μεναι, τῶν τρόπων τȣ́των τοῖς προσδιορισμοῖς Πᾶς, καὶ Οὐδεὶς ἰσοδυναμȣ́ντων (§. υζ'.), εἰσὶν ἐναντίαι τὴν μάχην, ἐπ' ἀμφοῖν τῶν ὑλῶν κατ' ἐκείνας (§. υμά.), τ' ἀληθὲς καὶ τὸ ψεῦδος διαμεριζόμεναι. Αἱ δὲ διὰ τȣ̃ ἐνδεχομένως, ἢ δυνατῶς, καὶ ἐνδεχομένως μὴ, ἢ δυνατῶς μὴ, τῶν τοῖς Τὶς, καὶ Οὐ πᾶς ἰσοσθενȣ́ντων, (§. Αὐτ.) εἰσὶν ὑπεναντίαι ἐπὶ ὕλης ἐνδεχομένης συνιςάμεναι, καὶ κατὰ τὰς ὑπεναντίας (§. υμβ'.), καὶ συναληθεύȣσαι.

§. υνγ'. Τῶν δὲ ὁμοιοτρόπων ἡ μάχη, τȣ̃ ἀρνητικȣ̃ μορίȣ τοῖς τρόποις συντασσομένȣ, ἐπῤῥηματικῶς κειμένοις, ἢ καὶ τῷ συνδέσμῳ τȣ̃ τρόπȣ ἐςὶ προσκατηγορȣμένῳ, ἢ ἐξυπακȣομένῳ, ἐὰν κατηγορικῶς τύχωσιν ἐκφερόμεναι (§. υς'. υμδ'.), μάχη κατ' ἀντίφασιν ἐςίν. Ἐφ' οἱασȣ̃ν γὰρ ὕλης καὶ αὐταὶ, κατὰ τὰς ἀντιφατικῶς μαχομένας (§. υμ'.) ἔχȣσιν ἀσυμβάτως· Οἷον ἀναγκαίως ὁ ἄνθρωπος ἐςὶ λογικὸς, ȣ̓κ ἀναγκαίως ἐςὶ λογικός· ἀληθὲς τὸ πρῶτον. Καὶ ἀδύνατον ἐςὶ τὸν ἄνθρωπον εἶναι λίθον, καὶ ȣ̓κ ἔςιν ἀδύνατον· ψευδὲς τὸ δεύτερον. Καὶ ἐνδεχόμενον τὸν ἄνθρωπον εἶναι δίκαιον, καὶ ȣ̓κ ἐνδεχόμενον. Καὶ δυνατὸν τὸν ἄνθρωπον πλȣτήσειν, καὶ ȣ̓ δυνατόν· ψευδεῖς αἱ ἀποφάσκȣσαι. Ἀλλ' εἴτις δὴ τȣ̃ κατὰ τὴν ἀπόδοσιν προσκατηγορȣμένȣ, ἢ τȣ̃ κατηγορȣμένȣ αὐτȣ̃ προτάξειε τὸ τῆς ἀρνήσεως μόριον, ȣ̓κ εὐθυβόλως τὴν ἀντίφασιν τῶν μετὰ τρόπȣ θηράσεται, φίλας ἀντὶ πολεμίων αὐτὰς κομισάμενος. Αἱ γὰρ ἀναγκαίως ὁ ἄνθρωπος ἐςὶ φιλόσοφος, καὶ ἀναγκαίως ȣ̓κ ἔςι φιλόσοφος, (εἰμὴ ἀντὶ τȣ̃ ȣ̓κ ἀναγκαίως τȣ̃το προῖκα νοηθῇ) ἄμφω ψευδεῖς. Καὶ αἱ ἀδύνατον εἶναι δίκαιον, καὶ ἀδύνατον

μὴ

μὴ εἶναι δίκαιον, ὁμοίως συμψεύδονται. Αἱ δὲ ἐνδεχόμενον, ἢ δυνατὸν πένεσθαι, καὶ μὴ πένεσθαι, συναληθεύουσι. Τοῦ γὰρ μορίου καὶ τῷ τρόπῳ συμφερομένου καὶ τῷ λεγομένῳ, ἢ τῷ ἑτέρῳ, ἢ οὐδετέρῳ, ἄλλοτε ἄλλως, οὕτως ὥστε τῇ πρὸ τοῦ λεγομένου ἀρνήσει τὰς τροπικὰς ταῖς ἐκ μεταθέσεως προσεοικέναι, δυνατὸν καὶ πάντα τὰ τῶν Ἀντιθέσεων εἴδη, κἂν ταῖς μετὰ τρόπου ἐπιθεωρεῖν· ῥᾶστον δὲ τῷ βουλομένῳ ἐν διαγράμματι ἐκθέσθαι αὐτὰς καὶ τεχνολογῆσαι. (1).

ΚΕΦ. ΕΚΤΟΝ.

Περὶ τῆς τῶν Προτάσεων ἰσοδυναμίας.

§. υνδ'.

Ἡ δὲ Ἰσοδυναμία ὁμόνοιάτις οὖσα τῶν ὁπωσοῦν μαχομένων προτάσεων, ἀναιρετικόντι ἐστὶ τῆς ἐν αὐταῖς ἀντιθέσεως παρεπόμενον· τὰς γὰρ δι' ἐκείνην ἀντιπιπτούσας συνᾴδειν αὕτη ποιεῖ, καὶ κατά τινα λεκτικὴν διαφορὰν ἐπὶ τὸν αὐτὸν νοῦν συνελαύνει.

§. υνέ. Τῶν μὲν οὖν ὡς ἐκ τοῦ κατηγορουμένου ἀντιθέτων (§. υλέ.) τὰς ἐναντίας, ἢ κατὰ σχέσιν (§. υλϛ'.) μαχομένας, οἱ κατηγορούμενοι ὅροι θετικοὶ ὄντες, ἰσοδυναμεῖν οὐκ ἐπιτρέπουσιν. Οὐδεμία γὰρ μηχανὴ εἰς τὸ ἐναντίον, ἢ τὸ ἀντιχετικὸν ἀνακαλέσαι τὰ ἀντιβαίνοντα. Ἐπεὶ καὶ τοῦ ἀρνητικοῦ εἰς τοῦτο μορίου παραληφθέντος, ἀρθήσεται μὲν ὃ προϋπῆν εἶδος, οὐμὴν δὲ παρ' αὐτὸ καὶ εἰς τὴν τοῦ ἀντικειμένου μεταστήσεται θέσιν. Οἷον τὸ μὴ ὂν θερμὸν, οὐ ταύτηγε καὶ ψυχρὸν, ὅτι οὐ θερμόν· οὐδ' ὁ μὴ υἱὸς, δι' αὐτὸ τοῦτο πατήρ. Πολλὰ γὰρ τῶν οὐδετέρων, πολ-

(1)

A	E
Ἀναγκαῖον εἶναι.	Ἀναγκαῖον μὴ εἶναι.
Ἀδύνατον μὴ εἶναι.	Ἀδύνατον εἶναι.
Οὐ δυνατὸν, οὐκ ἐνδεχόμεν. μὴ εἶναι.	Οὐ δυνατὸν, οὐκ ἐνδεχόμεν. εἶναι.
I	**O**
Οὐκ ἀναγκαῖον μὴ εἶναι.	Οὐκ ἀναγκαῖον εἶναι.
Οὐκ ἀδύνατον εἶναι.	Οὐκ ἀδύνατον μὴ εἶναι.
Δυνατὸν, ἐνδεχόμενον εἶναι.	Δυνατὸν, ἐνδεχόμενον μὴ εἶναι.

λὰ δὲ ἀπαντᾷ καὶ τῶν ἀνεπιδέκτων. Ἔςι δὲ οἷς, καὶ τὰ μεταξὺ τῶν ἄκρων παρεγχωρεῖ κατὰ σύγκρασιν. Ὡς εἴγε ἐπὶ τῶν δεκτικῶν, ὅσοις κατ' ἀνάγκτω τῶν διαςελλομένων ἀμέσως παρακολȣθεῖν οἶδε θάτερον, τῇ τȣ̃ μορίȣ προσθέσει αὐτίκα μάλα ἐπὶ τὴν ἀντίθεσιν ἀνατρέχομεν· καὶ περιττὸν, φέρ' εἰπεῖν, τὸν ἀριθμὸν νοȣ̃μεν, ὅτι μὴ ἄρτιος ἐςὶ διακȣ́σαντες· ἴσον δὲ τὸ σῶμα, ὅτι μὴ ἄνισον· Ἀλλ' ἐκ τῆς ὕλης τȣ̃το συμβαῖνον, ἐφ' οἷς ἀναγκαίως παροπηδεῖ τὰ τῆς διαζεύξεως, ἰσοδυναμίας ςάθμη καὶ γνώμων, ἐπὶ τῶν ὡς ἐκ τȣ̃ κατηγορȣμένȣ ἐναντίων, ἢ τῶν σχετικῶς μαχομένων προτάσεων, ȣ̓κ ἂν γένοιτο· τὰς μέντοι καθ' ἕξιν καὶ ςέρησιν μαχομένας, ἰσοδυναμῆσαι ῥάδιον. Ἐπὶ γὰρ τῶν τοιȣ́των τȣ̃ μὲν ἐπὶ τῆς ἑτέρας θέσει, τȣ̃ δ' ἄρσει πως κατηγορȣμένȣ, δυνατὸν τῇ προσθέσει τȣ̃ ἀρνητικȣ̃ μορίȣ θάτερον ἀμείβειν εἰς θάτερον. Ὁ γὰρ ἥκιςα ἀπαίδευτος, ἤδη παιδείας νοεῖται εὐμοιρῶν· ὅ, τε μὴ νοσῶν ἔῤῥωται, καὶ νοσεῖ ὁ μὴ ὑγιαίνων. Καί τοι καὶ ταῦτα ȣ̓ πάνυτοι ἀσφαλῶς κρίνεται, εἴτις διάθεσις μεταξὺ τῆς ἕξεως καὶ τῆς ςερήσεως ὑποπτεύοιτο.

§. υνς'. Τὰς ὡς ἐκ τῶν προσδιορισμῶν ἀλλ' ȣ̃ν ἀντιθέτȣς (§. υλζ'. υλη'.), τὸ ἀρνητικὸν μόριον ὡς χρὴ προςιθέμενον, ἀσφαλέςατα ἰσοδυνάμȣς καθίςησι. Τῷ μὲν γὰρ προσδιορισμῷ συντασσομένȣ, τῇ ἀντιφασκȣ́σῃ ἡ πρότασις ἀκριβῶς συμφθέγγεται. Προτασσομένȣ δὲ τȣ̃ κατηγορȣμένȣ ἀμέσως, ἢ τȣ̃ προσκατηγορȣμένȣ, εἰ τῶν ἐκ τρίτȣ τύχοι (§. τυδ'.) ἡ πρότασις, ἡ ἐναντία τε καὶ ὑπεναντία ταῖς ὁμοειδέσι συντρέχȣσι· τελευταῖον δὲ τῇ διττῇ καθ' ἑκάτερον συντάξει, αἱ ὑπάλληλοι συμβιβάζονται, κατὰ τὰ ἐφεξῆς.

„Τȣ̃ ΟΥ τεθέντος Ἀντιφασκȣ́σαις πρόσω·
„Ὄπισθ' Ἐναντίαις τε χ' Ὑπεναντίαις·
„Ἐν ταῖς Ὑπαλλήλοις δὲ ὡς ἑκατέρως·
„Ἰσοσθενεῖς ἔσονται αἱ Ἀντιθέσεις.

§. υνζ'. Οὕτως ἡ πᾶς ἄνθρωπος γελαςικὸς, ἐπὶ τὴν ȣ̓ πᾶς γελαςικὸς ἀντιφατικὴν μεθαρμοσθήσεται, πρὸ τȣ̃ προσδιορισμȣ̃ τὸ μόριον προσλαβȣ̃σα. Καὶ ἡ ȣ̓χὶ ȣ̓ πᾶς, τῇ πᾶς ἀνάπαλιν συνδραμεῖται. Καὶ ἐπὶ τῶν ἑτέρων δὲ διαγωνίων, ἡ μὲν ȣ̓χὶ ȣ̓δεὶς, τῇ τὶς· ἡ δὲ ȣ̓τις τῇ ȣ̓δεὶς, ὡσαύτως. Μετὰ δὲ δὴ τὸ ὑποκείμενον πρὸ τȣ̃ κατηγορȣμένȣ, ἢ τȣ̃ προσκατηγορȣμένȣ

τῆς

τῆς ἀρνήσεως τιθεμένης, ἡ πᾶς ἄνθρωπος ἐκ ἔστι γελαστικὸς, τῇ ἐδεὶς συμφθέγξεται. Καὶ ἀνάπαλιν ἡ ἐδεὶς ἐκ ἔστι, τῇ πᾶς ἐστί. Καὶ τῶν ὑπεναντίων δὲ παραπλησίως, ἡ μὲν τὶς ἐκ ἔστι, τῇ ἀ πᾶς ἐστίν· ἡ δὲ ἀ πᾶς ἐκ ἐστι, τῇ τὶς ἐστί. Καθ' ἑκατέραν δὲ τλὼ τῶ μορίω θέσιν, ἡ μὲν ἀ πᾶς ἐκ ἔστιν, ἴσα δυνήσεται τῇ ὑπαλλήλω τὶς ἐστί. Καὶ ἀνάπαλιν, ἡ ἔτις ἐκ ἔστι, τῇ πᾶς ἐστί. Καὶ ἐπὶ τῶν ἀποφασκσῶν, ἡ μὲν ἐχὶ ἐδεὶς ἐκ ἔστι, τῇ ἀ πᾶς ἐστὶν, ἡ δὲ ἐχὶ ἀ πᾶς ἐκ ἔστι, τῇ ἐδεὶς ἐστί.

§. υνή. Λόγος δὲ τῶν τοιέτων ἰσοδυναμιῶν, ὅτι τὸ ἀρνητικὸν μόριον ἀναιρετικόν ἐστιν ὧν προτάσεται. Καὶ προταχθὲν μὲν τῶ τῷ προσδιορισμῷ καθόλστε καὶ ἀ καταφάσει ὑποκειμένε, εἰς τὸ ἐπὶ μέρες, καὶ ἀποφατικὸν, τλὼ πρότασιν μετεκύλισε. Προταχθὲν δὲ τῶ ἐπὶ μέρες καὶ ἀ ἀποφάσει, εἰς τὸ καθόλε καὶ τλὼ κατάφασιν προσεβίβασε. Ταχθὲν δὲ μετὰ τὸ καθόλε, ἢ ἐπὶ μέρες προσδιορισθὲν ὑποκείμενον, πρὸ τῶ κατηγορεμένε, ἢ προσκατηγορεμένε, τλὼ μὲν περιῶσαν τῇ πρότάσει ποσότητα ἀμεταποίητον ἔιασε, μετέστρεψε δὲ τλὼ ποιότητα, ὡς αὐτόθεν παντὶ τῷ σκεπτομένω συνιδεῖν ῥάδιον.

§. υνθ'. Τῶ αὐτῶ δὲ λόγε κρατῶντος, καὶ τῶν Ἀπροσδιορίσων αἱ μὲν καθόλε ὡς ἐναντίαι, (§. υμέ.), αἱ δὲ ἐπὶ μέρες ὡς ὑπεναντίαι ἰσοδυναμήσσσιν, ἐὰν πρὸ τῶ κατηγορεμένε, ἢ τῶ προσκατηγορεμένε (§. υνς'.) προταχθῇ τὸ μόριον. Καὶ αἱ καθ' ἕκασα (§. υμς'.) κατὰ τροπλὼ ὡσαύτως, μόνης τῆς ποιότητος.

§. υξ'. Οὕτω δὲ καὶ αἱ Ἀόρισοι πᾶσαι τῇ αὐτῇ μεθόδω ἰσοδυναμοι κατασήσονται, ἔντε ταῖς πρὸς ἀλλήλας ἀντιθέσεσι (§. υμζ'.) κἂν ταῖς πρὸς τὰς ὡρισμένας (§. υμή.). Οὐδέγε αἱ Στερητικαὶ (§. υνά.) τῶ τεθέντος κανόνος ἐκπίπτσσιν.

§. υξά. Ὁ δὲ κανὼν καὶ ἐπὶ τῶν μετὰ τρόπε ἐκτείνεται. Ἐπ' ἐκείνων γὰρ, ἐν τῇ τῶ τρόπε διαφορᾷ (§. υνβ'.), κατὰ τὰς ἐναντίας τε καὶ ὑπεναντίας μαχομένων, πρὸ τῶ κατηγορεμένε, ἢ τῶ προσκατηγορεμένε (§. υνς'.) προτακτέον εἰς ἰσοδυναμίαν τλὼ ἄρνησιν. Οὕτω γὰρ ἡ μὲν, ἀναγκαίως ὁ ἄνθρωπος ἐκ ἔστι λογικὸς, ὁμολογήσει τῇ ἀδυνάτως ἐστὶν· ἤτε ἀδυνάτως ἐκ ἔστι (τῶτο γὰρ ἀδύνατον μὴ εἶναι) τῇ ἀναγκαίως ἐστί. Καὶ αἱ ἐνδεχομένως, ἢ δυνατῶς ἐχὶ ἀ πένεται, ταῖς ἐνδεχομένως, ἢ δυνατῶς πένεται· ἃ καὶ ῥάδιον νοεῖται κατηγορικῶς τῶν τρόπων ἐκφερομένων.

§. υξβ'. Ἀντιφατικῶς δὲ κατὰ τὸ ὁμοίτροπον ὡς εἴρηται (§. υνγ'.) μαχομένων, πρὸ τῶν τρόπων καὶ ἡ ἄρνησις δεόντως (§. υνς'.) εἰς ἰσοδυναμίαν ταχθήσεται, εἴτε ἐπιρρηματικῶς, εἴτε καὶ κατηγορικῶς ἐνφερομένων. Καὶ γάρ τοι καὶ τὸ ἐχὶ ἐκ ἀναγκαῖον, ἀναγκαῖον ἐστί. Καὶ τὸ ἐχὶ ἐκ ἀδύνατον, ἀδύνατον. Καὶ τὸ ἐχὶ ἐκ ἐνδεχόμενον, ἐνδεχόμενον. Καὶ τὸ ἐχὶ ἐ δυνατὸν, δυνατόν.

§. υξγ'. Οὕτως ἓν αἱ, δι' ἃ ἔχουσιν ἀντίθεσιν, τὰ μαχόμενα ἀποφαινόμεναι προτάσεις, δυνάμει τῇ ἀρνητικῇ μορίῳ καταλλήλως τασσομένῳ (§. υνς'.), εἰς τὸν αὐτὸν νεῦν ἐπανάγονται, καὶ φίλαι, ὡς ἄντις εἶποι, ἐκ πολεμίων καθίστανται· τῷ γε μὴν ἀκριβέστερον διασκοποῦντι, ἐ μόνον ἐπὶ τῶν ἀντικειμένων ἀποφάνσεων φιλοτεχνεῖν ἐστὶ τὸ σύνδρομόντε καὶ σύμφωνον, ἀλλὰ καὶ ἐπὶ τῶν μὴ μαχομένων μὲν, ἄλλως δέπως, καὶ ἐκ ἐκ μάχης προηγμένης, εἰς ταυτὸ συνιουσῶν, αὐτὸ θηρᾶσθαι. Ἡ γὰρ ὁρισμὸν φέρ' εἰπεῖν τῷ ὁριστῷ κατηγορεῦσα, ἰσοδυάμος ἐστὶ δέπως τῷ τὸ αὐτὸ ὁρισὸν, κατὰ τὸ αὐτὸ ὁρισμῷ ἀγορεύσῃ. Οἷον ἡ φάσκουσα ὅτι πᾶν τρίγωνον ἐστὶ χῆμα ὑπὸ τριῶν γραμμῶν περατέμενον· καὶ ἡ, ἅπαν τὸ ὑπὸ τριῶν γραμμῶν περατέμενον χῆμα, ὅτι ἐστὶ τρίγωνον, εἰ καὶ καταφατικῶς ἀμφω, καὶ καθόλε προσδιοριζόμεναι, εἰσὶν ἀλλ' ἓν ἰσοδυάμοι.

§. υξδ'. Παραπλησίως δὲ ἐὰν τῷ αὐτῷ ὑποκειμένῳ, ὑπὸ διορισμοῖς τὰ ἴσα μὲν δυναμένοις, ἄλλως δέπως ἐνφερομένοις τὸ αὐτὸ κατηγορῆται, αἱ προτάσεις ἀλλήλαις ὁμολογήσουσιν. Οἷον ἡ ἀπόφανσις, ὅτι τὰ παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, συνεξισῆται, τῇ ἀποφάνσει, ὅτι τὰ παραλληλόγραμμα, ὧν ἴσαι εἴτε βάσεις, καὶ τὰ ὕψη, ἴσα ἀλλήλοις εἰσὶν, ὁμόλογος ἐστί· τὸ γὰρ ἐπὶ ἴσων εἶναι λέγειν βάσεων, ἢ ἐπὶ τῆς αὐτῆς· καὶ τὸ ἰσοὕψῆ εἶναι, ἢ ἐν ταῖς αὐταῖς παραλλήλοις τὰ παραλληλόγραμμα, ἐδὲν ὅλως διοίσει, ἀλλ' ἐπίσης ἑκατέρωθεν τὰ εἴδη διορισθήσεται.

§. υξε'. Ὡς ἓν καθόλε εἰπεῖν, ἰσοδυναμεῦσαι προτάσεις εἰσὶν, αἷς ἐν συνθέσει, ἢ διαιρέσει, ὁ αὐτὸς ὑποσημαίνεται νῶς, κἂν διαφόρως ἐνφράζοιτο τὸ νοέμενον. Ἥλιος φυτὰ θάλπει· Καὶ τὰ φυτὰ θάλπεται ὑφ' ἡλίε· Καὶ τὸ ἀφ' ἡλίε φῶς ζωπυρεῖπως τὰ πεφυκότα· Καὶ τῷ φωσῆρι ταῦτα ζωογονεῖται θαλπωρῆς ἀπολαύοντα ἡλιακῆς· Καὶ τὰ παραπλήσια, προτάσεις ἰσοδυάμοι ἅπασαι εἰσίν.

§. υξς'.

§. υξ΄. Ἐν οἷς ἐδ' ἐκεῖνο παραλειπτέον, μὴ τοσαύτης εἶναι ἐν ταῖς διαλέξεσι χρείας τὴν ἰσοδυναμίαν τῶν ἀποφάνσεων. Ὁ γὰρ τὴν ἐνεχθεῖσαν ἀποφήσας, καὶ τὴν ἰσοδυναμοῦσαν ἐκείνῃ συναποφάναι ἥκιστα ἐρυθριάσει. Ἴσως γὰρ τῷ λόγῳ, τὴν πᾶς ἄνθρωπος ἐστὶ ψεύστης ἀπαναιρούμενος, καὶ τὴν οὐχὶ ὁ πᾶς ἐστὶν, ἢ ἑτέραν τινὰ ταύταις ὁμόλογον, οἷος ἐστὶν ἀπαναιρεῖσθαι. Εἰ μὴ καὶ μείζονι, καὶ δικαιοτέρῳ, ὅτε δὴ ψυχρῶς πως καὶ φορτικῶς τὸ ἀποπεμφθὲν ἀναπεμπάζεσαν, καὶ τὸ ἀποπτυσθὲν, ὡς φασὶ, ἐπαναλείχεσαν.

ΚΕΦ. ΕΒΔΟΜΟΝ.

Περὶ Ἀντιστροφῆς τῶν Προτάσεων.

§. υξ΄.

Ἀντίστροφοι προτάσεις εἰσὶν, αἱ ἐν ὅροις τοῖς αὐτοῖς μὲν, κατὰ δὲ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι ἀντικαθισαμένοις ἀλλήλων, συναληθεύσασαι, ἢ συμψευδόμεναι. (1).

§. υξη΄. Εἴδη δὲ Ἀντιστροφῶν, Α΄. τὸ τῆς ἁπλῶς ἁπλῆς εἰρημένης, καθ' ἣν ἡ πρότασις εἰς ἑαυτὴν λέγεται ἀντιστρέφειν, τῷ μὲν ποσῷ, καὶ τῷ ποιῷ σωζομένων, μεθισαμένων δὲ τῶν ὅρων ἀνάπαλιν. Ἀντιστρέφουσι δὲ πρὸς ἑαυτὰς ὅτως, ἥτε Ε, καὶ ἡ Ι. (§. υβ΄.)· οἷον ἡ μὲν οὐδεὶς ἄνθρωπος λίθος, εἰς τὴν οὐδεὶς λίθος ἄνθρωπος· ἡ δὲ τὶς ἄνθρωπος ἐστὶ φιλόσοφος, εἰς τὴν τὶς φιλόσοφος ἐστὶν ἄνθρωπος.

§. υξθ΄. Ἐπεὶ δὲ καὶ ὅτι πᾶς φιλόσοφος ἐστὶν ἄνθρωπος, ἀληθὲς οὐδὲν ἧττον, διὰ τὸ συνυπακούεσθαι ἐξ ἀνάγκης τῷ φιλοσόφῳ τὸν ἄνθρωπον, εἰρήσθω δὴ, ἐφ' ὧν ἐνδέχεται τοῦτο ποιεῖν, Ἀναδρομὴ ὄρος ἡ τοιαύτη, καὶ ἄνοδος. Ἔστι δὲ ταύτῃ ἐπὶ

(1) „Ἡ γὰρ Ἀντιστροφὴ ἰσοστροφή-„τις ἐστί. Φιλόπον. εἰς τὸ Α΄. τῶν „Προτ. Ἀναλ. Ὡρισαι δὲ καὶ κοινω-„νίαν δύο προτάσεων κατὰ τὰς ὅρους ἀ-„ναπαλιν τιθεμένας, μετὰ τοῦ συναλη-θεύειν. Ἀλεξ. Ἀφροδ. Παρὰ Κορνηδ. Περὶ Ἀντιστρ. Ὅς ὁρισμὸς τῇ ἁπλῇ ἀντιστροφῇ μάλιστα προσήκει, ὡς ὁ Φιλόπονος σεσημείωκεν. Ἔνθα ἀνωτ.

τῶν ἤτοι ἁπλῶς, ἢ καθ' ὑπόθεσιν ἀναγκαίων (1) φιλοτεχνεῖν, ἐπὶ δὲ τῶν μὴ, ὄ. Οἷον τλὼ τὶς ἄνθρωπος ἐστὶ ζῶον, ἀντιστρέψας μὲν ἁπλῶς (§. υξή.) εἰς τλὼ τί ζῶον ἐστὶν ἄνθρωπος, ἐμὴν δὲ καὶ διὰ τῆς ἀνόδε, εἰς τλὼ πᾶν ζῶον ἐστὶν ἄνθρωπος, διὰ τὸ μὴ προενυποτίθεσθαι τῇ τδ ζώε ἐννοίᾳ τλὼ τδ ἀνθρώπε, ὥσπερ ἀνάπαλιν τῇ τέτε ἡ ἐκείνε ἔννοια συνεισάγεται.

§. υό. Β'. Ἀντιστροφῆς εἶδος τὸ τῆς κατὰ συμβεβηκὸς ἁπλῆς, καθ' λὼ ἀνάπαλιν τῶν ὅρων λαμβανομένων, σώζεται μὲν ἡ τῆς ἀποφάνσεως ποιότης, μεταβάλλει δὲ ἡ ποσότης, ἐπὶ τὸ ἐν μέρει ἀπὸ τδ καθόλε μεταπιπτόσης. Καὶ ταύτῃ δὴ ἀντιστρέφει, ἡ μὲν Α, εἰς τλὼ Ι. ἡ δὲ Ε, εἰς τλὼ Ο. Οἷον ἡ μὲν πᾶς ἄνθρωπος ἔμψυχος, εἰς τλὼ τὶ ἔμψυχον ἐστὶν ἄνθρωπος· Καὶ ἡ οὐδεὶς ἄνθρωπος ἐστὶν ἄψυχος, εἰς τλὺ ὲ πᾶν ἄψυχον ἐστὶν ἄνθρωπος. Ὃ καὶ διὰ τλὼ ὑπαλληλίαν συμβαῖνον ῥάδιον ἐστὶ συνιδεῖν. Εἰ γὰρ οὐδεὶς ἄνθρωπος ἄψυχος, καὶ οὐδὲν ἄψυχον ἄνθρωπος (§. ἀνωτ.), καὶ ὲ πᾶν ἄψυχον ἄνθρωπος (§. υλή.) κατὰ τὸ ἀκόλουθον.

§. υοά. Ἀλλ' ἔποτε ἡ Α, καὶ εἰς τλὼ Α. Οἷον πᾶς ἄνθρωπος γελαστικὸς, πᾶν γελαστικὸν ἄνθρωπος, ἀλλὰ καὶ τδτο κατὰ Ἀναδρομλὼ ὅρε, ὡς ἀνωτέρω, (§. υξθ'.) διὰ τλὼ ὕλλω, καὶ τὸ κατ' αὐτλὼ ἀναγκαῖον. Οὐ γὰρ καὶ ἡ πᾶς ἄνθρωπος ζῶον ὡσαύτως, εἰς τλὼ πᾶν ζῶον ἄνθρωπος. Εἰς ταύτλω γὰρ, τλὼ προφανῶς ψευδομένλω ἐκ ἀντιστροφῆ, ἀναστροφῆ δὲ προτάσεως γίνεται. (2).

§. υοβ'.

(1) Διήρηται γὰρ τὸ ἀναγκαῖον, καὶ τὸ μὲν ἁπλῶς λέγεται, καὶ καθ' αὑτὸ, ὡς ἐπὶ τῆς συναφείας τῶν ἑκατέρωθεν ἀχωρίστων. Οἷον ὁ ἄνθρωπος ἐστὶ λογικὸς, καὶ τὸ λογικὸν ἄνθρωπος· τέτων γὰρ ἑδέτερον τῇ ἑτέρᾳ χωρίς· τὸ δὲ ἐξ ὑποθέσεως, ὡς ἐπὶ τῶν ἑτέρωθεν μόνον, οἷον ὁ ἐπισήμων ἐστὶν ἄνθρωπος. Ἡ γὰρ κατ' Ἐπισήμλω ἕξις ἀχώριστος ἐστὶ τῷ ἀνθρώπε· διὸ καὶ τεθεῖσα τδτον προϋποτίθησιν, ἀνάπαλιν δ' ὄ. Οὐ γὰρ καὶ ἄνθρωπος ἤδη πρὸς ἐπισήμλω ἀπαραιτήτως ἔχει, καὶ τεθεὶς αὐτλὼ συνεφέλκεται, ἀλλ' ἔχει πρὸς αὐτλὼ χωρισῶς. Ὡσαύτως καὶ τὸ ζῶον τὸν ἄνθρωπον· τὸ μὲν ἓν ἁπλῶς, ἀναγκαῖον ὁ Βλεμμίδης ἀποκαλᾶ (Λογ. Κεφ. κή.) τὸ δὲ ἐξ ὑποθέσεως ἐκ ἀναγκαῖον ἀλλ' ἐξ ἀνάγκης. Οὕτω δὲ φησὶ καὶ τὸ ἀναγκαίως μὴ ὂν ἀδύνατον, καὶ τὸ ἐξ ἀνάγκης μὴ ὂν, ἐφ' ὃν μὴ ᾖ, ἀδύνατον. Ἀλλ' ἐκεῖνο μὲν ἁπλῶς, τὸ δὲ ἐν ὑποθέσα.

(2) „Ἡ γὰρ Ἀναστροφὴ τὰ αὐτὰ „ἔχει τῇ ἁπλῇ Ἀντιστροφῇ, πλὴν τῷ ψεύδεσθαι. Φιλόπ. εἰς τὸ Α'. τῶν Περὶ Ἀναλ.

§. υοβ'. Γ'. Ἀντιστροφῆς Εἶδος καταχρησικώτερον, καθ' ἰῶ καὶ τὸ ποσῦ, καὶ τῦ ποιῦ ἀτρέπτως ἐχόντων, ἀνάπαλιν οἱ τῆς προτάσεως ὅροι λαμβάνονται, εἰς ἀορίστως ἀλλ' ἕν ἐξ ὡρισμένων μεθαρμοζόμενοι· ἃ γὰρ ἂν ἄλλως σώζοιτο τὰ τῆς ἀληθείας. Ταύτης γε δὴ ἕνεκα τῆς τῶν ὅρων ἀοριστίας, καὶ σὺν Ἀντιθέσει ἡ τοιάδε Ἀντιστροφὴ εἴρηται γίνεθαι, καὶ τὸ καταχρησικὸν ἐπιγέγραπται. Δέον ἐπὶ τῆς κυρίως Ἀντιστροφῆς ἴδιος αὐτὸς ὅρους (§. υξζ'.) τηρεῖθαι. Ἀντιστρέφει δὲ ἕτως ἥτε Ο, καὶ ἡ Α'. οἷον ἃ πᾶς ἄνθρωπος πένης· ἃ πᾶς ἃ πένης ἐστὶν ἂν ἄνθρωπος. Πᾶς ἄνθρωπος λογικὸς, καὶ πᾶν ἃ λογικὸν ἐστὶν ἂν ἄνθρωπος.

§. υογ'. Δ'. δὲ Ἀντιστροφῆς τρόπος καταχρησικώτατος φέρεται, τῆς παρὰ τιὼ ὕλιω ἀνδεχομένης· Καθ' ἰῶ, τάξιν μὲν ἡ πρότασις τῶν ὅρων ἔχει τιὼ αὐτιὼ, καὶ τἄλλα, ποιότητα δὲ μὴ τιὼ αὐτιώ. Οὕτω δ' ἀντιστρέφουσιν αἱ Ι. καὶ Ο, ἐπὶ ὕλης ἀνδεχομένης. Οἷον τὶς ἄνθρωπος βαδίζει, καί τις ἃ βαδίζει· τῦτο δὲ ὑπεναντίωσίς τις ἐστὶ μᾶλλον, ἢ ἀντιστροφὴ, μὴ τῶν ὅρων λαμβανομένων ἀνάπαλιν. (§. υξζ'.). Ἀλλ' ἔχε δὴ καὶ ταῦτα ἐν τοῖς ἐφεξῆς ἔπεσι, διὰ μνήμης.

Ἁπλῶς δὴ ΕΤΙ, καὶ συμβὰν ΦΑΓΕ, τρέψ' ἐθελήσας·
ΑΡΤΟΝ δ' ἀντιθέτως, ΙΟΝ ὅτ' ἐνδέχεται.

§. υοδ'. Σημειωτέον δὲ τιὼ Ο πρὸς Ἀντιστροφιὼ πως κατὰ τιὼ ὕλιω ποικίλλεθαι, καὶ ἀσατεῖν. Ἐπὶ μὲν γὰρ ὕλης ἀνδεχομένης, σώτε Ἀντιθέσει ἀντιστραφήσεται (§. υοβ'.), καὶ κατὰ τὸ ἀνδεχόμενον. (§. υογ'.). Καὶ πρὸς ἑαυτιὼ δ' ἂν ἔτι ἁπλῶς (§. υξη.) ἀντιστρέψειεν· οἷον ἃ πᾶς ἄνθρωπος λῦκος, ἃ πᾶν λῦκόν ἐστιν ἄνθρωπος. Ἐπὶ δὲ τῆς ἀδυνάτε ὕλης, καὶ πρὸς τιὼ Ε'. Οὐ πᾶς λίθος ἄνθρωπος, ἐδεὶς ἄνθρωπος λίθος· αἵτινες συναληθεύσι.

§. υοε. Φιλοκρινεῖντι δὲ μετὰ τῆς προσηκέσης σκέψεως, ἐδ' οἱ τῆς Ἀντιστροφῆς ἕτοι τεθάντες ὅροι ἐκτὸς λόγε εἰσίν. Ἁπλῶς μὲν γὰρ εἰς ἑαυτὰς αἱ Ε, καὶ Ι (§. υξη.) ἀντιστρέφσι, τῷ ἐπ' ἀμφοῖν τὲς ὅρες τῆς ἴσης εἶναι ἐκτάσεως (§. σκή.) τῇ μὲν καθόλε, τῇ δ' ἐπὶ μέρες, ὥσε μηδὲ μεθισαμένες τὸ ποσὸν ἀλλοιῶν, ὡς τὸ εἶδος τόδε τῆς Ἀντιστροφῆς ἀπαιτεῖ. Ὃ καὶ ἐπὶ τῆς Ο συμβαίνειν εἴρηται (§. υοδ'.), διὰ τιὼ ὕλιω. Τιὼ δὲ Α. ἐπὶ μέρες ἔχσαν τὸ κατηγορέμενον (§. σκή.), ἀκὸς πρὸς τιὼ

τλὼ Ι ἀντιστρέφειν, κατὰ συμβεβηκὸς (§. υό.). Ὁ δὴ πάσχειν ἐδὲ ἡ Ε παραιτήσεται (§. Αὐτ.), καὶ γὰρ καὶ ταύτης τὸ κατηγορέμενον καθόλε δυνάμενον (§. σκή) ἱκανοῖ καὶ ἐπὶ μέρες ληφθῆναι. Τλὼ δὲ Ο κατ' ἀντίθεσιν (§. υοβ'.) ἐςὶν ἀντιστρέφειν. Ἀρθέντος γὰρ (διὰ τῆς ἀοριςίας (§. σή. υδ'.) τὲ μήτισι τῶν κατὰ τὸ ὑποκείμενον ὑπάρχοντος, καὶ τῶν παρὰ τλὼ ἐκείνε ἔννοιαν ἀπαξαπάντων εἰσενηνεγμένων, δεόντως τινὸς τὲτων, ἐχὶ τὸ προϋπὸν αὐτὸ (ἔχει γὰρ ἤδη οἰκείως, εἴπερ ἀλλοτρίως εἶχε πρὸς τὸ ἀρθὲν) τὰ δὲ παρὰ τλὼ ἔννοιαν τλὼ ἐκείνων ἀπάγεται (1). Πρὸς τλὰ αὐτλὼ δὲ ἀνλιστροφλὼ ἐπιτηδείως ἔχει (§. υοβ'.) καὶ ἡ Α. Ἐπειδὴ γὰρ τὸ μόριον αἶρον τὸ παντὶ ὑπάρχον τῷ ὑποκειμένῳ, εἰσάγει τὸ μὴ προσῆκον (§. σή.) δεόντως κατά γε τὲ μὴ προσήκοντος, ἐχὶ τὸ ὑποκείμενον αὐτὸ, (ἔχει γὰρ τὲ λοιπὲ ἀλλοτρίως.) τὸ δὲ παρ' αὐτὸ ὂν καταφάσκεται. (2). Ἔτι δὲ καὶ ἡ Ι, ἐνδεχομένως ἀντιστρέφει (§. υογ'.) πρὸς τλὼ Ο μεταβαίνεσα, ἤτε Ο πρὸς τλὼ Ι ἀνάπαλιν· τὸ γὰρ ἐνδεχομένως τινὶ προσὸν, ἑτέρῳ τινὶ τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἐνδεχόμενον ἐςὶ μὴ προσεῖναι· Καὶ τὸ ἐνδεχομένως τῷδε μὴ ἐνυπάρχον, τῷδε δήπεθεν ἐνυπάρχειν ἐκ ἀνένδεκτον. Τελευταῖον δὲ ἡ Ο ἐν ὕλῃ ἐνδεχομένῃ (§. υοδ'.) καὶ ἁπλῶς ἂν ἀντιστρέψειε. (3). Τὸ γὰρ ἐν αὐτῇ κατηγορέμενον καθόλε ὂν διὰ τλὼ ἀπόφασιν (§. σκή.), ἱκανοῖ ληφθῆναι καὶ ἐπὶ μέρες· τὸ δ' ὑποκείμενον ἐπὶ μέρες πρότερον ἔχον, καὶ εἰς τὸ καθόλε εὖ μάλα

(1) Οἷον προτάσεως προκειμένης, τῆς ἐ πᾶς ἄνθρωπος λυκός· Ἀρθέντος διὰ τὲ μορίε τῆς ἀοριςίας τὲ λυκὲ (ὃ μήτισιν ἀνθρώποις ὑπάρχειν ἐλέγετο), καὶ εἰσαγομένων τῶν μὴ λυκῶν δεόντως τινὸς μὴ λυκὲ ἀπάγεται, ἐχὶ ὁ ἄνθρωπος, ὃς ὑποκέμενος ἰῶ ἐν τῇ προτάσει· (οἰκείως γὰρ δήπε ἕξει πρὸς τὰ παρὰ τὸ λυκὸν διὰ τῆς ἀοριςίας εἰσαγόμενα, ἃ πρὸς τὸ ἀρθὲν ἤδη λυκὸν ἀλλοτρίως ἔχαν τὸ πρὶν ἐκρίνετο· ἓ χάριν καὶ ἡ πρότασις ἀποφάσκεσα ἰῶ.) ἀλλὰ τὸ παρὰ τλὼ ἔννοιαν τλὼ τὲ ἀνθρώπε ἀπάγεται. Ὥσε συνελόντι, τὰ παρὰ τὸν ἄνθρωπον ἀποφάσκετα τίνων τῶν παρὰ τὸ λυκὸν εἶναι νοεμένων. Τᾶτο δέ ἐςιν, ὅτι ἐ πᾶν τὸ μὴ λυκόν ἐςιν ἐκ ἄνθρωπος.

(2) Οἷον ἐπὶ τῆς πᾶς ἄνθρωπος γελασικὸς, ἀρθέντος διὰ τῆς ἀοριςίας τὲ γελασικὲ, ὃ παντὶ ὑπάρχειν ἀνθρώπῳ ἐλέγετο, καὶ τὲ μὴ γελασικὲ εἰσενεχθέντος, κατὰ τάτε (ὡς μηκέτι τῷ ἀνθρώπῳ προσήκοντος) ἄκεν μὲν ὁ ἄνθρωπος, τὸ δὲ παρὰ τὸν ἄνθρωπον κατηγορεῖται. Τᾶτο δὲ ἐςὶ, πᾶν τὸ μὴ γελασικὸν, ἵνα μὴ ἄνθρωπον.

(3) „Ἐπὶ τῶν ἀναγκαίων πραγμά„των ἐκ ἀντιστρέφει ἡ μερικὴ ἀπόφα„σις, ἐπὶ δὲ τῶν ἐνδεχομένων ἀντιστρέφει. Ἀνώνυμ. ἐν τῇ Συνόψει τῇ περὶ Συλλογ.

μάλα προσβιβασθήσεται (§. Αὐτ.)· ὅτι τινὸς ἐν μέρει ἐνδεχομένου, ἅπαν τὸ εἶδος ἀπέχειν ἐνδέχεται. (1). Ἐπὶ δὲ ὕλης ἀδυνάτου, καὶ πρὸς τὴν Ε. (§. υοδ'. Τοῦ γὰρ κατηγορουμένου διὰ τὸ καθόλου (§. σκη'.) δεόντως τῷ οὐδεὶς προσδιορισμῷ καθυπαγομένου, τὸ ἐν μέρει ὑποκείμενον, οὐχ ὅπως κατὰ τὸ μέρος, ἀλλὰ καὶ καθόλου παντὸς τοῦ εἴδους διὰ τὴν ὕλην ἀπενεχθήσεται. (2).

§. υοϛ'. Ἀλλὰ καὶ ἐπὶ τῶν μετὰ τρόπου κατὰ τοὺς αὐτοὺς ὅρους τε καὶ λόγους τὰ τῶν Ἀντιστροφῶν περανθήσεται, εἰ μόνον καταλλήλως ταῖς ὕλαις οἱ τρόποι κέοιντο (§. υζ'.). Οὕτως ἡ ἀδυνάτως ὁ ἄνθρωπος ἐστὶ λίθος, ὡς Ε', εἰς ἑαυτὴν ὀρθῶς ἐστὶν ἀντιστρέφουσα (§. υξη'), ἀδυνάτως ὁ λίθος ἐστὶν ἄνθρωπος. Καὶ κατὰ συμβεβηκὸς εἰς τὴν Ο. (§. υο.), δυνατῶς οὐχὶ ὁ λίθος ἐστὶν ἄνθρωπος. Καὶ ἡ ἐνδεχόμενον τὸν ἄνθρωπον λευκὸν εἶναι, ὡς Ι, εἰς ἑαυτὴν (§. υξη'.) δυνατὸν τὸ λευκὸν εἶναι ἄνθρωπον· Καὶ δὴ καὶ κατὰ τὴν ἐνδεχομένην ἀντιστροφὴν (§ υογ'.) δυνατὸν τὸν ἄνθρωπον μὴ λευκὸν εἶναι. Καὶ ἡ ἀναγκαῖον τὸν ἄνθρωπον εἶναι ζῶον, ὡς Α', εἰς τὴν Ι (§. υό.) κατὰ συμβεβηκός· Ἐνδέχεται τὸ ζῶον εἶναι ἄνθρωπον· ὥσπερ δὴ καὶ ἡ Ε εἰς τὴν Ο. Ἀλλὰ καὶ ἡ ἐνδέχεται τὸν ἄνθρωπον μὴ λούεσθαι, ὡς Ο, σὺν ἀντιθέσει (§. υοβ'.) εἰς τὴν ἐνδέχεται τὸ μὴ λουόμενον εἶναι μὴ

(1) Οἷον τοῦ τινὸς λευκοῦ ἅπαντα ὁλοπλατῶς τὸν ἄνθρωπον.

(2) Ἐντεῦθεν καὶ ἃς εἰώθασιν ἀπορίας προβάλλειν ῥάδιον ἐστὶν ἐπιλύεσθαι.

Α'. γὰρ ἡ Α, ἁπλῶς ἀντιστρέφουσα ἐπὶ τῶν συμπαρεκτεινομένων, ἥκιστα σαλεύει τὰ εἰρημένα (§. υό.), ἐνὸν ἐπὶ τῶν τοιούτων, τὴν τοῦ ὅρου ἐπιτηδεύειν ἀναδρομὴν (§. υξθ'.). Εἰ γὰρ πᾶς ἄνθρωπος λογικός· καὶ τὶς λογικὸς ἄνθρωπος (§. υό.) καὶ πᾶς λογικὸς ἄνθρωπ. (§. υξθ'.).

Β'. Ἡ δὲ Α πᾶσα γυνὴ παρθένος ἦν, οὐκ ἂν εἰς τὴν τὶς παρθένος ἦν γυνὴ ἀντιστρέψειεν. Εἰς δὲ τὴν τὶς, ἥτις ἦν παρθένος, ἔστι γυνή. Τὸ γάρ τις, ἥτις ἦν παρθένος, τὸ ἀληθὲς ἦν κατηγορούμενον. Ὡσαύτως καὶ τὴν Ε, Οὐδεὶς νέος ἦν πρεσβύτης, οὐδεὶς ὃς ἦν πρεσβύτης ἔστι νέος, ἀντιστρέφειν ἁπλῶς (§. υξη.) προσήκει. Οἱ δὲ τὸ πρεσβύτης ἁπλῶς, οἷον οὐ κατηγόρητο, κατὰ τὴν ἀντιστροφὴν ὑποτάσσειν πειρώμενοι, σὺν αὐτῇ τῇ λέξει καὶ τὴν φύσιν τῶν πραγμάτων παραβιάζονται, μετὰ τοῦ ἀναγνωρίζοντος τὸν τεκόντα παραδοξολογοῦντες.

„Ἦ γάρ τοι νέον ἦσθα γέρων, καὶ ἀεικέα ἔσσο. Ὀδ. Π. 199.

Τὸν αὐτὸν δὲ τρόπον καὶ κατὰ τὸ Ι, αἱ τὶς πάσσαλος ἐν τοίχῳ, καί τις οἶνος ἐν ἀμφορεῖ, ὀρθῶς ἐκλαμβανομένων τῶν ὅρων, ἁπλῶς (§. υξη'.) ἀντιστρέψουσιν, εἰς τὰς τὶ τὸ ἐντοίχῳ ὂν πάσσαλος ἐστὶ, καί τι τὸ ἐν τῷ ἀμφορεῖ, οἶνος.

μὴ ἄνθρωπον. Ὁ δὴ καὶ τῇ Α. προσῆκον (§. Αὐτ.) ἐστί. Καὶ κατὰ τὸ ἐνδεχόμενον (§. υογ.)· ἤτε Ο εἰς τιὼ Ι. καὶ ἀναπαλιν. (1).

§. υοζ. Τῶν τοίνιω ἀποφάνσεων τίνας τίνι ἀντιστροφῆς εἶδει, ἔκτε τῶν προσδιορισμῶν (§. υξη. κξ.) καὶ τῶν τροπων (§. υοϛ.)

(1) Ὁ δὲ Ἀριστοτέλης καὶ μετὰ προσδιορισμᾶτὰς τροπολογομένας ἐτεχνολόγησεν, ὅπως πρὸς ἀντιστροφιὼ καὶ ἅτως ἔχσιν ἐπιθεωρήσας. Ἀμέλει καὶ γὰρ ἡ μὲν ἀνάγκη μηδενὶ ἀνθρώπῳ τὸ ἄλογον ἔναι, ὡς καθόλε ἀποφατικὴ, εἰς ἑαυτιὼ ἀντιστρέφα, ἀνάγκη μηδενὶ ἀλόγῳ τὸ ἄνθρωπον. Καὶ ἡ, ἀνάγκη παντὶ ἀνθρώπῳ τὸ ἔμψυχον, καθόλε καταφάσκησα, κατὰ συμβεβηκὸς εἰς τιὼ ἐπὶ μέρες. Ἀνάγκη τινὶ ἐμψύχῳ τὸν ἄνθρωπον· τελευταῖον δὲ αὖτη, καὶ ἁπλῶς, εἰς τιὼ ἀνάγκη τινὶ ἀνθρώπῳ τὸ ἔμψυχον, ὡς καταφατικὴ καὶ ἐπὶ μέρες.

Κατὰ δὲ τὸ ἐνδεχόμενον, ἐὰν τοιᾶτον κυρίως ᾖ (§. υζ.) τιὼ μὲν καθόλε ἀποφάσκσαν, ἐνδέχεται μηδενὶ ἀνθρώπῳ τὸ λῦκὸν ἔναι, ἐκ εἰς ἑαυτιὼ ἀντιστρέφαν Ἀριστέλε ἐδόκα, οἷον εἰς τιὼ ἐνδέχεται καὶ μηδενὶ λῦκῷ τὸν ἄνθρωπον (ὅπερ οἱ περὶ Θεόφραστον καὶ Εὔδημον διετείνοντο.) ἀλλ' εἰς τιὼ ἐν μέρει ἀποφάσκσαν, ἐνδέχεται τὸν ἄνθρωπον μὴ παντὶ λῦκῷ ὑπάρχειν. Τᾶτο δὲ ὅτι, εἰ ἐνδέχεται καὶ μηδενὶ λῦκῷ (ὡς ἐκεῖνοι βάλονται), ἐνδέχεται δήπε καὶ παντὶ λῦκῷ, ὅπερ ἄτοπον. Συναληθεύσης δηλονότι ἐπὶ τᾶ ἅτως ἐνδεχομένᾳ τῇ ἀποφάσει τῆς καταφάσεως. Καθ' ὃν δήπε λόγον, ἡ μηδενὶ ἀνθρώπῳ τὸ λῦκὸν προσεῖναι ἐνδέχεδαι ἀποφαινομένη, διὰ τῆς μὴ παντὶ, καὶ εἰς τιὼ τινὶ λῦκῷ τὸν ἄνθρωπον ἀντιστρέψειν.

Ἡ δὲ κατὰ τιὼ αὐτιὼ ὕλιω ἐν μέρει ἀποφάσκσα, ἐ πᾶς, ἐχ ὅπως πρὸς τιὼ τὶς, κατὰ τιὼ ἐνδεχομένην ἀντιστροφιὼ, ὡς ὁ Κορυδαλεὺς (Λογ. Σελίδ. 371.) ὑπελάμβανεν, ἀλλὰ καὶ ἁπλῶς πρὸς ἑαυτιὼ, ὡς ὁ Μαγεντῖνος (Εἰς τὰ Πρότ. Ἀναλυτ. ἐν τῷ περὶ Ἀρχ. τῶν τριῶν Σχημ.). Εἰ γὰρ τὸ λῦκὸν ἐ παντὶ ζῴῳ ἐνδέχεται, καὶ τινὶ δήπε ἐνδέχεται (§. υογ.), ὡς ἂν αὐτὸς ἀποφήσειεν. Εἰ δέ τινι ζῴῳ τὸ λῦκὸν, καὶ τινὶ λῦκῷ τὸ ζῶον ἔμπης. (§. υξη.). Καὶ ἐ τᾶτο, πάλιν (§. υογ.) ἐ παντὶ λευκῷ τὸ ζῶον.

Εἰδέτις κατὰ τῶν ἐξ ἀρχῆς σημειωθέντων ἐξανεισάμενος, τιὼ πᾶς φιλόσοφος ἐξ ἀνάγκης ἐσὶν ἄνθρωπος ἡμῖν προβάλλοιτο, ὡς μὴ κατὰ συμβεβηκὸς πρὸς τιὼ τὶς ἄνθρωπος ἐξ ἀνάγκης ἐσὶ φιλόσοφος, ἥπερ ἐχρῶ, ἀντιστρέφσαν, μανθανέτω ὁ τοιᾶτος, εἰς τιὼ τὶς, (ὃς ἐξ ἀνάγκης ἄνθρωπος ἐσὶ), φιλόσοφος ἐσὶν, ἀντιστρέφαν. (Ὅρα τιὼ Σημέ. §. υοέ.).

Ὡσαύτως δὲ καὶ ἔτις τιὼ ἐνδέχεται τινὰ ἄνθρωπον μὴ ἔναι δίκαιον, ἐχ ἁπλῶς (ἢ μικρὸν ἀνωτέρω ἐλέγομεν), πρὸς τιὼ ἐνδέχεται τὶ δίκαιον μὴ ἔναι ἄνθρωπον, ἀντιστρέφαν, συνάμα τῷ Κορυδαλεῖ (Αὐτ.) διατάνοιτο, ἤτοι δὲ ὅλε τὸ λεγόμενον ἀποφίσομεν, τῇ ἀποδείξει παθόμενοι, ἰῶ ἐκηγάομαι· καὶ αὐτοῖς τοῖς πράγμασι προσέχοντες. (δίκαιος γὰρ καὶ Ἄγγελος, ἢ ψυχὴ, καὶ ΘΕΟΣ αὐτὸς ἡ δίκη αὐτόχρημα.). Ἢ γὰν, ἔπερ τὸν δίκαιον καὶνταῦθα συνεπτυγμένος χρὴ νοεῖν ἄνθρωπον, ἅτως αὐτιὼ, ἢ δέον ἐσὶν ἀντιστρέψομεν. Ἐνδέχεται τινὰ (μὴ ὄντα δίκαιον) μὴ ἔναι ἄνθρωπον.

υος.) ἀντιστρέφειν κατὰ τὸ δέον ἐστὶ, διδαχθέντες, ὅπως δὴ καὶ ἐκ τῆς τῶν ὅρων δυνάμεως καθ' ἑαυτὰς, ἐγχωρεῖ ταύταις τὸ ἀντίστροφον παιδοθῶμεν. Καταφατικῶς μὲν ἕν.

§. υοη. Α'. Ἐὰν Γένος Εἴδος κατηγορῆται τοῦ ὑπ' αὐτὸ, ἡ πρότασις κατὰ συμβεβηκὸς ἀντιστρέψει. Πᾶν ἔμψυχον σῶμα, τὶ σῶμα ἔμψυχον.

§. υοθ'. Β. Ἐὰν Εἶδος Γένους, ἁπλῶς· τὶ χῆμα ἐστὶ τρίγωνον, τὶ τρίγωνον ἐστὶ χῆμα. Καὶ κατ' ἀναδρομὴν (§. υξθ'.) καὶ πᾶν τρίγωνον.

§. υπ'. Γ'. Ἐὰν τοῦ Εἴδους ἡ εἰδοποιὸς Διαφορὰ, ἁπλῶς ὡσαύτως. Πᾶς ἄνθρωπος λογικὸς, καὶ πᾶς λογικὸς ἄνθρωπος. Καὶ δὴ καὶ κατὰ συμβεβηκὸς εἰσαγομένης τῆς ὑπαλλήλε. (§. υλή.).

§. υπα'. Δ. Καὶ ἐὰν ὁρισμὸς ὁρισθῇ ἁπλῶς. Πᾶσα γραμμὴ μῆκος ἀπλατὲς, καὶ ἀνάπαλιν· καὶ κατὰ συμβεβηκὸς, εἰ βέλει, ὥσπερ ἀνωτέρω.

§. υπβ'. Ε'. Καὶ ἐὰν ἴδιον τὸ κατὰ τὸν Α. τρόπον (§. ρή.) κατηγορέμενον ᾖ, ἡ πρότασις ἁπλῶς ἀντιστρέφει καταφάσκεσα ἐπὶ μέρος, διὰ τὸ μὴ παντὶ προσήκειν. Οἷον τὶς ἄνθρωπος γεωμετρεῖ· τὶ γεωμετρῶν ἄνθρωπος. Καὶ κατ' ἀναδρομὴν, καὶ πᾶν τὸ γεωμετρῶν, διὰ τὸ μόνῳ προσήκειν.

§. υπγ'. ς. Καὶ ἐὰν τὸ κατὰ τὸν Β'. τρόπον, (§. ρή.) τῷ παντὶ προσήκειν τῷ εἴδει, καὶ μὴ μόνῳ, κατὰ συμβεβηκός. Πᾶς ἄνθρωπος δίπεν, τὶ δίπεν ἄνθρωπος.

§. υπδ'. Ζ'. Καὶ ἐὰν τὸ κατὰ τὸν Γ'. (§. ρή.) ἤτοι ἐν μέρει ἔσαι ἡ πρότασις ἁπλῶς ἀντιστρέφουσα· Τὶς ἄνθρωπος γελᾷ. τὶς γελῶν ἄνθρωπος· καὶ κατ' ἀναδρομὴν, ὅτι καὶ μόνῳ· ἢ καθόλε, (τοῦ ποτὲ προσαραληφθέντος) καὶ ἁπλῶς ὡσαύτως, πᾶς ἄνθρωπος ἐν νηπιότητι παππάζει· καὶ πᾶν τὸ ἐν νηπιότητι παππάζον ἄνθρωπος. Εἰ δ' ἔτω, καὶ κατὰ συμβεβηκὸς πάντως.

§. υπε. Η'. Καὶ ἐὰν τὸ κατὰ τὸν Δ'. (§. ρή.) ἁπλῶς ὡσαύτως. Πᾶς ἵππος χρεμετιστικὸς, καὶ ἀνάπαλιν· Καὶ κατὰ συμβεβηκός.

§. υπς'. Θ'. Οὐκ ἄλλως δὲ καὶ ἐὰν τῷ ὁρισμῷ κατηγορηθῇ τὸ αὐτὸ ἴδιον.

§. υπζ'. Ι. Συμβεβηκὸς τὸ ἀχωρίστως μὲν προσὸν, (§. ρθ'.) μὴ προσιδιάζον δὲ τῷ ὑποκειμένῳ, ὡς τὸ τοῦ Β. τρόπε ἴδιον (§. ρή.)

ρή.), κατὰ συμβεβηκὸς συνίσησιν ἀντισρέφουσαν πρότασιν, πᾶς κόραξ μέλαν, τὶ μέλαν κόραξ.

§. υπή. ΙΑ. Τὸ δὲ χωρισῶς συμβαῖνον, ἐπὶ μέρους καταφατικῶ ποιεῖ ἁπλῶς ἀνίσρεφουσαν, τὶς λίθος κυβικὸς, τὶ κυβικὸν λίθος. Καὶ κατ' ἀναδρομὴν, οὐ ἄλλοις, τὶ σῶμα σφαιροειδὲς, πᾶν σφαιροειδὲς σῶμα.

§. υπθ'. ΙΒ' Ἐάν τινος ὑποκειμένου ὑφ' ἑνὶ καὶ μόνῳ διορισμῷ τεθέντος, τὶ κατηγορῆται, πρότασις συνίσαται, ἧς ἀντισρεφούσης, τὸ μὲν τὸ ὑποκείμενον διορίζον, εἰς κατηγορούμενα τάξιν μεθίσαται, τὸ δὲ κατηγορούμενον διορίζει τὸ ὑποκείμενον· οἷον τὸ ὕδωρ εἰς παγετὸν τραπὲν ἐσὶν ἀντίτυπον· καὶ τὸ ὕδωρ ὃ ἀντίτυπον ἐσὶν εἰς παγετὸν ἐτράπη. Ἐὰν δὲ ὑπὸ διαφέρουσι τοῖς διορισμοῖς τῷ ὑποκειμένῳ τεθέντι, τὸ αὐτὸ προσήκῃ κατηγορούμενον, τὸ τοιόνδε τῆς ἀντισροφῆς εἶδος ἐπιτηδεύεθαι σφαλερὸν. Οἷον τλὺ πρότασιν, λίθος ἄνωθεν κατιὼν, ὅσῳ προεισιν ἐπιταχύει τλὺ κίνησιν, ἐκ ἄντις ἀσφαλῶς ἀντισρέψειεν, εἰς τλὺ λίθος ὃς προϊὼν ἐπιταχύνει τλὺ κίνησιν, ἄνωθεν κάτεισιν. (1). Καὶ ἐπὶ μὲν τῶν καταφάσεων ταῦτα· ἐπὶ δὲ δὴ τῶν ἀποφάσεων.

§. υη'. Α'. Ἡ τὰ ἑτερογενῆ ἀποδιϊσῶσα πρότασις, ἁπλῶς ἐσὶν ἀνίσρεφουσα. Ἡ δικαιοσύνη ἐκ ἔσι γραμμή. Καὶ ἀνάπαλιν.

§. υηα'. Β'. Καὶ ἡ τὸ ἕτερον γένος τῶ ὑπὸ τὸ ἕτερον, ἀποφάσκουσα εἴδος, ὁμοίως. Ὁλίθος ἐκ ἔσιν ἔμψυχος ἢ ἀνάπαλιν.

§. υηβ'. Γ'. Καὶ ἡ τὰ ἑτεροειδῆ διαζευγνῦσα, ὡσαύτως· ἡ ἀρθεῖα ἐκ ἔσι καμπύλη· Καὶ ἀνάπαλιν.

§. υηγ'. Δ'. Καὶ ἡ τῶ ἑτέρῳ τῷ εἴδει, ἢ Εἶδος τὸν ὁρισμὸν, ἀπὸ τῶ ἑτέρου ἢ τῷ εἴδει, ἢ Εἶδος, παραπλησίως.

§. υηδ'. Ε'. Καὶ ἡ τλὺ εἰδοποιόν τινος Διαφορὰν τῶ ἑτεροειδῶς ἀποπέμπουσα.

§. υηε'. ς'. Καὶ ἡ ἀπὸ τῶ ἑτεροειδῶς, τὸ ἴδιόν τινος τὸ κατὰ τὸν Δ. τρόπον.

§. υης'. Ζ'. Καὶ ἡ τῶ ὁρισμῶ τῶ ἑτεροειδῶς, τὰ εἰρημένα ἐν Ε'. καὶ ς'.

§. υηζ'. Η'. Τὸ κατὰ τὸν Α'. τρόπον ἴδιον (§. ρή.) τῶν ὑπὸ τὸ εἶδος τινὸς ἀπαγόμενον, ἀποφατικῶ ἐπὶ μέρους πρότασιν ποιεῖ κατ' ἀντίθεσιν ἀντισρέφουσαν. Οὐ πᾶς ἄνθρωπος γεω-

(1) Οὐόλφ. Λογ. §. 387.

γεωμετρεῖ, ἐ πᾶν τὸ μὴ γεωμετρῶν ἐσὶν ἐκ ἄνθρωπος. Ἑτέρῳ δὲ τῷ εἴδει ἀποφασκόμενον, καθόλε ἀποφατικῶ συνίσησιν ἁπλῶς ἀντισρέφσαν. Ὁ ἵππος ἐ γεωμετρεῖ, τὸ γεωμετρῶν ἐκ ἔσιν ἵππος.

§. υηή. Θ΄. Τῷ κατὰ τὸν Β΄. τρόπον μὴ μόνῳ τῷ εἴδει προσήκοντος (§. ρή.), ἐὰν τὸ εἶδος ἀφέλκηται, ἀποφάσκσα σὺ μέρει προκύψει, ἀντισρέφσα σὺ ἀντιθέσει. Οὐ πᾶν δίπεν ἐσὶν ἄνθρωπος· Οὐ πᾶς ἐκ ἄνθρωπος ἐσὶν ἐ δίπεν.

§. υηθ΄. Ι΄. Τὸ κατὰ τὸν Γ΄. (§. ρή.) μὴ ἀεὶ προσῆκον τῷ εἴδει, τῶν ὑπὸ τὸ εἶδος τινός ποτε ἀποδιϊσάμενον, ἀποφατικῶ ἐξοίσει πρότασιν ἐπὶ μέρες, σὺ ἀντιθέσει ἀντισρέφσαν Οὐ πᾶς ἄνθρωπος γελᾷ, ἐ πᾶς ὅς ἐ γελᾷ ἐσὶν ἐκ ἄνθρωπος. Μόνῳ δὲ προσῆκον τῷ εἴδει, ἐὰν εἴδες ἕτερῳ ἀποζδυχθῇ, καθόλε ἔσαι ἡ πρότασις ἀποφάσκσα, καὶ ἁπλῶς ἀντισρέφσα. Ὁ κύων ἐ γελᾷ· Ὅ γελᾷ ἐκ ἔσι κύων.

§. φ΄. ΙΑ΄. Τῶν μὴ δεκτικῶν ἐὰν τὸ Συμβεβηκὸς ἀποφάσκηται, ἡ ἀπόφανσις ἁπλῶς ἀντισρέψει. Οὐδὲν πνεῦμα λδκόν· ἐδὲν λδκὸν πνεῦμα. Χωρισὸν δὲ ὄν, καί τινος τῶν ὑπὸ τὸ δεκτικὸν ἀποζδυγνύμενον, πρότασιν ἀποδώσει ἀποφατικῶ ἐπὶ μέρες, σὺ ἀντιθέσει ἀντισρέφσαν. Οὐ πᾶς ἄνθρωπος περιπατεῖ· Οὐ πᾶν τὸ μὴ περιπατῶν ἐσὶν ἐκ ἄνθρωπος.

§. φά. ΙΒ΄. Ἐὰν ἀπότινος ὑποκειμένε, ὑφ' ἓν καὶ μόνῳ διορισμῷ τεθέντος ἀποβάληταί τι, πρότασις συνίσαται ἀποφάσκσα, ἧς ἀντισρέφσης, τὸ μὲν κατηγορέμενον θετικῶς διορίζει τὸ αὐτὸ ὑποκείμενον, ὁ δὲ πρῶτος διορισμὸς, τῷ τεθέντος δεύτερον ὑποκειμένε πόρῳ βάλλεται. Οἷον τὸ ὕδωρ παγὺ ἐκ ἔσιν ὑγρόν· τὸ ὕδωρ ὑγρὸν ὂν ἐκ ἔσι παγέν. Ἀλλὰ καὶ ἰῷ τῷ αὐτῷ ὑπὸ ποικίλοις διορισμοῖς τεθέντος ἀπάγηταί τι, τὸ αὐτὸ παραπλησίως τῆς ἀντισροφῆς εἴδος οἱοντε φιλοτεχνεῖν. Λίθος ἡλίε ἀκτῖσιν ἐπὶ πολὺ βληθεὶς ἐκ ἔσι ψυχρός. Καὶ λίθος ψυχρὸς ὤν, ἐκ ἐπὶ πολὺ ἡλιώθη. Καὶ λίθος ἄνωθεν κατιὼν ἐκ ἰσοταχῶς φέρεται· Καὶ ἰσοταχῶς φερόμενος ἐκ ἄνωθεν κάτεισιν.

§. φβ΄. Ἅπασαι δὲ αἱ διαλη φθεῖσαι ἀντισροφαὶ, δι' ὑποθετικῶν προτάσεων ὀρθῶς ἐκφέρεσθαι δύνανται. Οἷον εἰ τὸ ὕδωρ παγὲν ἐκ ἔσιν ὑγρὸν, τὸ ὕδωρ ὑγρὸν τυγχάνον ἐ πέπηγε. Καὶ εἰ τὸ πνεῦμα ἐκ ἔσι λδκόν, τὸ λδκὸν ἐκ εσι πνεῦμα. Καὶ

ἐπὶ πασῶν ὡσαύτως. Ὑποτεθείσης γὰρ τῆς ἀντιστρεφόσης, ἐξ ἀνάγκης ἕπεται εἰς ἰῶ ἐκείνη τιὼ ἀντιστροφιὼ ἐπιδέχεται. Ἀλλὰ περὶ Ἀκολουθίας Προτάσεων ἐχομένως.

ΚΕΦ. ΟΓΔΟΟΝ.

Περὶ τῆς τῶν Προτάσεων Ἀκολουθίας.

§. φγ'.

Ἀκολουθία προτάσεων ἐστὶν, ἡ δυεῖν ἀποφάνσεων, ἐκ τῆς περὶ τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι, συμπαθείας πρὸς ἀλλήλας, ἢ ἀντιπαθείας, τῆς ἑτέρας ἀπὸ τῆς ἑτέρας ἄμεσος ἐπιφορά. Ἐκ μὲν συμπαθείας, ἐπειδὰν ἡ θατέρας θέσις τιὼ θατέρας θέσιν ἐπιφέρειν παρέχηται, καὶ ἡ ἄρσις τιὼ ἄρσιν. Ἐκ δὲ ἀντιπαθείας, ἐὰν ἡ μὲν θέσις τιὼ ἄρσιν τῆς ἑτέρας, ἡ δὲ ἄρσις τιὼ θέσιν, ἀνάπαλιν. Ἄμεσος δὲ ἡ τοιάδε ἐπιφορὰ, ὡς ἐξ αὐτῶν τῶν λογικῶν ὅρων, τῶν ἄχρι τῆδε ἐκτεθέντων γινομένη, μηδὲ ταῖς κατὰ Διάνοιαν ἐρειδομένη συλλογιστικαῖς μεθόδοις, περὶ ὧν ὕστερον.

§. φδ'. Θεωρείσθω ἓν ἡ οὐ ταῖς προτάσεσιν Ἀκολουθία, Α. ὡς ἀπὸ τῆ κατὰ τὰς Ἐννοίας Πλάτες (§. πς'.). Β. ὡς ἀπὸ τῆ Βάθες (§. πδ'.), Γ. ὡς ἐκ τῆς τῶν ἀποφάνσεων Ἀντιθέσεως (§. υλδ'. κξ'.). Δ'. ὡς ἐκ τῆς τῶν αὐτῶν Ἰσοδυναμίας. (§. υνδ'. κξ'.) Ε. ἐκ τῆς Ἀντιστροφῆς. (§. υξζ'. κξ'.)

§. φέ. Καὶ ἐκ μὲν δὴ τῆ Πλάτες πρότασις προτάσει συνέπεσθαι φιλεῖ. Α'. Οἱαδήποτε γὰρ προτάσει, οὐ ἢ τὸ ἀνωτέρω ὑπόκειται, ἅπασαι αἱ τοῖς κατωτέρω ἐκείνε μέχρις ἀτόμων ἐφεξῆς προϊοῦσιν, ὡς ὑποκειμένοις τὸ αὐτὸ προσάπτεσαι κατηγορέμενον, ἢ τέτων αὐτὸ ἀπάγεσαι, ὀρθῶς συνέπονται. (§. ρό.) οἷον τῇ πᾶσα ἐσία αὐθύπαρκτος, καὶ ἡ τὸ σῶμα, καὶ ἡ τὸ ἔμψυχον, κτ. Καὶ τῇ ἐδεμία ἐσία ἐν ὑποκειμένῳ, καὶ ἡ μηδὲ τὸ σῶμα, μηδὲ τὸ ἔμψυχον, κτ. αἱ πᾶσαι ἀκολουθοι εἰσίν.

§. φς'. Β'. Τῇ τῆ ὑποκειμένε καταφατικῶς μὲν κατηγορέσῃ τὸ ἀνωτέρω, ἅπασαι αἱ κατὰ τῆ αὐτῆ τὰ κατωτέρω λέγεσαι

γȣσαι κατὰ διάζευξιν, ἑπόμεναι εἰσὶ, διὰ τὴν τȣ̃ κατηγορȣμένȣ συςολὴν (§. σκή.)· οἷον τῇ Σωκράτης ἐςὶν ȣ̓σία, αἱ ὅτι σῶμα, ἢ μή· ἔμψυχον, ἢ μή· ζῶον, ἢ μή· ἄνθρωπος, ἢ μή. Ἀποφατικῶς δὲ, καὶ διαζεύξεως ἄνευ ἁπλῶς, διὰ τὸ τȣ̃ κατηγορȣμένȣ ὁλοπλατές. (§. Αὐτ.) οἷον τῇ ἡ γραμμὴ ȣ̓κ ἔςι σῶμα, αἱ ȣ̓τ' ἔμψυχον, ȣ̓τε ζῶον, καὶ αἱ λοιπαί.

§. φζ'. Ἐκ δὲ τȣ̃ Βάθȣς Α'. Προτάσει ἐν ᾗ τὸ κατωτέρω ὑπόκειται, ἅπασαι αἱ τῶν ἀνωτέρω (ἀλλὰ μετὰ συςολῆς) ὡς ὑποκειμένων, τὸ αὐτὸ καταφάσκȣσαι. παρέπονται· διὰ τὴν ἐν τοῖς κατωτέρω τῶν ἀνωτέρω κατὰ βάθος περιοχήν. (§. πθ'.). Οἷον τῇ Σωκράτης ἐςὶ φιλόσοφος, καὶ ἡ τὶς ἄνθρωπος, καὶ ἡ τὶ ζῶον κτ.

§. φη'. Β'. Προτάσει ἐν ᾗ τὸ κατωτέρω κατηγορεῖται, αἱ κατὰ τȣ̃ αὐτȣ̃ καὶ τὰ ἀνωτέρω λέγȣσαι ἀκόλȣθοι εἰσί· τὸ γὰρ κατηγορȣ́μενον ὁλοβαθῶς κατηγορεῖται. (§. σκή.). Οἷον τῇ Σωκράτης ἐςὶν ἄνθρωπος, αἱ ὅτι καὶ ζῶον, ὅτι καὶ ἔμψυχον, κτ.

§. φθ'. Γ'. Καὶ τῇ κατηγορȣ́σῃ τὸ Εἶδος, αἱ τȣ̃ αὐτȣ̃ κατηγορȣ̃σαι τήν τε εἰδοποιὸν Διαφορὰν, καὶ τῶν ἰδίων τὸ τȣ̃ Β'· τρόπȣ· Καὶ τὸ τȣ̃ Γ'., ȣ̓χ ἁπλῶς μὲν, ποτὲ δέ· καὶ τὸ τȣ̃ Δ'. καὶ γὰρ καὶ ταῦτα τὸ τȣ̃ κατηγορȣμένȣ βάθος συνίςησι. (§ πδ'.). Καί γε τὸ κατηγορȣ́μενον ἔχει κἀνταῦθα ὁλοβαθῶς. (§. σκη.). Οἷον τῇ Σωκράτης ἄνθρωπος, αἱ καὶ λογικὸν, καὶ δίπȣν, καί ποτε γελᾷ, καὶ γελαςικόν. Ὡσαύτως δὲ καὶ τῇ κατηγορȣ́σῃ τὸν ὁρισμόν. Ὁ γὰρ ὁρισμὸς ἀνάπτυξις τȣ̃ Εἴδȣς ἐςὶ (§. ριςʹ.).

§. φι'. Δ'. Τῇ δέτι τȣ̃ ὑποκειμένȣ ἀποφασκȣ́σῃ, αἱ καὶ ἀπὸ τȣ̃ ἀνωτέρω τὸ αὐτὸ ἀπάγȣσαι ἀκολȣθȣ̃σιν, εἰς ὃ ἄντι τῷ κατηγορȣμένῳ συνεπινοȣ́μενον ἀπαντήσειεν. Οἷον τῇ Σωκράτης ȣ̓κ ἔςι γραμμὴ, καὶ ἡ ἄνθρωπος, καὶ ἑξῆς, ἄχρι τῆς ȣ̓σίας· τῇ δὲ ȣ̓κ ἔςι τετράπȣν, ἀκολȣθεῖ μὲν καὶ ἡ ἄνθρωπος, ȣ̓κέτι δὲ καὶ ἡ τὸ ζῶον· συνεπινοεῖται γὰρ τὸ ζῶον αὐτῷ τῷ τετράποδι. Οὕτω δὴ, καὶ τῇ ἄνθρωπος ȣ̓κ ἔςι λίθος, ἕπεται καὶ ἡ τὸ ζῶον, καὶ ἡ τὸ ἔμψυχον· ȣ̓κέτι δὲ καὶ ἡ τὸ σῶμα ἁπλῶς· τȣ̃το γὰρ τῷ λίθῳ κατὰ βάθος συνεξακȣ́εται.

§. φια'. Ε'. Τῇ τȣ̃ ὑποκειμένȣ τι ἀποφασκȣ́σῃ αἱ τὰ τȣ̃ κατηγορȣμένȣ ἀνώτερα, ἀπὸ τȣ̃ αὐτȣ̃ ἀπάγȣσαι ὑποκειμένȣ ἀκόλȣθοι εἰσί; πλὴν εἰ μήτινι κἀνταῦθα τὸ ὑποκείμενον συ-

ναντήσειεν, ὃ κατὰ βάθος αὐτῷ ἐμπεριέχοιτο· οἷον τῇ ἡ γραμμὴ ἐκ ἔστιν ἄνθρωπος, οὐ δὲ ζῶον, οὐδ' ἔμψυχον, κτ. τῇ δὲ ὁ λίθος ἐκ ἔστιν ἄνθρωπος, ἐχὶ καὶ ἡ ἐδὲ σῶμα.

§. φιβ'. ς'. Τῇ τὸ Εἶδος ἀποφασκούσῃ, συνέπονται ὅσαι τῷ αὐτῷ, καὶ τὴν Διαφοράν, καὶ τὰ Ἴδια, πλὴν τῷ Β'. ἀποφάσκουσιν οἷον τῇ τὸν ἄνθρωπον, ἀκολουθεῖ καὶ ἡ τὸ λογικὸν, καὶ ἡ τὸ ἰατρὸν εἶναι, καὶ ἡ τὸ λαλεῖν ποτὲ, καὶ ἡ τὴν εἰς τὸ ποτὲ γελᾶν ἔχειν δύναμιν. Καὶ τῇ τὸν ὁρισμὸν δὲ ὡσαύτως.

§. φιγ'. Καὶ ἐκ τῆς μάχης δέ. Α'. τῇ θέσει τῆς ἐναντίας ἐπὶ ὕλης ἀναγκαίας, καὶ ἀδυνάτε, παρακολουθεῖν πέφυκε τῆς ἐναντίας ἡ ἄρσις, καὶ ἀνάπαλιν, παρὰ τὸ μὴ συναληθεύειν ταύτῃ τὰς ἐναντίας, μηδὲ συμψεύδεσθαι. (§. υμά'.) Ἐπὶ δὲ τῶν ἐνδεχομένων, ἄρσις ἄρσει παρέπεται, διὰ τὸ συμψεύδεσθαι.

§. φιδ'. Β'. Ἐπὶ ὕλης ἀναγκαίας τε καὶ ἀδυνάτε τῇ θέσει τῆς ὑπεναντίας, ἡ τῆς ἑτέρας ἄρσις ἀκόλουθος (§. υμβ'.), ἢ ἀνάπαλιν, ἐπὶ δὲ τῶν ἐνδεχομένων ἡ θεσις τῇ θέσει· ὅτι συναληθεύσι.

§. φιέ. Γ'. Ἐφ' οἱασοῦν ὕλης τῆς ἑτέρας τῶν ἀντιφασκούσῶν ἡ θέσις, τὴν ἄρσιν τῆς ἑτέρας ἀεὶ συνεφέλκεται, καὶ ἀνάπαλιν. (§. υμ.).

§. φις'. Δ'. Τῶν ὑπαλλήλων τὴν ἀκολουθίαν, ἐκ ἐκ τῆς μάχης (οὐδὲ γὰρ κυρίως μαχόμενα εἰσίν.) ἀλλ' ἐκ τοῦ Πλάτους μᾶλλον (§. φέ. κξ'.) ληπτέον.

§. φιζ'. Ε'. Τῇ ἀορίστῳ Α'. ἡ ὡρισμένη Ο ἕπεται. Καὶ τῇ ἀορίστῳ Ε, ἡ ὡρισμένη Ι. (§. υμδ'.). Τῇ δὲ ὡρισμένῃ Α, ἡ ἀόριστος Ο, καὶ τῇ Ε τῶν ὡρισμένων, ἡ Ι τῶν ἀορίστων.

§. φιή. ς'. Ἀνὰ δὲ προσδιορισμῶν, τῶν θετικῶντε καὶ ὡρισμένων (ἃς ἁπλᾶς καλοῦσι), καὶ τῶν ἀορίστων (ἃς ἐκ μεταθέσεως.) καὶ τῶν στερητικῶν πρὸς ἀλλήλας ἀμοιβαδὸν παραβαλλομένων, τῇ μὲν ἁπλῶς καταφασκούσῃ, ἤτε ἐκ μεταθέσεως ἀποφάσκουσα ἕπεται, καὶ ἡ στερητικῶς· οἷον τῇ ἐσὶ δίκαιον, ἡ ἐκ ἔστιν ὁ δίκαιον, καὶ ἡ ἐκ ἔστιν ἄδικον· τῇ δὲ ἀορίστως ἀποφασκούσῃ, ἕπεται μὲν ἡ στερητικῶς ἀποφάσκουσα, ἐκέτι δὲ καὶ ἡ θετικῶς τε καὶ ὡρισμένως καταφάσκουσα. Ὅ,τι γὰρ ἐκ ἔστιν ὁ δίκαιον, τοῦτο ἐκ ἔστιν ἄδικον· αὐτὸ μέντοι ἐχ ἅμα καὶ δίκαιον. Ἐπ' ἔλαττον γὰρ τὸ δίκαιον εἶναι, τῷ μὴ

μὴ εἶναι μὴ δίκαιον· καὶ τοῦτο τὸ μὴ εἶναι ἄδικον. Διὸ καὶ τὸ δίκαιον οὐκ ἔστιν ὃ δίκαιον, καὶ ὃκ ἔστιν ἄδικον. Ἔτι δὲ ὃκ ἔστιν ἄδικον, ὃ διὰ τοῦτο ὃκ ἔστιν ὃ δίκαιον· λίθος γὰρ, ἢ παῖς, ἢ ὁ τὰ μηδὲν εἰς δικαιοσύνιν τείνοντα πραγματεύόμενος, ὃκ ἔστιν ἄδικος· τῇ γὰρ ἀπουσίᾳ τῆς δυνάμεως, ἢ τῆς ἕξεως καὶ ἐνεργείας ἐπὶ τῶν μὴ πεφυκότων (§. ρνέ.) ἔστε τὸ δίκαιον ἐπαληθεῦον ἐστὶν, ἔστε τὸ ἄδικον. Οὐμὶν δ' ὃκ ἔστιν ὃ δίκαιος ὁ τοιοῦτος· τῷ γὰρ ὄντι ἐστὶν ὃ δίκαιος.

§. φιθ'. Ζ'. Τῇ ζητικῶς καταφασκούσῃ ἕπεται καὶ ἡ ἐκ μεταθέσεως καταφάσκουσα, καὶ ἡ ἁπλῇ ἀποφάσκουσα. Οἷον τῇ ἐστὶν ἄδικον, ἡ ἐστὶν ὃ δίκαιον, καὶ ἡ ὃκ ἔστι δίκαιον· Τῇ ἀορίστως δὲ καταφασκούσῃ, ἕπεται μὲν ἡ ἁπλῇ ἀποφάσκουσα, ἐχὶ δὲ καὶ ἡ ζητικῶς καταφάσκουσα. Οἷον τῇ ἐστὶν ὃ δίκαιον, ἀκόλουθος μὲν ἡ ὃκ ἔστι δίκαιον, ἀνακόλουθος δὲ ἡ ἐστὶν ἄδικον· τὸ γὰρ ἄδικον εἶναι ἐπὶ τῶν πρὸς δικαιοσυνίν πεφυκότων μόνον λέγεται, τὸ δὲ εἶναι μὴ δίκαιον, καὶ ἐπὶ τῶν δεκτικῶν ἐπίσης, καὶ ἀνεπιδέκτων· τὸ δὲ μὴ εἶναι δίκαιον ὑπερεκτείνεται ἔτι καὶ ἐπὶ τὰ μηδόλως ὄντα ἐπιφωνέμενον. Ἐνθεντοι τὸ μὲν ἐπ' ἔλαττον ἐστὶ, τὸ δ' ἐπὶ πλέον, τὸ δὲ μέσον. Ἀεὶ δὲ τῷ ἐπ' ἔλαττον τὸ ἐπὶ πλέον ἕπεσθαι θέλει (§. ρδ'.), ἀλλ' ὃκ ἀνάπαλιν.

§. φκ'. Η'. Ἐπὶ δὲ τῶν μετὰ τρόπε, αἱ τε δυνατὲ καὶ ἐνδεχομένε ἀποφάνσεις (ἰσοδυνάμων ὄντων (§. υζ'.) ἀλλήλαις ἑπόμεναι εἰσὶ, καταφάσει μὲν κατάφασις, ἀποφάσει δ' ἀπόφασις, αἱ ἁπλαῖ ταῖς ἁπλαῖς, καὶ αἱ ἐκ μεταθέσεως ταῖς ἐκ μεταθέσεως· Καὶ γάρτοι συναληθεύσιν. (§. υνβ'.). Ὁμοίως δὲ καὶ καταφάσει ἀπόφασις (§. υνγ'.), καὶ ἀνάπαλιν.

§. φκα'. Θ'. Τῇ κατὰ τὸ ἀναγκαῖον ἁπλῇ καταφάσει, εἴτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἐκ μεταθέσεως ἀποφάσεις ἕπονται, καὶ ἡ κατὰ τὸ ἀδύνατον ἐκ μεταθέσεως κατάφασις.

§. φκβ'. Ι'. Τῇ κατὰ τὸ ἀναγκαῖον ἐκ μεταθέσεως καταφάσει, εἴτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἁπλαῖ ἀποφάσεις, καὶ ἡ κατὰ τὸ ἀδιώατον ἁπλῇ κατάφασις.

§. φκγ'. ΙΑ'. Τῇ κατὰ τὸ ἀναγκαῖον ἐκ μεταθέσεως ἀποφάσει, εἴτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἁπλαῖ καταφάσεις, καὶ ἡ κατὰ τὸ ἀδύνατον ἁπλῆ ἀπόφασις.

§. φκδ'. ΙΒ'. Τῇ κατὰ τὸ ἀναγκαῖον ἁπλῆ ἀποφάσει, εἴτε κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον ἐκ μεταθέσεως καταφάσεις, καὶ ἡ κατὰ τὸ ἀδύνατον ἐκ μεταθέσεως ἀπόφασις.

§. φκε. Διατάξων τοιγαρῶν τὰς κατὰ τὰς τέτταρας τρόπας ἀποφάνσεις, ὡς πρώτῳ μὲν κεῖσθαι τὴν κατὰ τὸ ἀναγκαῖον, μέσας δὲ τὰς κατὰ τὸ δυνατὸν καὶ ἐνδεχόμενον, ἐχάτῳ δὲ τὴν κατὰ τὸ ἀδύνατον· Κατὰ δὲ τὰ ἐν τῷ ἐφεξῆς τετραφώνῳ ἔπει τέτταρα φωνήεντα, τὰ ἀντιστοίχως ταῖς τέτταρσι προτάσεσιν ἐκλαμβανόμενα, ἔνθα μὲν τὸ Α, τότε τρόπον, καὶ τὸ εἶναι καταφατικῶς ἀποφαινόμενος· ἔνθα δὲ τὸ Ε, καθ' ἑκάτερον ἀποφατικῶς· ἔνθα δὲ τὸ Ι, κατὰ μόνον τὸ εἶναι ἀποφατικῶς· ἔνθα δὲ τὸ Ο, κατὰ μόνον τὸν τρόπον ἀσαύτως· ἐν τέτταρσι σελίσι τὰς μετὰ τρόπε ἁπλᾶς τε καὶ ἐκ μεταθέσεως, καταφατικάς τε καὶ ἀποφατικὰς κατόψει παρεπομένας. Ἰδέσι καὶ τὸ Ἔπος.

Ἀθενέσι κεράσατο ἰοβόλα ποτιπίνειν.

Α Ἀναγκαῖον εἶναι.	Ι Ἀναγκαῖον μὴ εἶναι.
θΕ Οὐ δυνατὸν μὴ εἶναι.	Ο Οὐ δυνατὸν εἶναι.
νΕ Οὐκ ἐνδεχόμενον μὴ εἶναι.	βΟ Οὐκ ἐνδεχόμενον εἶναι.
σΙ Ἀδύνατον μὴ εἶναι.	λΑ Ἀδύνατον εἶναι.
(§. φκα'.)	(§. φκβ'.)
κΕ Οὐκ ἀναγκαῖον μὴ εἶναι.	πΟ Οὐκ ἀναγκαῖον εἶναι.
ρΑ Δυνατὸν εἶναι.	τΙ Δυνατὸν μὴ εἶναι.
σΑ Ἐνδεχόμενον εἶναι.	πΙ Ἐνδεχόμενον μὴ εἶναι.
τΟ Οὐκ ἀδύνατον εἶναι.	νΕν Οὐκ ἀδύνατον μὴ εἶναι.
(§. φκγ'.)	(§. φκδ'.)

§. φκς'. Ἐν αὐταῖς δὲ καὶ τὰ εἴδη τῶν ἀντιθέσεων σώζεται (§. υνγ'.). Καιγάρτοι,

Α	Ε
(§. φκα.)	(§. φκβ'.)
Ι	Ο
(§. φκγ'.)	(§. φκδ'.)

§. φκζ'.

§. φκζ'. Καὶ τῶν ἰσοδυναμεσῶν δὲ Προτάσεων, (§. υνέ. υνς'. κξ'.), ἡ ἑτέρα τῇ ἑτέρα συνέπεται. Εἰκὸς γὰρ τὰς ἴσα δυναμένας, καὶ ἀλλήλων ἀδιαφόρως ἀντικαθίσασθαι.

§. φκή. Τελευταῖον δὲ καὶ ταῖς ἀντιστρεφόυσαις (§. υξή. υξθ'.), ἑπόμεναι εἰσὶν, αἱ εἰς ἃς κατὰ τὸ δέον ἀντιστρέφειν πέφυκασιν, εἴγε τὸ σωαληθεύειν, ἢ καὶ συμψεύδεσθαι, ταῖς ἀντιστρόφοις ἐσὶν ἀπαραίτητον. (§. υξζ'.).

§. φκθ'. Ἐνθα δὴ σημειωτέον, ὡς τοῖς ἤδη ἐκτεθεῖσι τῶν Αντιθέσεων, καὶ Ἰσοδυναμιῶν, καὶ Ἀντιστροφῶν, καὶ Ἀκολεθιῶν ὅροις, δίκιω λογικῶν ἀρχῶντε καὶ ἀξιωμάτων προϋποκειμένοις, ἐμμένειν δέον τὰς συνδιαλεγομένας, μηδὲν περαιτέρω, ἤτοι πειρωμένας αὐτὰς δεικνύειν, ἢ φορτικώτερον ἐπιτιθεμένας τοῖς ἄχρι τέτων τὰς δείξεις προαγαγεῖσιν. Ὡς τὰς ἀρχὰς παραδεκτέον· καὶ εἰ τοῖς ἧκισα παραδεχομένοις περιτυχεῖν ποτὲ γένοιτο, πέρας τῇ προσδιαλέξει ἐπιθετέον. Ταύτας γὰρ καὶ τὸ κατασκεύάζειν πειρᾶσθαι, ὁπότε δέον προϋπολιθεμέναις χρῆσθαι, κενοσπεδίαι, καὶ τὸ κατασκεύω τὰς ἄλλας αἰτεῖν, ἐκ ἔξω ἀπαιδευσίας καὶ ἀφότητος κρίνεται.

ΤΗΣ ΛΟΓΙΚΗΣ.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περὶ Διανοίας.

ΚΕΦ. ΠΡΩΤΟΝ.

Τί ἐστὶ Διάνοια, καὶν τίνι κεῖται αὐτῆς ἡ Φύσις.

§. φλ'.

Τὸ τῆς ψυχῆς Διανόημα, ἐ παρὰ τὸ εἰκὸς ἄντις (σαφηνείας χάριν τἔνομα μεταλαβὼν), κίνησιν ἀποκαλέσειε τἔ γνωσικἔ, δι' ἧς, μὴ ἐπὶ τῷ αὐτῷ νοήματι μένον, ἀφ' ἑτέρε μεταβαίνει ἐφ' ἕτερον. Συναφῆ μὲν γὰρ ἔοικεν, ἡ κατὰ τὸ πρῶτον τἔ Νἔ ἀντίληψιν γνῶσις. Μονὴ δὲ, καὶ στάσει ἡ ἀπόφανσις, ἡ ἐν τῇ σαφεῖ καὶ ἀνενδοιάστῳ τῶν ὅρων συνθέσει, ἢ διαιρέσει, τὸ ἑδραῖον καὶ ἀκίνητον ἔχεσα. Σάλῳ δέ τινι καὶ κραδασμῷ ὅμοιον, τὸ κατὰ τὰς ἀπορίας συμβαῖνον τῷ Νῷ πάθος, ἀσατἔντι πως ἐπὶ τῶν ἀδήλων καὶ κυμαινομένων, καὶ στηριχθῆναι μηδαμῶς ἔχοντι. Κινήσει δὲ τέως παραπλήσιον τὸ τῆς Διανοίας ἐνέργημα, περὶ ἧς ἐνταῦθα ὁ λόγος. Κατὰ γὰρ ταύτην ἀπὸ νοήματος ἐπὶ νόημα ἡ ψυχὴ μεθίσατα, πρόεισί τε ἀπὸ τῶν ἡγεμένων ἐπὶ τὰ ἑπόμενα, ἕως ἔ ἐπὶ τὸ ἐναργὲς καὶ αὐτοφανὲς γενομένη τῆς τῶν ὅρων χέσεως, ἐν αὐτῷ στῇ τέλεον ἠρεμήσασα. Τἔτο γέτοι χάριν καὶ Διάνοια ὠνόμασαι. ὅ σημαίνει τὸν ἀπὸ νοήσεώς τινος, διὰ νοήσεως ἄλλης, ἐπ' ἄλλην νόησιν διαβιβασμόν. (1).

§. φλά.

(1) „Τὰς γὰρ νοήσεις ἐναποκειμέ„νας μὲν, ἐννοίας καλἔσι, κινεμένας „δὲ διανοήσεις. Πλατ. ἐν τῷ πότερα τῶν Ζώων Φρονιμ. „Διάνοια δὲ ἐστὶ τὸ „οἷον ὁδόν τινα διανύειν, μεταβαίνεσαν ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα. Ἐξ ἔ καὶ τὴν κλῆσιν εἴληχεσα. Φιλόπον. εἰς τὸ Προοίμ. τῶν περὶ Ψυχ. Διὸ καὶ πόθεν ποῖ, φασὶν αὐτὴν προϊέναι, καὶ δυαδικῶς ὁρίζεθαι· (ὁ Αὐτ. ἐν Ὑπομν. τῆ περὶ Ψυχ. Κεφ. ά. Καὶ Σιμπλίκ. αὐτ.) ὧν Θάτερον μὲν ὁ ἀφ' ἧ ὅρας

§. Φλά. Τοιγαρῶν ἐπὶ τῶν ἀξιωμάτων (§. υἱ.), ἐφ' ὧν ἔτω σαφῶς ἡ τῶν ὅρων πρὸς ἀλλήλες ἐμφαίνεται χέσις, ὥσε θατέρῳ τὸν ἕτερον ἀδιασάτως συνέχεθαι, ἢ ἀντιβαίνειν, σάσις μὲν ἀκολεθεῖ τῇ ψυχῇ, κίνησις δ' ἐδεμία, ἐδ' ἐγχωρεῖ ὅλως Διάνοια. Οἷον ἐπὶ τῶν δε· Τὸ σύνθετον ἐξ ἁπλεςέρων· Τὸ ἀμερὲς ἧκισα διαιρετόν· καὶ τῶν παραπλησίων. Αὐτανόητον γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπανεχθέντων τὸ κατηγόρημα, αὐταναίρετον δ' ἐπὶ τῇ δευτέρᾳ, παρὰ τὸ ἄμεσον τῆς τῶν ὅρων ἐκείσε μὲν συμφυίας, ὧδε δ' ἀντιφυίας, μηδὲν ὅλως μεσιτεῦον διάσημα, δι' ἅπερ ἂν ἡ ψυχὴ ἀπὸ τῇ ἑτέρᾳ τῶν ὅρων ἐπὶ τὸν ἕτερον γνωσικῶς διαβιβαθειη. Ἀλλ' ἡ κίνησις ἐπὶ τῶν λοιπῶν ἀποφάνσεων, καὶ μάλα δήλη, ἐν αἷς ἑνὸς, ἢ πλειόναν μεσιτεύντων, διὰ τέτων οἷον τε χωρῆσαι, καὶ τῶν ἄκρων τὸ οἰκεῖον σαφέσερον ἀναδεῖξαι, ἢ τὸ ἀλλότριον. Οἷον ἡ ψυχὴ ἀθάνατος, ὅτι ἀδιάλυτος, ὅτι ἀσώματος, ὅτι αὐτοκίνητος. Τὸ σῶμα ἐκ ἀδιαίρετον, ὅτι ἐκ ἀμερὲς, ὅτι ἔκτασιν ἔχον.

§. Φλβ'. Ἐφ' ὧν ἓν αἱ διὰ τῶν μεταξὺ μεταβάσεις, σὺ μέρει πᾶσαι, τὸ ἀναγκαῖον σώζεσι τῆς κρίσεως. καὶ ἄλως ἔχειν μὴ δυνάμενον, καὶ ἡ κατὰ τὸ πέρας σάσις τελεία ἔσαι, ἥτε διάνοια ἀποδεικτική. ὡς ἐπὶ τῇ ληφθέντος, τὸ σῶμα ἔχον ἐσὶν ἔκτασιν· τὸ ἔκτασιν ἔχον, μέρη ἔχει ἐκτὸς μερῶν· τὸ τοιῦτον ἐκ ἀδιαίρετον· τὸ ἄρα σῶμα ἐκ ἀδιαίρετον. Ἐφ' ὧν δὲ κἂν μίατις τῶν μεταξὺ ὑποσαλδοιτο κρίσεων, καὶ ἡ διάνοια πᾶσα κατὰ τὸ τέρμα γενομένη, τῇ σάλῃ κοινωνήσει, τῇ παρεισενεχθείσῃ μὴ πάντῃ βεβαίᾳ πίσει ἀνάλογον. Οἷον εἰκὸς τὸν δεῖνα εἶναι τὸν Φῶρα. Ἐπειδὴ ὁ κλέψας ἐχ ἡδέως μετακληθεὶς ἀπαντᾷ· ὁ δὲ, ἀπαντήσας ὠχρίασεν· ἐλέγχειν δ' ἔοικεν ὁ ὠχρὸς τῆς κλοπῆς τινὶ συνείδησιν. Πιθανὸν ἓν τέτο, καὶ τὸ μὴ βέβαιον διαπορθμεῦον ἐπὶ τὸ, ὡς ἔτος ὁ Φώρ ἐσὶ, συναγόμενον.

§. Φλγ'. Ἐπὶ ἑκάσης Διανοητικῆς ἐφόδε, αἱ μεταβάσεις ἰσάριθμοι τοῖς ὅροις εἰσὶ, συμπεριλαμβανομένων τέτοις καὶ τῶν περάτων. Ἡ (ὃ ταυτόν ἐσιν) αἱ μεταβάσεις τὲς ὅρες τὲς με-

ξ ὅρος ἐσὶ, θάτερον δὲ ὁ πρὸς ὃν γίγνεται ἡ μετάβασις. Κατὰ τᾶτο δὴ καὶ Ἀριστοτέλης σάσιν Διανοίας τὴν Ἐπισήμην ὡρίζετο. „Τὸ γὰρ ἠρεμῆσαι καὶ σῆναι τὴν Διάνοιαν, ἐπίσασθαι καὶ φρονεῖν λεγόμεθα. Φυσικ. Βιβλ. Ζ'. Κεφ. γ'.

ταξὺ γινομένȣς, δυάδι εἰσὶν ὑπερβάλλȣσαι. Δεῖ γὰρ τȣ́των ἕκαςον τοῖς ὧν μεσιτεύει ἐν μέρει παρατεθεῖναι, τοῖς καὶ αὐτοῖς ἑξῆς πρὸς ἀλλήλȣς παρατεθεισομένοις. Διόπερ ἐν τάξει ἀπὸ τῶν νοητῶν μὲν, ἀδιανοήτων δὲ (ἐξέςω ȣ̃τως ἀποκαλεῖν τὰς ἀμέσȣς, καὶ διὰ ψιλῆς ἐποπτείας τὸ σαφὲς ἐχȣ́σας (§. υἱ. φλά.) ἀποφάνσεων τὴν ἀρχὴν λαβȣ̃σι, Α΄. αἱ ἀξιωματικαὶ, καὶ ἀναπόδεικτοι, ἐκ δυοῖν ὅρων εἰσὶν ἄνευ μέσȣ, καὶ ἐν αὐταῖς ἀκριβὴς ἡ τȣ̃ Νȣ̃ ςάσις (§. φλ΄.), μετάβασις δὲ ȣ̓δεμία. Οἷον τὸ σῶμα ποσὴν ἔκτασιν ἔχει. Β΄. αἱ δὲ ἀποδεικταὶ ἐκ τριῶν εἰσὶν ὅρωντε καὶ μεταβάσεων, δι᾽ ἑνὸς μέσȣ· οἷον τὸ σῶμα σχῆμα ἔχει, διὰ τὴν ποσὴν ἔκτασιν. Γ΄. αἱ δὲ ἐκ τεσσάρων διὰ δυοῖν μέσων· οἷον σφαίρωσιν ἐπιδέχεται, διά τε τὴν ἔκτασιν, καὶ διὰ τὸ σχῆμα. Δ΄. Αἱ δὲ ἐκ πέντε, διὰ τριῶν μέσων· οἷον τὴν ἐπιφάνειαν πανταχόθεν ἐπίσης ἀφιςαμένην δύναιτ᾽ ἂν ἔχειν τȣ̃ σημείȣ, ὃ τῶν ἐν αὐτῷ ἐςὶ τὸ μεσαίτατον· διὰ τὴν ἔκτασιν, καὶ τὸ σχῆμα, καὶ τὴν σφαίρωσιν. Καὶ ἐφεξῆς ȣ̃τως, ἀεὶ τῶν ὅρων, τὴν τῆς ἐφόδȣ τάξιν μονάδι ὑπερβαλλόντων, καὶ τῆς τάξεως ὡσαύτως τȣ̀ς μεταξὺ μονάδι ὑπερεχȣ́σης.

§. φλδ΄. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἀποφατικῶς. Ἀδιανόητοι μὲν τῶν ἀποφάνσεων αἱ ἄμεσοι διὰ τὸ αὐτόπιςον, διανοηταὶ δὲ, ἐν αἷς παρεμπίπτει τὰ μεσιτεύοντα· Τὸ γὰρ ἐν τῷ τετραγώνῳ τὰς γωνίας, φέρε, τρισὶν ὀρθαῖς μὴ ἐξισȣ̃σθαι, ἀμέσως δῆλον. Οὐδὲ γὰρ μέσȣ χρεία τινὸς, ὥςε μαθεῖν τὰ τέτταρα μὴ εἶναι τρία. Ἐν δὲ τῷ τριγώνῳ ἐμμέσως τȣ̃το δῆλον καθίςαται. Δεῖ γὰρ πρῶτον διὰ μέσων τινῶν παραληφθέντων, παντὸς τριγώνȣ τὰς τρεῖς ἴσας εἶναι δυσὶν ὀρθαῖς ἀποδεῖξαι, εἶθ᾽ ȣ̃τω διανοηθέντας ἐπιςῆσαι, ὅτι τὰς ἐν αὐτῷ δύω ὀρθαῖς τρισὶ συνεξισȣ̃σθαι ἀδύνατον. Οἷόν τε δὲ κἀνταῦθα παρατηρεῖν ὡς ἐπὶ τῶν καταφατικῶν (§. Ἀνωτ.), τό, τε ἰσάριθμον συμπάντων τῶν ὅρων, καὶ τῶν μεταβάσεων, καὶ τȣ́των τὴν ὑπὲρ τὴν τάξιν τῆς ἐφόδȣ ὑπεροχὴν, καὶ τὴν ὑπὲρ τȣ̀ς μεσιτεύοντας. Οἷον ὁ τοῖς πάθεσι δȣλεύων, ὡς ἐν ταραχῇ ζῶν, βίον ἤρεμον ȣ̓ διάγει. Καὶ γὰρ καὶ αὕτη ἡ διάνοια, ἐκ τριῶν ὅρων ἐςὶ, δι᾽ ἑνὸς μέσȣ. Ἢν δὲ συνάψαι δέῃ περαιτέρω, τὸν τοῖς πάθεσι δȣλεύοντα μὴ εἶναι μακάριον, ἡ ἔφοδος ἔςαι ἐκ τεσσάρων, διὰ μέσων δυοῖν· καὶ ἐφεξῆς ὡσαύτως.

§. φλέ-

§. Φλέ. Ἐπὶ τῆς καταφατικῶς συνάψαι ἐπειγομένης διανοίας, ἅπασαι αἱ διὰ τῶν μεταξὺ γινόμεναι μεταβάσεις, καταφάσκειν ὀφείλουσιν. Ἐπὶ δὲ τῆς ἀποφατικῶς, ἅλις ἔχει τῶν λοιπῶν καταφασκουσῶν, καὶ μίαν ἐξ αὐτῶν ἀποφάσκειν. Ἡ γὰρ μία διὰ τῶν μεταξὺ οὐ ἀποφάσει γινομένη μετάβασις, διιοῦσα τὰ τοῖς ἄκροις συναπτόμενα, διὰ τέτων, καὶ τῶν οἷς αὐτὰ συνῆπται λύει τὴν ἕνωσιν. Ἰδέσθαι τὸ λεγόμενον ὑπ' ὄψιν, τὸ μὲν == καταφάσεως, τὸ δὲ — ἀποφάσεως ὑποθεμένῳ ἐν ταῖς μεταβάσεσι σύμβολα.

Ἐπὶ διανοίας καταφατικῆς.

Ἄνθρωπος == σύνθετος == λυτὸς == θνητός.

Ἄνθρωπος == θνητός.

Ἐπὶ διανοίας ἀποφατικῆς.

Ἄνθρωπος == σύνθετος — ἄλυτος == ἀθάνατος.

Ἄνθρωπος — ἀθάνατος.

§. Φλς. Δι' ἁπασῶν ἀποφασκουσῶν τῶν μεταβάσεων διάνοια οὐκ ἐκπεραίνεται, εἴτε καταφατική· οὐδὲ γὰρ λόγος συναφείας δυοῖν τινῶν πρὸς ἄλληλα γένοιτ' ἄν, τὸ μηδέτερον ἐκείνων τρίτῳ τινὶ εἰς ταὐτὸ συνιέναι. Ἀλλ' εἰ ἀποφατική· ἐ γὰρ δηλονότι ἐπάναγκες καὶ ἀλλήλων ἀφίσαθαι, τὰ ἀπὸ τρίτε τινὸς ἀφισάμενα. Οἷον ἐπὶ τῶν ἑξῆς μεταβάσεων.

Ἄνθρωπος — Ἄγγελος — ζῶον — σφαῖρα.

Καιμιὼ Ἄνθρωπος == ζῶον.

Καὶ Ἄγγελος — σφαῖρα.

Καὶ Ἄνθρωπος — σφαῖρα.

§. Φλζ. Ἐπὶ τῶν δι' ὅλε ἀποφατικῶν μεταβάσεων, καὶ καθ' ἑαυτὰς ἑκάστης ἀληθευσῶν, ἀεὶ τῶν ἐφεξῆς ὅρων, μὴ μόνον καθ' ἑτερότητα, ἀλλὰ κατ' ἀντίθεσίν τινα τὸς ἡγεμένες ἀνατρεπόντων, τῆς ὑπεναντιώσεως ἀναιρεμένης τε ἀμοιβαδὸν καὶ ἀποκαθισαμένης, αἱ μὲν κατὰ τὰς ἀρτίας ἐκπερατέμεναι διάνοιαι ἀληθεύσαι εἰσὶν, αἱ δὲ κατα τὰς περιττὰς ψευδόμεναι. Οἷον ἐπὶ τῶ ἑξῆς διαγράμματος τῶ μὲν α, τὸ ἀληθεύειν ὑποσημειῶντος, τῶ δὲ ψ, τὸ ψεύδεσθαι.

Ἄνθρ.



§. Φλή. Τέτταρα ἔν ἐσὶ τὰ τῆς διανοίας συμπληρωτικὰ γινόμενα, καὶ συσατικὰ, ταῦτα (1). Α'. ἡ τῶν μέσων εὕρεσις, δι' ὧν τὰ ἄκρα συνάψαι δέον, ἢ διασῆσαι, ἢ προϋπόκειται. Ἔσι δὲ ταῦτα τὸν ἀριθμὸν πλείονα ἢ ἐλάσσονα, κατὰ λόγον δήπε τῆς τῶν ἄκρων πρὸς ἄλληλα χέσεως. Καθ' ὃ δὴ καὶ τῶν ἀποδείξεων ἤτοι τῶν διανοητικῶν ἐφόδων αἱ μὲν βραχύτεραι εἰσὶν, αἱ δὲ χοινοτενέσεραι· Ἐλάχισαι μὲν, καὶ πρῶται, αἱ ἐκ τριῶν δι' ἑνὸς μέσε (2), μείζονες δὲ αἱ μετ' αὐτὰς, ἐκ τεττάρων, καὶ δυοῖν μέσων, καὶ ἑξῆς (§. Φλγ'.) ἄχρι τῶν διεξοδικωτάτων. Β'. δὲ ἡ τῶν μέσων ἀνευρεθέντων ἥδη, εὔθετος, καὶ προσήκεσα διάταξις, καθ' ἣν ἐν ἀλληλεχίᾳ παρασυναπτέον ἀμέσως τὰ ἀλλήλων παρηρτημένα, ἑξῆς, καὶ ἑξῆς τῦτο ποιῦντας, ἕως ἂ μηδὲν χάσμα κενὸν μείνῃ διαλειφθὲν, ὡς τὸ κεχηνὸς ῥῆγμα μεταξὺ ἐργάζεθαι, καὶ διακοπὴν τῆς συνεχῦς εἶναι βλομένης διανοητικῆς κινήσεως. Τῦθ' ὅπερ ἐν ταῖς πιθανολογεμέναις τῶν διανοιῶν, ἐπ' ἀκριβὲς ἐχ οἷόν τε ποιεῖν. Γ'. Ἡ καθ' ἑκάσην μετάβασιν τῆς συνεπείας σαφής τε καὶ πλήρης ἀντίληψις, ἄχρι τῆς ἐχάτης. Δ'. Ἡ κατὰ νῦν σωζομέ-

(1) Ὅρα Λώκιον περὶ Νξ Βιβλ. Δ'. Κεφ. ις'. §. 3.

„Εἰσὶ δὲ τοιῦτοι Συλλογισμοὶ οἱ πρῶτοι, ἐκ τῶν τριῶν, δι' ἑνὸς μέσε.

(2) Ἀρις. Μεταφ. Δ'. Κεφ. γ'.

μένη ἀδιαπτώτως τῶν προηγησαμένων ἔννοια σχέσεων, ἐφ' ἑκάστησοῦν συνεπείας, καὶ ἡ ἁπασῶν ἅμα, κατ' αὐτὴν τὴν ἐσχάτην, καθ' ἣν καὶ τῆς ὅλης διανοητικῆς ἐφόδου ἐπισφραγιζομένης, ἡ ἐξ ἀρχῆς τῶν ἄκρων ζητουμένη σχέσις, κρατύνεται καὶ διαπιστοῦται.

§. φλθ'. Καὶ δεῖ τοίνυν ἐπὶ μὲν τούτων τοῦ Α'. ἀγχινοίαστε, καὶ τῆς, περὶ ἃ πρόκειται, ἀκριβοῦς ὡς οἷόντε γνώσεως· ὧν ἡ μὲν φύσεως ἐστὶ δῶρον, ἡ δὲ καὶ μελέτης. Δεῖ δ' ἐπὶ τοῦ Β'. εὐκρινείας τε τῶν νοουμένων, καὶ τῆς περὶ τὸ οἰκονομεῖν αὐτὰ, καὶ διατιθέναι ἐμπειρίας τε καὶ δεξιότητος, τῆς ἀσκήσει καὶ πόνῳ προσγινομένης. Δεῖ δὲ ὀξύτητος, καὶ ψυχῆς ἀτενὲς καὶ γοργὸν βλεπούσης ἐπὶ τοῦ Γ'. Δεῖ δὲ μνήμης τελευταῖον ἐπὶ τοῦ Δ'. ὡς κἂν ἓν καὶ μόνον τῶν εἰρημένων ἀπῇ, τὸ τῆς διανοίας καλὸν αὐτίκα διαπεσεῖται, καὶ εἰκαίατις, καὶ ἀσυνάρτητος νοημάτων ἄθροισις ἔσται θᾶττον, ἢ διάνοια τό τελούμενον.

§. φμ'. Διέλοι δ' ἄντις τὴν οὕτω συμπληρουμένην διάνοιαν, εἰς μέρη δύο· Ὧν ἐν μὲν τῷ πρώτῳ, ἅπασαι ἐνθεωροῦνται αἱ κρίσεις, αἱ τὸ ἀλληλεχὲς τῶν ἄκρων τε καὶ τῶν μέσων, οἷον κροίκων σειρᾶς συνεχοῦς δι' ἀλλήλων συναπτομένων, παραδεικνύουσαι. Ἐν δὲ τῷ δευτέρῳ μόνη ἡ τῶν ἄκρων αὐτῶν τὴν σχέσιν κρίνουσα. Πρὸς οἷς καὶ τρίτον οἷον μέρος ἄντις ἐπιλογισθείη, τὴν ἐκ τῶν πρώτων (ἐν αἷς τὸ πρῶτον μέρος), τῆς ἐσχάτης κρίσεως (ἐν ᾗ κεῖται τὸ δεύτερον), συναρμογὴν καὶ συνάρτησιν. Καλεῖν δὲ εἰώθασι τὸ μὲν πρῶτον ἡγούμενον· τὸ δὲ δεύτερον ἑπόμενον· τὸ δὲ τρίτον συνέπειαν. Οἷον εἰ διανοηθῆναι προκέοιτο τὸν αὐτάρκη εἶναι εὐδαίμονα· Ἡγούμενον μὲν ἂν εἴη τὸ κατὰ τὴν ἑξῆς ἀλληλουχίαν. ὁ αὐτάρκης οὐδενὸς ἐφίεται· οὗτος οὐδενὸς ἐπιδεὴς ἐστίν· οὗτος οὐδενὸς ἀποστέρεται· οὗτος εὐδαίμων. Ἑπόμενον δὲ, ὁ αὐτάρκης εὐδαίμων. Συνέπεια δὲ, τὸ τήνδε τὴν ὑστάτην κρίσιν, ἐκ τῶν ἐν τῷ ἡγουμένῳ ἐκείνων συνηρτῆσθαι καὶ ἔχεσθαι.

§. φμά. Ἔνθα σημειωτέον, ὡς ἐφ' ἑκάστης ἐκείνων, τὸ τῆς συγκαταθέσεως κράτος ἐστὶν ἐκ τῶν ὅρων, παρὰ τὸ ἄμεσον καὶ αὐτοφανές τῆς σχέσεως· ἐπὶ δὲ ταύτης, οὐκ ἐκ τῶν ὅρων αὐτῶν, ἀλλ' ἐκ τῶν προειλημμένων κρίσεων. Συνάπτω γὰρ τῷ Α. τὸ Ε., ἤτοι τῷ αὐτάρκει τὸ εὔδαιμον, διὰ τὴν πρώτην συνάφειαν τοῦ Α, καὶ τοῦ Β. καὶ τὴν δευτέραν τοῦ Β, καὶ τοῦ Γ. καὶ τὴν τρίτην τοῦ Γ, καὶ τοῦ Δ. καὶ τὴν τετάρτην τοῦ Δ, καὶ Ε. Διὸ κἂν τῇ συνεπείᾳ ἀναγκαιοτάτη ἡ τῶν προεκπεφασμένων

διακα-

διακατοχήτε καὶ μνήμη· καὶ ταύτης ἀπάσης ὅπασα ὡς εἰρηται (§. φλθ'.) ἡ τῆς διανοήσεως παραλύεται δωάμις.

§. φμβ'. Τάτε γέτοι, καὶ βοηθείας χάριν τᾶ μνημονικᾶ ἡ εἰς τεμμάχια ὅμαι κατατομὴ τῆς διανοήσεως μεμεθόδυται, εἰς πολλὰς διαμεριζομένης μερικωτέρας, ὡς ἂν μὴ διαπίπτῃ δηλονότι ἡ τῆς σωεπείας ἰχὺς, διὰ μῆκος τῆς προόδε γινομένη ἐξίτηλος, χωρῇ δὲ ταῖς ἐν μέρει ἐπαναλήψεσι ῥωννυμένη ἄχρι τῆς τελάτης ἀκμαίας καὶ σώτονος· τῷ ὄντι γὰρ μία κυρίως ἡ διάνοια ἐσὶν ἡ ὁλοχερὴς, ἡ τὰ ἐξ ἀρχῆς προκείμενα ἄκρα, τῇ διὰ πάντων τῶν μεταξὺ ἐπελάσει σωάγειν φθάνεσα, κατὰ τὸ σωεχὲς ἄχρι τέρματος. Οἱ δὲ μεταξὺ γινόμενοι οἷον ἀναπαθμοὶ, καὶ ἀνάπαυλαι, ὡς μὴ φάσιν τελείαν ποιέμεναι τιὼ ἐπὶ τᾶ προτεθέντος, ἐδὲν ἕτερον σωτελεῖν ἐμοὶ δοκᾶσιν, ἢ ἵνα νεαρὸν τὸν τᾶ μνημονικᾶ διασώζσαι τόνον, (ἃ χρεία κατὰ τὸ πέρας τῆς τοιᾶσδε κινήσεως) αὐτὸ τᾶτο, ὅ τὸ σκοπέμενον ἐσὶ, τελείαν τιὼ τᾶ διανοητικᾶ ἠζέμησιν ἀπεργάσωνται. Διὸ καὶ οἱ τινὸς ἐπιλελησμένοι τῶν προληφθέντων, παλίνδρομοι γίνεθαι ἀναγκάζονται, μὴ ἄλλως ἔχον αὐτοῖς εἰς πέρας ἀφικέθαι τῆς ἀποδείξεως. Ἐπὶ γᾶν τῆς ἀνωτέρω (§. φμ.) διανοίας τοιᾶτος ὁ ἐκτεμμαχισμός·

Ὁ αὐτάρκης ἑδενὸς ἐσὶν ἐφιέμενος.
ὁ ἑδενὸς ἐφιέμενος ἑδενὸς ἐπιδεὴς ἐσίν.

Ἐκ δὲ δὴ τάτε·

Ὁ αὐτάρκης ἑδενὸς ἐπιδεὴς ἐσίν.
ὁ ἑδενὸς ὢν ἐπιδεὴς ἑδενὸς σέρεται.

Καὶ ἔτι ἐκ τάτε·

Ὁ αὐτάρκης ἑδενὸς σέρεται.
ὁ ἑδενὸς σερόμενος ὀδαίμων.
ὁ αὐτάρκης ἐσὶν ὀδαίμων.

Καὶ αὕτη ἂν εἴη, ὡς ἐγ ὤμαι, ἡ τᾶ πολυθρυλήτε Συλλογισμᾶ χρῆσις, ἥτις ἔλεγχος μᾶλλον τῆς τᾶ Διανοητικᾶ ἀθενείας ἐσὶν, ἢ τῆς δωάμεως· ὥσπερ δὴ καὶ τὸ Διανοητικὸν αὐτὸ διὰ τιὼ ἀθένειαν ἐσὶ τᾶ Νᾶ. Περιτὴ γὰρ ἡ διάνοια, ἐφ' ὧν οὐ αὐτοῖς τοῖς ὅροις ἡ χέσις ἐμφαίνεται, κατὰ ἁπλιῶ Νᾶ ἐποπτείαν (§. φλά.). Περιτὸς δὲ ὁ Συλλογισμὸς, ἔνθα δι' αὐτῆς τῆς διανοητικῆς ἐφόδε ἡ τῶν ἄκρων παρίσαται οἰκειότης ἢ ἀλλοτρίωσις. Ἀλλὰ περὶ μὲν τᾶ Συλλογισμᾶ, καίτοι μὴ ἁπλῶς ἀναγκαίως, μηδ' ἀπαραιτήτως ἔχειν δοξάντος τισὶν (1) εἰς

(1) Ὅρα ἐφεξῆς §. χιά. Σημείωσ.

εἰς διάνοιαν, καὶ αὐτοὶ κατωτέρω τὰ εἰωθότα πραγματευσόμεθα.

§. Φμγ'. Ἐνταῦθα δὲ ἄξιον ἰδεῖν, τίς ὁ λόγος δι' ὃν κατὰ πᾶσαν διάνοιαν, ἡ διὰ τῆ ἑπομένε κρίσις, ἐκ τῶν ἐν τῷ ἡγεμένῳ ἐξέχεται; ἢ ὅτι τὰ τῷ μεσιτεύοντι τρίτῳ συναπτόμενα, καὶ ἀλλήλοις συνάπτεθαι, ὧν δὲ τὸ μὲν τῷ τρίτῳ συνάπτεται, τὸ δὲ τῆ τρίτε αὐτῆ ἀποζεύγνυται, ταῦτ' ἐπάναγκες καὶ ἀλλήλων ἀπάγεθαι; Δοκεῖ δὴ μᾶλλον ἕτος λόγος εἶναι ὁ τιὼ ἀληθείαν τῆ ἑπομένε κατασκευάζων, ἢ τῆς συμπεράσεως τιὼ δυώαμιν. Ὁ δὲ ταύτιω συνίσησιν ἐκεῖνο μᾶλλον ἐσὶν ἀκριβῶς ἐπισήσασιν, ὅτι τὸ ἡγέμενον περιεκτικόν πως ἐσὶ τῆ ἑπομένε. Καθάπερ γὰρ ἐπὶ τῶν ἀξιωμάτων ὁ λόγος τῆς τῶν ἄκρων συναφείας, ἡ τῆ ἑτέρε ἐν τῷ ἑτέρῳ ἐσὶ περιοχὴ, οἷον τὰ δὶς δύο τέτταρα, ὅτι ἐν τοῖς δὶς δυσὶ τὰ τέτταρα· ἐκ ἔχει δὲ φύσιν τὰ δὶς δύο τεθῆναι, καὶ μὴ τὰ τέτταρα· τεθείη γὰρ ἂν ἅμα τὰ αὐτὰ καὶ ἀθετηθείη· ἕτω καὶ ἐπὶ τῶν Διανοιῶν ὁ λόγος τῆς ἐκ τῆ ἡγεμένε συνεπείας τῆ ἑπομένε, τὸ θατέρῳ καὶ θάτερον ἐσὶ συνεκφέρεθαι, ἅτε δὴ ἐκείνῳ συνυπονοεμενον. Οἷον ὁ ἄνθρωπος ἐσὶ θνητὸς, καὶ ὁ Σωκράτης ἄρα, ὡς τῷ ἀνθρώπῳ καὶ αὐτὸς συνυπακεόμενος· ἧ χάριν καὶ ἡ τῆτο μαρτυρέσα ἀπόφανσις ἐμπαρεισάγεθαι φιλεῖ, ὅτι Σωκράτης ἄνθρωπος ἐσί. Καὶ ἀνάγκη ἄρα ἐκείνε τεθέντος, καὶ τῆτο συμβαίνειν, ἀληθῆς μὲν ἀληθὴς, ψευδὴς δὲ ψευδής· Καὶ δυνατῆ μὲν δυατὸν, ἀδυάτε δὲ ἀδυάτον· Καὶ ἐνδεχομένε μὲν ἐνδεχόμενον, ἀναγκαίε δὲ ἀναγκαῖον (1)· ὥσε ἀείποτε τιὼ συνέπειαν (ἣν κατὰ τὸ δέον καὶ ὀρθῶς ἐπιφέρηται) ἀναγκαίαν εἶναι, κἂν ἀναγκαῖον, κἂν μὴ ἀναγκαῖον, ἀλλὰ καὶ ψευδῆ, καὶ ἀδυάτον τύχοι τὸ συνεπόμενον.

§. Φμδ'. Ἡ δὲ περιοχὴ αὕτη, καθ' ἣν τὸ ἐν τῇ Διανοίᾳ ἑπόμενον ἐν αὐτῷ τῷ ἡγεμένῳ ἐνθεωρεῖται, τριτλήτις ἐσίν· ἤτοι γὰρ Πλάτει, ἢ Βάθει, ἢ Σχέσει. Καὶ Σχέσει μὲν καταχρησικώτερον, ἐπειδὰν ἄμφω, τὸ ἡγέμενον δηλονότι καὶ τὸ ἑπόμενον, δι' ἣν ἔχει πρὸς ἄλληλα ὁμοιότητα, ἐπίτινα κοινοτέραν ἀπό-

(1) „Ἠναγκασμένως δὲ καὶ ἁπλῶς ἐπὶ πάσης ὕλης συμβκίνει, „ταυτὸν δ' ἁπλῶς συνακολεθεῖ τὸ συμ„πέρασμα ταῖς προτάσεσιν, ἃ διὰ τιὼ „φύσιν τῶν πραγμάτων, ἀλλὰ διὰ „τιὼ θέσιν τῶν προτάσεων. Βλεμ. Ἐπί. Λογ. Κεφ. λα'.

ἀποφάνσιν τὴν ἀμφοτέρων περιεκτικὴν ἔσαν ἐπαναγόμενα, ἀμοιβαδὸν ἀλλήλοις ἐφέπεται, οἷον οἶδα χθὲς τῶν ἀναθυμιάσεων (ἀνωτέρω τῇ ἡλίᾳ ταύτας ἀνιμήσαθαι διὰ τὴν παχύτητα μὴ δυνηθέντος) εἰς γλῶ αὐτομάτως ἐπιβρισασῶν, καὶ ὁμίχλης τὰ πάντα πυκνῆς περικαλυψάσης, ἀνομβρόντε καὶ εὐθριον διαγενέσθαι τὸ λοιπὸν τῆς ἡμέρας. Ἐπεὶ ἓν καὶ σήμερον παραπλησίατις ὁμίχλη ἡμῖν ἐπεσκέδασε, εἰκάζω δὴ κἠτὴν ἐνεχῶσαν αἰθρίαν ἔσεσθαι. Κυρίως ἓν ἐπὶ τῆς ὧδέπως προβαινούσης διανοίας, τὸ ἑπόμενον ἐν τῷ ἡγεμένῳ εὐδαιμῶς περιέχεται, συμπεριέχεται δὲ ἄμφω διὰ τὸ ὅμοιον τῇ κοινοτέρᾳ ἀποφάνσει, ὅτι πᾶσα ἡμέρα καθ' ἣν τοιόνδετι ἐπὶ τῆς ἀτμοσφαίρας συμβαίνει, τὸ λοιπὸν αἴθριος ἐστίν. Ὥστε διὰ τὴν καθ' ὁμοιότητα χέσιν, (δεῖ δὲ προσέχειν μήτις ὑπολανθάνοι διαφορὰ ἐπὶ τῶν τοιούτων.) εἰκὸς ἐστὶν ἐκ τοῦ ὁμοίᾳ τεθέντος ὑποσιωπᾶπτειν τὸ ὅμοιον. Ἐκ τοῦ ἐναντίᾳ δὲ καὶ τὸ ἀνόμοιον κατ' ἀπόφασιν.

§. φμέ. Βάθει δὲ ἡ περιοχὴ θεωρεῖται, καθότι τὰ καθόλε ἐν τοῖς ἐπὶ μέρες ἐμπεριείληπται (§. πέ.), καὶ τούτοις κἀκεῖνα σωεισάγεται (§. ργ'. ρδ'.). Οἷον ἐὰν τεθῇ ὅτι χρυσὸς, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ τῶν τοιούτων ἕκασον πυρὸς δυνάμει τυγχάνει χωνδτὸν, ἐκ τοῦδε ἡγεμένε, ἑπόμενον ἔσαι ὅτι ἁπλῶς τὸ μέταλλον ἐστὶ χωνδτόν. Τὸ γὰρ μέταλλον κατὰ βάθος ἐνθεωρεῖται ἐν ἐκείνοις, ὡς χαρακτὴρ γενικὸς ἐν τοῖς εἴδεσι.

§. φμς'. Πλάτει δὲ τέως, ἢ τὰ μερικὰ, καὶ ἧττον ὄντα καθόλε, τοῖς ἀνωτέρω καὶ γενικωτέροις ὑπαλληλῶται, καὶ ὡς μέρη τοῖς ὅλοις σωυποτίθεται (§. πθ'.). Διὸ τὰ κατὰ τῶν ἀνωτέρω ἐν καταφάσει, ἢ ἀποφάσει λεγόμενα, τὰ αὐτὰ ἀνάγκη κατηγορεῖσθαι ὡσαύτως, καὶ κατὰ τῶν κατωτέρω (§. ρό.), ὡς διὰ τοῦ κατὰ παντὸς, καὶ τοῦ κατὰ μηδενὸς, ἠξίωται τῶν λόγων. Οἷον εἰ ὁ λίθος σῶμα, καὶ ὁ ἀδάμας δήπε, καὶ ὁ πυρίτης, ἅτε δὴ λίθοι. Καὶ εἰ μηδὲν σῶμα κῆφον, οὐδ' ὁ ἀὴρ ἄρα, οὐδὲ τὸ πῦρ· ὅτι δὴ σώματα.

§. φμζ'. Οὕτως ἓν τῆς διανοητικῆς ἐνεργείας φύσει ἐχόσης, εἰς ἀκριβεσέραν αὐτῆς διασάφησιν θεωρητέον τὰ ἐφεξῆς. Α. ὅτι ἐξ ὁποιασοῦν ἀληθοῦσης γνώσεως προληφθείσης, ἐχ ἡ τυχοῦσα, (κἂν ἀληθοῦσα ᾖ) γνῶσις ἐπιφέρεται, ὡς ἄρα καὶ ἑπομένη. Οὐ γὰρ τὸ τυχὸν πρὸς τὸ τυχὸν ἡγέμενον, ἢ ἑπό-

ἑπόμενον, ἀλλ' ἡγεῖται μὲν τὸ ὁπωσοῦν περιέχον, ἕπεται δὲ τὸ κατάτινα λόγον (§. Φμδ'. Φμέ. Φμϛ'.) περιεχόμενον. Οὔκουν ἄρα προειληφώς τις τὴν δικαιοσύνην ἕξιν εἶναι διανέμουσαν ἑκάστῳ τὸ οἰκεῖον, ἐντεῦθεν ὀρθῶς ἂν εἰσβάλοι, οἰκεῖον εἶναι τῷ πυρὶ τὴν θερμότητα. Εἰ γὰρ καὶ ἀληθεύει ἑκάτερον, ἀλλ' οὐδὲν ἐν τοῖς λεγομένοις τὸ ἐκ τῆς περιοχῆς ἀκόλουθον, ἐξ οὗ ἡ διανοητικὴ γνῶσις συνίσταται· τὸ γὰρ ἀληθεύειν ἐνταῦθα τοῦ λεγομένου, καὶ οὐχὶ τῆς συνεπείας, ἣ τῷ ὄντι οὐδεμία ἐστίν.

§. Φμή. Β'. Ἐκ ψευδοῦς γνώσεως, γνῶσις ἑτέρα ψευδὴς ὑποσυνάπτεται, οὐμὴν ἡ τυχοῦσα, ἀλλ' ἡ ἐκείνῃ ἐφεπομένη. Ψεῦδος γὰρ ψεύδει ὠκείωται τὰ πολλὰ, καὶ σχέσιν ἔχει ἕτερον πρὸς ἕτερον ἀναφερόμενον, ὥσπου καὶ ἀλήθεια πρὸς ἀλήθειαν· οἷον εἴτις πείθοιτο ἅπαντας τοὺς πάλαι πεφιλοσοφηκότας ἀρετὴν ἠσκηκέναι, πεισθείη ἂν ὡς εἰκὸς καὶ τὸν Ἐπίκουρον οὗτος ἀρετῆς ἐπιμεληθῆναι. Τυχὸν δὲ ψευδὲς ἑκάτερον. Ἀλλ' ἡ ἐγχωροῦσα σχέσις, τὸ ἀκόλουθον προσκυρώσασα, κἂν τοῖς ψευδέσι συνέστησε τὴν διάνοιαν, ἀληθευούσης τῆς συνεπείας, κἂν τῷ ἡγουμένῳ συγκαταψεύδοιτο, καὶ τὸ ἑπόμενον (§. Φμγ'.)

§. Φμθ'. Γ'. Ἐξ ἀληθοῦς ὡς ἡγουμένου, οὐδέποτ' ἄντι ψευδὲς ἑπόμενον ὀρθῶς ὑποσυναφθείη. Ἦν γὰρ ἄν, εἴπερ, τῷ ἀληθεῖ τὸ ψεῦδος, ἢ ὁμοιότητι (§. Φμδ'.) ἢ βάθει (§. Φμέ) ἢ πλάτει (§. Φμϛ'.) συνυπακουόμενον. Καὶ ἀληθὲς οὕτως ἂν εἴη τὸ ἐν ὑποθέσει ψευδόμενον.

§. Φν'. Δ'. Ἐκ ψευδοῦς ὡς ἡγουμένου, οὐδὲν ἂν ἀληθὲς ἕψοιτο, διὰ τὸν ἀνωτέρω (§. Φμθ'.) λόγον. Οὐκοῦν ἐξ ὑποθέσεως ἀδυνάτως ἐχούσης, οὐδὲν ὑγιὲς ἐπαχθήσεται.

§. Φνά. Ε'. Ἐκ ψευδοῦς τεθέντος, ἐν ᾧτις λόγος ἐνυποτίθεται ἀληθείας ἐχόμενος, οὐδὲν θαυμαστὸν διὰ τὸν λόγον ἕπεσθαί τι ἀναλογούμενον. Οἷον ἐὰν ὑποτεθῇ σχῆμα εὐθύγραμμον δίγωνον, ὁ τῶν γωνιῶν πρὸς τὸ σχῆμα λόγος, τῷ τῶν ποδῶν, ἢ τῶν ὀφθαλμῶν πρὸς τὸν ἄνθρωπον ἔσται ἀνάλογον.

§. Φνβ'. ϛ'. Ἐκ ψευδοῦς ἡγουμένου, ἐπιφέρεταί τι ἑπόμενον, ᾧπερ ἄλλοθένποθεν τὸ ἀληθεύειν περίεστιν. Οἷον ἐκ τοῦ πάντα ἄνθρωπον εἶναι δίκαιον, ὅπερ οὐκ ἀληθὲς, ἕπεται καὶ τὸν Ἀριστείδην δίκαιον γεγονέναι (§. Φμϛ'.), τὸν οἴκοθεν μὲν, οὐκέτι δὲ καὶ παρὰ τὴν καθόλου ἀπόφανσιν, τῇ δικαιοσύνῃ σεμνυνό-

νωώμενον (1). Διακριτέον δὲ τὶω ἐπὶ τῆς σωεπείας ἀλήθειαν (§. Φμγ΄.) κἀνταῦθα, τῆς ἐπὶ τᾧ ἑπομένῳ.

§. Φνγ΄. Ζ΄. Ἐξ ἡγεμένης γνώσεως, δι' ἧς μόνον ὡς δωατὸν παρίσαται τὸ γινωσκόμενον, ἡ ἐνεργεία ὑφεσηκέναι αὐτὸ ἀποφαινομένη ἐκεῖνο, ἐδαμῶς ἔπεται. Πῶς γὰρ ἂν τὸ ἐνεργείᾳ ὂν τῷ δωάμει ποτὲ περιέχοιτο; (§. Φμγ΄. κξ΄.) τᾶτο δὴ ἐσὶν ἐκ τᾶ δωάμει (ὡς φασὶ) μηδὲν ἐνεργείᾳ σωάγεσθαι.

§. Φνδ΄. Η΄. Ἐκ τᾶ ἐνεργείᾳ ἤδη ὑφεσῶτος, τὸ δυνάμει πρότερον εἶναι τὸ αὐτὸ, πάνυ εὐλόγως διανοέμεθα. Ἐπεισακτικὸν γὰρ τᾷ δωάμει τὸ ἐνεργείᾳ, καὶν τᾶτο τῷ βάθει ἐκεῖνο περιληπτόν (§. Φμέ.). Ὃ γὰρ ἐνεργείᾳ ἤδη ἐσὶ, δωατὸν ἰῷ πρὶν γενέσθαι. Εἰ μὴ γὰρ, ἐδ' ἂν ἐγένετο, ἐδ' ὑπάρχον ἂν εἴη ὡς ὑποτίθεται. Καὶ ἡ ἀντίφασις καταφανής. Ἐπὶ μέντοι τῆς ἁπλᾶς ἀντελεχείας, ὁ τῆς ἐπιφορᾶς λόγος ἐκ εὐοδᾶται. Τὸ γὰρ Θεῖον ἀΐδιος ἀντέλεχεια, ἐδὲν δωάμει ἐδ' ὅ-σα ὅλως, ἐδ' ἔχσα. Ἐκεῖνος γὰρ ἡ ἐνέργεια (2).

§. Φνέ. Θ΄. Ἐκ τᾶ κατ' ἐπίνοιαν ὡς ἡγεμένᾳ, τὸ ἀν πράγμασιν ὑφεσὼς ἐκ ἂν ὀρθῶς ἐπιφέροιτο, ἢ τοιᾶτο, ἢ τοιᾶτον. Οὐδὲ γὰρ περιεκτικὴ ἂν εἴη ἡ τῇ ἐπινοίᾳ ἀναπλατομένη, τῆς πραγματιώδες ὑποσάσεως ἐδ' ὁμοιότητι (§. Φμδ΄.), ἅτε βάθει

(1) Ἐκ ψευδῶν προτάσεων ἀληθὲς εὐδέχεσθαι συμπέρασμα συνεχθῶν, καὶ Ἀριστοτέλης διὰ πλειόνων ἐδίδαξε (Προτέρ. Ἀναλυτ. Βιβλ. β΄.), ὅτι καὶ τᾶ ἡγεμένα μὴ ὄντος, τὸ ἑπόμενον καὶ εἶναι, καὶ μὴ εἶναι εὐδέχεται, ὡς αὐτὸς αἰτιολογεῖ· τᾶτο δὲ ἐσὶν (ὡς αὐτοὶ φαμεὺ), ἐδὲν ἀλλ' ἢ τὸ ἐπιφερόμενον, μὴ ἐκ τᾶ ἡγεμένα· ἄλλοθεν δὲ κεκληρῶσθαι τὸ ἀληθεύειν. Ἦπε γὰρ ψευδὲς μὲν ὅλως ἐσὶ, πάντατε λίθον εἶναι ζῶον, καὶ πάντα ἄνθρωπον λίθον. Ψευδὲς δὲ κατά τι ἅπαντε λευκὸν εἶναι ζῶον, καὶ ἅπαντα ἄνθρωπον λευκόν. Εἰ δέ τις ἑκατέρωσε ὑποσυνάψειεν, ὅτι πᾶς ἄνθρωπος ζῶον, παναληθέσατον ἔσαι τὸ συναγόμενον. Οὐμὲν δὲ ἐκεῖνα, καθ' αὐτὸ δὲ· ὡς μηδὲ εἶναι κυρίως φᾶναι συναγόμενον, ἐδ' ἑπόμενον τᾶτο ἐκείνοις, ἀλλ' ἢ μόνον τῷ δοκεῖν. Ταύτητοι καὶ τὰς τοιάτας Συλλογισμὰς ἐχὶ τᾶ διότι, τᾷ δ' ὅτι ἐκάλεσεν ὁ Φιλόσοφος. „Εἰδέναι γὰρ δεῖ ὅτι ἐ ἀληθεῖς εἰσὶν αἱ „προτάσεις ὁ μέσος ὅρος ἔχει τὶω αἰ„τίαν, δι' ἧς συνάπ]ει ὁ ἄκρος τῷ ἄ„κρῳ. Διὰ γὰρ τᾶ μέσε ὅρε ὁ ἄκρος „τῷ ἄκρῳ δείκνυται, καὶ ἔσιν ὁ Συλ„λογισμὸς τᾶ διότι. Εἰ δὲ ψευδεῖς εἰ„σὶν αἱ προτάσεις, ἀληθὲς δὲ τὸ συμ„πέρασμα, αὐτὸ τᾶτο μόνον συνήχθη, „ὅτι τὸ ἄκρον τῷ ἄκρῳ ὑπάρχει, καὶ „μόνον τὸ ὅτι. Οὔτε γὰρ τὶω αἰ„τίαν ἔχει ὁ μέσος ὅρος ἐπὶ τῶν ψευ„δῶν προτάσεων, διότι τὸ ἄκρον τῷ „ἄκρῳ συνάπτει. Φιλόπον. ἐν ὑ-πομν. εἰς τὸ Β. τῶν Προτ. Ἀναλυτ.

(2) Ἀρισ. Μεταφ. Λ.

θει ὡς γνώρισμα (§. φμέ.), ἔτε πλάτει ὡς εἶδος, ἢ ἄτομον. (§. φμς΄.).

§. φνς΄. Ι΄. Τελευταῖον καὶ τῷ ἡγεμόνῳ γνῶσιν σαφεστέραν ἀεὶποτε δέον εἶναι τῆς ἐπαγομένης. Εἰκὸς γὰρ τὸ περιέχον τὸ ἐν αὐτῷ περιεχομένε πρότερον ἀπαντᾶν. Ἄλλως τε δὲ, καὶ ὅτι τῷ ἐπὶ τὸ σωαγομένε τῶν ἄκρων χέσιν, ὡς μὴ καθ' ἑαυτὸ δήλῳ, διὰ τῆς ἐκείνων πρὸς ἄλλες ὅρες προδηλοτέρας χέσεως, ἐν τῷ ἡγεμένῳ θηρώμεθα, ἄχρι καὶ αὐτῶν τῶν προδηλοτάτων (§. φλ΄. φλά.).

ΚΕΦ. ΔΕΥΤΕΡΟΝ

Περὶ λόγε Ἑρμηνευτικῆ τῆς Διανοίας, καὶ τῶν Εἰδῶν αὐτῆ.

§. φνζ΄.

Ἀπὸ τῶν ἐνδιαθέτων διανοημάτων, ἐπὶ τὰ διὰ τῶν φωνητικῶν ὀργάνων ἀπηχέμενα προκύπτσα ἡ Διάνοια, Ἐπιχείρημα καλεῖται, παρὰ τὸ κατασκευάζειν ἡμᾶς ἐπιχειρεῖν δι' αὐτῆ τὸ ζητέμενον (1). Ὥρισαι δὲ λόγος πιστωτικὸς ἀδήλετε καὶ ἀμφισβητεμένης ἀποφάνσεως, δι' ἀναμφισβητήτων καὶ γνωρίμων κατασκευασικός. Προφορικὸς μὲν, ὡς τῆς κατὰ διάνοιαν ἐνεργείας ἑρμηνευτικὸς· πιστωτικὸς δὲ, ἃ κατὰ τὰς ἐξωτέρας καλεμένας πίστεις, οἷαι εἰσὶν ὅρκοι, καὶ μαρτυρίαι, ἢ τὰ κατὰ δόξαν τινὶ τῶν ἄλλων ἁπλῶς προβαλλόμενα (2), ἃ δὴ τοῖς ῥήτορσιν ὁ φιλόσοφος λόγος παρέλιπεν,

ἀλλὰ

(1) Ἐπιχείρημα, καὶ ἡ τῶν κατασκευῶν τῆ προβλήματος διάθεσις ὠνόμασαι καὶ τάξις (παρὰ Κυντιλιανῷ Βιβλ. Ε΄.) καὶ ὁ λόγος αὐτὸς ὁ κατασκευάζων. Καὶ ἐπιχείρησις (παρὰ Ἀμμων.) Ἐνθυτοι καὶ ἐπιχειρέμενον τὸ δι' ἐπιχειρήματος κατασκευαζόμενον (παρὰ τῷ Φίλωνι). Καὶ προβλήματα εὐεπιχείρητα (παρ' Αριστ.) καὶ δυσεπιχείρητα. Καὶ ἐπιχειρηματικὸς ἀνὴρ, ἐ μόνον ὁ πολύτροπος, καὶ πολύβελος, ἀλλὰ καὶ ὁ πρὸς τὸ κατασκευάζειν καὶ διαπισᾶν τὸ προκείμενον δεξιὸς (παρὰ Βαλ. ἐν ὑπομν.

(2) Τέτταρα κατασκευῆς καὶ πίστεως εἴδη κατέλεξεν ὁ Λώκιος (περὶ Νῦ Βιβ. Δ. Κεφ. ιζ΄. §. 19.) ὧν τὸ μὲν ἐκ μαρτυρίας πρὸς αἰδῶ ὠνόμασεν. ad verecundiam. Τὸ δὲ ἐκ τῆ μηδὲν ἄμεινον προβαλέσθαι ἔχειν τὸν ἀντιδο-

ἀλλὰ κατασκευαστικὸς διά τινων παραλαμβανομένων ἀποφάνσεων, ἄλλης ἀποφάνσεως τῆς ζητουμένης· Οὕτω δηλονότι, ὡς τὰς μὲν (αἳ καὶ τὸ ἡγούμενον τῆς ἐνδιαθέτου διανοίας (§. φμ΄.) ἐκφέρουσι) γνωριμωτάτας δεῖν εἶναι, καὶ ἀναμφισβητήτους, ἤτοι καθ' ἑαυτὰς οὔσας τοιαύτας, ὡς ἐν ταῖς ἐκ τριῶν δι' ἑνὸς μέσου ἀποδείξεσιν (§. φλγ΄. φλη΄.), ἢ ἐξ ἄλλων πορρωτέρω ἐπιχειρήσεων, τὸ σαφὲς καρπουμένας καὶ βέβαιον, ὡς ἐπὶ τῶν σχοινοτενεστέρων (§. αὐτ.), ἐπιχειρηματικῶν ἐφόδων. Τὴν δὲ κατασκευαζομένην ἐξ ἐκείνων ἀπόφανσιν (ἣ συνίστησι τὸ τῆς διανοίας ἑπόμενον (§. φμ΄.) ἀδηλοτέραν τυγχάνειν, καὶ ἀμφισβητουμένην. Τὰ γὰρ ἀναμφισβήτητα, καὶ ἀδιανόητα (§. φλά.) καὶ δὴ καὶ ἀνεπιχείρητα, ὡς αὐτόπιστα ὄντα, καὶ οὐδενὸς πιστωτικοῦ λόγου, οὔτ' ἐπιδεῆ, οὔτ' ἐπιδεκτικά. Οὕτως οὖν κατασκευάσειέ τις ἐπιχειρήσας, τὸν ἀποπνεύσαντα ἰχθὺν, κουφότερον εἶναι τοῦ ἰσομέτρου τῷ ὄγκῳ ὕδατος, τουτὶ τὸ ἀδηλότερον· προειληφὼς τὸ μᾶλλον γνώριμον ἐκεῖνο, ὅτι τὸ κουφότερον τοῦ ἰσομέτρου ὕδατος ἐπιπολάζει τῷ ὕδατι· κἀκεῖνο τὸ ἐκ πείρας ἀναμφισβήτητον, ὡς ὁ ἀποπνεύσας ἰχθὺς ἐπιπολάζει τοῖς ὕδασιν.

§. φνή. Εἴδη δὲ τοῦ πιστωτικοῦ φέρεται λόγου, Συλλογισμὸς, καὶ Ἐπαγωγὴ, καὶ Παράδειγμα· ὧν ὁ μὲν διὰ τὴν κατὰ πλάτος περιοχὴν (§. φμς΄.) τὰ πλεῖστα συνάγει· ἡ δὲ διὰ τὴν κατὰ βάθος (§. φμέ.) τὸ δὲ, διὰ τὴν κατὰ σχέσιν καὶ καθ' ὁμοίωσιν (§. φμδ΄.). Περὶ ὧν ἑκάστου ῥητέον.

Περὶ

τιδοξάζοντα, πρὸς ἄγνοιαν, ad ignorantiam. Τὸ δὲ ἐκ τῶν κατὰ δόξαν τὴν ἐκείνου, πρὸς Ἄνδρα ἔφη κοινῇ καλεῖσθαι· ad hominem. Τὸ δὲ τέως ἐξ αὐτῶν ἀρυόμενον τῶν πηγῶν τῆς βεβαίας, ἢ πιθανῆς γνώσεως, πρὸς κρίσιν εἶπεν, ad iudicium. Εἶναι δὲ τοῦτο μόνον εἰς θήραν συντελοῦν ἀληθείας, καὶ εἰς πορισμὸν καὶ αὔξησιν γνώσεως. Τὰ δὲ λοιπὰ ἀσυντελῆτε καὶ περιττά. Οὐ γὰρ δηλαδὴ ἐκ τοῦ αἰδεῖσθαι μέτινα, καὶ πολλοῦ τίθεσθαι τὰ ὑπ' ἐκείνου λεγόμενα ἔχοι ἂν ἐκ τούτου αὐτὰ καὶ τὸ εὔλογον. Οὐδὲ τὴν ἀπλανῆτις ἤδη βαδιεῖται, παρὰ τὸ μὴ τὸν ἄλλον ὑποδεῖξαι ἔχειν τὴν λεωφόρον. Οὐδ' ὅτι με σφαλλόμενόν τις ἐφ' οἷς δοξάζω ἀπήλεγξεν, ἐντεῦθεν αὐτῷ τὸ ὀρθὸν τῆς κρίσεως καὶ ἀσφαλὲς, ἐν οἷς φρονεῖ, προσκληροῦται. Αἰδήμων γὰρ ἐγὼ τυχὸν διὰ τὸ Α΄. ἀμαθὴς δὲ διὰ τὸ Β΄. ἐν ἀπάτῃ δὲ διὰ τὸ Γ΄. Οὐμὴν διὰ ταῦτα, οὐδ' ἐν τούτων, καὶ ὁ τοὐναντίον πείθειν ἐπιχειρῶν, τ' ἀληθὲς ἐκδιδάξεταίμε. Δεῖ δὲ λόγων εἰς τοῦτο, ἐξ αὐτῆς τῆς φύσεως λαμβανομένων τοῦ πράγματος, καὶ ταῖς ὀρθαῖς ἐννοίαις ὁμολογούντων. Οὐ γὰρ ἀποχρῶντες εἰσὶν οἱ ἐκ τῆς ἐμῆς ἤτοι δυσωπίας, ἢ ἀπαιδευσίας, ἢ ἀπάτης ὑποβαλλόμενοι.

Περὶ Συλλογισμῦ.

§. φνθ'.

Συλλογισμὸς ἐστὶ λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν »κειμένων ἐξ ἀνάγκης συμβαίνει, τῷ ταῦτα εἶναι (1). »Οἷος ὁ ἑξῆς·

Πᾶσα δυὰμις ἐστὶ τελειότης·
Πᾶσα αἴθησις ἐστὶ δυὰμις·
Πᾶσα αἴθησις ἐστὶ τελειότης.

Καὶ τὸ μὲν ὄνομα, ὅτι συλλογήτις ἐστὶ (2) λόγων πλειόνων ἐν αὐτῷ· τὸ δὲ λόγος πιστωτικὸς ἐν τῷ ὁρισμῷ ὡς γένος. Εἶδος γὰρ οἷον ὁ Συλλογισμὸς εἶναι τίθεται τῦ ἐν γένει Ἐπιχειρήματος (§. φνή.). Τεθέντα δὲ, καὶ κείμενα ἐπὶ τῦ Συλλογισμῦ τῶν τριῶν αἱ δύο προτιθέμεναι προτάσεις, αἱ τὸ ἡγέμονον τῆς ἐν αὐτῷ διανοίας (§. φμ΄.) ἐνφέρουσαι. Ἕτερον δὲ τῶν κειμένων ἡ τρίτη, ἣ δὴ καὶ ἐξ ἀνάγκης συμβαίνει, ἐκείνων ἡγησαμένων. Ἐν οἷς σημειωτέον· Α΄. Τὰς προκειμένας τεθέντα λέγεσθαι, δέον ὁμολογεμένας εἶναι τὰς ἐν αὐταῖς ἀποφάνσεις, ἤτοι καὶ ἐναργείαν, ἢ διὰ προληφθείσης ἤδη κατασκοπῆς ἐχάσας τὸ ἀξιόπιστον (§. φλή. φνζ΄.) (3). Β΄. Τῷ ἐπιφερομένῳ ἕτερον. Οὐδὲν γὰρ ἐξ ἑαυτῦ ἐπιφέρεται, εἰμὴ κατὰ περιτρίψιν τινα ταυτολογίαν (4). Γ΄. Ἐξ ἀνάγκης συμβαίνειν ταύτῃ ἐκείναις, διὰ τὸ περιέχεσθαι ἐν αὐταῖς, καὶ συμπαρέσθαι

(1) Ἀρισ. Βιβλ. Α΄. τῶν Προτ. Ἀναλ. Κεφ. ά.

(2) »Ὅτι γὰρ συλλογὴ ἐστὶ πλειόνων λόγων, αὐτό τε τὸ ὄνομα αὐτῦ »δηλοῖ, καὶ ὁ παρὰ τῦ Ἀριστοτέλες »ἀποδεδομένος αὐτῦ ὁρισμός (Ἀμμών. εἰς τὰ Πρότ. Ἀναλ. Βιβ. Α΄.). Ὁ δὲ Βλεμμίδ. ἐν Ἐπιτομ. Λογ. Κεφ. λά. »Ποτὲ δὲ καὶ αὐτὸ τὸ Συμπέρασμα »καλεῖται (φησὶ) Συλλογισμὸς, ὡς »τὰ διεσῶτα ἐν τοῖς λόγοις, ἅτινα ἐν »ταῖς προτάσεσι, τὰς ἄκρας ὅρους (δη»λονότι) συνάγον ὁμῦ, καὶ ὡς συλ»λέγον τινὶ ἐν πᾶσι τοῖς ὅροις διεσπαρ»μένῳ ἀπόδειξιν.

(3) Ἢ τεθέντα λέγεται (φησὶν Ἀμμών. εἰς τὰ Πρότ. Ἀναλ. Βιβ. Α΄.) »διὰ τὰς ὑποθετικὰς συλλογισμάς· »τούτοις γὰρ ὑποτίθεσθαι μὲν λέγομεν »τὰς προτάσεις, τίθεσθαι δὲ ἐδαμῶς· »τῦτο δὲ ἡμῖν ἐκ ὀρθῶς λέγεσθαι δοκεῖ· καὶ γὰρ καὶ ἐν ἐκείνοις ἡ πρόσληψις τίθεται, ἐχ ὑποτίθεται. Ἐὰν γὰρ μὴ ἦτοι ἄρσει, ἢ θέσει τεθῇ, συλλογισμὸς ἐδὰς ἔσαι, ὡς δῆλον, ἐν οἷς περὶ ἐκείνων ἀρήσεται.

(4) Τοιάδε δὲ τὰ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι σοφίσματα, περὶ ὧν ὕστερον.

(Φμγ'. Φμδ'.). Ἀεὶ δὲ τῷ περιέχοντος τεθέντος, ἀνάγκη καὶ τὸ περιεχόμενον τεθεῖσθαι· ὁ δῆλον καὶ ἐξ ὧν ἔχατα προσετέθη τῷ ταῦτα εἶναι (1).

§. ΦΞ'. Ὥρισται δὲ καὶ ἄλλως ὁ Συλλογισμὸς, ἐπιχείρημα εἶναι ἐκ τριῶν προτάσεων συνεστηκὸς, ὧν αἱ τῇ τρίτῃ συναπτόμεναι, ἢ διαζεύγνυνται ὅροι δύο, τῷ αἱ ταῖς δυσὶ προτέραις, ἤτοι τρίτῳ τινὶ ὅρῳ φθάσαι συναφθεῖσαι, ἢ τὸν μὲν αὐτῷ συναφθεῖσαι, τὸν δὲ αὐτῇ τέτε διαζευχθεῖσαι. Τρεῖς γὰρ αἱ παντὶ συλλογισμῷ προτάσεις χωρεῖσι, καὶ ὅροι ἰσάριθμοι ἐξ ὧν ἐκεῖναι. Καὶ αἱ μὲν ἡ ὕλη τῇ Συλλογισμῇ εἰσὶν ἡ προσεχὴς, εἰ δὲ ὅροι ἡ ἔμμεσος καὶ πορρωτέρω. Τῶν δὲ τριῶν ὅρων οἱ μὲν δύο ἴδιοι τῷ συμπεράσματι εἰσὶν, ἃ καὶ ἄκρα καλεῖσθαι εἴωθε· Τὸ μὲν ἔλαττον, ὁ αἱ τῷ συμπεράσματι ὑποκείμενος ὅρος· ὃς καὶ διδόμενον ἀκέει, παρὰ τὸ αἱ τῷ προβλήματι ὑποτίθεσθαι. Τὸ δὲ μεῖζον ἄκρον, ὁ κατηγορέμενος· ὃς καὶ ζητέμενον λέγεται, καθ' ὅτι περὶ αὐτὸν μάλιστα ἡ πᾶσα ῥέφεται ζήτησις, εἴγε τῷ ὑποκειμένῳ προσήκων ἐστὶν, ἢ μή; Μεῖζον δὲ ἄκρον ὠνόμασαι, τῷ ἤτοι τῇ ὑποκειμένῃ ὑπερεκτείνεσθαι, ἢ γᾶν αὐτῷ συνεκτείνεσθαι, Ἡ γάρ τοι κατὰ τῶν καθόλε μετὰ συζυγῆς γινομένη τῶν μερικωτέρων κατηγορία ἐ κατὰ Φύσιν. Ὁ δὲ παρὰ τέτες τρίτος αἱ τῷ συλλογισμῷ ὅρος, μέσος προσειρῆσθαι, καὶ κοινὸς, ὡς μὴ αἱ τῷ συμπεράσματι, ἀλλ' αἱ ἀμφοῖν ταῖς προ-

(1) Τινὲς τῶν καθ' ἡμᾶς, διὰ τὸ ἐν τῷ ὁρισμῷ προσληφθὲν ΕΞ ΑΝΑΓΚΗΣ, μὴ πάντα Συλλογισμὸν τὸν Ἀριστοτέλυς ἀποδεδωκέναι φασὶ, μόνον δὲ τὸν τὸ ἀναγκαῖον ἐκ τῶν προτεθέντων ἀσβάλλοντα, οἷον ἂν φαῖεν τὸν Ἀποδεικτικόν. Ἐοίκασι μέντοι ἄτως ὑπειληφότες τῆς διανοίας τῇ Φιλοσόφε ἥκιστα ἅπτεσθαι. Ἀεὶ γὰρ καὶ ἐπὶ παντὸς συλλογισμῷ ἀπαιτᾶται, ἡ τῷ συμπεράσματος μετὰ τῶν προκειμένων σύμβασις, ἵνα δὴ καὶ ὀρθῶς ἔχων ᾖ. Καὶ γὰρ καὶ ἐκ ψεύδῶν, καὶ ἐξ ἀδυνάτων, τὸ ἑπόμενον ΕΞ ΑΝΑΓΚΗΣ συνάγομεν (§. Φμγ'.). Διαφέρει δὲ τὸ ΑΝΑΓΚΑΙΟΝ συμβαίνειν, τῷ ΕΞ ΑΝΑΓΚΗΣ. Τὸ γὰρ Ἑπόμενον ἕτερον παρὰ τὸ συνέπεσθαι (ὅρα καὶ §. Φμζ'. Φμή. Φνβ'.). Ἀριστα μὲν ἓν ὁ ἡμίτερος Βλεμμίδης (Λογ. Κεφαλ. λά.) „τεθέντος δὲ τῷ ἐξ ἀνάγ„κης ἐν τῷ λόγῳ τῷ Συλλογισμῷ, ἵ„να μήτις ἴσως ἐπὶ μόνης ὑπολάβῃ „τῆς ἀναγκαίας ὕλης ἔπεσθαι τὸ συμ„πέρασμα ταῖς προτάσεσι, τὸ συμ„βαίνειν προστέθεται. Τᾶτο δὲ δηλοῖ „τὸ συντρέχειν Φυσικῶς ταῖς προτά„σεσιν· ἦγεν σὺν αὐταῖς βαίνειν, ὡς „ἂν ἔποιτις ἐτυμολογῶν..... ἠναγκασ„μένως δὲ καὶ ἀπαραιτήτως ἐπὶ πά„σης ὕλης συμβαίνει, ταὐτὸν δ' ἐστὶν „συνακολαθεῖ τὸ συμπέρασμα ταῖς „προλάσεσιν, ἐ διὰ τὴν Φύσιν τῶν „πραγμάτων, ἀλλὰ διὰ τὴν θέσιν τῶν „προτάσεων.

προκειμέναις ἐμφιλοχωρῶν. Τέτων γὰρ τῷ μὲν μείζονι τῶν ἄκρων σωδυαζόμενος, τὸ μείζονα σωαποτελεῖ, ἥτις καὶ δεύτερα τάξει ἐπὶ τῷ συλλογισμῷ ἀεὶ προτερεύει· τῷ δὲ ἐλάσσονι τὸ ἐλάσσονα. Καθ' ὃ δὴ καὶ τὸ ἐπώνυμον προσκεκλήρωται, μεσίτης ἔργον οἷον ἀποπληρῶν· καὶ ἤτοι σωημμένα ἐν τῷ συμπεράσματι καταλείπων, οἷς Φθάσας ἤδη ἐν ἀμφοῖν προσωήπλο ταῖς προκειμέναις, ἐν θατέρα θατέρῳ· ἢ γᾶν μαχόμενάτε, καὶ ἀντιβαίνοντα. ὅτι τῷ μὲν οἰκεῖος ὤφθη ἐν θατέρᾳ ἐκείνων, τῷ δ' ἐν τῇ ἑτέρᾳ ἀλλότριος. Οἷον ἐπὶ τῷ Συλλογισμῷ.

Πᾶν τὸ τὰ ὑποκείμενα σώματα θλίβον ἐστὶ βαρύ.
Ὁ ἀὴρ τὰ ὑποκείμενα αὐτῷ σώματα θλίβει·
Ἄρα ὁ ἀὴρ ἐστὶ βαρύς.

Ἦν ἂν τὸ πρόβλημα πότερον ὁ ἀὴρ βαρύς ἐστιν· ἀ ᾧ διδόμενον μὲν ὁ ἀὴρ, ζητέμενον δὲ τὸ βαρὺ εἶναι. Ὅρος δὲ μέσος ἐλήφθη τὸ θλίβον τὰ ὑποκείμενα σώματα. Ὃς ἡ σωαφθεὶς μὲν τῷ ζητεμένῳ, ἤτοι τῷ μείζονι τῶν ἄκρων, τὸ μείζονα τῶν προκειμένων σωέσησε· Σωαφθεὶς δὲ τῷ διδομένῳ, ἤτοι τῷ ἄκρῳ τῷ ἐλάττονι, σωέσησε τὸ ἐλάσσονα· Τελευταῖον δὲ ἔργον ἐκπληρώσας μεσίτης, παρέλιπε τὰ τῆς προβλήματος ἄκρα ἐν τῷ συμπεράσματι σαφῶς σωαπλόμενα. Ἀλλ' ἡ ἀποφαλικῶς·

Οὐδὲν αὐτόφωτον ἐστὶ πλανήτης.
Ὁ ἥλιος ἐστὶν αὐτόφωτος.
Ὁ ἄρα ἥλιος οὐκ ἔστι πλανήτης.

Τὸ αὐτόφωτον ὡς μέσον παραληφθὲν, διέστη μὲν τῇ ἡλίᾳ, ἤτοι τῇ μείζονος ἄκρᾳ εἰς μείζονα, συνήφθη δὲ τῷ ἡλίῳ, ἤτοι τῷ ἐλάσσονι, εἰς ἐλάσσονα· παρῆκε δὲ ταῦτα αὐτὰ διαμάχεσθαι πρὸς ἄλληλα κατὰ τὸ συμπέρασμα.

§. Φξα. Οἱ δὲ καὶ ἔτι ἄλλως τὸν συλλογισμὸν Ἐπιχείρημα ἀπέδωκαν, ἐν ᾧ ἐκ προτάσεως καθόλε, πρότασίς τις ἐπιφέρεται μερικωτέρα, κατὰ πλάτος ἐν ἐκείνῃ περιεχομένη, προτάσεως ἄλλης τὸ περιοχὸ ὑποδεικνυέσης. Προσελήφθη δὲ τὸ κατὰ πλάτος τῆς περιοχῆς εἶδος (§. Φμέ.) εἰς διαφορὰν εἰδοποιὸν τῷ Συλλογισμῷ. Εἰ γὰρ καὶ ἄλλοις παρὰ τὸν συλλογισμὸν ἐπιθεωρεῖται τῦτο, Ἐπιχειρήματος εἴδεσιν, ἀλλ' ὅτε ἐκ τριῶν ἀεὶ ἐκεῖνα προτάσεων, ὡς εἰρήσεται, καὶ ἐπὶ τὸν συλ-

λογισμὸν δὲ τέως καὶ αὐτὰ εἰσὶν ἀναγόμενα. Οὕτως ἐπὶ τῆ συλλογισμῆ,

Καταφατικῶς. ἢ Ἀποφατικῶς.

Πᾶς ἰχθὺς ἄφωνος.	Οὐδεὶς ἰχθὺς φωνὴν ἀφίησι.
Πᾶς λαύραξ ἰχθύς.	Τὶς ἰχθὺς λαύραξ.
Πᾶς λαύραξ ἄφωνος.	Οὐδεὶς λαύραξ φωνὴν ἀφίησιν.

Ἡ πρώτη τῶν προτάσεων, τὴν ἐπιφερομένην τρίτην μερικωτέραν ἔσαν, καὶ τὰ πλάτος ἐξὶ περιέχεσα, τῆς δευτέρας τὴν περιοχὴν ὑποδεικνύσης.

§. φξβ'. Ἐπεξείδεται δὲ ὁ Συλλογισμὸς ὡς ἀρχαῖς τῷ κατὰ παντὸς λόγῳ, ἢ ἐν ὅλῳ, καταφατικὸς ὢν· καὶ τῷ κατὰ μηδενὸς, ἢ ἐν μηδενὶ, ἀποφατικός (§. ρό. φμ΄.). Τὸ γὰρ κατὰ παντὸς τῆ γένες, ἢ τῆ εἴδες, ἢ ἐν ὅλῳ τῷ γένει, ἢ τῷ εἴδει, ἐπὶ τῆς περιεκτικῆς (§. φξά.) προτάσεως λεγόμενον, καὶ καθ' ἑκάσε τῶν ὑπὸ τὸ γένος εἰδῶν, ἢ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων ἐν τῷ συμπεράσματι λέγεται. Καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως· ἢ ἐν μηδενὶ, ἀφ' ἑκάσε τῶν ὑπὸ τὸ γένος εἰδῶν, ἢ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων ἀπάγεται· ἅτε δὴ τέτων ὑπ' ἐκεῖνα, κατὰ τὸ πλάτος γινομένων, ὡς ἡ τῶν προκειμένων ἑτέρα, δι' ἧς ἡ περιοχὴ δείκνυται (§. φξά.) μαρτυρεῖ.

§. φξγ'. Τοῖς δὲ δὴ καθ' ἕκασα Συλλογισμοῖς, ἓς Ἐκθετικὲς καλεῖσιν (ἐ γὰρ δὴ περὶ τὰ ἐν μέρει καὶ καθ' ἕκασα, ἀσυλλόγισον εἶναι τὸν ἄνθρωπον ὑπολημπέον (1), ἀρχαὶ ἄλλαι δίκλιν

(1) Τὴν τῆ Συλλογισμῆ ἀχρησίαν πολλαχόθεν μὲν (ὅρα ἐφεξῆς §. χιά. Σημ.) ἐχ ἥκισα δὲ καὶ ἐντεῦθεν συλλογίσεται ὁ Λώκιος (περὶ Νέ Βιβ. Δ'. Κεφ ις'. §. 8.) ἐπιχειρεῖ. Ὅτι, φησὶν, ἐξ ὧν περὶ αὐτῆ κοινῆ πραγματεύονται, περὶ μόνα τὰ καθόλε τὴν τῶν Συλλογισμῶν περιγράφεσι χρέαν. Τῶν μέντοι καὶ τὰς Ἐκθετικὰς τὰς δὲ Συλλογισμὰς ἐπιγινωσκόντων, ὁ ἐντεῦθεν ἔλεγχος ἥκισα ἅπτεται. Τῷ ὄντι δὲ, πολλὰ καὶ περὶ τὰ καθ' ἕκασα ὅσαι ὧραι διανοέμεθα· καὶ ἐκ τῆδε τόδε πάνυ εὐλόγως πολλάκις εἰσβάλλομαν. Οἷον ἀδὲν αὐτῆ παλινάγρετον ἐφ' ἁπατηλὸν ὅτικεν φρεσὶ καταυδῆσαι· καλένδυσε δὲ, ἄρα καὶ ποιήσα. Καὶ μυρία τοιαῦτα, καὶ μάλισα παρὰ τοῖς θεολογῆσιν (ἢ τῷ Οὐολφ. σεσημείωται §. 352.) ἐν οἷς ἐκ τῶν προφητευθέντων περὶ τῆ Μεσίᾳ, αὐτὸν γενέσθαι τὸν Κύριον ἡμῶν τὸν ἀληθῶς προσδοκώμενον, ἀποδεικνύσι. Τοιγαρῆν δεῖ τὴν Συλλογισμῶν ἁπλῶς δύναμιν, ἐκ τῆ κατὰ παντὸς, καὶ τῆ κατὰ μηδενὸς ἐξαρτᾶν, ὅτι μὴ ἐφ' ὧν ἡ τῶν προκειμένων ἑτέρα τελάχισον ἐξὶ καθόλε· τὰς δὲ καθ' ἕκασα, καὶ Ἐκθετικὰς ἐρημένας δέον ἐξαιρεῖν τῆ κανόνος, καὶ ἄλλως ἐν αὐτοῖς κρηπίδα ζητεῖν·

κλω θεμελίων ὑποκαταβάλλονται. Καταφατικοὶ μὲν γὰρ ὄντες προσερείδονται τῷ ἀξιώματι, τῷ ταυτῆθαι καὶ ἀλλήλοις τὰ τρίτῳ τινὶ ταυτὰ ἀποφαινομένῳ.

Δημόκριτος Φιλόσοφος ἰῶ.
Ἦν δέτις Ἀβδηρίτης ὁ Δημόκριτος ἔτος.
Ἦν ἄρατις Ἀβδηρίτης Φιλόσοφος.

Ταυτίζεται τινὶ Ἀβδηρίτῃ ὁ Φιλόσοφος ἐπὶ τῆ Συμπεράσματος ἐξ ἀνάγκης, ὅτι ταυτὰ τῷ τρίτῳ ἐν ταῖς προκειμέναις ἐτέθη, τῷ Δημοκρίτῳ.

Ἀποφατικοὶ δὲ τυγχάνοντες, τῷ ἀξιώματι τῷδε. „Ὅτι „ὧν τὸ μὲν τρίτῳ τινὶ ταυτὸν, τὸ δ' ὄ, ταῦτ' ἀφ' ἀλλήλοις ἐστὶ „ταυτά. οἷον.

Ἐπίκερος ἀδὲν ἡγεῖτο πρῶτον γαστρὸς·
Ἐπίκερος δὲ Φιλόσοφος ἰῶ.
Ἆρ' ἐξώκειλέ τις καὶ τῶν Φιλοσόφων εἰς τῆτ' ἀνοίας, ὡς μηδὲν ἡγεῖθαι πρότερον γαστρός.

Διαζδγνυται γὰρ τὸ γαστρός τι πρότερον ἡγεῖθαι, Φιλοσόφε τινὸς ἀπαγόμενον, ὅτι τέτων τὸ μὲν τῆ Ἐπικέρᾳ ἐν τῇ μείζονι προδιέζδκται, τὸ δὲ τῷ αὐτῷ ταυτὸν ἐτέθη ἐπὶ τῆς ἐλάσσονος.

§. φξδ'. Τοῖς αὐτοῖς ἓν τέτοις ἀξιώμασι (§. ἀνωτ.) καὶ τὰς μὴ ἐκ τῶν καθ' ἕκασα συνεχηκότας συλλογισμὰς, εὗροι ἂν τις εὖ μάλα προσερειδομένας, ἀνασκοπέμενος· ὃ δήπε δῆλον,

ζητᾶν· τίνα δήποτε; τῶν ἐκ τῶν ἀξιωμάτων τέτων, ὧν δὴ φαμέν. Ὁ μὲν ἓν Οὐόλφιος καὶ τὰς Ἐνθετικὰς Συλλογισμὰς (ἃς καὶ ἰδιάζοντας ἀποκαλεῖ), προσίεται (§. 352.), καὶ τῷ κατὰ παντὸς ἐκ ἤκισα, καὶ τῷ κατὰ μηδενὸς, τοῖς λόγοις Συλλογισμὸν ἅπαντα διατείνεται θεμελιᾶθαι (§. 353.) (πρὸ δὲ τᾶ Οὐολφίε καὶ ὁ πολὺς τὸ κλέος Λαϐνίτιος, ὦ ταῖς πρὸς τὰ Λωκίε Ἀντιῤῥήσ.). Ἀλλὰ τίς ἡ μηχανὴ τᾶ συμϐιϐάζειν τὰ ἔτω προδήλως μαχόμενα; Ὅτι, φησὶν, ἡ καθ' ἕκασα πρότασις ἰσοδυναμεῖ τῇ καθόλε (§. 355.). Διὸ καὶ οἱ καθ' ἕκασα κατὰ τὰς ἐκ τῶν καθόλε ἐῤῥώνταν. Καὶ οἱ μὲν αὐτῶν καταφάσκοντες ἐπὶ τὸν ΣΑΝΙΔΙ, οἱ δ' ἀποφάσκοντες ἐπὶ τὸν ΤΕΧΝΙΚΟΣ ἀνάγονται τὰς τρόπας (§. 376.) περὶ ὧν ὕσερον. Ἀλλ' ἀδὲν οἶμαι δεῖ τὰς τῶν προτάσεων δυνάμεις ἄτω παραϐιάζεθαι, καὶ καθόλε λέγειν τὰς μὴ καθόλε· ἑνὸν, ᾗ τέτε ἄνδυ, τὰς ἰδιάζοντας τῶν Συλλογισμῶν, ἀδιασαλδτοις ἐπιτηρίζειν τοῖς θεμελίοις, οἷα προδήλως τὰ προτεθέντα δύο ἐστὶν ἀξιώματα.

καὶ ἐκ τῆ ἀποδοθέντος (§. φξ΄.) ὁρισμῆ. Ἀλλὰ γὰρ ἐκείνων καὶ ταῖς ἀνωτέρω (§. φξβ΄.) ἀρχαῖς κρηπιζομένων, τοῖς Ἐκθετικοῖς, αἱ ἐκ μόνης τῆς τῶν ἄκρων διὰ τῆ μέσε συναφείας, ἢ διαζύξεως βάσεις ἐναπολείπονται.

Περὶ Ἐπαγωγῆς.

§. φξέ.

Ἡ δὲ Ἐπαγωγὴ εἶδος τῆ πιστικῆ λόγε, ἐξ ἐναντίε πως τῷ Συλλογισμῷ βλέπον ἐστίν. Ὁ μὲν γὰρ ἀπὸ τῆ ἀνωτέρω ἐπὶ τὰ κατωτέρω κατήει (§. φξά. φξβ΄.), ἡ δὲ βαίνει ἀναπαλιν.

§. φξς΄. Ὥρισαι δὲ παρὰ τῷ Ἀριστοτέλει (1) λόγος πιστικὸς δι' ἑτέρε θατέρου ἄκρου κατὰ τῆ μέσε συλλογιζόμενος. Νοητέον δὲ ταῦτα μὴ τιὼ αὐτιὼ ἐπὶ τῆς Ἐπαγωγῆς διασώζοντα τάξιν, καθ' ἣν ἐν τῷ εἰς Ἐπαγωγιὼ μεταῤῥυθμιζομένῳ Συλλογισμῷ διατάσσεται. Ἐν ἐκείνῳ μὲν γὰρ διὰ τῆ μέσε, τὸ μεῖζον κατηγορεῖται τῆ ἐλάσσονος (§. φξ΄.). Ἐπὶ ταύτης δὲ διὰ τῆ ἐν τῷ Συλλογισμῷ ἐλάσσονος, ὡς διὰ μέσε, τὸ μεῖζον κατηγορεῖται τῆ μέσε, ὡς ἄκρε ἐλάσσονος. οἷον Συλλογιστικῶς μέν τις διανοηθείη ἅτω·

Πᾶν ἄχολον μακρόβιον·
Κορώνη, Ἔλαφος, Ἐλέφας ἄχολα.
Κορώνη, Ἔλαφος, Ἐλέφας μακρόβια.

Ἐπαγωγικῶς δὲ.

Κορώνη, Ἔλαφος, Ἐλέφας εἰσὶ μακρόβια.
Κορώνη, Ἔλαφος, Ἐλέφας εἰσὶν ἄχολα.
Πᾶν ἄρα ἄχολον μακρόβιον.

§. φξζ΄. Τῆ τοίνυν ὁρισμῆ, παραθέσει τῇ πρὸς τὸν Συλλογισμὸν τιὼ Ἐπαγωγιὼ ἅτως ἀναπτύσσοντος, εἴτις καὶ καθ' ἑαυτιὼ ἐπισκοποίη, εἶδος αὐτιὼ εὑρήσει τῆ πιστικῆ (§. φνή.) λόγε, καταφατικῶς ἢ ἀποφατικῶς συμπεραῖνον κατὰ τῆ ἀνωτέρω, τὸ καθ' ἑκάσε τῶν κατωτέρω καταφατικῶς, ἢ ἀποφατικῶς ἐν μέρει προαποφανθέν. οἷον ὅτι πυρὶ χωνδ-

(1) Πρότ. Ἀναλυτ. Βιβλ. Β΄.

χωνδτὸν χρυσὸς, καὶ ἄργυρος, καὶ χαλκὸς· κλ. Ἆρα καὶ πᾶν μέταλλον. Καὶ ὅτι ἐδὲν ἐκείνων αὔξιω ἐπιδέχεται· ἐδ' ἄρα τὸ μέταλλον. Τοιῦτο γάρτι καὶ Ἀριστοτέλης ἀλλαχῆ (1) ἀπεδίδε, „Ἐφοδόν τινα ἀπὸ τῶν καθ' ἕκαστα (ἤτοι δὲ ἀτόμων νοητέον, ἢ καὶ εἰδῶν) ἐπὶ τὸ καθόλε, τιὼ ἐπαγωγιὼ „ὁριζόμενος.

§. φξή. Λόγος δὲ ταύτης βασιμώτατος, τὸ τὰ κατωτέρω σύμπαντα συμπληρῆν τὸ καθόλε (τὰ μὲν τὸ εἶδος, τὰ ἄτομα· τὰ δὲ τὸ γένος, τὰ εἴδη·), καὶ τέτοις ταυτίζεθαι, ὡς ἄρα καὶ κατὰ βάθος αὐτὰ περιέχοντα (§ πέ.). Καὶ αὐτὰ σωεισάγειν (§. ργ'. ρδ'.). Ὁ δὴ καὶ τιὼ κατ' Ἐπαγωγιὼ ἐπιφοραὶν γνωρίζει, διὰ τιὼ κατὰ βάθος περιοχιὼ τῆ ἑπομένε ἐν τῷ ἡγεμένω (§. φμέ.), καὶ τῆ Συλλογισμῆ ἐκείνιν διίξησιν (2), ὃν κατὰ πλάτος περιέχειν (§. φμέ.) ἐν ἑτέρᾳ τῶν προκειμένων τὸ ἐπιφερόμενον εἴρηται (§. φξά. φξβ'.).

§. φξθ'. Διαιρεῖται δὲ ἡ Ἐπαγωγὴ, εἰς τιὼ πλήρη, καὶ μὴ· ὧν ἡ μὲν τῇ ἀνελλιπεῖ τῶν κατωτέρω ἐπαριθμήσει καρπῆται τὸ βέβαιον· καὶ ἔτι πίξις, εἰπέρτις ἄλλη, βεβαιοτάτη ἐφ' ὧν ληφθιῶαι δύναται. Ὡς ἐπὶ τῆ ὀλιγοειδῆς γένες· οἷον τὸ ἰσόπλευρον τρίγωνον, καὶ τὸ ἰσοσκελὲς, καὶ τὸ σκαληνὸν, τὰς τρεῖς γωνίας δύσὶν ὀρθαῖς ἴσας ἔχει. Πᾶν ἄρα τρίγωνον. Καὶ ἐπὶ τῆ ὀλιγαρίθμε εἴδες· οἷον Σελήνη, καὶ Ἑρμῆς, καὶ Ἀφροδίτη, καὶ Ἄρης, καὶ Ζεὺς, καὶ Κρόνος, τῆ κατὰ τὸν Ζωδιακὸν πλάτες ἐντὸς ἑ βαίνεσιν. Οὐδεὶς ἄρα πλανήτης· κλ.

§. φό. Ἡ δὲ μὴ πλήρης, ἡ ἐκ τῶν ἀριθμῷ ἀπεριλήπτων ἔνια καταλέγεσα, κἀκτέτων τὸ ὅλον εἰσβάλλεσα. Ἧτις δὴ, ἐπὶ μὲν ὕλης ἀναγκαίας, ἀληθῶς καί τοι σωάγεσα, ὅμως περιτ-

(1) Ἐν τοῖς Τοπικοῖς.

(2) Ὥσπερ ἓν τὸ κατὰ παντὸς, καὶ κατὰ μηδενὸς τῷ Συλλογισμῷ ὡς Θεμίλιος (§. φξβ'.), ἕτως ἐπὶ τῆς ἐπαγωγῆς βάσιν ἄγλις ὑποθείη τὸ καθ' ἑκάστε, καὶ ἀφ' ἑκάστε. ἐξ' ὧν ἡ Συλλογιστικῶς τιὼ δύναμιν τῆς ἐπακτικῆς ἐπιφορᾶς δεικνύειν ἔστιν. οἷον τὸ καθ' ἑκάστε τῶν κατωτέρω, ἢ ἀφ' ἑκάστε, αὐτὸ τῦτο καὶ κατὰ παντὸς, ἢ κατὰ μηδενός. Τὸ δὲ βαρὺ, φέρε, κατὰ ἑκάστε τῶν εἰδῶν, οἷον χρυσῦ, ἀργύρε, κλ. ἀφ' ἑκάστε δὲ τέτων τὸ ἀβαρές. Ἆρα καὶ κατὰ παντὸς τῆ γένες ἐκείνε, κατὰ μηδενὸς δὲ τῶν ὑπὸ τὸ γένος τῦτο· ὅπερ ἐστὶ, τὸ μὲν κατὰ παντὸς μετάλλε, τὸ δὲ κατὰ μηδενός. Τέτε ἓν χάριν καὶ Οὐόλφιος (§. 479.) τιὼ Ἐπαγωγιὼ ἐπὶ τὸν κατὰ γένος Συλλογισμὸν φησὶν ἀνάγεθαι.

περιτλὴ ἐστίν· οἷον, ὅτι βῶς, καὶ ἵππος, καὶ λέων ἔμψυχα, καὶ πᾶν ἄρα ζῶον. Ἐπὶ γὰρ τῶν ἔτως ἐχόντων εὔλογον ἐκ τῶ καθόλε μᾶλλον τὰ κατωτέρω διαπιστῶν ἐπιχειρεῖν, ἢ ἀναπαλιν. Ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης ἐπισφαλής τε πάνυ, καὶ ὑποπλος. Καὶ ἐπὶ τῶν δι' αἰσθήσεως δὲ παρατηρεμένων εὕρηται ποτε εἰς ἀπάτιν ἐμβάλλεσα. Τὶς γὰρ ἐχέγγυος, τῶ μήτινα ὑπεξῃρῆθαι ὥστε καὶ ἄλλως ἔχειν, εἴπερ ἐνδέχεται; ἔτω τοι κατ' Ἐπαγωγὴν ἅπαν σῶμα ὑπὸ τῶ ψύχες συγέλλεθαι ἐκρατιώτο, καίτοι πείρᾳ τέως, καὶ λόγῳ, τὸ καθόλε τῆς ἐπιφορᾶς ἀπελήλεγκται ἐπὶ τῶ ὕδατος, ἐκ περισίας ψαδόμενον.

Περὶ Παραδείγματος.

§. Φοά.

Καὶ τόγε παράδειγμα εἶδος ἐστὶ πίστεως (§. Φνή.) εἰμὴ πάντη τὸ ἀσφαλὲς καὶ ἀναγκαῖον πλατόσης, ἐμὶν ἀλλ' ἐκ δὲ καταφρονήτε ἐδ' αὐτῆς τὰ πολλὰ, καὶ ἱκανῆς πρὸς τὸ πεῖσαι. Διὰ γάρ τινος τῶν ἐπὶ μέρες τεθέντος, ὁμοίυ τι ἕτερον ἐπάγει ἐπὶ μέρες καὶ τᾶτο, οἷον εἰκὸς κατ' ἐκεῖνο συμβαίνειν, τῷ τῆς ὁμοιότητος λόγῳ τῆς ἐπιφορᾶς ἐπιχυριζομένης. (§. Φμδ'.) Καθ' ὃ δὴ καὶ ὥρισα Ἐπιχείρημα εἶναι ἐκ τῶ ὁμοίε σωγκτικὸν τῶ ὁμοίε, ἀμφοῖν ἐπὶ μέρες. οἷον Κλεάνθης καὶ πενίᾳ δεινῇ παλαίων, καὶ φρέαρ νύκτωρ ἀντλῶν, ἐγκρατὴς ὅμως τῆς σοφίας ὤφθη φιλοπόνως ταῖς μελέταις ἐγκαρτερήσας. ἐκῶν καὶ αὐτὸς, καίτοι ἐνδείᾳ τρυχόμενος ἰχυρᾷ, ἐ πόρῤῥω πάσης ἔσῃ ἐλπίδος, εἰ μόνον πονεῖν ἐθελήσαις, τῶ δράξεθαι τῆς παιδείας.

§. Φοβ'. Ἐμφιλοχωρεῖν δὲ τέτταρας ὅρες ἐπὶ παντὸς παραδείγματος Ἀριστοτέλης εἰσηγήσατο (1), „Λόγον, ἀποδεδω„κὼς, καθ' ὃν θάτερον τῶν ἄκρων (ἤτοι τὸ μεῖζον) δέικνυται „ἐνυπάρχειν τῷ μέσῳ, διὰ τῶ ὁμοίε (ὃς ὁ τέταρτος ἐστὶ τῶν „ὅρων) τῷ τρίτῳ, (τετέτι τῷ ἐλάσονι ἄκρῳ).

§. Φογ'. Τριῶν τοίνυν ὄντων ἐν παντὶ συλλογισμῷ ὅρων (§. Φξ'.), δῆλον ὅτι τὸ παράδειγμα εἰς συλλογισμὸς δύω ἀναλυθήσεται.

(1) Προτέρ. Ἀναλυτ. Β'. Κεφ. κδ'.

θήσεται· οἷον τὸ παρὰ τῷ Φιλοσόφῳ. „Ἡ μάχη τῶν Θη-„βαίων πρὸς Φωκεῖς τὰς ὁμόρους κακόν. Καὶ ἡ τῶν Ἀθηναίων „ἄρα πρὸς Θηβαίους τὰς σφίσιν ὁμόρους, κακόν. Εἰς συλλο-γισμὸς ἂν ἀναλυθείη δύο.

Α. Ἡ μάχη ἡ πρὸς ὁμόρους κακόν.
Ἡ μάχη τῶν Ἀθηναίων πρὸς Θηβαίους, μάχη ἐστὶ πρὸς ὁμόρους.
Ἡ ἄρα τῶν Ἀθηναίων μάχη πρὸς Θηβαίους κακόν.

Εἶτα τῆς μείζονος κατασκαλαζομένης·

Β. Ἡ Θηβαίων πρὸς Φωκεῖς μάχη κακόν.
Ἡ δὲ, μάχη ἐστὶ πρὸς ὁμόρους.
Ἡ ἄρα πρὸς τὰς ὁμόρους μάχη κακόν.

Ἐπὶ ἓν τὸ Β. τὸ δὲ συλλογισμῷ, ἐν ᾧ μάλιστα ἐμφέρεται τὸ παράδειγμα, δέδεικται τὸ μεῖζον ἄκρον (ἤτοι τὸ κακὸν) κατὰ τὸ ἐν τῷ Α. συλλογισμῷ μέσον (ὅπερ ἐστὶν ἡ πρὸς ὁμόρους μάχη) διὰ τετάρτου τινὸς ὅρου (τοῦτέστι διὰ τῆς τῶν Θηβαίων μάχης πρὸς τὰς Φωκεῖς). ὁμοίου τῷ τρίτῳ· (τῷ ἐν τῷ Α. δηλ. συλλο-γισμῷ ἐλάσσονι ἄκρῳ) ἥτις ἡ τῶν Ἀθηναίων πρὸς τὰς Θη-βαίους μάχη ἐστίν.

§. Φοδ'. „Ὁρίσειε δ' ἄντις καὶ ἀποφατικῶς τὸ παράδειγ-„μα, λόγον ἀποδοὺς, καθ' ὃν θάτερον τῶν ἄκρων, δείκνυται „μὴ ἐνυπάρχειν τῷ μέσῳ, διὰ τὸ ἀνομοίου τῷ τρίτῳ. οἷον· Ἡ μάχη τῶν Θηβαίων πρὸς Φωκεῖς τὰς ὁμόρους κακόν. Οὐκ ἄρα ἡ τῶν Ἀθηναίων πρὸς Λακεδαιμονίους τὰς ὑπερορίους κα-κόν. Ὅπερ ἄντις καὶ ἀναλύσας ἔχοι εἰς δύο συλλογισμὰς πα-ραπλησίους τῷ ἀνωτέρῳ.

§. Φοε. Βάσις δὲ τῷ παραδείγματι ἡ καθ' ὁμοιότητα, ἢ ἀνομοιότητα χέσις ἐστὶν (§. Φμδ'.). Ἔοικε γὰρ τοῖς μὲν ὁμοίως ἔχουσι παρασυμβαίνειν πεφυκέναι τὰ ὅμοια, τὰ δ' ἀνόμοια τοῖς ἀνομοίως.

§. Φος'. Τῆς ἓν ὁμοιότητος πῇ μὲν κατ' ἀναλογίαν τινὰ θεωρουμένης, ὡς ὅτε τι πρὸς ἕτερον ἔχειν νοεῖται, ὡς ἄλλο πρὸς ἕτερον, πῇ δὲ κατ' ἐνύπαρξιν, ὡς ὅτε δυσὶ τισὶ τὸ αὐτὸ ἐνυ-πάρχειν (1) κρίνεται, Α. Ἐπὶ τῶν ἀναλογικῶς ὁμοίων, ὅπως ἂν

(1) „Διαφέρει δὲ τὸ ἐκ τῶν ὁμοίως ἐχόντων, τῷ ἐκ τῶν ὁμοίως ὑπαρχόν-„των. Ἀρισ. Ε'. Τοπικ. Κεφ. ἐχάτῳ.

ἂν ἔχῃ θάτερον πρὸς τὸν ὅρον τὸν αὐτῆ, ἕτω καὶ θάτερον πρὸς τὸν ὁμόλογον ἔχειν εἰκός. „Καὶ θέσει· οἷον εἰπὲ (φησὶ) „λόγον καὶ ἰαθήσεται ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ ὑπ' ἐξουσίαν „ἔχων, ὑπ' ἐμαυτῷ στρατιώτας, λέγω τούτῳ πορεύου καὶ πο„ρεύεται, καὶ ἄλλῳ ἔρχου καὶ ἔρχεται. Καὶ ἄρσει· οἷον ὅτ' ἂν Κυβερνήτης σκάφος ἀπόναιτο μὴ ἐπαγρυπνοῦντος, ὅτ' ἄρα πόλις μὴ πολυωρεῖντος τοῦ Ἄρχοντος.

§. φοζ'. Β'. Ἐπὶ τῶν κατ' ἐνύπαρξιν ὁμοίων, τὰ αὐτὰ παρέπεται ἑκατέρῳ, ἢ τὰ ὅμοια. Πατραλοίαστε γὰρ, καὶ μητραλοίᾳ θάνατος ἡ ζημία ἐπίσης. Καὶ τοῖς Γιγάντεσιν ἡ λύπαις, καὶ πόνοις, τῷ μὲν ἐργάζεσθαι τὴν γῆν, τῇ δὲ τίκτειν τὰ τέκνα ἐπιβάλλει ἡ δίκη, διὰ τὴν ὁμοίαν παράβασιν.

§. φοή. Γ'. Ἐπὶ τῶν ὁπώς ποτε ἀνομοίως ἐχόντων, καὶ τὰ ἐπιφερόμενα, ταύτῃ πως ἀνόμοια εἶναι δεῖ. Εἰ γὰρ ὁ μὲν δίκαιος δοκεῖν, ὁ δ' εἶναι θέλει, δίκαιον δή, καὶ ὧν προσηκόντων ἕτος ἔτυχεν ἐπαίνων, ἐκεῖνον στέρεσθαι. Καὶ ἀνομοιολόγως ἐχόντων πρὸς τὰς ὑπὸ χεῖρα τυράννε, καὶ βασιλέως, ἐδὲν ἀπεικὸς τὸν μὲν αὐτὰς φοβεῖσθαι, περὶ δὲ τούτῳ δεδίτεσθαι.

§. φοθ'. Δ'. Τῶν ὁμοίως ὑπαρχόντων, ἢ ὑπάρχειν δοκέντων τῷ αὐτῷ, ἤτοι ἐπίσης ἑκάτερον, ἢ ἑδέτερον. οἷον ὁπότε φύσεως λογικῆς ἄμφω δυνάμεις εἰσὶ νῶς, καὶ βέλησις, ἤτοι τούτων ἑκατέρας μετέσεται καὶ τοῖς κτιίσεσι, λόγε μετόχοις ὑποτεθεῖσιν, ἢ μηδετέρας.

§. φπ'. Ε'. Καὶ εἰ δυσὶν, ἢ πλείοσι τὰ ὅμοια ὑποτεθείη, ὡς ἂν ὑπάρχοι θάτερον τῷ ἑτέρῳ, καὶ τὰ λοιπὰ τοῖς λοιποῖς ὑπάρξει. οἷον ἐπειδὴ πέρατα γραμμῆς μὲν σημεῖα, ἐπιφανείας δὲ γραμμαὶ, σώματος δὲ ἐπιφάνειαι, εἰ μέρος γραμμῆς τὸ σημεῖον, καὶ ἐπιφανείας μέρος γραμμὴ, καὶ ἐπιφάνεια σώματος. Εἰ δὲ μὴ γ' ἐκεῖνο, ἐδὲ ταῦτα.

§. φπά. Τὸ μὲν ἓν παράδειγμα, πλατύτερον ἡμῖν ἔτως, ἢ ὡς ὑπὸ τοῦ Ἀριστοτέλους ἀνωτέρω ἐτίθετο (§. φοβ'. φογ'.) ἐκληφθὲν, (καὶ γὰρ, καὶ ἐκ τῶν ἀνομοίων ἐδὲν ἧττον, καὶ ἐδὲ περὶ μόνα τὰ καθ' ἕκαστα). πίστις ἐστὶ σαφῶς, τῆς διὰ συλλογισμοῦ (§. φνθ'. κξ'.) καὶ τῆς κατ' Ἐπαγωγὴν (§. φξέ. κξ'.),

εἴδει

εἴδει διαφέρουσα· ὡς ἐκείνων τῶ μὲν διὰ τῆς ἐν πλάτει νοσμένης περιοχῆς (§. φμ΄. φξβ΄.) τῆς δὲ, διὰ τῆς ἐν βάθει (§. φμέ. φξή.) ἅπαν ἐχόντων τὸ κράτος, τὸ δὲ, τῷ λόγῳ μόνῳ ὑποσωπᾶσθαι παρεχόμενον τῆς ἐν ὁμοιότητι, ἢ ἀνομοιότητι σχέσεως (§. φμδ΄. φοέ.).

§. φπβ΄. Σφάλλοιτο δ' ἂν ἡ κατὰ τὸ παράδειγμα πίστις, παρὰ τὸ πολλά τινα, καὶ τοῖς δοκοῦσιν ὁμοίοις εἶναι, ἐνυπολαμβάνειν ἄλλοθεν τιὼ διαφοράν, καὶ τοῖς διαφέρουσι τιὼ ἀνομοιότητα. Οἷον πέρυσιν ἐκρατοῦσας περιεσώθημεν. Ἆρ' εἰ καὶ τῆτες, σωθησόμεθα. Καὶ ἐν ὁλκάδι φορτηγῷ τότε πλοῦσας, περιέπεσα ναυαγίῳ. Ἆρα τῆτ' ἐ πείσομαι, νηὸς ἐπιβὰς τινὸς τῶν μαχίμων. Ἀλλ' ἐ γὰρ ἐστὶ βέβαιον, τῆτων ἑτέρου. πολλὰ γὰρ τὰ τιὼ ἐνεχοῦσαν ἐκρατείαν, δεῖξαι δυνάμενα τῆς παρελθούσης τῷ παντὶ διαφέρουσαν· πολλὰ δὲ καὶ τὰ τὸν δεύτερον πλεῦν, τῷ πρώτῳ παραπλήσιον.

§. φπγ΄. Ἀνάγεσι δ' ἐπὶ τὸ παράδειγμα καὶ τιὼ παραβολιὼ, καὶ ὃν καλοῦσι Λόγον (1). Παρ' ὅσον ταῦτα πλατυτόμενόντι παρεισάγειν εἰώθασιν· ἡ μὲν λογικῶς τὰ κατὰ ἄνθρωπον ὑποβάλλουσα, ὁ δὲ ἠθικῶς καὶ τοῖς ἀλόγοις αὐτοῖς, καὶ τοῖς ἀμοίροις αἰσθήσεως, λόγον τε μυθοπλαστοῦσα, καὶ αἴσθησιν.

(1) Ὅρα Ἀριστ. Ῥητορ. Βιβλ. Β΄. Κεφ. κ΄.

ΚΕΦ. ΤΡΙΤΟΝ.

Περὶ Συλλογισμῶν Στοιχειωδῶν.

§. φπδ'.

Συλλογισμὸς ἀποκαλῶ Στοιχειώδεις, ἐν οἷς τινὸς τῶν ἐν τῇ Λογικῇ ἀρχικῶν προτάσεων προτεθείσης, τίθεται μὲν τὸ σωάδον τῷ ἐν ἐκείνῃ ὑποκειμένῳ, ἐπισωάγεται δὲ, τῷ ἐπὶ τῆς αὐτῆς κατηγορεμένῳ τὸ σύμφωνον. Καλέσεις δ' ἄντις τὰς τοιάτας, καὶ Διαβατικὰς συλλογισμὰς, ὡς διὰ πλειόνων βαίνοντας, τῶν περὶ ἕκαστα σωισταμένων, καὶ συλλογισμὰς Καθόλε διὰ τὶ πρὸς πολλὰς εἰδικωτέρας ἔκτασιν· καὶ Ἀρχοειδεῖς, καὶ Θεμελιώδεις, ἅτε δὴ τὰς θεμελιώδεις ἀρχὰς τῆς κατὰ διάνοιαν τελεμένης τῶν συμπερασμάτων ἐπιφορᾶς, οἷον ὑπ' ὄψιν καθυποβάλλοντας.

§. φπέ. Οἷον τε δὲ τοιάτας λαμβάνειν, ἀπὸ πασῶν μονονεχὶ τῶν λογικῶν ἀρχῶν, ὧν ταῖς μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν ἐπὶ κατασκοπῇ τῶν ἐν αὐτῇ θεωρεμένων ἡ ἔξις αὕτη προχρῆται, οἷον ὅτι ἔνθα ἂν ᾖ τὸ ὅλον, καὶ τὸ μέρος· καὶ ὅτι τὰ τρίτῳ ταυτὰ, καὶ ἀλλήλοις· κτ. Τὰς δὲ καὶ ἀπὸ τῶν ἰδίων καρπᾶται, δι' ὧν τὰ ταῖς νοεραῖς ἐνεργείαις παρεπόμενα διασκέπλεται· οἷον ὅτι αἱ ἡγέμεναι τῶν ἐννοιῶν σωεισάγεσι τὰς ἑπομένας· ὅτι σωαληθεύειν ἐ πεφύκασι τῶν ἀποφάνσεων αἱ ἐναντίαι. Ὅτι ἡ Α. Πρότασις ἀντιστρέφειν ἐθέλει εἰς τὶ Ι. κξ'. Ἀλλ' ἡμῖν τινὰς ἐκ τῶν πολλῶν εἰς δεῖγμα ἐπὶ τὸ παρόντος ληπτέον.

§. φπς'. Α'. Οὖν ἐκ τῆ ταυτῆ παραθέσει δυοῖν τινῶν πρός τι τρίτον (§. φξδ'.), Στοιχειώδης σωίσταται συλλογισμὸς καταφάσκων ὁ ἑξῆς.

„Τὰ τρίτῳ ταυτὰ καὶ ἀλλήλοις.
Ταυτὰ δὲ τῷ κατωφερεῖ, ὅ, τε ἀὴρ, καὶ τὸ βάρος ἔχειν.
Ταυτὸν ἄρα καὶ τῷ ἀέρι τὸ βάρος ἔχειν.

Ἐκ τῆ ταυτῆ δὲ καὶ θατέρε, σωίσταται ἀποφάσκων.
„ὧν τὸ μὲν ταυτὸν πρός τι τρίτον, τὸ δ' ἕτερον, ἕτερα.

Ἀλλ'

Ἀλ. πρὸς τὸ αὐτοφαὲς, ταυτὸν μὲν ἥλιος, ἕτερον δὲ πλανήτης.
Ἕτερόν τι ἄρα πλανήτης ἥλιος.

§. φπζ'. Β'. Ἐκ τῆ κατὰ παντὸς (§. φξδ'.) ἕτως.

„Τὸ κατὰ τῆ ἀνωτέρω λεγόμενον, καὶ κατὰ τῆ κατωτέρω.
Τὸ δὲ θνητὸν κατὰ τῆ ζώε.
Καὶ κατὰ τῆ ἐρανῆ ἄρα τὸ αὐτὸ, ὁμολογητέον τῷ Πλάτωνι.

Ἐκ τῆ κατὰ μηδενὸς δὲ οὐ ἀποφάσει.
„Τὸ μὴ τῷ ἀνωτέρῳ προσῆκον, ἀδὲ τῷ κατωτέρῳ.
Ἀλ. τῶ αὐλῳ σώματι ἐ προσήκει τὸ ἁπλῶς κἔφον.
Οὐδὲ τῷ πυρὶ ἄρα.

§. φπή. Γ'. Ἐκ τῆ καθ' ἑκάτε (§. φξή. ὑποσημ.)

„Τὸ οὗι ἑκάτῳ τῶν κατωτέρω προσῆκον, τῆτο καὶ κατὰ „παντὸς τῆ ἀνωτέρω.
Ἀλ. αἱ τῆ Ὀρθογωνίε τριγώνε τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί· ἡ δὲ αἱ τῆ ἀμβλυγωνίε δὲ, ἡ δὲ αἱ τῆ ὀξυγωνίε.
Ἄρα παντὸς τριγώνε κτ.

Καὶ ἐκ τῆ ἀφ' ἑκάτε δὲ ἀποφατικῶς.
„Τὸ οὗος ἑκάτε τῶν κατωτέρω ἀποφασκόμενον τῆτο καὶ τῆ „ἀνωτέρῳ παντός.
Ἀλ. τὸ ἀπολλαπλασίασον εἶναι καὶ τῆ περιτ[illegible]ῆ ἀριθμῆ ἀποφάσκεται, καὶ τῆ ἀρτίε.
Ἄρα ἀριθμῆ παντός. κτ.

§. φπθ'. Δ'. Καὶ ἐκ τῆ ὁμοίε (§. φοέ.).

„Τὸ θατέρῳ τῶν ὁμοίων παρακολεθῆν, καὶ θατέρῳ εἰκός.
Ἀλ. τῇ χθὲς γενομένῃ τῆς νοτίδος συμπιλήσει ὑετὸς κατερράγη.
Ἆρ' ἔν καὶ τῇ σήμερον ὕσει.

Καὶ ἐκ τῆ ἀνομοίε.
„Τοῖς ἀνομοίοις παρασυμβαίνειν ἔχει φύσιν τ' ἀνόμοια.
Ἀλ' ὁ μὲν πρὸς τὸ συμφέρον τιὼ φιλίαν μετρεῖ, ὁ δὲ πρὸς τὸ ἡδύ.
Ἆρ' ὁ μὲν τῷ δυνατῷ οἷος ἐσὶ φιλικῶς προσεῖναι, ὁ δὲ τῷ καλῷ καὶ χαρίεντι.

§. φή. Ε'. Καὶ ἐκ τῆ πλάτης δὲ τῶν ἀνοιῶν, ἃ μόνον κατὰ τὸν Β'. τρόπον (§. φπζ'.), ἀλλὰ καὶ καθ' ἕνα δήτινα τῶν ἐν τοῖς περὶ Ἀκολουθίας πρόλαβ. εἰρημένων. οἷον (§. φς'.).

„Τῇ τῆ ὑποκειμένης καταφατικῶς τὸ ἀνωτέρω κατηγορή-
„σῃ, ἡ τῆ αὐτῆ τὰ κατωτέρω κατὰ διάζευξιν λέ-
„γεσα ἕπεται.
Ἀλλ. ἡ ψυχὴ οὐσία ἐστίν.
Ἦτοι ἄρα Σῶμα, ἢ Πνεῦμα ἔσαι.

Ἀποφατικῶς δὲ καὶ δίχα διαζεύξεως (§. αὐτ.).
Ἀλλ. ἡ γραμμὴ οὐκ ἔστι σῶμα.
Οὐτ' ἄρα ἔμψυχον.

§. φυά. ς'. Καὶ ἐκ τῆ βάθης, ἃ μόνον ὡς ἐν Γ'. (§. φπή.), ἀλλὰ καὶ ὁπωσῶν ἄλλως, ἐξ ὧν ἐν τοῖς περὶ τῶν Ἀκολουθιῶν διετάχθη. οἷον (§. φή.).

„Τῇ προτάσει ἐν ᾗ τὸ κατωτέρω κατηγορεῖται, αἱ καὶ τὰ
„αὐτῆ καὶ τὰ ἀνωτέρω λέγεσαι ἀκόλουθοι εἰσίν.
Ἀλλ. Σωκράτης ἐστὶν ἄνθρωπος.
Ἆρα Σωκράτης ἐστὶ ζῶον.

Καὶ κατ' ἀπόφασιν δὲ ὡς ἐν (§. φί.).
„Τῇ τῆ ὑποκειμένητι ἀποφασκέσῃ, αἱ καὶ ἀπὸ τῆ ἀνω-
„τέρω τὸ αὐτὸ ἀπάγεσαι ἀκολουθῆσιν, εἰμήτι τῷ κα-
„τηγορεμένῳ σιωεπινοέμενον ἀπαντήσειεν.
Ἀλλ. Σωκράτης οὐκ ἔστιν ἀσώματος.
Ἆρα οὐδ' ὁ ἄνθρωπος, οὐδὲ τὸ ζῶον.

Οὐκ ἀσφαλὲς δὲ τὸ οὐδὲ ἡ οὐσία ἀσώματος. Ἐνθεωρεῖται γὰρ ἐν αὐτῷ τῷ ἀσωμάτῳ ἡ οὐσία.

§. φυβ'. Ζ'. Καὶ ἐκ τῆ Εἴδης, καθάπερ ἐν (§. φθ'.).

„Τῇ κατηγορέσῃ τὸ Εἶδος, ἀκόλουθος ἡ κατηγορῆσα τὸ κα-
„τὰ τὸν Δ'. τρόπον ἴδιον.
Ἀλλ. ὁ οὐρανὸς ἐστὶ σῶμα.
Ἆρα ἔστιν ἐν τόπῳ.

Καὶ ἀποφατικῶς (§. φιβ'.).
„Τῇ τὸ Εἶδος ἀποφασκέσῃ σιωέπεται καὶ ἡ τὸ Ἴδιον ἀπο-
φάσκεσα, πλὴν τῆ κατὰ τὸν Β'. τρόπον.

Ἀλλα-

Ἀλλαμοὶ τὸ κενὸν ἐκ ἔστι σῶμα.
Ἆρ' οὐδὲ ἐν τόπῳ ἐστί.

Οὐκοῦν δὲ, ἆρ' οὐδ' ἔκτασιν ἐστὶν ἔχον; ἢ ὑποτεθείη κατὰ τὸν Β'. τρόπον τῷ σώματι ἰδιάζειν τινὰ ἔκτασιν; ὡς παντὶ μὲν, μὴ μόνῳ δὲ προσήκειν τῷ σώματι.

§. φγ'. Η'. Καὶ ἐκ τοῦ Ὁρισμοῦ δὲ (§. ρν'.): ὄον;

„Καθ' ὃ ἂν ὁ ὁρισμὸς, καὶ τὸ ὁριζόν. Καὶ ἀνάπαλιν.
Ἀλλ. ἡ γωνία διαιρετόν τι ἐστὶν εἰς ἀνυπάρχοντα.
Ποσόν τι ἄρα ἡ γωνία.

Καὶ τὸ ἀνάπαλιν δὲ σαφές. Ἀλλὰ καὶ ἀποφατικῶς.
„Ὧ ἂ προσήκει ὁ ὁρισμὸς, οὐδὲ τὸ ὁριζόν καὶ ἀνάπαλιν.
Ἀλλ. τὸ κενὸν εἰς ἀνυπάρχοντα ἐκ ἔστι διαιρετόν.
Οὐδὲ ποσὸν ἄρα. ἢ;
Ἀλλ. ποσὸν ἐκ ἔστιν.
Οὐδ' ἄρα διαιρετὸν εἰς ἀνυπάρχοντα.

§. φγδ'. Θ'. Ἐκ τῆς Διαιρέσεως (§. ρνή.):

„Οὗ ἂν τὸ ὅλον παρῇ, καὶ τὰ μέρη πάντα. Καὶ ἀνάπαλιν.
Ἀλλαμοὶ ἔτος ὅλῳ ἡμῖν ἐπαγγέλλεται τὴν Φιλοσοφίαν διδάξειν.
Ἆρ' ἔν καὶ τὸ Θεωρητικὸν αὐτῆς, καὶ τὸ Πρακτικόν.

Καὶ τὸ ἀνάπαλιν δὲ δῆλον ὡσαύτως. Ἀλλὰ καὶ ἀποφατικῶς.
„Οὗ δ' ἄντι τῶν μερῶν ἀπῇ, οὐδὲ τὸ ὅλον παρέσται.
Ἀλλ. ταῖς πρὸ τῆς ἐξανασκάσεως εἰσαγομέναις καθαρτηρίοις φλοξὶν ἐκ ἐξετάζεται τὰ σώματα.

Οὐκ ἄρα δι' ἐκείνων καθαίρονται οἱ ἁμαρτήσαντες ἄνθρωποι.

§. φιέ. Ι'. Καὶ ἐκ τῆς μάχης δὲ τῶν ἀποφάνσεων (§. φιγ'. κξ'.) πολλαχῶς μὲν, ἀλλὰ καὶ ἁπλῶς (§. φιδ'.):

„Τῆς ὑπεναντίας τῇ θέσει ἐπὶ ὕλης ἐνδεχομένης, καὶ τῆς „ἑτέρας ἡ θέσις παρέπεται.
Ἔστι δέ τις ἄνθρωπος ψεύστης.
Οὐκ ἄρα ψεύστης πᾶς ἄνθρωπος.

§. φιζ'. ΙΑ'. Καὶ ἐκ τῆς ὑπαλληλίας (§. φιϛ'.).

„Τεθείσῃ τῇ Α. ἕπεται ἡ Ι.
Πᾶσα δὲ ὕλη βάρος ἔχει.
Καί τις ἄρα.
„Καὶ Ἀποφατικῶς τῇ Ε ἡ Ο.
Οὐδεμία ἔκτασις ἀδιαίρετος.
Ἆρ' οὐδὲ πᾶσα.
Συμπίπτει δὲ ὁ τρόπος τῷ Β. (§. φπζ'.) (1).

§. φιζ'. ΙΒ'. Ἐκ δὲ τῆς Ἰσοδυναμίας (§. φκζ'.) ὡς ἀρχῆς προτεθείσης „ὅτι ὁ τιλὺ ἀπόφανσιν προσιέμενος, καὶ τιλὺ ἴσα „δυναμένῳ αὐτῇ τῷ ἴσῳ λόγῳ προσήσεται, προσλήψει τῆς ἑτέρας τῶν ἰσοδυναμουσῶν (§. υνέ. υνϛ'. κζ'.) ἀεὶ καὶ τιλὺ ἑτέραν ἕξει συμπεραίνειν.

§. φυή. ΙΓ'. Καὶκ τῆς Ἀντιστροφῆς δὲ (§. φκή.) ἀπὸ τῆς Ἀντιστρεφόσης, πρὸς λὺ ἀντιστρέφει (§. υξή. κζ'.), διανοητικῶς μεταβαίνειν ἐστὶν ὡσαύτως. οἷον (§. υό.).

„Ἐκ τῆς Α κατὰ συμβεβηκὸς ἀντιστρεφόσης, σωάγεται Ι.
Ἀλλ. πᾶς φιλόσοφος ἄνθρωπος.
Ἆρα τὶς ἄνθρωπος φιλόσοφος.

§. φήθ'. ΙΔ'. Ἀλλὰ καὶ ἐκ τῶν ἡγεμένων (§. σιγ'.) δι' ἀρχῆς τοιαύτης.

„Τὰ ἡγέμενα σωεισάγει τὰ ἑπόμενα.
Ἀλλ. ἔστιν ὧ τῇ φύσει σωΘετα σώματα.
Καὶ ἁπλᾶ ἄρα.

§. χ'. ΙΕ'. Καὶ διὰ τῶν ἑπομένων (§. αὐτ.) ἐκ ταύτης.

„Τὰ ἑπόμενα σωαναιρεῖ τὰ ἡγέμενα.
Οὐκ ἔστι δὲ Γεωμέτρης.
Οὐδ' ἄρα Φυσικός.

§. χά. ις'. „Καὶ τὰ ἀντίστροφα δὲ ἀμοιβαδὸν σωαναιρεῖ„ται, καὶ σωεισάγεται (§. αὐτ.).

Ἀλλ'

(1) Ἐκ τῆς ὑπαλληλίας καὶ ὁ ὑπὸ τοῖς Νεωτέροις θρυλλέμενος Λεϊβνίτιος, δύο μὲν τῷ Α. σχήματι τῶν συλλογισμῶν ἐπὶ τοῖς τέσσαρσι προσιθεὶς τρόποις, δύο δὲ τῷ Β. ἕνα δὲ τῷ Δ. τρόπας Καλαλήλας ἐπὶ τῶν τεττάρων σχημάτων (περὶ ὧν ὕστερον) καταλέγων τὰς πάντας ἑπτὰ καὶ τέτταρας.

Ἀλλ. ὁ ἐρανὸς ἐστὶ ζῶον τῷ Πλάτωνι.
Ἆρα καὶ αὐθητικὸν αὐτῷ ἔσαι. ἢ,
Ἀλλ' ἐκ ἔστι θνητὸν τῷ Ἀριστοτέλει.
Ἆρα ἐδὲ ζῶον αὐτῷ ἔσαι.

§. χβ'. Ἐπισήσασι δὲ ῥᾴδιον συνιδεῖν, ὡς ἡ αὐτὴ Ἀποφανσις πολλάκις, καὶ διὰ πλειόνων ἐκ τῶν Στοιχειωδεςέρων τέτων συλλογισμῶν ἀποδεχθεῖσα δυνήσεται, ὧν ἐκ ἄλλοθεν ἡ διαφορὰ, ἢ ἐκ τῆς ἀρχῆς, τῆς ἐπὶ σηριγμῷ τῆς Ἀκολεθίας, βάσεως δίκλω, προκαταβαλλομένης. Οἷον θνητὸν ἐστὶν ἀποδεῖξαι ὄντα τὸν ἐρανὸν διαλεγομένοις πρὸς Πλάτωνα, τὸν ζῶον αὐτὸν εἶναι ὑποτιθέμενον Α'. Ἐκ τῆς ἀρχῆς τῶ ταυτῶ. (§. φπς'.).

Εἰ γὰρ ταυτίζεται ὁ ἐρανὸς καὶ τὸ θνητὸν τῷ ζῴῳ.
Ἆρα ὁ ἐρανὸς θνητός.

Β'. Ἐκ τῆς τῶ κατὰ Παντός. (§. φπζ'.).
Εἰ γὰρ ἀνώτερον μὲν, ἢ γένος, τὸ ζῶον, κατώτερον δὲ, ἢ ζῴε εἶδος, ὁ ἐρανός.
Ἆρα τὸ κατ' ἐκείνε, καὶ τέτε.

Γ'. Ἐκ τῆς τῶ Ὁμοίε. (§. φπθ'.)
Εἰ γὰρ καὶ τ' ἄλλα πάντα, τί μὴ καὶ τὸ ἐκείνοις τῇ ζωτικῇ φύσει παραπλησίως, ἑπόμενον;

Δ'. Ἐκ τῆς τῶ Ἰδίε. (§. φυβ'.)
Ὅτῳ γὰρ τὸ εἶδος, προσήκει δὴ καὶ τὸ ἴδιον.
Ἴδιον δὲ ζῴε τὸ θνητὸν εἶναι.

Ε'. Καὶ ἐκ τῶ Ὁρισμῶ. (§. φυγ'.)
Τὸ γὰρ λύσιν ψυχῆς ἀπὸ τῶ σώματος ὑποσῖῶν δυνάμενον, θνητὸν φαμὲν εἶναι. Ἐκείνῳ δὲ προσήκει ἐκεῖνο· καὶ τῶτο ἄρα.

§. χγ'. Οὗκεν τὰς Στοιχειώδεις τάς δε συλλογισμὰς, παρὰ Φαῦλον θετέον. Κρατίσατοι γάρ, ἐμοὶ δοκεῖν, εἰς πειθῶ τυγχάνεσιν, ὑπὲρ τὰς ἀ μόνῃ τῇ Μεθοδικῇ τῶν τριῶν ὅρων διατάξει, τιλὶ ἰσχὺ ἔχοντας. Οἱ μὲν γὰρ ὡς ἐκ τῶ κατὰ τὸν τύπον συνέσχε (περὶ ὧν ἀ τῷ ἐφεξῆς Κεφαλαίῳ) τὸν δόγματα τὰς προκειμένας, τιλὶ περὶ τὸ ἑπόμενον αἰτῆνται πίσιν· ἔτοι δὲ, καὶ τὸν τῆς Ἀκολεθίας λόγον, ὡς ἐκ τῆς δυνάμεως

τῶν ἐνοιῶν προϊχόμενοι, καὶ διδάσκειν σαφῶς ἐπιχειροῦσιν, ἃ πείθειν βέλονται. Οὐδὲν δὲ τῆς τῶν νοημάτων ἐναργείας, γένοιτ' ἂν τῷ Νῷ πιστικώτερον.

§. χδ'. Δῆλον δὲ ὅτι καὶ γνώμονες οἷον ἔτοι γίνονται συλλογιστικῆς ἁπάσης ἐφόδε, καὶ πέρας ἔριδος ἁπάσης καθίσαντα, τέτων μηδὲν περαιτέρω προαχθῆναι δυναμένης τῆς Διαλέξεως (§. φκθ'.).

ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

Περὶ Συλλογισμῶν Μεθοδικῶν.

Ἤτοι

Περὶ σχημάτων συλλογισμῦ, καὶ τρόπων ποικίλων.

§. χέ.

Συλλογισμῦ δὲ πλείω μὲν τὰ σχήματα φέρεται, πλείως δὲ πολλῷ τῶν σχημάτων οἱ τρόποι. Ὧν τὰ μὲν, ἡ ἐν αὐτοῖς πορρωτέρω (ὡς φασὶν) ὕλη, (τῦτο δὲ ἐστὶν, οἱ ὅροι) τὰς δὲ ἡ προσεχὴς, ἤτοι αἱ προτάσεις ἀποτελῶσιν. Ἔσι γάρ τοι ἐπὶ τῦ συλλογισμῦ, σχῆμα μὲν, ἡ ποιάτις τῶν ἄκρων ἐν ταῖς προκειμέναις μετὰ τῦ μέσε διάταξις, καθ' ἣν ὀλόγως συνάγεται τὸ προκείμενον. Τρόπος δὲ, ἡ κατὰ τὸ ποσὸν, καὶ τὸ ποιὸν τῶν αὐτῷ προτάσεων (§. υβ'.) παραλλαγή.

§. χς'. Οἱ μὲν ἓν εἰς τριάδα τὰ τῶν συλλογισμῶν πληθύνοντες σχήματα, Α'. μὲν ἀριθμῦσι, καθ' ὃ ὑπόκειται μὲν τὸ μέσον ἐπὶ τῆς μείζονος, κατηγορεῖται δὲ ἐπὶ τῆς ἐλάττονος. οἷον,

Πᾶν ΖΩΟΝ ἐστὶν ἔμψυχον
Πᾶς ἄνθρωπος ἐστὶ ΖΩΟΝ·
Πᾶς ἄνθρωπος ἐστὶν ἔμψυχον.

§. χζ'. Β'. Δὲ ἐν ᾧ ἐπ' ἀμφοῖν τὸ μέσον ταῖς προκειμέναις κατηγορεῖται. οἷον,

Οὐδεὶς

Οὐδεὶς λίθος ἐστὶ ΖΩΟΝ·
Πᾶς ἄνθρωπος ἐστὶ ΖΩΟΝ.
Οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος.

§. χή. Γ'. Ἐφ' ᾧ ὑπόκειται ἑκατέρωσε· οἷον,

Πᾶν ΖΩΟΝ ἐστὶν ἔμψυχον.
Πᾶν ΖΩΟΝ ἐστὶν οὐσία.
Τὶς οὐσία ἐστὶν ἔμψυχος.

§. χθ'. Τοῖς δὲ καὶ Δ'. παρεισάγεται, ὡς οὐρετῇ τῷ Γαλιλωῷ ἀνατιθέμενον (1). καθ' ὃ ἀντεξαμμενῶς τῷ Α'. κατηγορεῖται μὲν τὸ μέσον ἐπὶ τῆς μείζονος, ὑπόκειται δὲ ἐπὶ τῆς Ἐλάττονος· οἷον,

Πᾶς ἄνθρωπος ἐστὶ ΖΩΟΝ.
Πᾶν ΖΩΟΝ ἐστὶν ἔμψυχον.
Τὶ ἔμψυχον ἐστὶν ἄνθρωπος.

Ἐνφερέσθω δὲ ἡ τετρὰς τῶν χημάτων (εἰ μὴ δόξαι περιττὸν) διὰ τῶν ἑξῆς Ἀδωνίων·

Ὑπὸ κατ' ἄλφα.
Δὶς κατὰ βῆτα.
Δὶς δ' ὑπὸ γάμμα.
Καθ' ὑπὸ δέλτα.

§. χί. Ἡ μὲν ἓν τῶν ὅρων ἀλλοιοτέρα, διάταξις τοῖς τρισὶ προσηκόντως τὸ Δ. συγκατέλεξεν· ἐ γὰρ ἂν ἦ ἄλλως παρὰ ταῦτα, ἢ ἐχ ὡς καὶν τέτῳ, τὰ ἄκρα σωταχθεῖεν τῷ μέσῳ, εἰς τιὼ τῶν τετλάρων συμπλήρωσιν. Τὸ δὲ τῆς ἐπιφορᾶς βιαιόν τε, καὶ μὴ κατὰ φύσιν (εἰ μήτις ἐν αὐτῷ, προθυτέρως φέρειν νοημένῳ τὰς προκειμένας, ἀντιτρόφῳ τῷ συμπεράσματι, αὐτὸ τὸ πρῶτον ἐνθεωροίη) τῶν τριῶν πως τὸ Δ. ἐξεκύλισεν, ὡς μὴ ἔτω σαφὲς ὂν περιληφθιῶαι, κατὰ τιὼ ἀ τέτῳ ἀκολαθίαν, τὸ σωαγόμενον.

§. χιά. Περιγέγραπται δὲ θεσμοῖς τισι καὶ ὅροις ἀπαραπρέπτοις τὰ τῶν συλλογισμῶν χήματα, οἷς μὲν κοινῇ ἅπαντα

 πεθαρ-

(1) Παρὰ μόνοις τοῖς Ἄραψιν ἡμῶς συγγράμμασι τοιοῦτον ἐστὶν οὐρεῖν, οὐρεῖν ἐστὶ τετὶ φερόμενον· ἐδὲ γὰρ, ἐδέτις τῶν Γαλιλαίων περὶ τέτε μαρτυρῶν φαίνεται.

πειθαρχοῦντα, ὃς δὲ καὶ τούτων ἰδίᾳ ἕκαστον. Θεσμοὺς δὲ φυσικούς μοι νόει, οὐμὴν ἐκ συνθήκης, καὶ ἀπὸ βουλῆς ἠρτημένους, ταῖς δὲ τῶν νοουμένων φύσεσιν ἀραρότως προσήκοντας, αἷς ἀνάγκη τὰς ἐννοίας συνδιατίθεσθαι καὶ συμμορφοῦσθαι, μὴ συμμορφουμένας δὲ, διαστραβοῦσθαι, καὶ τῆς ὀρθότητος ἐκπιπτούσας εἰκῇ παραφέρεσθαι. Τὰς μὲν οὖν περὶ τοὺς τοιούτους γινομένας θεσμοὺς διασκέψεις καὶ θεωρίας, Θεωρημάτων δίκην Γεωμετρικῶν, ἐκθέσθαι τε ἡμῖν ἐξέστω, καὶ κατασκευάσαι. Τὸ γὰρ ἐν τοῖς Μαθηματικοῖς Θεώρημα, τοῦ φύσει προσόντος τῷ ὑποκειμένῳ ποσῷ πάθους ἐστὶν ἀπόδειξις. Ὥστε καὶ τὰ παρ' ἡμῖν ταῦτα, ὡς τὰ φύσει παρεπόμενα τοῖς συλλογιστικοῖς τῶν σχημάτων ἐπιθεωροῦντα, ἢν κλήσεως μὲν τῆς αὐτῆς, δείξεως δὲ, παραπλησίως τύχοι μεθοδευομένης, οὐδὲν οἶμαι παρατολμηθήσεται τῇ πραγματείᾳ ἄτοπον, οὐδ' ἀλλότριον. Ὅπου γε καὶ Ἀριστοτέλην ἴσμεν ἐν τούτοις οἷον Γεωμετρολογικευόμενον· καὶ τοὺς μὲν ὅρους τοῖς σημείοις παρεικάζοντα, διαστήμασι δὲ, ὧν οἱ ὅροι τὰ πέρατα, τὰς προτάσεις, σχήματά τε καλεῖν ἀξιῶσαι τὰ ἐκ τῶν τοιῶν δε διαστημάτων περιγραφόμενα, καὶ τούτων ἄντικρυς νομοθετῆσαι τὰ πάθη, ὡσανεὶ τοσούτων δεῖν Γεωμετρικῶν σχημάτων Θεωρεῖν ἡμᾶς, καὶ ἀποδεικνύειν (1). Ἔστω τοίνυν.

Στοι-

(1) Ὁ παρ' Ἄγγλοις Θρυλλούμενος Λώκιος ἐν τῷ περὶ τοῦ Νοῦ Βιβλ. Δ'. Κεφ. ΙΖ'. §. 4. Οὐ πάνυ πολλοῦ τὴν τοῦ συλλογισμοῦ φαίνεται ποιούμενος χρῆσιν. Μηδὲ γὰρ εἶναι τοῦτον τὸ μέγα (ᾗ κοινῇ πιστεύεται) τοῦ λόγου ὄργανον, ὡς δι' αὐτοῦ ἐξόχως εἰς ἐνέργειαν προβαίνειν τὴν ἐν ἀνθρώποις τοῦ λογικοῦ δύναμιν. Πρῶτον γὰρ δὴ πρὸς ἔντι τοῦτο καὶ μόνον ὁ συλλογισμὸς ἔοικεν ὑπουργεῖν, τὸ τὴν ἀλληλουχίαν (φησὶ) τῶν πίστεων ἀποδεικνύειν ἐν ἑνὶ παραδείγματι (ὃ τῶν ἀνωτ. §. φλή. τεθέντων τὸ Β'. ἦν.) πλέον δ' οὐδέν· ὅπερ καὶ χωρὶς τοῦ συλλογισμοῦ, οὐδὲν χεῖρον, εἰ μὴ καὶ κρεῖττον ὁ νοῦς οἷος ἐστὶ διανύειν, ἐφ' ὧν ἡ τῶν ἐννοιῶν ἀλληλουχία ἀληθής τε ἐγχωρεῖ, καὶ πραγματιώδης. Ἔπειτα δὲ καὶ ὅσοι (προστίθησιν) εἰσὶν, οἱ τὸ μὲν εἶδος τοῦ συλλογισμοῦ μηδαμῶς ἀκριβοῦντες, ὀρθῶς δὲ πάνυ καὶ ἀμέμπτως διανοούμενοι; Τὶς δὲ καὶ τῶν τὰς συλλογιστικὰς Μεθόδους ἐπὶ λεπτοῦ ἐξονυχισάντων ἐνεθυμήθη (εἴποτε καθ' ἑαυτὸν διανοηθῆναι δεήσειε) συλλογισμῷ χρήσασθαι; Τὶ δὲ; καὶ πρὸ τοῦ ἐκδοῦναι τὸν Ἀριστοτέλην τὸ Ὄργανον, οὐδεὶς ἄρ' ἔγνω τίποτ' ἂν εἴη τὸ διανοεῖσθαι; οὐδεὶς ἐχρήσατο; Καὶ ἀλογίαν ἄρα παντὸς τοῦ ἀνθρωπίνου καταψηφιοῦμεν, καὶ ὀλιγώρως οὕτως ἐνεχθῆναι τὸν Θεὸν ἐροῦμεν περὶ τὸν ἄνθρωπον, que se contentant d'en faire des Creatures a deux jambes, il ait laissé à Aristote le soin de les rendre Creatures raisonable? ὥστε ταῦτα ὑποστησάμενον τὰ ζῶα τὰ δίποδα, τούτων ἔπειτα ἐπιτρέψαι τῷ Ἀριστο-

Στοιχεῖα τῆς Συλλογιστικῆς Τέχνης.

Γεωμετρικῇ Μεθόδῳ κατασκευαζόμενα.

ΟΡΟΙ.

§. χιβ'.

Προτάσεως οἱασδῆν ὅροι, ἤτοι ἄκρα καὶ πέρατα δύω. (§. στ'. τυβ'.).

§. χιγ'. Προτάσεως τῆς καθόλε καταφασκέσης (§. υβ'.) ὁ μὲν ὑποκείμενος ὅρος ἐστὶ καθόλε, ὁ δὲ κατηγορέμενος ἐπὶ μέρες. (§. σκή.).

Ἀριστοτέλα τιὼ ἐπιμέλειαν, ὃς ἂν αὐτὰ καὶ λογικὰ, καὶ διανοητικὰ ἀναδείξειν; Εἶτ' ἐχὶ καὶ Ἀριστοτέλης αὐτὸς, καὶ τῶν συλλογιστικῶν ἄνθ' σχημάτων καὶ τρόπων, μόνῃ τῇ παντὶ πειρᾶσθαι ἐκ φύσεως διανοητικῇ δυνάμει χρησάμενος αὐτὰ ἐκεῖνα ἐξεῦρεν, ἐφ' οἷς θαυμάζεται; Οἱ δὲ Γεωμετρικοὶ, ἐχὶ καὶ δίχα τῆς ἐντέχνε τῶν συλλογισμῶν διαχηματίσεως, πλεῖστα καὶ κάλλιστα ἀποδεικνύσι; κτ. Ταῦτα δὴ καὶ τάτων ἔτι πλεῖω ἐφεξῆς ὁ Ἄγγλος προβάλλεται, ὡς δι' αὐτῶν ἀπελέγξων τῆς συλλογιστικῆς μεθόδε τὸ μάταιον. Ἐξ ὧν ἐδὲν ἄντις ἀκριβῶς ἐπισήσας ὑποσυνάψειεν, ἢ ὅτι ἡ κατὰ διάνοιαν ἐνέργεια, ὅστις ὁ κυρίως ἐστὶ καὶ ἐνδιάθετος συλλογισμὸς, εἰς ἐπιστήμης πορισμὸν, καὶ πρὸς ἀπόδειξιν τᾶ προκαμένε, καὶ ἄνθ' τῆς ἐντέχνε διαμορφώσεως ἐξαρκέσειε· Καὶ ὅτι οἱ ἐν τᾷ ΓΡΑΜΜΑΤΑ ἀεὶ καὶ τᾷ ΘΕΑΣΕ, ἔντε συγγραφᾶς ἢ προσδιαλέξεσι, τὰ ἑαυτῶν κατασκευάζειν φιλονεικῆντες τῷ ὄντι εἰσὶ περιττοί. Τετί γὰρ ἐπιεικῶς ἀδ' αὐτὸς Ἀριστοτέλης ἀδαμᾶ παρεγγυώμενος φαίνεται, ἀδὲ δι' ὅλης τῆς κατ' αὐτὸν φιλοσοφίας τηρήσας. Ἀλλὰ καὶ συλλογιστικῶς προβαίνων, ἐκ τῆς κατὰ τύπον ὅμως συλλογιστικῆς τερθρείας ἐκ ἐθέλει νεανιεύεσθαι. Οὐδὲ γὰρ ἐν τῇ θέσει τῶν ὀνομάτων ἡ τᾶ συλλογισμᾶ ἰσχὺς, ἀλλ' ἐν τῇ τῆς συνεπείας ὀρθότητι. Ἡ δὲ καὶ ἐν Σωρείᾳ προτάσεων, καὶ ἐν ὑφῇ συλλογισμῶν, μὴ τεχνικῶς διατυπεμένων σώζεται, καὶ ἐκ τῶν συλλογιστικῶν θεσμῶν, δεῆσαν, κατασκευάζεσθαι δι' ἀναλύσεως· Διὸ δὴ ὡς ἀχρήστε κομιδῇ τὰς συλλογιστικὰς μεθόδες παρὰ Φαῦλον θετέον. Ἀλλὰ καὶ ἄγαθαι δίκαιον τὸν ἐπινενοηκότα αὐτὰς Φιλόσοφον, καὶ τῶν ἀνθρωπίνων ἐπινοημάτων θυρόντα καὶ διδάξαντα τὸ κάλλιστον καὶ ἀξιολογώτατον, ὡς ἀντιφερόμενος τῷ Ἄγγλῳ Λωκίῳ, ὁ Γερμανὸς φησὶ Λεϊβνίτιος. L'invention de la forme des Syllogismes eſt une des plus belles de s'eſprit humain, et méme des plus conſiderables. Leibn. Nouveaux Eſſais ſur l'Entend. Livr. IV. Chap. XVII. §. 4. Τῷ ὄντι δὲ, ἐχ ἕτω ῥᾴδιον ἐστὶν Ἀποδείξεως ὀρθῶς προβαινάσης, ἢ ὡ μέρει ὑποσκαζέσης ἐπ' ἀκριβὲς τιὼ δύναμιν, ἢ τιὼ ἀδυναμίαν

§. χιδ'. Τῆς δὲ καθόλȣ ἀποφατικῆς ἄμφω οἱ ὅροι καθόλȣ (§. Αὐτ.).

§. χιέ. Τῆς δὲ ἐπὶ μέρȣς καταφατικῆς ἄμφω ἐπὶ μέρȣς. (§. Αὐτ.).

§. χιϛ'. Τῆς δ' ἐπὶ μέρȣς ἀποφασκȣ́σης, ὃς μὲν ὑπόκειται, ἐπὶ μέρȣς· ὃς δὲ κατηγορεῖται, καθόλȣ. (§. Αὐτ.).

§. χιζ'. Συλλογισμὸς δὲ ἐϛὶ δεῖξις τινὸς καθ' ἑτέρȣ, δι' ἑτέρȣ. (§. φξ'.) (1).

ΑΞΙΩΜΑΤΑ.

§. χιή. Τριῶν προκειμένων ἀνὰ δύω λαμβανομένων, συζυγίαι συνίϛανται τρεῖς, πρὸς ἀλλήλας διαφορὰν ἔχȣσαι, τὴν ἐκ τȣ̃ συνδυασμȣ̃.

§. χιθ'. Τὰ τῷ αὐτῷ ταυτὰ, καὶ ἀλλήλοις ἐϛὶ ταυτά.

§. χκ'. Ὧν τὸ μὲν τρίτῳ ταυτὸν, τὸ δ' ȣ̓, ȣ̓δ' ἀλλήλοις ἐκεῖνα ταυτά.

§. χκά. Τὰ μὴ τρίτῳ τινὶ ταυτὰ, ἀλλήλοις ταυτὰ ἐνδέχεται καὶ εἶναι, καὶ μή.

§. χκβ'. Δύω δυσὶ μηδαμῶς ταυτȣμένοις, ἕτερον ἑτέρῳ ὄντα ταυτὰ, ἀλλήλοις ȣ̓κ εἰσὶ ταυτά.

§. χκγ'.

μίαν ἐν ᾧ κεῖται συνιδεῖν, τῷ κατὰ τὰ ϛοιχεῖα τῶν συλλογισμῶν ἀναλύειν αὐτὴν μὴ πεπαιδȣμένῳ. Καὶ ȣ̓κ ἀκόμψως ῥηθείη ἂν καὶ περὶ τȣ̃ τοιȣ́τȣ, τὸ περὶ τῶν παλαιῶν ὑπὸ Ἀμμωνίȣ εἰρημένον (εἰς βίον Ἀριϛ.) „ὡς οἱ πάλαι „ἀποδεῖξαι μὲν ἤδεσαν, ἀποδείξεις δὲ „ποιεῖν ȣ̓κ ἠπίϛαντο· ταυτὸ πάσχοντες „τοῖς σκυτοτομεῖν μὲν μὴ δυναμένοις, „ὑποδήμασι δὲ χρῆσθαι εἰδόσι. Καὶ περὶ μὲν τȣ́τȣ τοσαῦτα. Προσθήσω δ' ὅτι τὴν ἀκριβεϛάτην τȣ̃ συλλογισμȣ̃ διάληψιν, κἂν ἅπαντες περιττὴν εἶναι τάξειαν τῇ χρήσει, ἡγεμὴν Λογικὴ πραγματεία, τὸ μέρος ἑαυτῆς εἶναι θήσει τὸ πρȣργιαίτατον. Ταύτης γὰρ ȣ̓χ ὅπως ἔργον, τὰς γνωϛικὰς δυνάμεις πρὸς τὸ ἐνεργεῖν ἀπȣθύνειν, ἀλλὰ καὶ τὸ ȣ̓θὲς αὐταῖς ἐν ᾧ κεῖται ȣ̓σκόπως φιλοκρινεῖν. Καὶ τόγε καθ' ὅσȣς δὴ καὶ οἵȣς τρόπȣς, ἡ τῶν ὅρων ἐπιπλοκὴ εἰς ὀρθὴν ἂν συντελέσειε διάνοιαν πολυπραγμονεῖν, τȣ̃ διαλεκτικȣ̃ ἔργον, ȣ̓δὲν ἧττον ἢ τȣ̃ φυσικȣ̃ τὸ ἐξ οἵων τε καὶ ὅσων ὑμένωντε καὶ ὑγρῶν ὁ ὀφθαλμὸς διωργάνιϛαι θεωρεῖν. Κἂν γὰρ ἑκάτερον περιττὸν εἶναι δοίητις εἰς ἐνέργειαν, ἀλλ' ἡ θεωρία τῆς δυνάμεως ἐξακριβȣ̃σα τὴν φύσιν, εἰ μηδὲν ἄλλο, τὰ τῆς διαϛροφῆς παραίτια ἀνακαλύπτει ῥαδίως, καὶ τȣ́των τὴν θεραπείαν κατὰ τὸ ἐνδεχόμενον οἰκονομεῖ.

(1) „Ὁ συλλογισμὸς τὶ κατάτινος „δείκνυσι διὰ τȣ̃ μέσȣ. Ἀριϛ. Ὑϛέρ. Ἀναλ. Βιβλ. Β'. Κεφ. δ'. Νοητέον δὲ τὸ κατάτινος, ἤτοι καταφατικῶς, ἢ ἀποφατικῶς.

§. χκγ'. Τῶν καθ' ἕκαστα καὶ ἀριθμῷ διαφερόντων ἕκαστον ἑκάστῳ ἕτερον.

§. χκδ'. Τὸ κατὰ παντός· ἤτοι τὸ λεγόμενον κατὰ τοῦ ἀνωτέρω, καὶ κατὰ τοῦ κατωτέρω ῥηθήσεται. (§. ρό. Φμς'.).

§. χκέ. Τὸ κατὰ μηδενός· ἤτοι τὸ τοῦ ἀνωτέρω ἀποφασκόμενον, καὶ τοῦ κατωτέρω ἀποφάσκεται. (§. Αὐτ.).

§. χκς'. Δύο τινὰ, ἐ μᾶλλόν τι σωάπλεθαι, ἢ διαζεύγνυθαι ὕςερον εἰρήσεται, ἢ πρότερον, μηδενὸς λόγε ἐπενεχθέντος, δι' ὃν ἤδη σωῆφθαι ταῦτα, ἢ διεζεῦχθαι καταφανὲς γένοιτο.

§. χκζ'. Οὐδὲν ἑαυτῷ τῷ ὄντι διήρηται.

Τὰ κατὰ Γένος παντὶ Συλλογισμῷ ἐπιθεωρέμενα.

Θεώρημα Α'.

§. χκή. „Ἐπὶ παντὸς συλλογισμοῦ τρεῖς οἱ ὅροι.

Δεῖξις.

Ὁ γὰρ συλλογισμὸς ἐςὶ δεῖξις τινὸς καθ' ἑτέρου δι' ἑτέρου, (§. χιζ'.). Τὰ δὲ τρία. Ἆρα κτ.

Θεώρημα Β'.

§. χκθ'. „Παντὸς συλλογισμοῦ τρεῖς αἱ προτάσεις.

Δεῖξις.

Τρεῖς γὰρ οἱ ὅροι (§. ἀνωτ.). Τριῶν δὲ προκειμένων ἀνὰ δύω λαμβανομένων, συζυγίαι σωίςανται τρεῖς (§. χιή.). Συζυγία δέ τις ὅρων ἐςὶ δυοῖν, πρότασις πᾶσα (§. χιβ'.). Ἆρα κλ.

Θεώρημα Γ'.

§. χλ'. „Τῶν ἐν παντὶ συλλογισμῷ τριῶν Προτάσεων αἱ „πρῶται δύω, τὸν αὐτὸν τῶν τριῶν, κοινὸν φέρουσιν ὅρον.

Δεῖξις.

Ἡ μὲν γὰρ πρώτη ἐκ δυοῖν πάντως (§. χιβ'.) τῶν τριῶν (§. χκή.). Ἐκ δυοῖν δ' ὡσαύτως καὶ ἡ δευτέρα (§. αὐτ.). Ἐκ τοῦ λοιποῦ ἄρα, καὶ τοῦ ἑτέρου τῶν ἐπὶ τῆς πρώτης. Ἆρα κτ.

Θεώρημα Δ'.

§. χλά. „Ἡ τρίτη παντὸς συλλογισμοῦ πρότασις, ἐκ τῶν „τριῶν προκειμένων ἐνδιαζόντων ὅρων σωίςαται.

Δεῖξις.

Δεῖξις.

Εἴη γὰρ ἂν ἡ τῶν προκειμένων ἑτέρα, ἐκ τοῦ ἑτέρου τῶν ἰδιαζόντων, καὶ τοῦ κοινοῦ. (§. χλ.). Ἐθέλει δὲ εἶναι ἑτέρα. (§. χκθ'.). Ἄρα κτ.

Σχόλιον.

§. χλβ'. Ὁ μὲν οὖν κατὰ τὰς πρώτας κοινὸς (§. χλ'.) ὁ Μέσος ἐστί· τῶν δὲ κατὰ τὴν τρίτην ὅπερ ἐστὶ τὸ Συμπέρασμα, ἰδιαζόντων (§. χλά.), ὁ μὲν κατηγορούμενος, τὸ μεῖζον ἐστὶ τῶν ἄκρων, καὶ τὸ Ζητούμενον, ὃς συνάμα τῷ Μέσῳ, καὶ τὴν ἑτέραν τῶν προκειμένων, ἤτοι τὴν Μείζονα ἐξ αὐτοῦ καλουμένην, εὐθέτως συναποτελεῖ. Ὁ δὲ ὑποκείμενος, τὸ ἔλαττον, καὶ Διδόμενον, ὃς μετὰ τοῦ Μέσου τὴν Ἐλάσσονα συνίστησιν (§. φξ'.).

Πόρισμα.

§. χλγ'. Οὐδεμία ἄρα τῷ Μέσῳ ἐν τῷ συμπεράσματι χώρα.

Θεώρημα Ε'.

§. χλδ'. „Ἐπὶ συλλογισμοῦ εὖτε καὶ ὑγιῶς συγκεκροτημένου, „οὐδεὶς τῶν ὅρων ὁμωνύμως παραλαμβάνεται.

Δεῖξις.

Ὁ γὰρ ὁμώνυμος ὅρος τῇ μὲν φωνῇ ἁπλοῦς ὢν, πράγματι δέ τινα διπλόην ἐμπαρεισάγων (§. σί.), τέτταρας σὺν τοῖς λοιποῖς δυσὶ (τρεῖς εἶναι δέον τοὺς πάντας (§. χκή.) ἀποδώσει τοὺς ὅρους. Ἄρα κτ.

Θεώρημα ϛ'.

§. χλέ. „Ἐπ' ἀμφοῖν ὁ Μέσος τῶν προκειμένων, ἐπὶ μέ„ρους οὐ κείσεται.

Δεῖξις.

Ἐπειδὴ γὰρ τῶν καθ' ἕκαστα καὶ ἀριθμῷ διαφερόντων ἕκαστον ἑκάστου ἕτερον (§. χκγ'.), διοσευθέντος οὕτω τοῦ Μέσου, τέτταρες ἂν ἐπὶ τοῦ συλλογισμοῦ ἀριθμηθεῖεν (συμπροσλογιζομένων καὶ τῶν ἄκρων) οἱ ὅροι· δέον εἶναι τρεῖς (§. χκή.). Ἄρα κτ.

Θεώρημα Ζ'.

§. χλϛ'. „Ἐπ' ἀμφοῖν τῶν προκειμένων οὐδὲν ἄτοπον τὸν „Μέσον καθολικεύεσθαι.

Δεῖξις.

Δεῖξις.

Ἡ γὰρ αὐτὴ ἑκατέρωσε νοηθήσεται μία κοινὴ ἴσα (§. υδ'. σημ.) φύσις, σιωνύμως παρισαμένη (§. τί.). ἐδὲν ἓν ἑαυτῷ διήρηται (§. χκζ'.). Εἷς ἄρα ἔσαι ὁ Μέσος, καὶ σιωάμαι τοῖς ἄκροις τρεῖς ἐπὶ τῷ συλλογισμῷ οἱ πάντες, κατὰ τὸ δέον (§. χκή.). Ἄρα κτ.

Θεώρημα Η'.

§. χλζ'. „Ἐὰν ἐφ' ἑτέρας μὲν τῶν προκειμένων καθόλε, „ἐφ' ἑτέρας δὲ ὁ Μέσος κέηται ἐπὶ μέρες, ἐδὲν ἧτλον ὁ συλλο„γισμὸς ὀρθῶς ἔξει.

Δεῖξις.

Τὰ γὰρ ἐπὶ μέρες ὑπὸ τὰ καθόλε ὑπαγόμενα, διὰ τὲς κατὰ παντὸς, καὶ κατὰ μηδενὸς λόγες (§. χκδ'. χκέ.) ἐκείνοις καὶ σιωεκληφθήσεται, ὡς ὅλοις μέρη. Κἂν ἓν ἐφ' ἑτέρας μὲν τῶν προκειμένων καθόλε ὁ Μέσος κέηται, ἐφ' ἑτέρας δὲ ἐπὶ μέρες, τέτε γε ταυτιζομένε ἐκείνῳ, ὁ αὐτὸς οἷον ὑποκείσεται ὅρος. Ταύτῃ δὲ κειμένῳ οἱ λοιποὶ δύο τιλὶ ἀπαιτεμένῳ σιωεκτελέσεσι τῶν ὅρων τριάδα. (§. χκή.). Ἄρα κτ.

Θεώρημα Θ'.

§. χλή. „Ἐπὶ τῆς ἑτέρας τῶν προκειμένων συλλεκτικῶς „τῷ Μέσῳ κειμένῳ, ὁ συλλογισμὸς ἐ συσαθήσεται. Ἐπ' ἀμ„φοῖν δὲ, καὶ μάλα.

Δεῖξις.

Εἰ γὰρ ἐπὶ τῆς ἑτέρας συλλήβδιν ἅμα πάντα σημαίνοι, (§. σκς'.) ἐπὶ δὲ τῆς ἑτέρας, ἤτοι κατὰ διανομὶν ἕκασον, εἰ σιωωνύμως τύχοι καθολικεύομενος (§. σί.), ἢ αὖτι καὶ μόνον τῶν καθ' ἕκασα, ἐὰν ᾖ κατὰ μέρος (§. σκζ'.), ἡ τῶν ὅρων τετρὰς, παρὰ τιλὶ κατὰ τὸ σημαινόμενον τῷ Μέσῳ διπλόιν, παρέψεται ἀπαραιτήτως, ἰὼ ἡ τῷ συλλογισμῷ φύσις ἐδόλως προσίεται. (§. χκή.). Ἄρα τὸ Α'.

Ἐπ' ἀμφοῖν δὲ συλλεκτικῆς ἔσης τῆς τῷ Μέσῳ διωάμεως, τὸ ἄτοπον ἐ συμβαίνει. Ἄρα καὶ τὸ Β'.

Θεώρημα Ι'.

§. χλθ'. „Ἀτομικῶς τῷ Μέσῳ νοεμένῳ ὑγιὴς ὁ συλλο„γισμὸς ἔσαι.

Δεῖξις.

Δεῖξις.

Τὸ γὰρ ταύτῃ σημαινόμενον ὡρισμένως οὖ. (§. σί.). Οὐδὲν δὲ ἑαυτῷ διήρηται (§. χκζ΄.), καὶ ἐφ' ἕτως ἡ τριὰς τῶν ὅρων (§. χκή.) ἀθετηθήσεται.

Θεώρημα. ΙΑ΄.

§. χμ΄. „Ὁ ὅρος ὁ μὴ καθόλε ἐπὶ τῆς ἑτέρας τῶν πρὸ„κειμένων, ἐκ' ἂν ἐφ' ἑπ' αὐτῷ τῷ συναγομένῳ καθόλε „λαμβάνοιτο.

Δεῖξις.

Συζεύγνυται γὰρ τὰ ἄκρα ἢ διαζεύγνυται ἐν τῷ συμπεράσματι, (§. χλά.), ὡς ἄρα τῷ Μέσῳ ἐν ταῖς προκειμέναις (§. χλ΄.) φθάσαντα συζευχθῆναι (§. χιθ΄.), ἢ θάτερον μὲν τῷ Μέσῳ συζευχθῆναι, θάτερον δὲ αὐτῷ διαζευχθῆναι (§. χκ΄.). Τῶν ἐν ἄκρων τῷ ἑτέρῳ ἐπὶ μέρες ληφθέντος ἐν ἑτέρᾳ τῶν προκειμένων, τὸ λοιπὸν ὅσον ὑποσημαίνεται τῷ αὐτῷ ὁρῷ καθολικευομένῳ, ἀποκλειθὲν (Ἐξ ὑποθ.), ἔξω ἂν εἴη τῷ τῷ Μέσῳ ταυτίζεθαι συναπλόμενον, ἢ μὴ ταυτίζεθαι ἐκείνῳ διαζευγνύμενον. Ἀλλ' εἰ καθόλε ἐπὶ τῷ συμπεράσματος ὁ αὐτὸς ὅρος ὑποτεθείη, καὶ τὸ προσπαραληφθὲν ἤδη συνάπλοιτ' ἂν τῷ ἑτέρῳ ἄκρῳ, ἢ ἐκείνῳ διαζευγνύοιτο, καί τοι μηδὲ συναφθῆναι τούτῳ πρότερον φθάσαν, μηδ' αὐτῷ ὅλως διαζευχθῆναι τῇ τῷ κοινῷ μεσιτεύσει, καθάπερ εἴρηται. Ἄλεγον δὲ (§. χκς΄.). Ἄρα κτ.

Θεώρημα ΙΒ.

§. χμά. „Ἐξ ἀμφοῖν καταφασκεσῶν τῶν προκειμένων, „ἀποφατικὸν ἔχ ἕπεται τὸ συναγόμενον.

Δεῖξις.

Ἐν γὰρ ταῖς προκειμέναις τὰ ἄκρα (Ἐξ ὑποθ.) συνάπλεται τῷ Μέσῳ, ἐν ἑτέρᾳ ἕτερον (§. χλ΄.), ἵν' ἀλλήλοις αὐτὰ συναφθῇ ἐν τῷ συμπεράσματι (§. χλά.). Τὰ γὰρ τρίτῳ ταυτὰ καὶ ἀλλήλοις. (§. χιθ΄.). Ὥστε καταφήσει τὸ συναγόμενον. Ἄρα κτ.

Θεώρημα ΙΓ΄.

§. χμβ΄. „Ἐξ ἀμφοῖν ἀποφασκεσῶν τῶν προκειμένων, „ἐδὲν ὑγιὲς ἐπιφέρεται.

Δεῖξις.

Δεῖξις.

Οὕτω γὰρ τῶν προκειμένων ἐχθσῶν ἑκάτερον τῶν ἄκρων ἐν ταῖς προκειμέναις (§. χλ΄.) τῇ Μέσῃ ἀποδίδοται, (ἐξ ὑποθ.) ταῦτ' ἄρα ἐπὶ τῆ συμπεράσματος (§. χλά.), ἔτ' ἂν συναφθεῖεν ἀλλήλοις δύλόγως, ἔτ' ἀλλήλων ἀποζδχθεῖεν (§. χκά.). Ἄρα κτ.

Θεώρημα ΙΔ΄.

§. χμγ΄. „Τῆς ἑτέρας τῶν προκειμένων ἀποφασκόσης, ἀ„ποφατικὸν ἔσαι καὶ τὸ συναγόμενον· τετέσι τῷ ἀθενεστέρῳ „(ἢ φασὶν) ἕψεται μέρει.

Δεῖξις.

Τῶν γὰρ ἄκρων θάτερον μὲν συνῆπται τῷ Μέσῳ (§. χλ΄.) ἐπὶ τῆς ἑτέρας τῶν προκειμένων ἐξ ἀναγκης καταφασκόσης (§. χμβ΄.), θάτερον δὲ τῇ Μέσῃ, ἐν θατέρᾳ ἀποφασκόσῃ (ἐξ ὑποθ.) διέζδκται. Τοιγαρῦν καὶ ἀλλήλων αὐτὰ διασήσεται (χκ΄.) ἐν τῷ συμπεράσματι (§. χλά.). Ἄρα κτ.

Θεώρημα ΙΕ΄.

§. χμδ΄. „Ἐξ ἀμφοῖν ἐπὶ μέρες τῶν προκειμένων ἐδὲν ὀρ„θῶς συνάγεται.

Δεῖξις.

Ἤτοι γὰρ Α΄. ἄμφω καταφήσασι, καὶ δὶς ἔτως ὁ Μέσος κείσεται ἐπὶ μέρες (§. χιέ.)· Ὅπερ ἐχ οἷόντε (χλέ.).

Ἡ Β΄. Ἀποφήσασιν ἄμφω, καὶ ἐδὲν ἂν ὑγιὲς συναχθείη. (§. χμβ΄.).

Ἡ Γ΄. τῆς μείζονος καταφασκόσης, ἐν ἀποφατικῇ τῇ ἐλάσσονι, τὸ ἐπὶ μέρες κατ' ἐκείνιν (§. χιέ.) ἄκρον, ἐὰν μὲν κατηγορῆται ἐπὶ τῇ ἀποφατικῇ συμπεράσματος (§. χμγ΄.), καθόλε ἔσαι. (§. χιδ΄. χις΄.). Ὅπερ (§. χμ.) ἄτοπον. Ἐὰν δ' ὑποκέηται κατηγορηθήσεται δὴ τὸ ἄκρον τὸ ἐπὶ τῆς ἐλάσσονος, καὶ καθόλε τῦτο διὰ τὴν ἀπόφασιν (§. χιδ΄. χις΄.) ἔσαι. Ἦν δ' αὐτὸ κατὰ τὴν ἐλάσσονα, ἤτοι ὑποκείμενον, καὶ ἐπὶ μέρες ἔσαν (ἐξ ὑποθ.), ἐπὶ μέρες (§. χις΄.)· καὶ πάλιν τὸ αὐτὸ (§. χμ΄.) ἄτοπον. Ἢ γῦν κατηγορέμενον, καὶ ὁ Μέσος κατ' αὐτὴν ὡς μερικὴν (ἐξ ὑποθ.) ὑποκείοιτ' ἂν μερικῶς· (§. χις΄.). Ἀλλὰ γὰρ αὐτὸς καὶπὶ τῆς ἐν μέρει καταφασκόσης

σης (ἐξ ὑποθ.) μείζονος, ἔκειτο ἐπὶ μέρους (§. χιέ.). Δὶς ἄρα ἐπὶ μέρους ὁ Μέσος, ὅπερ (§. χλέ.) ἀδύνατον.

Ἡ Δ΄. Ἐν ἀποφατικῇ τῇ μείζονι, τῆς ἐλάσσονος ἐπὶ μέρους καταφασκούσης, καὶ τὸ ἐπ' αὐτῆς Μέσον κείσεται ἐπὶ μέρους (§. χιέ.)· τὸ δὲ, ἤτοι καθ' ὅλης μείζονος ὑποκείσεται, καὶ (§. χιϛ΄.) μερικὸν ἔσται, ἐπ' ἀμφοῖν, ὅπερ (§. χλέ.) ἄτοπον· Ἢ κατηγορηθήσεται, καὶ τὸ ἄκρον ἔσται, τὸ κατὰ τὴν μείζονα μερικοθήσεται (§. χιϛ΄.). Μερικοθήσεται δὲ καὶ τὸ κατὰ τὴν ἐλάσσονα (§. χιέ.). Ἀμφότερα ἄρα ἐπὶ μέρους ἐν ταῖς προκειμέναις τὰ ἄκρα. Τὸ δέ τοι συμπέρασμα ἀποφατικὸν διὰ τὴν ὑπόθεσιν (§. χμγ΄.) συναχθήσεται, καὶ τὸ ἀν' αὐτῷ κατηγορούμενον καθόλε ἐκτανθήσεται (§. χιϛ΄.). Τὸ Ἄρα ἐν ταῖς προκειμέναις ἐπὶ μέρους, ἐν τῷ συμπεράματι ἔσαι καθόλε· ὅπερ ἀπείρηται (§. χμ΄.).

Παρὰ δὲ τὰ τέτταρα ταῦτα ἕτερον ὑποθέθαι ἀμήχανον. Ἄρα κτ.

Θεώρημα Ιϛ΄.

§. χμέ. „Τῆς ἑτέρας τῶν προκειμένων ἐπὶ μέρους ὔσης, τὴν „λικῆτον εἶναι ἐπάναγκες καὶ τὸ συναγόμενον. Ὅπερ ἐςὶ, τῷ „χείρονι ἕπεθαι.

Δεῖξις.

Εἰ μὴ γὰρ, ἔςω καθόλε τὸ συναγόμενον· καὶν τότῳ καταφάσκοντι μὲν, θάτερον τῶν ἄκρων καθόλε, ὅπερ ὑπόκειται (§. χιγ΄.)· ἀποφάσκοντι δὲ, ἑκάτερον (§. χιδ΄.).

Ἀλλ' εἰ μὲν τὸ Α΄. καταφήσει δήπε καὶ αἱ προκείμεναι (§. χμγ΄.). Ἡ δ' ἑτέρα τότων (ἐξ ὑποθ.) ἐπὶ μέρους· Ἤτοι ἄρα ἡ μείζων, ἢ ἡ ἐλάσσων. Εἰ μὲν ἦν ἡ μείζων, ἄμφω τὼς ὅρως ἐπὶ μέρους ἐχέτη (χιέ.), εἰκὸς τὸ ἐπὶ τῷ συμπεράσματος καθόλε ὑποτεθὲν ὑποκεῖθαι, μὴ ἐν αὐτῇ εἶναι, ἀλλ' ἐν τῇ ἐλάσσονι. Καὶνταύτῃ δὲ καταφασκέτη, ὑποκείσεται μὲν αὐτὸ καθόλε γε ὄν, καθόλε γε ἔτη (§. χιγ΄.), κατηγορηθήσεται δὲ τὸ Μέσον, καὶ μερικοθήσεται (§. αὐτ.) ἅμα. Ἦν δὲ τὸ Μέσον τῦτο, καὶν τῇ ἐπὶ μέρους (ἐξ ὑποθ.) μείζονι, ἐπὶ μέρους (§. χιέ.). Δὶς ἄρα τὸ Μέσον ἐπὶ μέρους. Ὅπερ (§. χλέ.) ἐχ οἷόντε. Εἰδ' ἦν ἡ ἐλάσσων εἴη ἐπὶ μέρους, τῇ αὐτῇ ἐφόδῳ ἀνατεθείσεται μὲν τὸ ἀν' τῷ συμπερ κσματι καθόλε ὑποκείμενον ἄκρον τῇ μείζονι, συναχθήσεται δὲ τὸ Μέσον ἐν ἀμφοῖν ἐπὶ μέρους, καὶ μείζονι, καὶ ἐλάσσονι. Οὐκ ἄρα τὸ Α΄.

Εἰ

Εἰ δὲ δὴ Β'. ἀποφάσκον ὑποτεθείη τὸ καθόλε συμπέρασμα, ἐν ἀμφοῖν τοῖς ἄκροις καθόλε (§. χιδ'.), καὶ τινὶ ἑτέραν τῶν προκειμένων ἀποφάσκειν ἐπάναγκες (§. χμα'.). Ἐπεὶ δὲ (ἐξ ὑποθ.) καὶ μεριζόμεθα, τῆς μὲν ἐπὶ μέρες καταφασκέσης, τὸ ἐπὶ μέρες ἄκρον (§. χιέ.) καθολικωθήσεται ἐν τῷ συμπεράσματι, ὅπερ ἀπείρηται (§. χμ'.)· τῆς δὲ καθόλε καταφασκέσης, ὁ κατηγορέμενος ὅρος, ἅτε δὴ ἐπὶ μέρες (§. χιγ'.) δυνάμενος, ἐκ ἂν εἴη τὸ ἄκρον, ὃ καθόλε ἐκτείνεται κατὰ τὸ συμπέρασμα (§. χμ'.)· τὸ ἄρα Μέσον. Τὸ δὲ, ἤτοι ὑποκείοιτ' ἂν ἐπὶ τῆς ἑτέρας, τῆς ἐν μέρει ἀποφάσκειν ὑποτεθείσης, καὶ μεριζόμενον κἀνταῦθά (§. χις'.), δὶς ἐπὶ μέρες ἂν εἴη, τὸ ἀδύνατον (§. χλέ.). Ἢ γὰν κατηγορεῖτο, καὶ τὸ ἐν μέρει κατ' αὐτινὶ ὑποκείμενον ἄκρον (§. χις'.). καθόλε ἐκτείνοιτ' ἂν ἐν τῷ συμπεράσματι, τῷ καθόλε ἀποφάσκειν ὑποτεθέντι· Ὅπερ ἐπίσης ἄτοπον (§. χμ'.). Οὐκ ἄρα ἐδὲ τὸ Β'.

Οὔτ' ἄρα καταφατικῶς, ἔτ' ἀποφατικῶς ἂν ἐπαχθείη, ἐξ ἑτέρας ἐπὶ μέρες τῶν προκειμένων, καθόλε τὸ συναγόμενον.

Θεώρημα ΙΖ'.

§. χμς'. „Ἐὰν ἐκ τῆς διαφερέσης τῶν ὅρων θέσεως, τὸ „κατὰ Συλλογισμὸν χῆμα ληφθῇ, τέτταρα ἔσαι τὰ Συλλο„γιστικὰ χήματα.

Δεῖξις.

Τοσαῦτα γὰρ δή, ὁπόσοι, καθ' ἕς οἱ ὅροι (ἐξ ὑποθ.) πρὸς ἀλλήλας ἔχεσι διαταχθῆναι, οἱ τρόποι. Τετραχῶς δ' ἂν οἱ ὅροι, τρεῖς ὄντες (§. χκή.) διαταχθεῖεν, ἐκ τῆς τετραπλῆς τῆ Μέσε ἐν ταῖς προκειμέναις θέσεως, (§. χς'. χζ'. χή. χθ'.), ἄλλως δ' ἂν ἐδαμῶς. Οὐδὲ μὰν ἓν ἐχὶ τοσαυταχῶς (§. χί'). „Ἄρα κτ.

Θεώρημα ΙΗ'.

§. χμζ'. „Ἐὰν ἐκ τῆς κατὰ Φύσιν προσηκέσης τῶν ὅρων „θέσεως, τὸ τῶν συλλογισμῶν χῆμα ληφθῇ, ἀτελῆ μὲν ἔσαι „τῶν χημάτων τὸ Β'. καὶ τὸ Γ'. ἀτελέσερον δὲ αὐτῶν ἔτι τὸ „Δ'. τελεώτατον δὲ τὸ Α'.

Δεῖξις.

Καὶ γὰρ ὁ Συλλογισμὸς δείκνυσί τι καθ' ἑτέρε δι' ἑτέρε (§. χιζ'.). Καταφατικῶς μὲν τῷ κατὰ παντὸς προσερειδόμενος

λόγῳ (§. φξβ'. χκδ'.) Ἤτοι, τῷ ἥττονος ἄκρῳ ὡ τῷ συμπεράσματι κατηγορῶν, τὸ προκατηγορηθὲν ἤδη ἐν τῇ μείζονι μεῖζον κατὰ τῷ Μέσῳ, τῷ κατηγορηθέντος τῷ αὐτῷ ἐκείνῳ ἥττονος κατὰ τιὼ ἐλάσσονα. Ἀποφατικῶς δὲ, τῷ κατα μηδενὸς (§. φξβ'. χκέ.) ἐπισηριζόμενος Τοιοῦτοι, τῷ ἥττονος ἄκρῳ ἐν τῷ συμπεράσματι ἀπάγων, τὸ προαπενεχθὲν ἤδη ἐν τῇ μείζονι μεῖζον ἀπὸ τῷ Μέσῳ, τῷ κατηγορηθέντος, τῷ αὐτῷ ἐκείνῳ ἥττονος κατὰ τιὼ ἐλάσσονα.

Α'. Οὖν ἐπὶ τῷ Β'. χήματος (§. χζ'.), τὸ μεῖζον ἄκρον ὑπόκειται τῷ Μέσῳ (δέον κατηγορεῖσθαι) ἐπὶ τῆς μείζονος.

Β'. Ἐπὶ τῷ Γ'. (§. χή.) τὸ Μέσον ὑπόκειται τῷ ἥττονι ἄκρῳ (δέον κατηγορεῖσθαι) ἐπὶ τῆς ἐλάσσονος.

Γ'. Ἐπὶ τῷ Δ'. (§. χθ'.) ἄμφω ταῦτα παρασυμβαίνει (δέον τἀναντία).

Δ'. Ἐπὶ δὲ τῷ Α'. (§. χς'.) ἐπ' ἀκριβὲς σώζεται, ὥσπερ ἠξίωται (χκδ'. χκέ.).

Ἐὰν ἄρα ἐκ τῆς κατὰ Φύσιν τῶν ὅρων θέσεως, τὸ τῶν συλλογισμῶν χῆμα κτ.

Θεώρημα ΙΘ'.

§. χμή. „Ἐὰν ἐκ τῆς ποσότητος καὶ ποιότητος ἅμα τῶν „προτάσεων, οἱ κατὰ τὲς συλλογισμὲς τρόποι (ἅς Συζυγίας „καλῶσι) ληφθῶσι, τῶν τεττάρων ἐπὶ ἑξήκοντα, ὰ πλείους ἔσονται ἢ ἐλάσσονες.

Δεῖξις.

Ἐκ γὰρ τῷ ποσῷ καὶ τῷ ποιῷ συναναμεμιγμένων (§. υξβ'.) εἴδη προτάσεων ἀναφύεται τέτταρα τοῖς προσδιορισμοῖς γνωριζόμενα, καὶ τοῖς φωνήεσιν ὑποδηλέμενα Α, Ε, Ι, Ο. Καλὰ δὴ ταῦτα τῶν ἐπὶ τῷ συλλογισμῷ τριῶν προτάσεων (§. χκθ'.), τῆς μείζονος ποικιλομένης, τέτταρες ὡς ἐξ αὐτῆς ἀνακύψουσιν οἱ τρόποι. Ἀλλὰ καὶ ἐκ τῆς ἐλάσσονος διαφέρως ποσωθείσης τετραπλῶς αὖ τέτων τῶν ἐκ τῆς μείζονος τεττάρων ἕκαστος, διακριθήσεται τρόπος. Ἐὰν δὲ, οἱ ὡς ἐκ τῶν προκειμένων ἕτως εἰς ἑκκαίδεκα πληθυνόμενοι τροποι, καὶ διὰ τετραπλῆ ὡσαύτως ἕτως ἐπιπολλαπλασιαθῶσι τῷ συμπεράσματος, δῆλον ὅτι τέτταρες ἐπὶ τοῖς ἑξήκοντα, οἱ πάντες ἀριθμηθήσονται. Ἅμα ἐκ τετραπλῆς μείζονος, διὰ τετραπλῆς ἐλάσσονος, ἐπὶ τετραπλῆ τῷ συμπεράσματος, ποσῷτε καὶ ποιῷ ποικιλομένων, Συζυγίαι κτ.

Πίνακ

Πίναξ τῶν ΞΔ. Συζυγιῶν.

ΑΑΑ	⁂ ΕΑΑ	† ΙΑΑ	⁂ ΟΑΑ
* ΑΑΕ	ΕΑΕ	* ΙΑΕ	† ΟΑΕ
ΑΑΙ	⁂ ΕΑΙ	ΙΑΙ	⁂ ΟΑΙ
* ΑΑΟ	ΕΑΟ	* ΙΑΟ	ΟΑΟ
⁂ ΑΕΑ	⁂ ΕΕΑ	⁂ ΙΕΑ	⁂ ΟΕΑ
ΑΕΕ	⁂ ΕΕΕ	† ΙΕΕ	⁂ ΟΕΕ
⁂ ΑΕΙ	⁂ ΕΕΙ	⁂ ΙΕΙ	⁂ ΟΕΙ
⁂ ΑΕΟ	⁂ ΕΕΟ	∾ ΙΕΟ	⁂ ΟΕΟ
† ΑΙΑ	⁂ ΕΙΑ	⚌ ΙΙΑ	⚌ ΟΙΑ
* ΑΙΕ	† ΕΙΕ	⚌ ΙΙΕ	⚌ ΟΙΕ
ΑΙΙ	⁂ ΕΙΙ	⚌ ΙΙΙ	⚌ ΟΙΙ
* ΑΙΟ	ΕΙΟ	⚌ ΙΙΟ	⚌ ΟΙΟ
⁂ ΑΟΑ	⁂ ΕΟΑ	⚌ ΙΟΑ	⁂ ΟΟΑ
† ΑΟΕ	⁂ ΕΟΕ	⚌ ΙΟΕ	⁂ ΟΟΕ
⁂ ΑΟΙ	⁂ ΕΟΙ	⚌ ΙΟΙ	⁂ ΟΟΙ
ΑΟΟ	⁂ ΕΟΟ	⚌ ΙΟΟ	⁂ ΟΟΟ

Θεώρημα Κ'.

§. χμθ'. „Αἱ τοῖς τρισὶν ἀσερίσκοις *** ἐπισημειώμεναι ἐν „τῷ Πίνακι συζυγίαι, τὸν ἀριθμὸν ἐκκαίδεκα ὄσαι, τῆς τῶν „ἀσυλλογίστων τρόπων ἐκπίπτουσι τάξεως.

Δεῖξις.

Συλλογισμοὶ γὰρ προβάλλονται ὡς ἐκ δυεῖν ἀποφασκουσῶν, ἀσυσάτες. (§. χμβ'.).

Σχόλιον.

§. χν'. Ὅτι δὲ οἱ ὕστως ἔχοντες ἀσυλλόγιστοι εἰσὶ, δῆλον καὶ ἐκ τῶν ἐφεξῆς· Οἱ καὶ κατὰ τὸ Α'. κῆμα (§. χς'.), ἅτε δὴ τρανώτερον τῶν ἄλλων καὶ φυσικώτερον (§. χμζ'.) ἐπιτηδεύμενοι, ὀδὲν ὅμως ὑγιὲς ἐπιφέρειν παρέχονται (1).

1.
E Οὐδὲν ζῶον λίθος.
E Οὐδὲν ξύλον ζῶον.
A Πᾶν ξύλον λίθος.

2.
E Οὐδὲν ζῶον ἄψυχον.
E Οὐδὲν βρέτας ζῶον.
E Οὐδὲν βρέτας ἄψυχον.

3.
E Οὐδεὶς κόραξ ἀετός.
E Οὐδὲν ἄπτερον κόραξ.
I Τὶ ἄπτερον ἀετός.

4.
E Οὐδὲν μέταλλον ζῶον.
E Οὐδεὶς ὄρνις μέταλλον.
O Οὐ πᾶς ὄρνις ζῶον.

5.
E Οὐδὲν ἄπνευν φωνεῖ.
O Οὐ πᾶν σῶμα ἄπνευν.
A Πᾶν σῶμα φωνεῖ.

6
E Οὐδεὶς λίθος νοεῖ.
O Οὐ πᾶσα ὐσία λίθος.
E Οὐδεμία ὐσία νοεῖ.

7
E Οὐδεὶς ἵππος δίπευν.
O Οὐ πᾶς ὄνος ἵππος.
I Τὶς ὄνος δίπευν.

8
E Οὐδεὶς κύκλος ἄποσος.
O Οὐ πᾶν σημεῖον κύκλος.
O Οὐ πᾶν σημεῖον ἄποσον.

O Οὐ

(1 Σημειωτέον ὡς ἐν ἄλλοις τισὶν ὅροις ἐνδέχεταί ποτε καὶ ἐπὶ τέτων ὀρθὸν συμπέρασμα συναχθῆναι. Οἷον ἐπὶ τᾶ ΕΕΕ. Οὐδεὶς ἵππος κύκλος. Οὐδεὶς ὄνος ἵππος. Οὐδεὶς ὄνος κύκλος. Τὸ γεμιὼ ἀκριβὲς τᾶ Συλλογισμᾶ ἀεί ποτε συνάγειν ἐθέλον τὸ ἀδιάπταιστον, ἀσυλλογίστως ἐλέγχει τὰς τρόπως, ἐφ' ὧν πρὸς ἀλήθειαν ἄλλοτε ἄλλως ἔχει τὸ συναγόμενον. „Διὰ τᾶτο δὲ καλῶ „ταῦτα ἀσυλλόγιστα, διότι τῆς αὐ„τῆς πλοκῆς μενούσης, ἑνὸς δὲ ὅρε ἀμα„φθέντος, ποτὲ μὲν γίνεται ἀληθὲς τὸ „συμπέρασμα, ποτὲ δὲ ψεῦδές. (Ἀ-νώνυμ. ἐν τῇ Συνόψ. περὶ Συλλογ.).

9

Ο Οὐ πᾶν σῶμα λθικόν.
Ε Οὐδεὶς νῆς σῶμα.
Α Πᾶς νῆς λθικός.

10.

Ο Οὐ πᾶς κρειττων γειτών.
Ε Οὐδεὶς ἥττων κρειττων.
Ε Οὐδεὶς ἥττων γειτων.

11.

Ο Οὐ πᾶν λθικὸν κύκνος.
Ε Οὐδεὶς κόραξ λθικόν.
Ι Τὶς κόραξ κύκνος.

12.

Ο Οὐ πᾶς οἶνος λθικός,
Ε Οὐδὲν γάλα οἶνος.
Ο Οὐ πᾶν γάλα λθικόν.

13.

Ο Οὐ πᾶν φυτὸν δρύς.
Ο Οὐ πᾶν ἔμψυχον φυτόν.
Α Πᾶν ἔμψυχον δρύς.

14.

Ο Οὐ πᾶς ἄνθρωπος πένης.
Ο Οὐ πᾶν δίπεν ἄνθρωπος.
Ε Οὐδὲν δίπεν πένης.

15.

Ο Οὐ πᾶν λθικὸν ἵππος.
Ο Οὐ πᾶν κρίνον λθικόν.
Ι Τὶ κρίνον ἵππος.

16.

Ο Οὐ πᾶν δίπεν πτιωόν.
Ο Οὐ πᾶσα μῦα δίπεν.
Ο Οὐ πᾶσα μῦα πτιωόν.

Οὗς δήπου συλλογισμὲς, καὶ κατὰ τὰ λοιπὰ χήματα διαταστομένων τῶν ὅρων, εἰς ἀσυλλογισίαν ἐκτρεπομένες ἐ χαλεπόν ἐστὶ συνιδεῖν, ἐκ τῆ 1. τέτων ὡδίπως, καὶ εἰ κατα τὸ Β. τῶν χημάτων διατυπωθείη, ἄτοπα συμπεραίνοντος.

Ε Οὐδεὶς λίθος ζῶον.
Ε Οὐδὲν ξύλον ζῶον.
Α Πᾶν ξύλον λίθος.

Καὶ ἐκ τῆ 16. δὲ, εἰ κατὰ τὸ Γ. ὁμοίως.

Ο Οὐ πᾶν δίπεν πτιωόν.
Ο Οὐ πᾶν δίπεν μῦα.
Ο Οὐ πᾶσα μῦα πτιωόν.

Καὶ ἐξ ὁποιεῦν τῶν προτεθέντων, καθ' ὁποιονεῦν τῶν χημάτων διαμορφωθέντος. Ἀεὶ γὰρ ἡ διττὴ τῶν προκειμένων ἀπόφασις (§. χμβ, ἐφ' ὁτῳῦν χήματι, τιὼ τῆ συλλογισμῆ δύναμιν παρασινεῖτε καὶ περιτρέψει.

Θεώρημα ΚΑ'.

§. χνά. „Καὶ αἱ ταῖς παραλλήλοις δὲ = ἐξαιρέμεναι, δυω„καίδεκα τὸν ἀριθμὸν ἔσαι συζυγίαι, ἄχρηστοι εἰσί.

Δεῖξις.

Συλλογισμὸς γὰρ ὑπεμφαίνεσιν, ἐξ ἀμφοῖν ἐπὶ μέρους τῶν προκειμένων, ἐδὲν συμπεραίνοντας. (§. χμδ'.).

Σχόλιον.

§. χνβ'. Εἰσὶν ἓν καὶ κατ' αὐτὰς ψευδοσυλλογισμῶν τύποι οἱ ἑφεξῆς.

1.
I Τὶς ἵππος λευκός.
I Τὶ τετράπεν ἵππος.
A Πᾶν τετράπεν λευκόν.

2.
I Τὶ λογικὸν ἄνθρωπος.
I Τὶ ζῶον λογικόν.
E Οὐδὲν ζῶον ἄνθρωπος.

3.
I Τὶ μέλαν ζῶον.
I Τὶς οἶνος μέλας.
I Τὶς οἶνος ζῶον.

4.
I Τὶ ἔμψυχον δίπεν.
I Τὶς ὄρνις ἔμψυχος.
O Οὐ πᾶς ὄρνις δίπεν.

5.
I Τὶς κώνωψ ἵπταται.
O Οὐ πᾶς ἐλέφας κώνωψ.
A Πᾶς ἐλέφας ἵπταται.

6.
I Τὶς λέων ὠρύεται.
O Οὐ πᾶν τετράπεν λέων.
E Οὐδὲν τετράπεν ὠρύεται.

7.
I Τὶς κύων ὑλακτεῖ.
O Οὐ πᾶς ἰχθὺς κύων.
I Τὶς ἰχθὺς ὑλακτεῖ.

8.
I Τὶς πένης ἄνθρωπος.
O Οὐ πᾶς βασιλεὺς πένης.
O Οὐ πᾶς βασιλεὺς ἄνθρωπος.

9.
O Οὐ πᾶς ἄνθρωπ. φιλοσοφεῖ.
I Τὶ ζῶον ἄνθρωπος.
A Πᾶν ζῶον φιλοσοφεῖ.

10.
O Οὐ πᾶς λίθος ἀδάμας.
I Τὶ σῶμα λίθος.
E Οὐδὲν σῶμα ἀδάμας.

11.
O Οὐ πᾶς ὄρνις λευκός.
I Τὶς κόραξ ὄρνις.
I Τὶς κόραξ λευκός.

12.
O Οὐ πᾶσα ἐσία λογική.
I Τὶς ἄνθρωπος ἐσία.
O Οὐ πᾶς ἄνθρωπος λογικός.

Τέτες καὶ τοῖς λοιποῖς τῶν χημάτων προσβασανίσας, ἐδὲν μᾶλλον ἀνυσιμωτέρας ἀρήσεις τυγχάνοντας.

Θεώρημα ΚΒ'.

§. χνγ'. „Ἀσυντελεῖς δὲ καὶ αἱ συζυγίαι αἱ τοῖς ** παρα„σημαινομεναι, τὸν ἀριθμὸν καὶ αὐταὶ δυωκαίδεκα.

Δεῖξις.

Δεῖξις.

Σύμβολα γὰρ εἰσὶ Συλλογισμῶν ἀσυχάτων, ὧν τῆς ἑτέρας τῶν προκειμένων ἀποφασκούσης, καταφατικὸν ἐστὶ τὸ συναγόμενον (§. χμγ΄.).

Σχόλιον.

§. χνδ΄. Κεἰθωσαν δὲ καὶ τέτων δείγματα οἱ ἐφεξῆς.

1.

A Πᾶς κύκνος λᾰυκός.
E Οὐδεὶς κόραξ κύκνος.
A Πᾶς κόραξ λᾰυκός.

2.

A Πᾶν ἀγαθὸν ἐφετόν.
E Οὐδὲν κακὸν ἀγαθόν.
I Τὶ κακὸν ἐφετόν.

3.

A Πᾶσα γραῦς λιῶ νέα.
O Οὐ πᾶσα γυνὴ γραῦς.
A Πᾶσα γυνὴ λιῶ νέα.

4.

A Πᾶς φειδωλὸς ἄφρων.
O Οὐ πᾶς συνετὸς φειδωλός.
I Τὶς συνετὸς ἄφρων.

5.

E Οὐδὲν γελαστικὸν ἄλογον.
A Πᾶς ἄνθρωπος γελαστικόν.
A Πᾶς ἄνθρωπος ἄλογον.

6.

E Οὐδεὶς ἄνθρωπος τετράπεν.
A Πᾶν λογικὸν ἄνθρωπος.
I Τὶ λογικὸν τετράπεν.

7.

E Οὐδὲν ζῶον ἀθάνατον.
I Τὶς ἐσία ζῶον.
A Πᾶσα ἐσία ἀθάνατος.

8.

E Οὐδεὶς ἵππος λίθος.
I Τὶ ζῶον ἵππος.
I Τὶ ζῶον λίθος.

9.

I Τὶς ἄνθρωπος λαλεῖ.
E Οὐδεὶς λίθος ἄνθρωπος.
A Πᾶς λίθος λαλεῖ.

10.

I Τὶ ζῶον καθεύδει.
E Οὐδὲν ἄψυχον ζῶον.
I Τὶ ἄψυχον καθεύδει.

11.

O Οὐ πᾶν ζῶον ἑρπετόν.
A Πᾶς ἄνθρωπος ζῶον.
A Πᾶς ἄνθρωπος ἑρπετόν.

12.

O Οὐ πᾶν ζῶον πτιλωτόν.
A Πᾶς ταῦρος ζῶον.
I Τὶς ταῦρος πτιλωτόν.

Θεώρημα ΚΓ΄.

§. χνέ. „Καὶ αἷς δὲ τὸ † ἐπικεχάρακται, ἐξ ἀριθμέμεναι, ἐκ ἀσφαλεῖς.

Δεῖξις.

Οἱ γὰρ ὑπὸ τέτων δηλέμενοι Συλλογισμοὶ, οὐ ἐπὶ μέρες τῇ προκειμένῃ, καθόλε συνάγεσιν, ὅπερ ἐ θέμις. (§. χμέ.).

Σχόλιον.

§. χνϛ'. Ψευδοσυλλογισμοὶ δὲ καὶ κατὰ τὰς τοιάσδε τῶν συζυγιῶν οἱ ἑξῆς.

1.

A Πᾶσα κορώνη ἄχολος.
I Τὶ πτηνὸν κορώνη.
A Πᾶν πτηνὸν ἄχολον.

2.

A Πᾶς μὴ ἔλλην βάρβαρος.
O Οὐ πᾶς ἄνθρωπος μὴ ἕλλην.
E Οὐδεὶς ἄνθρωπος βάρβαρος.

3.

E Οὐδὲν σῶμα αὐτοκίνητον.
I Τὶς οὐσία σῶμα.
E Οὐδεμία οὐσία αὐτοκίνητος.

4.

I Τὶ ζῶον λογικόν.
A Πᾶς ἄνθρωπος ζῶον.
A Πᾶς ἄνθρωπος λογικός.

5.

I Τὶς ἄνθρωπος ὄρνις.
E Οὐδεμία ὄρνις ἄνθρωπος.
E Οὐδεμία ὄρνις ὄρνις.

6.

O Οὐ πᾶς ἵππος λογικός.
A Πᾶν χρεμετιστικὸν ἵππος.
E Οὐδὲν χρεμετιστικὸν λογικόν.

Θεώρημα ΚΔ'.

§. χνζ'. „Καὶ ὅσαι διὰ τῶ * παραγραφονται, ἐξ ὡσαύτως.

Δεῖξις.

Τύποι γὰρ εἰσὶ συλλογισμῶν, οἷς ἐκ καταφασκεσῶν τῶν προκειμένων, ἀποφατικὸν ἐστὶ τὸ συναγόμενον. Ὅπερ ἐχ οἷον τε (§. χμα.).

Σχόλιον.

§. χνή. Τοιοῦτοι οἱ ἐκτιθέμενοι ἐχομένως.

1.

A Πᾶν μέταλλον βαρύ.
A Πᾶς χρυσὸς μέταλλον.
E Οὐδεὶς χρυσὸς βαρύ.

2.

A Πᾶν ζῶον ἔμψυχον.
A Πᾶς ἄνθρωπος ζῶον.
O Οὐ πᾶς ἄνθρωπος ἔμψυχος.

3.

A Πᾶς ὑὸς ἔχει πατέρα.
I Τὶς ἄνθρωπος ἐστὶν ὑός.
E Οὐδεὶς ἄνθρωπ. ἔχει πατέρα.

4.

A Πᾶν μέτρον ἄρισον.
I Τὶ καθῆκον ἐστὶ μέτρον.
O Οὐ πᾶν καθῆκον ἄρισον.

5.

I Τὶς ἄνθρωπος φιλοκερδής.
A Πᾶς ἔμπορος ἄνθρωπος.
E Οὐδεὶς ἔμπορος φιλοκερδής.

6.

I Τὶ ὑγρὸν ἐστὶ λογικόν.
A Πᾶν γάλα ἐστὶν ὑγρόν.
O Οὐ πᾶν γάλα ἐστὶ λογικόν.

Θεώ-

Θεώρημα ΚΕ'.

§. χνθ'. „Καὶ ἡ χαρακτηριζομένη συζυγία τῷ ∞

Δεῖξις.

Συλλογισμὸν γὰρ παρίσησιν, ἓ κατὰ τὸ συμπέρασμα καθόλε κεῖται, ὁ ἐν μέρει ἐπὶ τῆς ἑτέρας τῶν προκειμένων προληφθεὶς ὅρος· Ὅπερ ἄτοπον. (§. χμ'.).

Σχόλιον.

§. χξ'. Τοιόσδε ὁ ἐφεξῆς. Ι Τὶ ζῶον ἐσία.
Ε Οὐδεὶς λίθος ζῶον.
Ο Οὐ πᾶς λίθος ἐσία.

Θεώρημα Κς'.

§. χξα'. Καὶ ἡ παρασημειωμένη διὰ τῦ ✣.

Δεῖξις.

Ὁ γὰρ κατ' αὐτὶὼ Συλλογισμὸς ἐπὶ μέρες συνάγων, ἐνὸν καθόλε, ἀλυσιτελὴς δεόντος ἐλέγχεται.

§. χξβ'. Περιττὸς γὰρ τῷ ὄντι ὁ Α Πᾶς ἄνθρωπος λογικός.
Ε Οὐδεὶς λίθος ἄνθρωπος.
Ο Οὐ πᾶς λίθος λογικός.

ἐνὸν ἐκ τῶν ἐν αὐτῷ προκειμένων συναγαγεῖν Ε. Ουδεὶς λίθος λογικός.

Σχόλιον Καθόλε.

§. χξγ'. Τῶν κατὰ τὰ ἐκτεθέντα Θεωρήματα τῦ ὀρθῦ παράγεσθαι λόγε ἀποδεδειγμένων συζυγιῶν, αἱ μὲν ἑνὸς ἕνεκα καὶ μόνε ἀτόπε, αἱ δὲ καὶ πλειόνων παραγραπτέαι εἰσὶν, αἱ καὶ μᾶλλον ἔσαι ἀδόκιμοι. Οἷον τῶν διὰ τῦ Κ. Θεώρ. τοῖς ⁎⁎⁎ παρασεσημασμένων, ἡ μὲν FEE συζυγία τῷ ΙΓ. προσέκρεσε Θεωρήματι, ἡ δὲ OOA, παρ' αὐτὸ ἐκεῖνο, καὶ κατὰ τῦ ΙΕ. ἡμάρτανε. Καὶ δὴ, καὶ κατὰ τῦ ΙΔ. Καὶ κατὰ τῦ Ις'. Οὕτω πολλαχῇ αὕτη διέσραπται, καὶ τῶν ἄλλων ἐκ ὀλίγαι, ὡς ἂν συνιδεῖν παντὶ τῷ ἐπισήσαντι ῥᾴδιον.

Θεώρημα ΚΖ'.

§. χξδ'. „Δοκίμωντε καὶ ὀρθῶς ἐχόντων ἐγκρίνονται συλ-„λογισμῶν συζυγίαι, δέκα αἱ πᾶσαι, αἱ μηδενὶ σημείῳ ἐπὶ τῦ „Πίνακος παρασημαινόμεναι.

Δεῖξις.

Τῶν γὰρ τεττάρων ἐπὶ ἑξήκοντα (§. χμή.) ἐκκαίδεκα μὲν διὰ τῦ Κ. ὑπεξήρηνται Θεωρήμαλος. Δυοκαίδεκα δὲ, διὰ τῦ ΚΑ.

Δυωκαίδεκα δὲ διὰ τῆ ΚΒ. Ἓξ δὲ, διὰ τῆ ΚΓ. Ἓξ δὲ, διὰ τῆ ΚΔ. Μία δὲ, διὰ τῆ ΚΕ. Καὶ ἔτι μία, διὰ τῆ Κϛ. Αἱ πᾶσαι τέτταρες ἐπὶ ταῖς πεντήκοντα. Ἄρα κτ.

Σχόλιον.

§. χξέ. Δοκίμων τε ἄρα, καὶ ὀρθῶς σωάγειν δυναμένων Συλλογισμῶν Συζυγία, εἰσὶν αἱ ἑξῆς. ΑΑΑ. ΑΑΙ. ΑΕΕ. ΑΙΙ. ΑΟΟ. ΕΑΕ. ΕΑΟ. ΕΙΟ. ΙΑΙ. ΟΑΟ. Οἱ γὰρ κατ' αὐτὰς Συλλογισμοὶ, ἔτε ἐκ δυεῖν ἀποφατικῶν σωίσανται προκειμένων· ἔτε μιῶ ἐξ ἀμφοῖν ἐπὶ μέρες. Καὶ τῇ χείρονι δὲ τῶν ἐν αὐτοῖς ἡγεμένων ἕπεται τὸ σωαγόμενον. Καὶ ἀδ' ἀπόφασιν ἐκ καταφάσεως ἐπιφέρειν ἐπέγονται· ἀδέτω ἄλλω ἐνέχονται τῶν ὅσα τιῶ τῆ Συλλογισμῆ διαφρέφειν οἶδε καὶ διαλυμαίνεθαι Φύσιν. Πλιῶ εἰ μήτις καὶ τέτων τὰς δύο ὑπεξέλοιτο ΑΑΙ καὶ ΕΑΟ. ὡς ἄρα καὶ ταύτας, κατὰ τιῶ ἐχάτιω τῶν ἀποδοκιμαθεισῶν ΑΕΟ (§. χξά. χξβ'.) ἀσυσάτες μὲν ἐδαμῶς, ἀσιωτελεῖς δὲ καὶ περιτὰς ἔσας· τῆ Συλλογισμῆ, ἔνθα τὸ καθόλε πάρεσι, μάτιω τὸ ἐν μέρει σωάγοντος.

Περὶ τῶν ἰδίᾳ ἑνὶ ἑκάςῳ Συλλογισικῷ Σχήματι προσανηκόντων Θεωρήματα.

ΟΡΟΙ.

§. χξϛ'.

Συλλογισμὸς Καταλλήλος ἐςὶν, οὗ ᾧ, κατηγορεῖται μὲν τῆ ἐλάσονος τὸ μεῖζον ἄκρον (ἢ γᾶν τὸ ἴσον καὶ ἀντίστροφον.) ἐν τῷ Συμπεράσματι, συνεπιπλέκεται δὲ τὸ μὲν μεῖζον τῷ Μέσῳ ἐπὶ τῆς μείζονος τῶν προκειμένων, τὸ δ' ἔλατον τῷ αὐτῷ Μέσῳ, ἐπὶ τῆς ἐλάσονος. (§. φξ'.).

§. χξζ'. Ἀκατάλληλος δὲ, ὁ τιῶ ῥηθεῖσαν τῶν ὅρων τάξιν ἀθετῶν, καὶ τὸ μὲν μεῖζον τῶν ἄκρων φέρων ἐπὶ τῆς ἐλάσονος, τὸ δ' ἔλατον ἐπὶ τῆς μείζονος.

Θεώρημα Α.

§. χξή. „Παντὸς Συλλογισμῆ καταλλήλως ἐν Σχήματι „πρώτῳ διαμορφθμένε, τιῶ ἐλάσονα δεῖν εἶναι ἀεὶ καταφά„σκεσαν.

Δεῖξις.

Δεῖξις.

Ἐν γὰρ τῷ τοιούτῳ Συλλογισμῷ (§. χϛ'. χξϛ'.) κατηγορεῖται τὸ μεῖζον ἄκρον ἐπὶ τῆς μείζονος τῆ Μέσῃ ὑποκειμένης. Ἐαν ἓν ἡ ἐλάσσων ἀποφάσκῃ, καταφασκούσης ἐξ ἀνάγκης ἐκείνης (§ χμβ'.), μεροκλοιτ' ἂν τὸ μεῖζον τῶν ἄκρων ἐν αὐτῇ (§. χιγ'. χιέ.). Συναποφάσκοντος δὲ τῇ Ἐλάσσονι καὶ τῆ συμπεράσματος (§. χμγ'.), καθολικλοιτ' ἂν τὸ ἐπ' αὐτῷ μεῖζον ἄκρον (§. χιδ'. χις'.)· ταύτῃ δ' ἔτοι ὁ μὴ καθόλε ἐν ταῖς προκειμέναις ταχθεὶς, καθόλε ἂν κέοιλο ἐπὶ τῆ συμπεράσματος ὅρος. Ὅπερ (§. χμ'.) ἄτοπον. Ἄρα κλ.

Πόρισμα.

§. χξθ'. Τῶν ἄρα εἰς ὀρθλὼ σιναγωγλὼ ὑπολελειμμένων δέκα (§. χξέ.) Συζυγιῶν, δύο τῆ πρώτε Σχήματος ἀποκρεσέον, τλύτε ΑΕΕ, καὶ τλὼ ΑΟΟ. ὡς τλὼ ἐλάσσονα ἀποφατικλὼ προϊχομένας.

Α Πᾶς ἄνθρωπος ἐσία.	Α Πᾶς ἄνθρωπος ἐσία.
Ε Οὐδεὶς λίθος ἄνθρωπος.	Ο Οὐ πᾶν ζῶον ἄνθρωπος.
Ε Οὐδεὶς λίθος ἐσία.	Ο Οὐ πᾶν ζῶον ἐσία.

Σχόλιον.

§. χό. Ἐπικριτέον δ' εἶπε τύχοι τλὼ ἀορισαίνεσαν ἐλάσσονα, τὰ τῆς ἀποφάσεως ὑποκρινομένλω. οἷον ἐπὶ τῆ ἑξῆς·

Πᾶν τὸ μὴ καθῆκον ψεκτόν.
Τὸ δ' ἐν πολέμῳ λειποτακτεῖν ἐ καθῆκον.
Ψεκτὸν ἄρα.

Ἡ γὰρ Ἐλάσσων ἐνταῦθα χήματι μόνον ἀποφάσκουσα, τῷ ὄντι ἀόριστος ἔσα ἐσί. Δῆλον δὲ ἐκ τῆ Μέσε, ὅπερ λὼ τὸ μὴ καθῆκον. τῆτο γὰρ αὐτὸ ἀορίστως ἔδει κατηγορηθλῶαι ἐν τῇ ἐλάσσονι, ἧπερ ὑποκείμενον λὼ καὶ τῇ μείζονι.

Θεώρημα Β'.

§. χοά. „Παντὸς Συλλογισμῆ Καταλλήλε ἐν Α. Σχήματι ἡ μείζων καθόλε.

Δεῖξις.

Εἰ μὴ γὰρ, μερικὴ δ' εἴη, τὸ ἐν αὐτῇ Μέσον, ἅτε ὑποκείμενον (§. χϛ'.), κέοιτ' ἂν ἐπὶ μέρες (§. χιέ. χις'.). Ἐπὶ μέρες δ' ἂν ἔχοι καὶ ἐπὶ τῆς ἐλάσσονος. τὸ αὐτὸ καταφασκούσης

(§. χξή)

(§. χξή.) κατηγορέμνον (§. χς΄. χιγ΄. χιέ.). Ὅπερ (§. χλέ.) ἄτοπον. Ἄρα κτ.

Πόρισμα.

§. χοβ΄. Τῶν ἄρα δυσυλλογίστων Συζυγιῶν (§. χξέ.) αἱ ἀπὸ μείζονος ἐπὶ μέρος, τῇ Α. ἀπεληλάθων χήματος. Οἷαι αἱ ΙΑΙ, καὶ ΟΑΟ.

Ι Τὶ ζῶον ἄλογον.	Ο Οὐ πᾶν ζῶον λογικόν.
Α Πᾶς ἄνθρωπος ζῶον.	Α Πᾶς ἄνθρωπος ζῶον.
Ι Τὶς ἄνθρωπος ἄλογον.	Ο Οὐ πᾶς ἄνθρωπος λογικός.

Θεώρημα Γ΄.

§. χογ΄. „Συναγομένε καταλλήλως ἐν Α. Σχήματι, καθόλε ἀποφατικῶς, ἀποφήσει μὲν ἡ μείζων, καταφήσει δὲ „ἡ ἐλάσσων, ἄμφω καθόλε.

Δεῖξις.

Δεῖ γὰρ δὴ τῷ Συμπεράσματι συγκαθολικοῦσθαι τὰς προκειμένας (§. χμέ.), καὶ τέτῳ τιὼ ἑτέραν συναποφάσκειν (§. χμα.). Ἡ δὲ, ἐκ ἂν γένοιτο ἡ ἐλάσσων (§. χξή.). Ἄρα συναγομ. κτ.

Θεώρημα Δ΄.

§. χοδ΄. „Συναγομένε καταλλήλως ἐπὶ τῇ Α. Σχήματος, „καταφατικῶς, καὶ ἐπὶ μέρος, ἄμφω αἱ προκείμεναι κατα„φήσεσιν. Ἀλλ' ἡ μὲν μείζων καθόλε, ἡ δ' ἐλάσσων ἐπὶ μέρος.

Δεῖξις.

Τῷ γάρτοι συμπεράσματι συγκαταφάσκειν ἐπάναγκες καὶ τὰς προκειμένας (§. χμγ΄.). Δεῖ δὲ καὶ τέτων εἶναι τιὼ μείζω καθόλε (§. χοά.). Εἰκὸς δὲ καὶ τιὼ ἐλάττω μερικοῦσθαι. Τὸ γὰρ ἐν τῷ Συμπεράσματι ὑποκείμενον, μερικυομένω (ἐξ ὑποθ.) μερικυόμνον (§. χιέ. χιϛ΄.), τῇτ' αὐτὸ ὑποκεῖσθαι δέον καὶν τῇ ἐλάσσονι, τῇ Συλλογισμῇ καταλήλεται ὄντος (§. χξς΄.), καὶ πρωτοχήμονος (§. χς΄.). Ὥσε καὶ αὐτὴ, ὡς ἐν μέρει τὸ ὑποκείμνον ἔχσα (§. χιέ. χιϛ΄.), μερικὴ ἔσαι. Ἄρα κτ.

Σχόλιον.

§. χοέ. Σημειωτέον ὅτι καὶ ἐν ἐλάσσονι καθόλε καταφασκέσῃ, ὠδὲν ἧττον ὑγιῶς συνάγειν ἐξέσαι ἐν καταφάσει τὸ ἐπὶ μέρος. Οὐδὲν γὰρ ἄτοπον τῇ καθόλε συμπεράσματος τὸ μερικὸν

ρικὸν ἀντικατασῆσαι, τῆς ὑπαλλήλε ἀλόγως ἐφεπομένης (§. φις'.) Εἰ μὴ ὅτι φρᾶδον εἶναι δόξειε τὸ τοιᾶτο, καὶ ἐκ ἔξω τᾶ ταπεινᾶ ἀκόλες, τὸ τᾶ ἔπες, αἰτίζειν· ἐξὸν ἄορας ἔχειν ἠδὲ λέβητας. Ἔνθαντοι.

Πόρισμα.

§. χος'. Τιὼ ΑΑΙ Συζυγίαν ἐκ ἀπεικότως τῶν τᾶ Α. Σχήματος περιγράφεσι.

Α Πᾶν ζῶον ἐσία.
Α Πᾶς ἄνθρωπος ζῶον.
Ι Τὶς ἄνθρωπος ἐσία.

Ἐνὸν ἀλόγως συναγαγεῖν ἐκ τῶν τεθέντων.

Α Πᾶς ἄνθρωπος ἐσία.

Θεώρημα Ε'.

§. χοζ'. „Συναγομένε καταλλήλως ἐπὶ τᾶ Α. Σχήματος, „ἀποφατικῶς τε ἢ ἐπὶ μέρες, ἀποφήσει μὲν ἡ μείζων καθόλε, „καταφήσει δὲ ἡ ἐλάσσων ἐπὶ μέρες.

Δεῖξις.

Συναποφήσει γὰρ δὴ τῷ συμπεράσματι, ἡ ἑτέρα τῶν προκειμένων (§. χμά.). Ἡ δὲ, ἐκ ἂν εἴη ἡ ἐλάσσων (§. χξή.). Ἡ ἄρα μείζων. Ἡ δ' αὐτὴ καὶ καθόλε ἔσαι (§. χοά.) Ἄρα τὸ Α.

Ἀποφασκέσης δὲ κατὰ τὸ Α. τῆς μείζονος, ἡ ἐλάσσων δήπε καταφήσει (§. χμβ'). Ἔσαι δὲ καὶ ἐπὶ μέρες. Τὸ γὰρ ἐν τῷ συμπεράσματι ὑποκείμενον, μερικᾶομένῳ (ἐξ ὑποθ.) μερικᾶόμενον (§. χιέ. χις'.), τᾶτ' αὐτὸ ὑποκεῖσθαι δέον καὶ τῇ ἐλάσσονι, τῷ Συλλογισμῷ καταλλήλτε ὄντος (§. χξς'.) καὶ πρωτοχήμονος (§. χς'.)· ὅθεν καὶ αὐτὴ, ὡς ἐν μέρει τὸ ὑποκείμενον ἔχεσα (§. χιέ. χις'.), μερικὴ ἔσαι. Συναγομένε ἄρα κτ.

Σχόλιον.

§. χοή. Τὰ δ' αὐτὰ καὶ ταῦθα τοῖς ἀνωτέρω (§. χοέ.) σεσημειώθω, πλιὼ ὡς ἐννοεῖσθαι εἰκὸς ἐπὶ τῆς ἀποφάσεως.

Πόρισμα.

§. χοθ'. Ἔκφυλος ἄρα, καὶ τᾶ Α. Σχήματος ἀλλοτρία, ἡ Συζυγία ΕΑΟ.

Ε Οὐδεὶς λίθος ἔμψυχος.
Α Πᾶς ἀδάμας λίθος.
Ο Οὐ πᾶς ἀδάμας ἔμψυχος.

Περιτὴ γὰρ, τῆς ΕΑΕ, τελεώτερον ὑπεργάσης.

Θεώρημα ς'.

§. χπ'. „Τῶν δέκα δ' χρήσωντε καὶ δ' συλλογίσων Συζυ-
„γιῶν (§. χξέ.), τέτλαρες αἱ πᾶσαι καταλλήλων πρωτοχημε-
„νων Συλλογισμῶν εἰσὶν ἐκφαντορικαὶ, παντοῖον εἶδος προτά-
„σεως, κατάτε ποσὸν καὶ ποιὸν σιωπᾶγειν οἴωντε ὄντων.

Δεῖξις.

Ἀπόβλητοι γὰρ τῶν δέκα αἱ δύω ΑΕΕ, καὶ ΑΟΟ. (§ χξή. χξθ'.). Καὶ ἕτεραι δύω ΙΑΙ, καὶ ΟΑΟ (§ χοά. χοβ'.). Καὶ ἔτι μία, ΑΑΙ (§. χοέ. χος'.). Καὶ τελευτῶσα ἡ ΕΑΟ (§. χοή. χοθ'.), αἱ πᾶσαι ἕξ. Ὑπολείπονται ἄρα τέτλαρες. ΑΑΑ. ΕΑΕ. ΑΙΙ. ΕΙΟ. ὧν ἡ μὲν σιωπᾶγει Α, ἡ δὲ Ε, ἡ δὲ Ι, ἡ δὲ Ο. Ἄρα κλ.

Σχόλιον Α.

§. χπά. Τῶν δὲ δὴ ἐγκριθεισῶν τετωνὶ τετλάρων, φωναῖς Συμβολικαῖς ἔθεντο τὰς ἐφεξῆς, ΓΡΑΜΜΑΤΑ ΘΕΑΣΕ. ΣΑΝΙΔΙ. ΤΕΧΝΙΚΟΣ. ἐν αἷς, κατὰ συλλαβὰς τὰ δηλωτικὰ τῶν προτάσεων φωνήεντα, πρόκειται ἰδεῖν ἐμφιλοχωρῆντα καθ' ἅστε οἱ ἐπὶ τῶ Α. Σχήματος Συλλογισμοὶ ἄρτια φιλοτεχνῆνται (1).

1. γραμ

(1) Τοῖς δὴ τέτλαρσι τέτοις, καὶ δύο ἔτι ὁ Λεϊβνίτιος (ἐν Ἀνακρίσ. τῶ περὶ Νῶ Βιβλ. Δ'. Κεφ. ΙΖ'. §. 4.) προσίθησι τρόπους· ἔστι δὲ εἰσὶν οἱ ἀπὸ τῶν δύο καθόλε συναγόντων, ἐν μέρει καθ' ὑπαλληλίαν συμπεραίνοντες, ἀπὸ μὲν τῶ Α, τὸ Ι. Ἀπὸ δὲ τῶ Ε, τὸ Ο. Οὐδὲ γὰρ ἐπάναγκες (φησὶ) τῶν ὑπαλλήλων θατέρου συνέπεσθαι, καίτοι δυνατὸν διὰ τῶν ταυτολογισῶν, ἕτω· Πᾶν Α ἐστὶ Γ. Τὶ Α ἐστὶν Α. Τὶ Α ἐστὶ Γ. Καὶ ὡσαύτως πᾶν Α ἐστὶ Γ. Τοιγαροῦν ἀπὸ ΓΡΑΜΜΑΤΑ καὶ ΘΕΑΣΕ οἱ ῥηθέντες δύο τρόποι διὰ τῆς ὑπαλληλίας γεννῶνται. Ἡ δὲ ὑπαλληλία αὐτὴ ἀποδείκνυται διὰ τῶν λοιπῶν δύο τρόπων τῶ αὐτῶ σχήματος ΣΑΝΙΔΙ, καὶ ΤΕΧΝΙΚΟΣ. Καὶ γίνονται ἕτως οἱ πάντες καταλλήλοι τῶ πρώτε Σχήματος τρόποι ἕξ. Ἀλλὰ γὰρ ἡμῖν μικρὸν ἀνωτέρω οἱ τοιοῖδε συλλογισμοὶ ὡς περιττῶς ἔχοντες ἀπελήλανται (§. χοέ. χος'. καὶ §. χιή. χοθ'.)

1.

γρΑμ Πᾶν ἀιθητικὸν ζῶον.
μΑ Πᾶς ἵππος ἀιθητικόν.
τΑ Πᾶς ἵππος ζῶον.

2.

θΕ Οὐδεὶς ἵππος δίπους.
Α Πᾶν χρεμετιστικὸν ἵππος.
σΕ Οὐδὲν χρεμετιστικὸν δίπουν.

3.

σΑ Πᾶς ἄνθρωπος γελαστικός.
νΙ Τὶ ζῶον ἄνθρωπος.
δΙ Τὶ ζῶον γελαστικόν.

4.

ΊΕχ Οὐδεὶς λίθος ζῶον.
νΙ Τὶς οὐσία λίθος.
κΟς Οὐ πᾶσα οὐσία ζῶον.

Σχόλιον Β.

§. χπβ'. Σωίζανται δὲ ἡ Συλλογισμοὶ καθ' ἕκαστα, ἡ Ἐκθετικοὶ λεγόμενοι πρωτοχήμονες, οἱ μὲν καταφατικοὶ· οἷον,

Ὁ Φύσας Ἀριστοτέλιω ἰατρὸς ἰῶ.
Νικόμαχος δ' ἰῶ ὁ Φύσας Ἀριστοτέλιω.
Νικόμαχος ἰατρὸς ἰῶ.

Οἱ δὲ Ἀποφατικοὶ. οἷον,

Ἀριστοτέλης ἐξέδοτο τὸ ὄργανον.
Σωκράτης δὲ Ἀριστοτέλης οὐκ ἰῶ.
Οὐκ ἄρα Σωκράτης ἐξέδοτο τὸ ὄργανον.

Οὓς καὶ ἄρισα σιωάγειν συμβαίνει, ἅτε δὴ τοῖς ἀξιώμασιν (§. χιθ. χκ.) ἐπερειδομένες (§. φξγ'.). Ἐφ' ὧν καὶ οὐ ἐλάσσονι ἀποφασκέσῃ τὸ τῆς ἐπιφορᾶς δύοδεται, μηδὲν ἐπιὸν ἐν τέτοις ὑφορᾶσθαι, μήτοιγε ὁ ἐν ταῖς προκειμέναις μεριζόμενος καθολικδοιτο ἐν τῷ Συμπεράσματι ὅρος, ὃ περὶ τῶν ἐκ καθόλε ἐλέγετο (§. χξή.).

Θεώρημα Ζ'.

§. χπγ'. „Ἐξ ἀντισροφῆς τῶν συμπερασμάτων τῶν „ἐγκριθεισῶν Καταλλήλων Συζυγιῶν, τετ]άρων Ἀκαταλλήλων „Συλλογισμῶ τρόπων, τὸ Α. Σχῆμα ἐσὶν ἐπιδεκτικόν.

Δεῖξις.

Τῶ μὲν γὰρ ΑΑΑ καταλλήλε τρόπε, τὸ συναγόμενον Α, τλὶ κατὰ συμβεβηκὸς ἀντισροφλὶ ἐπιδεχόμενον, εἰς τὸ Ι (§. νό.), τρόπον παρέχεται τον ΑΑΙ. Τὸ δὲ τῶ καταλλήλε ΕΑΕ, ἁπλῶς ἀντισρέφον (§. υξή.), τρόπον ἐπιχορηγεῖ ἐν ἀντισρόφῳ συμπεράσματι, αὖθις τὸν ΕΑΕ. Τῶ δ' αὐτῶ ΕΑΕ τὸ συμπέρασμα, κατὰ συμβεβηκὸς ἔτι ἀντισρέφον εἰς Ο (§. νό.), τρόπον ἀποτίκτει τὸν ΕΑΟ. Τὸ δὲ τῶ ΑΙΙ τελευταῖον

ταῖον ἀντιστρέφον ἁπλῶς (§. υξή), τρόπον ἀναφύει ἐν ἀντιστρόφῳ συμπεράσματι, αὖθις τὸν ΑΙΙ. Ἀλλὰ γὰρ οἱ τρόποι ὧν τὰ συμπεράσματα, ἀντίστροφον φέρει τιὺ κατὰ τὲς καταλήλες τῶν ἄκρων θέσιν (§. χξζ'.), ἀκατάλληλοι εἰσίν. Ἐξ ἀντιστροφῆς ἄρα κλ.

Σχόλιον.

§. χπδ'. Τὸ τῷ ΕΙΟ καταλλήλε τρόπε συμπέρασμα σιὼ ἀντιθέσει πεφυκὸς ἀντιστρέφειν (§. υοβ'.), ἀκατάλληλον ἐ δίδωσι τρόπον, διὰ τιὺ τῶν ὅρων, κατὰ τιὺ μετάθεσιν, ἀορισίαν. Ὡσαύτως δὲ καὶ ἀπὸ τῷ ΑΑΑ, διὰ τῆς σιὼ ἀντιθέσει ἀντιστροφῆς, ἀκατάλληλος ἐ σιωίσαται Συζυγία. Ἔνθεντοι τῶν Α, καὶ Ε, καὶ Ι συμπερασμάτων, τετραχῶς ἀντιστρέφειν (πλιὼ τῷ σιὼ Ἀντιθέσει.) οἴωντε ὄντων, Συζυγίαι ἀκατάλληλοι ἐξ ἀντιστροφῆς ἀνακύπτεσι τέτλαρες, συμβολικῶς καὶ αὐτὰ ἐκφερόμεναι. Ἐκ μὲν τῷ ΓΡΑΜΜΑΤΑ, ἡ ΓΡΑΦΑΛΙΝ. Ἐκ δὲ τῷ ΘΕΑΣΕ ἡ ΘΕΑΖΕΝ, καὶ ἡ ΘΕΑΖΟΝ. Ἐκ δὲ τῷ ΣΑΝΙΔΙ ἡ ΣΑΒΙΤΙΝ.

γρΑ Πᾶν αἰθητικὸν ζῶον.
ΦΑ Πᾶς ἵππος αἰθητικόν.
λΙν Τὶ ζῶον ἵππος.

* * *

ϑΕ Οὐδεὶς λίθος ζῶον.
Α Πᾶς ἀδάμας λίθος.
ζΕν Οὐδὲν ζῶον ἀδάμας.

* * *

ϑΕ — — — — — —
Α — — — — — —
ζΟν Οὐ πᾶν ζῶον ἀδάμας.

* * *

σΑ Πᾶν ζῶον ἔμψυχον.
βΙ Τὶ δίπεν ζῶον.
τΙν Τὶ ἔμψυχον δίπεν.

Θεώρημα Η'.

§. χπέ. „Τῆς μὲν ἐλάσονος εἰς μείζονα μεταλαμβανομέ-
„νης, τῷ δὲ συμπεράσματος σιὼ ἁπλῇ ἀντιστροφῇ, εἰς ἐλάσ-
„σονα,

»σονα, τῆς δὲ μείζονος μερικῶς εἰς συμπέρασμα, ἐκ τῆ κα»ταλλήλε ΘΕΑΣΕ τρόπος ἐπὶ τῆ Α. Σχήματος Ἀκατάλ»ληλος προκύψει ὁ ΤΑΣΕΝΜΟ.

Δεῖξις.

Μεταῤῥυθμιωθήσεται γὰρ ταύτῃ ὁ ἐπὶ ΘΕΑΣΕ ἔτος,

	ϑΕ	Οὐδὲν τετράπεν φιλόσοφον.
	Α	Πᾶς ὄνος τετράπεν.
	σΕ	Οὐδεὶς ὄνος φιλόσοφος.
Εἰς τὸν	τΑσ	Πᾶς ὄνος τετράπεν.
	Εν	Οὐδεὶς φιλόσοφος ὄνος.
	μΟ	Οὐ πᾶν τετράπεν φιλόσοφος.

Ὁ δὲ σαφῶς τὸ ἔλαττον ἄκρον ἀκαταλλήλως ἐξ᾽ σωάγων (§. χξζ΄.) κατὰ τῆ μείζονος ἐν Σχήματι Α. Ἄρα κλ.

Θεώρημα Θ΄.

§. χπς΄. „Μετατεθεισῶν τῶν προκειμένων, καὶ ἁπλῶς »ἀντισραφεισῶν, ἢ πεφύκασιν, ἐκ τῆ ἐπὶ ΤΕΧΝΙΚΟΣ κα»ταλλήλε, τρόπος ἀκατάλληλος ἐν Α. Σχήματι ἀναφύεται »ὁ ΤΙΝΕΝΜΟ.

Δεῖξις.

Οὕτω γάρ τοι ὁ κατάλληλος	τΕχ	Οὐδεὶς ἄνθρωπος ὄνος.
	νΙ	Τὶ ζῶον ἄνθρωπος.
	κΟς	Οὐ πᾶν ζῶον ὄνος.
Μεταποιεῖται εἰς τὸν ἑξῆς	τΙ	Τὶς ἄνθρωπος ζῶον.
	νΕν	Οὐδεὶς ὄνος ἄνθρωπος.
	μΟ	Οὐ πᾶν ζῶον ὄνος.

Θεώρημα Ι΄.

§. χπζ΄. „Ἐν οἱῳδήποτε Συλλογισμῷ, κατὰ τὸ Β. τῶν »Σχημάτων διατυπεμένῳ, ἡ ἑτέρα τῶν προκειμένων ἐξ ἀνάγ»κης ἀπόφησιν.

Δεῖξις.

Ἐν γὰρ Συλλογισμῷ δευτεροχήμονι, ἐπεὶ δὶς ἐσὶν ὁ Μέσος κατηγορέμενος (§. χζ΄.), ἐκ ἂν ἄμφω αἱ προκείμεναι καταφήσειαν, ὡς ἂν μὴ δὶς ἐπὶ μέρες ἐκεῖνος (§. χιγ΄. χιέ.) ληφθείη, ὅπερ (§. χλέ.) ἄτοπον. Ἀλλ᾽ ἐδ᾽ ἂν ἀποφήσειαν ἄμφω (§. χμπ΄.). Ἐξ ἀνάγκης ἄρα τάτων ἡ ἑτέρα ἀπόφησιν.

Πόρισμα.

§. χπή. Ἐκ δὴ τούτου φανερὸν, καὶ ἐκ τοῦ ΙΔ. Θεωρήμ. (§. χμγ΄.), ὅτι τὸ ἐπὶ τοῦ Β. Σχήμ. συναγόμενον ἀποφατικὸν ἀεί ποτε ἔσται.

Θεώρημα ΙΑ΄.

§. χπθ΄. „Συλλογισμὸς καταλληλὸς δευτεροσχήμονος, ἡ μεί„ζων ἀεὶ καθόλου.

Δεῖξις.

Τὸ γὰρ μεῖζον τῶν ἄκρων ἐν ἀποφατικῷ τῷ συμπεράσματι (§. χπη.) καθολικευόμενον (§. χιδ΄. χις΄.), τῷ ὑποκεῖσθαι κατὰ τόδε τὸ σχῆμα (§. χς΄.) ἐπὶ τῆς μείζονος τοῦ καταλλήλου (§. χξ΄.) Συλλογισμοῦ, καθόλου πάντως αὐτὴν ἀναδείξει (§. χιγ΄. χιδ΄.). Ἄλλως γὰρ ὁ ἐπὶ μέρους ἐν τῇ προκειμένῃ, καθόλου κείσεται ἐν τῷ συμπεράσματι ὅρος. Ὅπερ (§. χμ΄.) ἄτοπον. Ἄρα κτ.

Πόρισμα Α΄.

§. χή. Τῶν ἄρα δέκα δυσυλλογίστων Συζυγιῶν (§. χξέ.) ἐκλεξεύονται μὲν τοῦ παρόντος Σχήματος αἱ ΑΑΑ, καὶ ΑΑΙ, καὶ ΑΙΙ, καὶ ΙΑΙ (§. χπζ΄.), ἐκσυρίττεται δὲ καὶ ἡ ΟΑΟ (§. χπθ΄.), ἀποκρύεται δὲ πέως καὶ ἡ ΕΑΟ, ὡς ἄρα ἐν μέρει προϊοχομένη, ἐνὸν καθόλου, τὸ συναγόμενον (§. χοή. χοθ΄.), αἱ πᾶσαι ἕξ. οἷον

1.

Α Πᾶς ἄνθρωπος ζῷον.
Α Πᾶς ὄνος ζῷον.
Α Πᾶς ὄνος ἄνθρωπος.

2.

Α Πᾶν ζῷον οὐσία.
Α Πᾶς λίθος οὐσία.
Ι Τὶς λίθος ζῷον.

3.

Α Πᾶς κύκλος σχῆμα.
Ι Τὶ τρίγωνον σχῆμα.
Ι Τὶ τρίγωνον κύκλος.

4.

Ι Τὶ ζῷον σῶμα.
Α Πᾶς λίθος σῶμα.
Ι Τὶς λίθος ζῷον.

5.

Ο Οὐ πᾶν ζῷον τετράπουν.
Α Πᾶς ὄνος τετράπουν.
Ο Οὐ πᾶς ὄνος ζῷον.

6.

Ε Οὐδεὶς ὄρνις λογικός.
Α Πᾶς ἄνθρωπος λογικός.
Ο Οὐ πᾶς ἄνθρωπος ὄρνις.

Δῆλον δὲ ὡς ἐκ τοῦ ἐχάτου ἔξεσιν ἐπαγαγεῖν,

Ε Οὐδεὶς ἄνθρωπος ὄρνις.

Πόρισμα

Πόρισμα Β'.

§. χμά. Δόκιμοι ἄρα τῶν δέκα (§. χξέ.) ἐπὶ τῆ Β. Σχήματος ὑπολείπονται Συζυγίαι αἱ ἑφεξῆς τέτταρες. ΑΕΕ. ΑΟΟ. ΕΑΕ. ΕΙΟ. ὧν αἱ Συμβολικαὶ φωναὶ ΘΑΜΒΕΝΕΝ. ΓΡΑΨΟΔΟ. ΘΕΝΑΖΕ. ΤΕΝΙΟ (1).

1.

ϑΑμ Πᾶς ὄνος τετράπεν.
βΕν Οὐδεὶς ὄρνις τετράπεν.
Εν Οὐδεὶς ὄρνις ὄνος.

2.

γρΑ Πᾶς φιλόσοφος ἄνθρωπος
ψΟ Οὐ πᾶν ζῶον ἄνθρωπος.
δΟ Οὐ πᾶν ζῶον φιλόσοφος.

3.

ϑΕν Οὐδεὶς λίθος ζῶον.
Α Πᾶς λύκος ζῶον.
ζΕ Οὐδεὶς λύκος λίθος.

4.

τΕν Οὐδεὶς κόραξ λευκός.
Ι Τὶ ζῶον λευκόν.
Ο Οὐ πᾶν ζῶον κόραξ.

Σχόλιον.

§. χμβ'. Σωίζανται δὲ καὶ Ἐκθετικοὶ δευτεροχήμονες ἀποφατικοὶ, τῷ τρίτῳ τῶν Ἀξιωμάτων (§. χκ.) προσερειδόμενοι· οἷον,

Ὁ Βεκεφάλας ἐκ λῷ ἄνθρωπος.
Ὁ Ἀλέξανδρος ἄνθρωπος λῷ.
Ὁ Ἀλέξανδρος ἐκ λῷ ὁ Βεκεφάλας.

Καίτοι καὶ καταφατικὸς δευτεροχήμων ἂν χηματισθείη, τῷ Β. βεβηκὼς ἀξιώματι (§. χιϑ'.).

Θεώρημα ΙΒ'.

§ χνγ'. „Ἐξ ἀντιστροφῆς τῶν Συμπερασμάτων, τῶν ἐπὶ „τῆ Β τῆδε χήματος διασῶν καταλήλων ΘΑΜΒΕΝΕΝ, „καὶ ΘΕΝΑΖΕ, ἀκατάλληλοι ἐπὶ τῆ αὐτῆ ἀναφύονται „τέτταρες.

Δεῖξις.

Ἐκ γὰρ τῶν διασῶν συμπερασμάτων, ἁπλῶς τε ἑκατέρᾳ (§. υξή.) καὶ καὶὰ συμβεβηκὸς (§. υό.) ἀντιστρέφοντος, τετράκις ἐν αὐτοῖς συμβαίνει τὸ ἀκατάλληλον (§. χξζ'.).

(1) Παρακλησίως δὲ καὶνταῦθα ὡς ἐπὶ τῆ Α. Σχήμ. ἐλέγετο (§ χπά. Σημ.) δυνατὸν ἐκ τῶν δύο τρόπων τῆτε ΘΑΜΒΕΝΕΝ, καὶ τῆ ΘΕΝΑΖΕ, ἑτέρας δύο προθεῖναι, ἀντὶ Ε τὸ Ο, διὰ τὴν ὑπαλληλίαν συνάγοντας· ὥστε γίνεσθαι καὶπὶ τῆ Β. τῆδε τὰς πάντας τρόπους ἕξ (Λειβν. ἔνϑ. ἀνωτ.).

Σχόλιον Α'.

§. χγδ'. Κείθω τοίνυν τοῖς ἐκ τῦ ΘΑΜΒΕΝΕΝ δυσὶν ἀκαταλλήλοις ὀνόματα ΘΑΜΕΝΕ, καὶ ΘΑΜΕΝΟ. Τοῖς δ' ἐκ τῦ ΘΕΝΑΖΕ, ΘΕΝΑΖΕΝ, καὶ ΘΕΝΑΘΟΝ.

ΘΑμ	Πᾶς ὄνος τετράπεν.	ΘΕν	Οὐδεὶς λίθος ζῶον.
Εν	Οὐδεὶς ὄρνις τετράπεν.	Α	Πᾶς λύκος ζῶον.
Ε	Οὐδεὶς ὄνος ὄρνις.	ΖΕν	Οὐδεὶς λίθος λύκος.
ΘΑμ	– – – – – – –	ΘΕν	– – – – – – –
Εν	– – – – – – –	Α	– – – – – – –
Ο	Οὐ πᾶς ὄνος ὄρνις.	ΘΟν	Οὐ πᾶς λίθος λύκος.

Σχόλιον Β'.

§. χγέ. Ἐκ τῶν καταλλήλων ΓΡΑΨΟΔΟ καὶ ΤΕΝΙΟ, διὰ ἀντιστροφῆς τῶν συμπερασμάτων, ἐδείς ἀκατάλληλος ἀνακύπλει τρόπος, τῆς σιὼ ἀντιθέσει ἀντιστροφῆς εἰς Συλλογισμῶν ἀκαταλληλίαν, διὰ τὴν ἀορισίαν τῶν ὅρων (§. υοβ'.) ὡς εἴρηται (§. χπδ'.) ἀχρησεύσης.

Θεώρημα ΙΓ'.

§. χγς'. „Ἐκ τῶν τεσσάρων καταλλήλων Συζυγιῶν τῦ Β. „Σχήματος, μεταθέσει τῶν προκειμένων, ἀκατάλληλοι τρό„ποι ἀναφύονται τέσσαρες.

Δεῖξις.

Δῆλον δὴ ἐξ αὐτῆς τῆς μεταθέσεως τὸ συμβαῖνον (§. χξζ'.)

Σχόλιον Α'.

§. χγζ'. Τεθείθω καὶ τῶν ἴσως ἀκαταλλήλων σύμβολα, ΘΕΝΑΕΝ. ΓΟΜΑΔΟ. ΘΡΑΜΕΝΕ. ΤΙΕΝΜΟ.

1.

ΘΕν	Οὐδεὶς ὄρνις τετράπεν.	ΘρΑμ	Πᾶς λύκος ζῶον.
Α	Πᾶς ὄνος τετράπεν.	Εν	Οὐδεὶς λίθος ζῶον.
Εν	Οὐδεὶς ὄρνις ὄνος.	Ε	Οὐδεὶς λύκος λίθος.

2.

γΟ	Οὐ πᾶν ζῶον ἄνθρωπος.	τΙ	Τὶ ζῶον λύκον.
μΑ	Πᾶς φιλόσοφος ἄνθρωπος.	Εν	Οὐδεὶς κόραξ λύκος.
δΟ	Οὐ πᾶν ζῶον φιλόσοφος.	μΟ	Οὐ πᾶν ζῶον κόραξ.

Σχόλιον

Σχόλιον Β'.

§. χμή. Ἐπὶ μὲν τῶ Α. τῶν Σχημάτων, ἡ ἐκ ψιλῆς μεταθέσεως ἀκαταλληλία τῶν Συλλογισμῶν, παρὰ τὸ μὴ ἐπίσης ἐπ' ἀμφοῖν ἐν ἐκείνω κεῖσθαι τὸν Μέσον (§. χς'.), χώραν ἐκ ἔχει. Κατὰ δὲ τὸ Β. δὶς τῶ Μέσω κατηγορεμένω (§. χζ'.) σώζεται δὴ καὶ τῆς μεταθέσεως γινομένης, ἐν ἀκαταλλήλω μορφῆ τὸ πρὶν χῆμα ἀπαρεγχείρητον.

Θεώρημα ΙΔ'.

§. χηθ'. „Ἐν παντὶ Συλλογισμῶ κατὰ τὸ Γ. Σχῆμα διαμορφεμένω, ἡ ἐλάσσων ἀεὶ ἐσὶ καταφάσκουσα.

Δεῖξις.

Εἰ μὴ γὰρ, συναποφάσκοντος αὐτῆ καὶ τῶ συναγομένω (§. χμγ'.), τὸ κατηγορέμενον ἔσαι καθόλω (§. χιδ'. χις'.). Τὸ δὲ ἐν τριτοχήμονι (§. χή.) καταλλήλω (§. χξς'.) Συλλογισμῶ, ἐπεὶ κατηγορεῖται ὐ τῆ μείζονι, τῆ ἐξ ἀνάγκης κατὰ τλὼ ὑπόθεσιν καταφασκέση (§. χμβ'.), ἔσαι ὐ αὐτῆ ἐπὶ μέρες (§. χιγ'. χιέ.). Ἄτοπον δὲ (§. χμ'.) Ἄρα κλ.

Θεώρημα ΙΕ.

§. ψ'. „Συλλογισμῶ καταλλήλω τριτοχήμονος, τὸ συναγόμενον ἀεὶ ἐπὶ μέρες.

Δεῖξις.

Εἰ γὰρ καθόλω, καὶ τὸ ἐν αὐτῶ ὑποκείμενον ἔσαι καθόλω (§. χιγ'. χιδ'.). Τὸ δὲ λῶ κατηγορέμενον ἐπὶ τῆς ἐλάσσονος (§. χή.) καταφασκέσης (§. χηθ'.), καὶ ἐκ τῶ ἀκολέθω ἐπὶ μέρες (§. χιγ'. χιέ.). Ὅπερ ἄτοπον. Ἄρα κλ.

Πόρισμα Α'.

§. ψά. Δῆλον ἔν τάσ τε ΑΕΕ, καὶ ΑΟΟ (§. χηθ'.), καὶ τὰς ΑΑΑ, καὶ ΕΑΕ (§ ψ.), τῶν ἐξηρημένων δέκα (§. χξέ.). εἰς τριτοχήμονας Συλλογισμὲς ἀχρησεῖν.

1.

A Πᾶσα ἐλαία φυτόν.
E ἐδεμία ἐλαία κυπάριτλος.
E Οὐδεμία κυπάριτλος φυλόν.

2.

A Πᾶς ἄνθρωπος θνητός.
O ἐ πᾶς ἄνθρωπος βασιλεύς.
O Οὐ πᾶς βασιλεύς θνητός.

3.

A Πᾶς αἰθίωψ μέλας.
A Πᾶς αἰθίωψ ἄνθρωπος.
A Πᾶς ἄνθρωπος μέλας.

4.

E Οὐδεὶς λύκος κύων.
A Πᾶς λύκος ζῶον.
E Οὐδὲν ζῶον κύων.

Πόρισμα Β'.

§. ψβ'. Τῶν ἄρα δέκα (§. χξέ.), Συζυγίαι Συλλογισμῶν καταλλήλων ἐν Γ. Σχήματι, ὑπόλοιποι εἰσὶν ἕξ. ΑΑΙ. ΑΙΙ. ΙΑΙ. ΕΑΟ. ΕΙΟ. ΟΑΟ. ὧν Συμβολικαὶ φωναὶ ΣΑΒΑΣΙ. ΣΠΙΝΘΑΜΙΝ. ΤΕΤΑΣΟ. ΤΕΡΙΝΘΟ. ΓΟΡΓΑΔΟ.

1.

σΑ πᾶς βᾶς μυκᾶται.
βΑς πᾶς βᾶς ζῶον.
Ι τὶ ζῶον μυκᾶται.

2.

σΑ πᾶν ζῶον ἐσία.
ρΙν τὶ ζῶον ἱπταῖαι.
Ι τὶ ἱπτάμενον ἐσία.

3.

σπΙν τὶς ἄνθρωπος ἄφρων.
ϑΑ πᾶς ἄνθρωπος λογικός.
μΙν τὶς λογικὸς ἄφρων.

4.

τΕ ἐδεὶς κύκλος ἀϑύρραμμος.
τΑσ πᾶς κύκλος χῆμα.
Ο ἐ πᾶν χῆμα ἀϑύρραμμον.

5.

τΕ ἐδεὶς φίλος ἐπιζήμιος.
ρΙν τὶς φίλος ἄνθρωπος.
ϑΟ ἐ πᾶς ἄνθρωπ. ἐπιζήμιος.

6.

γΟρ ἐ πᾶς ἵππος τρέχει.
γΑ πᾶς ἵππος τετράπεν.
δΟ ἐ πᾶν τετράπεν τρέχει.

Σχόλιον.

§. ψγ'. Καὶ Ἐκθετικὲς δὲ κἀπὶ τῇδε χηματιεῖς ἐϑελήσας, ὡς κἀπὶ τῶν ἀνωτέρω (§. χπβ'. χγβ'.).

Θεώρημα Ις'.

§. ψδ'. „Δι' ἀντιστροφῆς τῶν συμπερασμάτων, τῶν τριῶν „τῆ Γ. Σχήματος καταλλήλων ΣΑΒΑΣΙ. ΣΑΡΙΝΙ. ΣΠΙΝ„ΘΑΜΙΝ. ἀκαταλληλοι τρόποι ἐπὶ τῆ αὐτῆ φύονται τρεῖς.

Δεῖξις.

Τῶν γὰρ ἓξ (§. ψβ'.), τῶν εἰς Ο συναγόντων τριῶν, εἰς τὶω διὰ τῆς ἀντιστροφῆς ἀκαταλληλίαν (§. χπδ'. χγέ.) ἀφυῶς ἐχόντων, οἱ λοιποὶ τρεῖς οἱ σημειωθέντες, ὡς ἐν καταφατικοῖς τε καὶ ἐπὶ μέρες τοῖς συμπεράσμασι, μόνιω τὶω ἁπλῆ ἀντιστροφὶω ἐπιδεχόμενοι (§. υξή.), τρία παρέχονται συμπεράσματα, ἐν οἷς τῇ μεταθέσει τῶν ἄκρων, οἱ Συλλογισμοὶ εἰς ἀκαταλλήλες μεταρρυθμίζονται (§. χξζ'.). Ἄρα κλ.

Σχόλιον.

§. ψέ. Καλεῖϑων δὲ ΣΑΓΑΣΙΝ. ΣΑΒΙΝΙΝ. ΣΙΝΑΜΙ.

1.

σA Πᾶς βῆς μυκᾶται.
γAs Πᾶς βῆς ζῶον.
I Τὶ μυκώμενον ζῶον.

2.

σA Πᾶν ζῶον ἐσία.
βIν Τὶ ζῶον ἵπταται.
Iν Τὶς ἐσία ἵπταται.

3.

σIν Τὶς ἄνθρωπος ἄφρων.
A Πᾶς ἄνθρωπος λογικός.
μI Τὶς ἄφρων λογικός.

Θεώρημα ΙΖ'.

§. ψς'. „Ἐκ μεταθέσεως τῶν προκειμένων, ἁπασῶν τῶν »ἐν τῷ Γ. Σχήματι καταλλήλων Συζυγιῶν, ἀκατάλληλοι ἐπὶ »τῆς αὐτῆς ἀναφύονται ἕξ.

Δεῖξις.

Τῇ γὰρ μεταθέσει ὁ τρόπος ἀκατάλληλος γίνεται (§. χξζ'.)· οἱ δὲ ἓξ (§. ψβ'.), διὰ τὸν Μέσον-ὑποκείμενον ἔχοντες, ἅτε δὴ τριτοχήμονες (§. χη'.), καὶ τῆς μεταθέσεως γενομένης ἐδαμῶς τὸ χῆμα ἀμείβεσιν. Ἄρα κλ.

Σχόλιον.

§. ψζ'. Συμβολικαὶ δὲ καὶ τέτοις φωναὶ ἐπικείθωσαν. ΣΑΑΣΙΝ. ΣΙΝΜΑΙ. ΣΑΙΝΙΝ. ΤΙΝΡΕΜΟ. ΤΑΣΕΜΟ. ΓΑΜΟΡΔΟ.

1.

σA Πᾶς βῆς ζῶον.
Aσ Πᾶς βῆς μυκᾶται.
Iν Τὶ ζῶον μυκᾶται.

2.

σIν Τὶ ζῶον ἵπταται.
μA Πᾶν ζῶον ἐσία.
I Τὶ ἱπτάμενον ἐσία.

3.

σA Πᾶς ἄνθρωπος λογικὸς.
Iν Τὶς ἄνθρωπος ἄφρων.
Iν Τὶς λογικὸς ἄφρων.

4.

τIν Τὶς φίλος ἄνθρωπος.
ρE Οὐδεὶς φίλος ἐπιζήμιος.
μO Οὐ πᾶς ἄνθρωπ. ἐπιζήμιος

5.

τAs Πᾶς κύκλος χῆμα.
E Οὐδεὶς κύκλος ἀθύγραμμ.
μO Οὐ πᾶν χῆμα ἀθύγραμμ.

6.

γA Πᾶς ἵππος τετράπεν.
μOρ Οὐ πᾶς ἵππος τρέχει.
δO Οὐ πᾶν τετράπεν τρέχει.

Θεώρημα ΙΗ'.

§. ψή. „Παντὸς Συλλογισμοῦ ἐν Σχήματι Δ. τῆς μείζονος »καταφάσκεσης, ἡ ἐλάττων ἔσαι καθόλε.

Δεῖξις.

Ἐπὶ γὰρ τῶν τοιούτων Συλλογισμῶν ὁ Μέσος κατηγορεῖται μὲν ἐν τῇ μείζονι, ὑπόκειται δὲ ἐν τῇ ἐλάσσονι (§. χθ΄.). Τῇ δὲ μείζονι καταφάσκουσῃ, ἐπὶ μέρους ἐγκείμενον τὸ Μέσον, (§. χιγ΄. χιέ.), ἐπὶ μέρους κείσεται καὶν τῇ ἐλάσσονι, ἐὰν αὕτη ὑποτεθῇ μερικῶς ἔχεσθαι (§. χιέ. χις΄.). Ἄτοπον δὲ (§. χλέ.). Ἄρα κλ.

Θεώρημα ΙΘ΄.

§. ψθ΄. „Ἐπὶ παντὸς Συλλογισμοῦ καταλήλε ὁ Σχήμα„τι Δ. τῆς ἐλάσσονος καταφασκούσης, τὸ συναγόμενον ἔψεται ἐπὶ μέρους.

Δεῖξις.

Καταφασκούσῃ γὰρ (ὁ ὑποθ.) τὸ ὁ αὐτῇ κατηγορούμενον (§. χθ΄.) ἔλαττον ἄκρον κείσεται ἐπὶ μέρους (§. χιγ΄. χιέ.). Τὸ δὲ ὁ συμπεράσματι καταλήλῳ (§. χξς΄.) ὑπόκειται. ὥστε καὶ τὸ Συμπέρασμα αὐτὸ (§. χιέ. χις΄.) μερικὸν (§. χμ΄.) ἔσται. Ἄρα κλ.

Θεώρημα Κ΄.

§. ψι΄. „Παντὸς Συλλογισμοῦ καταλήλε ὁ Σχήματι Δ. „ἀποφατικῶς συναγόντος, ἡ μείζων καθόλε.

Δεῖξις.

Ὁ γὰρ ἐν τούτῳ κατὰ τινὸ μείζονα ὑποκείμενος (§. χθ΄.), κατηγορηθήσεται ἐπὶ τοῦ συμπεράσματος (§. χξς΄.). Καθόλε δ' ἐνταῦθα ὢν (§. χιδ΄. χις΄.) διὰ τινὸ (ἐξ ὑποθ.) ἀποφάσιν, καθόλε κείσεται καὶν ἐκείνῃ (§. χμ΄.), καὶ καθόλε δὲ αὐτίνο ἔσαν καὶ ἀναδείξει (§. χιγ΄. χιδ΄.). Ἄρα κλ.

Πόρισμα Α΄.

§. ψιά. Ἐκπίπλεσιν ἄρα τοῦ Δ. Σχήματος, αἱ ΑΙΙ καὶ ΑΟΟ (§. ψή.). Καὶ ΑΑΑ, καὶ ΕΑΕ (§. ψθ΄.). Καὶ ἔτι ΟΑΟ (§. ψι.) τῶν δέκα (§. χξέ.) αἱ πέντε.

1.		2.	
Α	Πᾶς λίθος σῶμα.	Α	Πᾶσα συκῆ φυτόν.
Ι	Τὶ σῶμα βαδίζει.	Ο	Οὐ πᾶν φυτὸν φύει σῦκα.
Ι	Τὶ βαδίζον λίθος.	Ο	Οὐ πᾶν σῦκα φύον συκῆ.

3.

A Πᾶς ἰχθὺς ζῶον.
A Πᾶν ζῶον ὀσία.
A Πᾶσα ὀσία ἰχθύς.

4.

E Οὐδεὶς ἀετὸς τετράπεν.
A Πᾶν τετράπεν ζῶον.
E Οὐδὲν ζῶον ἀετός.

5.

O Οὐ πᾶν ζῶον λογικόν.
A Πᾶν λογικὸν ἄνθρωπος.
O Οὐ πᾶς ἄνθρωπος ζῶον.

Πόρισμα Β'.

§. ψιβ. Λοιπαὶ ἄρα τῶν δέκα (§. χξέ.) εἰς καταλλήλες τῶν ἐπὶ τῇ Δ. σωτελοῦσιν αἱ πέντε ΑΑΙ. ΑΕΕ. ΕΑΟ. ΕΙΟ. ΙΑΙ. ὧν φωναὶ ΓΑΜΑΡΙΝ. ΘΑΜΕΤΕΝ. ΤΕΝΑΣΟ. ΤΕΝΙΝΟ. ΣΙΜΑΡΙΝ (1).

1.

γΑμ Πᾶν φυτὸν ὀσία.
A Πᾶσα ὀσία αὐθύπαρκλος.
ρΙν Τὶ αὐθύπαρκλον φυτόν.

2.

θΑμ Πᾶς κύων ὑλακλεῖ.
E Οὐδὲν ὑλακλεῖν λογικόν.
τΕν Οὐδεὶ λογικὸν κύων.

3.

τΕν Οὐδεὶς ὄνος γραμματικός.
Ασ Πᾶς γραμματικὸν ἄνθρωπος.
O Οὐ πᾶς ἄνθρωπος ὄνος.

4.

τΕν Οὐδὲν γάλα μέλαν.
Ιν Τὶ μέλαν ὀσία.
O Οὐ πᾶσα ὀσία γάλα.

5.

σΙμ Τὶ δίπεν λογικόν.
A Πᾶν λογικὸν ἄνθρωπος.
ρΙν Τὶς ἄνθρωπος δίπεν.

Σχόλιον.

§. ψιγ'. Ὅτι δὲ Ἐκθετικοὶ καὶ πὶ τῇδε, ὡς ἐπὶ τῶν ἀνωτέρω (§. χπβ'. χγβ'. ψγ'.) φανερόν.

Θεώρημα ΚΑ'.

§. ψιδ'. „Ἐξ ἀντιστροφῆς τῶν συμπερασμάτων τῶν κατὰ „τὸ Δ. Σχῆμα καταλλήλων Συζυγιῶν, ἀκατάλληλοι ἐπὶ τῷ „αὐτῷ Σχήματος προκύπτουσι τέτταρες.

(1) Δυνατὸν δὲ καὶνταῦθα ὡς ἐπὶ τῇ Α. Σχήμ. (§. χπά. Σημ.), καὶ ἐπὶ τῇ Β. (§. χγά. Σημ.) συναγαγόντας διὰ τῆς υπαλληλίας ἐκ τοῦ ΘΑΜΕΤΕΝ, Ο ἀντὶ Ε, πληρῶσαι τὴν ἑξάδα καὶ τῶν τεταρτοσχημόνων, ὥστε συναφθῆναι τὰς ἐπὶ τῶν τεττάρων Σχημάτων Καταλλήλες ἅπαντας, τὸν ἀριθμὸν εἶναι καὶ τέτταρας.

Δεῖξ.

Ὑπεξαιρεμένων γὰρ τῶν ΤΕΝΑΣΟ, καὶ ΤΕΝΙΝΟ (§. ψιβ΄.), ἐξ ὧν ἀκαταλλήλως δι' ἀντιστροφῆς λαβεῖν ἐχ οἷόντε διὰ τὸ σὺν ἀντιθέσει ἀντιστρέφειν τὸ Ο, ὡς εἴρηται (§. χπδ΄. χγέ. ψδ΄.), λείπονται οἱ τρεῖς, ὧν ἐκ μὲν τῶν δύο ΓΑΜΑΡΙΝ, καὶ ΣΙΜΑΡΙΝ, ἁπλῶς τὰ συμπεράσματα ἀντιστρεφόντων (§. υξή.), δύο· ἐκ δὲ τῦ ΘΑΜΕΤΕΝ, ἔ τὸ σωναγόμενον διχῆ πέφυκεν ἀντιστρέφειν (§. υξή. υό.) ἔτι δύο, ἐξ ἀντιστροφῆς ἀκαταλλήλοι. κτ.

Σχόλιον Α΄.

§. ψιέ. Σύμβολα δὲ καὶ τέτων κείσθω ΓΑΜΑΛΙ. ΣΜΙΑΡΙ. ΘΑΜΕΡΕ. ΘΑΜΕΡΟ.

1.	2.
γΑ Πᾶν φυτὸν ἐσία.	σμΙ Τί δίπεν λογικόν.
μΑ Πᾶσα ἐσία αὐθύπαρκτος.	Α Πᾶν λογικὸν ἄνθρωπος.
λΙ Τὶ φυτὸν αὐθύπαρκτον.	ρΙ Τὶ δίπεν ἄνθρωπος.

Ἐκ δὲ τῦ ΘΑΜΕΤΕΝ.

3.	4.
ϑΑμ Πᾶς κύων ὑλακτεῖ.	ϑΑμ . . . . .
Ε Οὐδὲν ὑλακτῶν λογικόν.	Ε . . . . .
ρΕ Οὐδεὶς κύων λογικός.	ρΟ Οὐ πᾶς κύων λογικός.

Σχόλιον Β΄.

§. ψις΄. Μεταθέσει τῶν προκειμένων, τῦ Σχήματος μὴ ἐνδιδόντος (§. χϑ΄.), ἀκαταλλήλως ποιεῖν ἐχ οἷόντε.

Σχόλιον. Γ΄.

§. ψιζ΄. Ταῦτα μὲν ἔν, τῦ μὲν συνήθες ἴσως περιεργότερον, ἀκριβῶς δ' ὡς ἐνίοις ἡμῖν διεφώδυται, Ἐπιστήμης ἴχνεσιν ἀκραιφνῶς ἐπιβαίνεσιν, ὥς γε καὶ τὸ τῆς πραγματείας ἀξίωμα, τὸ ὑπ' ἐνίων κιβδηλευόμενον, τῶν ψιλῆς ὀνόματι τέχνης εἰς αὐτὶὼ παραβόλως ἐξυβριζόντων, ἀναφανῆναι, καὶ τὸ πρὸς εἴδη συλλογισμῶν παντοῖα, πολυτελὲς τῆς διανοίας καὶ εὐεπίβολον, ἐπιγνωσθῆναι. Ἐπεὶ δὲ διδασκαλίας ἔργον, συνιέναιτε ἅμα τῶν προβαλλομένων τὰς μετιόντας παρασκευάζειν, καὶ ταῦτα ταῖς μνήμαις σέγειν ἐχ ἧκισα, εἰ δυνατὸν, ποιεῖν, ταὶ-

ταύτητοι τῶν ἐντευξομένων τοῖς εὐγνωμονεστέροις, οὐ μᾶλλον ταυτολογίας αἰτίαν ὀφλήσειν δόξομεν, ἢ ὑπόθεσιν ἐπικαταθήσεσθαι χάριτος, ἤν, ὡσανεὶ ἐπὶ πίνακος τὰ προκατασκευασθέντα ἡμῖν θεωρήματα ταῦτα ἐμμέτρως συγκεφαλαιώσαντες, οἷον ὑπ' ὄψιν συνυποστρώσωμεν (1).

Τὰ κοινῇ παντὶ Συλλογισμῷ ἐπιθεωρούμενα.

Τῷ Συλλογισμῷ ταῦτα κοινῇ προὐτέθη.
Μείζων, Ἐλάσσων, τρεῖς ὅροι ξὺν τῷ Μέσῳ. (1). (1) §. χκή.
Καὶ ἰσάριθμοι τρεῖς προφάνσεις ἐξ ὅρων. (2) (2) §. χκθ'.
Τὸ συμπέρασμα, σὺν δυσὶ προκειμέναις (3). (3) §. χλβ'.
Προκειμέναις ἔνεστι κοινὸν τοὐν μέσῳ (4). (4) §. χλ'.
Μόνων τὸ συμπέρασμα ἐξ ἄκρων πέλει (5). (5) §. χλά.
Χώραν δὲ οὐ δίδωσι τῷ μέσῳ ὅλως (6). (6) §. χλγ'.
Ὁ Συλλογισμὸς ἐξ ὅρων συνωνύμων (7). (7) §. χλδ'.
Δὶς, ἢ ἅπαξ Γοῦν, τῷ μέσῳ χρῷ ἐξ ὅλου. (8) (8) §. χλέ. χλϛ'. χλζ'.
Δὶς δ' αὖ, ἅπαξ δ' οὔ, οὐδ' ἂν ᾖ συλλεκτικῶς (9). (9) §. χλή.
Δὶς δ' ἔνθα ἂν κέοιτο ἀτόμου δίκην (1). (10) §. χλθ'.
Κοινῇ δὲ μὴ σύναπτε, τὸ πρὶν ἐν μέρει (11). (11) §. χμ'.
Καταφατικὸν δ' οὐδαμῶς ἐκ κειμένων (12). (12) §. χμά.
Ἀρνητικόν γε συμπέρασμα ἕψεται.
Δισσῶν δὲ οὐδὲν ἕψετ' ἐξ ἀρνουμένων (13). (13) §. χμβ'.
Δισσῶν δὲ οὐδὲν ἕψεται μέρος κάτα (14). (14) §. χμδ'.
Τὸ συμπέρασμα τῆς γε ἀσθενεστέρας (15), (15) §. χμγ'. χμέ.
Ποιῷ, ποσῷτε, ἐκμιμεῖται τὴν φύσιν.
Ὅρων θέσει δὲ, τετρὰς ἡμῖν σχημάτων (16) (16) §. χμϛ'.
Ὧν δὴ τὸ πρῶτον ἐμμελεστάτως ἔχει (17). (17) §. χμζ'.
Ε, Α, Ο, Ι, τραπέντα πάσας τὰς θέσεις,
Ἑκκαίδεκα τετράκις ἵστησι τρόπους (18). (18) §. χμή.

Τούτων

(1) „Ὥσπερ γὰρ εἴτις ἀναλαβὼν θέλει φέρειν.
„Ξύλων λελυμένων πλῆθος, οὐκ ἂν εὐχερῶς.
„Τούτων κρατήσαι, δεδεμένων δὲ ῥαδίως·
„Οὕτω λελυμένην λέξιν ἀναλαβεῖν ταχὺ
„Οὐκ ἔστι, τῷ μέτρῳ δὲ περιειλημμένην
„Ἔστι καταχεῖν εὐκόπως καὶ πιστικῶς.

Σκύμνου Χίου ἐν Περιηγήσει.

Τέτων δὴ ἐκπίπτεσι, τοῖς εἰρημένοις,
Ὅσοιγε προσκρέσσι, σερροῖς κανόσιν.
Ὀκτὼ δὶς, ἀρνήσειγε τῶν προκειμενῶν (19). (19) §. χμθ'.
Δέκα δύω δὲ, ἐκ μέρες ἀμφωτέρων (20). (20) §. χνά.
Τόσοι δὲ, εἰσφέροντες ἀρνήσει θέσιν (21) (21) §. χνγ.
Καὶ ἕξ δὲ, εἰσβάλλοντες ἐκ μέρες ὅλως (22). (22) §. χνέ.
Τόσοι δὲ, εἰσάγοντες ἄρσιν τῇ θέσει (23). (23) §. χνς.
Διαστρέφων δ' εἰς, ἐ καλῶς ὅρε πλάτος (24). (24) §. χνθ.
Εἷς δ' αὖ συνάπτων ἀντὶ τε ὅλε μέρος (25). (25) §. χξά.
Ὀρθῶς ἄρ' ἐκκέκριντα οἱ πάντες δέκα (2). (26) §. χξδ'. χξέ.

Τὰ κατ' εἶδος τοῖς Συλλογισμοῖς ἀνήκοντα.

Σχήματος Α'.

Κεῖτ' ἀγορεῦτα χήματι πρώτῳ μέσος (27). (27) §. χς.
Νόει δ' ἐλάσσων τῶν δύω προκειμένων (28). (28) §. χξη.
Μείζων δὲ τέτων ἴσατα πλατυτάτη (29). (29) §. χοά.
Ε μὲν συναχθὲν τάσγ' Ε, Α πρώτας θέλει (30). (30) §. χογ.
Ι δ' ἓν ἐπαχθὲν, Α, Ι, αἰτεῖ κειμένας (31). (31) §. χοδ'.
Ο δ' αὖ συναφθὲν, βέλεται Ε, Ι, ἔχειν (32). (32) §. χοε.
Τετρὰς δὲ τῷ δ' ἔνεσιν ἀθέτων τρόπων (33). (33) §. χπ.
Ἀντιστροφῇ δὲ, δὶς δυὰς μὴ ἀθέτων (34). (34) §. χπγ.
Δυὰς δ' ἀναθέτων δὲ, ἐν μεταθάσει (35). (3„) §. χπέ. χπς.

Σχήματος Β'.

Κατηγορεῖται δὶς μέσος τῷ δευτέρῳ (36). (36) §. χπζ.
Ἀρνητικὴ δὲ, κεῖται ἀεὶ θ' ἡτέρα (37). (37) §. χπς.
Μείζων δὲ ἐσὶν, ἐξ ἀνάγκης ἐν πλάτει (38). (38) §. χπθ.
Καὶ τῷ δ' ἀριθμὸς τετρὰς ἀθέτων τρόπων (39). (39) §. χυά.
Καὶ μὴ καταλλήλων δὲ, τετρὰς ἔξισε (40). (40) §. χυγ.
Στροφῇ, Μεταθάσειτε τῶν προκειμένων (41). (41) §. χυς.

Σχήματος Γ'.

Μέσον δ' ὕπεσιν ἐν τρίτῳ ἑκατέρῃ (42). (42) §. χυή.
Νόει δ' ἐν αὐτῷ ἡ ἐλάσσων κειμένων (43). (43 §. χυθ.
Αἰεὶ δὲ συμπέρασμα ἐσὶν ἐν μέρει (44). (44) §. ψ.
Ἐξὰς δὲ τῷ δε τῶν καταλλήλων τρόπων (45). (45) §. ψβ.

Τρεῖς

Τρεῖς μὴ καταλήλων δὲ, ἐξ ἀντιτρόφε (46). (46) §. ψδ'.
Καὶ αὖθις ἑξὰς, κειμένων μετασάσει (47). (47) §. ψε'.

Σχήματος Δ'.

Κατηγορεῖται κεῖθ' ὑπ' ἐχάτῳ μέσον (48). (48) §. χθ'.
Μείων ἐν πλάτει, τῇ θέσει τῆς μείζονος (49). (49). §. ψη'.
Τῆς ἥττονος δὲ, τὸ ξυνάπτον ἐν μέρει (50). (50) §. ψθ'.
Ἂν δ' ἔ συνάψῃ, ὅλος ἡ μείζων ἔχει (51). (51) §. ψί.
Πεντὰς δὲ τῶδε τῶν καταλήλων τρόπων (52). (52) § ψιβ'.
Ἀντιτροφῇ δὲ δὶς δύω λοξωβάται (53). (53) §. ψιδ'.
Ἀλλ' ἐν μετασάσει γὰρ, εἰς ἑδεὶς ὅλως (54). (54) §. ψιε'.

ΚΕΦ ΠΕΜΠΤΟΝ.

Περὶ Συλλογισμῶν Ἀμεθόδωντε καὶ Ἀνωμάλων.

Ἔνθα

Καὶ περὶ Ἐνθυμήματος, καὶ Σωρείτε.

§. ψιή.

Οἱ μὲν ἓν κατὰ σχῆμα καὶ τρόπον δὲ διατεταγμένοι, καὶ Μεθοδικοὶ διὰ τῦτο ἀκόντες, τοιοίδε εἰσίν. Ἀμέθοδος δὲ καὶ Ἀνώμαλος καλειῶθ, ὁ μὴ κατ' ἐκείνες δὲθέτως ἔχων, κἂν ἄλλως ἀληθεῦον παρέχοιτο τὸ ἐπιφερόμενον. Ἁπαντᾶ δὲ τύτων πολλὴ καὶ παρὰ τοῖς Ἐνδοξοτάτοις γινομένη ἡ χρῆσις. Οὐδὲ γὰρ (καί τοι ἄλλως ἀκριβῶντες) διὰ παντὸς ἀξιῶσι τὰ Διαλεκτικὰ ταῦτα τεχνύδρια ἀπειροκάλως ἐκλεπτεργεῖν. Παρέντες δὲ τοῖς πρωτοπείροις ἐπὶ τύτοις νεανιζεῦθαι, τῇ κατὰ τὰς διανοήσεις ὀρθῇ αὐτοὶ ὅλοι γίνονται, ὅ ἑδὲν ἧττον, (εἰμὴ ποτε καὶ μᾶλλον) κἂν τοῖς Ἀτέχνοις ἐμφαίνεται. Ἀλλὰ λεπτέον ἡμῖν καὶ τύτων τὰ Εἴδη.

§. ψιθ'. Α'. τοίνιω τῶ τῶν Ἀμεθόδων καταλόγε ἀρχέτωσαν, ἅπαντες οἱ Στοιχειώδεις προσειρημένοι Συλλογισμοὶ (§. φπδ'. κξ'.). Οἵ ὡς ἐκ τῶν τῆς ψυχῆς κρατυνόμενοι νοημάτων (§. χγ'.), καὶ τῶν Μεθοδικῶν αὐτῶν γνώμονες εἰσὶν (§. χδ'.), ὡς εἰρηται.

§. ψκ'.

§. ψκ'. Β'. Ἀμέθοδοι λεγέθωσαν καὶ οἱ Ἀκατάλληλοι (§. χξ'.) πάντες. Εἰ δὲ βέλει, καὶ οἱ παρὰ τὲς ἐν Α'. χήματι (ὡς ἄρα ἀτελέσεροι ἐλεγχόμενοι (§. χμζ'.), παραθέσει τῇ πρὸς ἐκεῖνο· Περὶ ὧν καὶ τῆς Ἀναγωγῆς ἐπὶ τὲς τελεωτέρες ὕσερον εἰρήσεται.

§. ψκά. Γ'. Καὶ οἱ ἑνὶ πνεύματι διάνοιαν αὐτοτελῆ περιλαμβάνοντες. Οἷον ἐν ἀμελείᾳ ζῶν, ὧν οἱ καταῤῥαθυμῆντες ἐδαμῶς ἐγκρατεῖς γίνονται καλῶν παιδευμάτων, ἧκισα τεύξη.

§. ψκβ'. Δ'. Καὶ ὧν αἱ προκείμεναι καὶ τὸ συναγόμενον πρωθυσέρως τεταύχαται. Οἷον ἐδὲν σημεῖον διαιρεῖται. Πᾶν γὰρ ἀμερές. Οὐδὲν δ' ἀμερὲς διαιρεῖται.

§. ψκγ'. Ε'. Καὶ οἱ κατὰ ἰσοδυναμίαν ὅρᾳ ἀτακτῆντες. Οἷον πᾶν σῶμα ἐν τόπῳ. Ὁ ἀρανὸς ἐςὶ τριχῇ διασατόν. Ἐςὶ πᾶ ἄρα.

§. ψκδ'. ς'. Καὶ οἱ ἐξ ἀπροσδιορίςων (§. υά'.) ὡς μὴ παραυτίκα ἐπίδηλοι ὄντες, οἱοιποτὲ τὸν τρόπον εἰσὶν, ὅπερ ὁ προσδιορισμὸς ἐξὶν ἔλεγχος. Οἷον οἱ πένητες εἰσὶ καρτερικοί. Οἱ πένητες εἰσὶν ἀφρόντιδες. Οἱ ἀφρόντιδες εἰσὶ καρτερικοί.

§. ψκέ. Ζ'. Καὶ οἱ ἐκ προτάσεων, αἷς ἐκ τῦ πλαγιασμῦ, ἢ τῆς μεταθέσεως τῶν ὅρων ἡ κρύψις. (§. υλγ'.). Οἷον παντὶ πᾶ τῦ αἵματος ὑπερζέσαντος, ὁ νῦς προσεπιθολῶται. Ὑπερζέει δὲ παντὶ τῷ ὀργιζομένῳ τὸ αἷμα. Ἄρα κτ.

§. ψκς'. Η'. Καὶ οἱ ἐκ δυεῖν δὲ ἀποφασκεσῶν δοκῆντες συνίσαθαι, ὡς ἡ θέμις (§. χμβ'), τὸ δ' ἕτεραν τωόντι αἴρεσον (§. υγ'.) φέροντες. Οἷον ὁ μὴ ἀναπνέων ἐ ζῇ. Οὐκ ἀναπνεῖ δέ. Οὐδὲ ζῇ ἄρα.

§. ψκζ. Θ'. Καὶ οἱ ἐν τῇ ἑτέρᾳ ὡσαύτως τὸ δοκεῖν ἀποφασκέσῃ, καταφατικῶς συμπεραίνοντες. (ὅρα ἐν §. χό.).

§. ψκή. Ι. Καὶ ἐὰν ὁ τῦ ἐν τῇ μείζονι ὑποκειμένῳ διορισμὸς ἀψευδῶς μετενεχθῇ ἐπὶ τὸ κατηγορέμενον, ἐν δὲ τῇ ἐλάσσονι ὡσαύτως, τῷ κατὰ τὸ μείζονα ὑποκειμένῳ ὅρῳ προσαφθῇ, Συλλογισμὸς συνήσεται τῶν ἀμεθόδως συμπεραινόντων εἰς (1). Οἷον ἐὰν ὑποκήνται σῶμα ὕδατος ἡττοβαρές· Ὁ δέ τις συλλογίζηται. Ἅπαν σῶμα ἀνέχεται ὑπὸ τῦ ὕδατος ὑπερβαρῆς τυγχάνοντος. Πᾶν δὲ ξύλον ἡττοβαρὲς τῦ ὕδατος ἐςί. Πᾶν ἄρα ξύλον κτ.

§. ψκθ'.

(1) Οὐίλφ. Λογ. §. 440.

§. ψκθ'. ΙΑ'. Καὶ ἐὰν ὁ Μέσος μετὰ προσδιορισμῦ τινὸς ληφθῇ ἀντὶ ἄκρε· τὸ δὲ τοιῦτο κθφοτέραν τινὰ ἐπὶ τῦ Συλλογισμῦ κρύψιν ὠνόμασαν (1). Οἷον πᾶσα ἕξις ἐπίκτητος ἐσίν. Ἀλλαμιὼ ἡ ἕξις ἡ τῦ μνημονικῦ ἕξις ἐσίν· ἡ ἄρα ἕξις τῦ μνημονικῦ ἐπίκτητος ἐσίν.

§. ψλ'. ΙΒ'. Ἀμέθοδος δὲ, καὶ ἕ θάτερον τῶν ἐν τῷ συμπεράσματι ἄκρων διαμεριθὲν, μέρος μὲν συνάπτεται τῷ Μέσῳ κατὰ τιὼ μείζονα, μέρος δὲ τῷ αὐτῷ κατὰ τιὼ ἐλάσσονα. Οἷον,

Ἡ Σοφία κτῆμα τυγχάνει ἀθάνατον.
Οἱ δὲ θαμίζοντες εἰς τὰ Διδασκαλεῖα ἐφίενται τῆς Σοφίας.
Οἱ ἄρα θαμίζοντες κτ. κτήματος ἐφίενται ἀθανάτε.

Ὀρθωθεὶη δ' ἂν ἕτος ληφθείσης εἰς μείζονα τῆς ἐξῆς.
Οἱ ἐφιέμενοι τῆς Σοφίας κτήματος ἐφίενται ἀθανάτε.

§. ψλα'. ΙΓ'. Τέτοις συγκαταλεγέθωσαν, καὶ οἱ ἐκ τεσσάρων ὅρων συνάγοντες (2). Οἷον τῷ πολυγώνῳ διπλασίαις ὀρθαῖς (πλιὼ τεσσάρων) ἰσάριθμοι αἱ γωνίαι. Ἆρα τῷ πενταγώνῳ ἓξ ὀρθαῖς ἰσάριθμοι αἱ γωνίαι. Δῆλον δὲ ὅτι τῶν τῦ συναγομένε ὅρων, ὑπὸ τὲς τῦ τεθέντος τελέντων, ἡ περὶ ἐκείνες κρίσις, καὶ περὶ τέτες ἔχει τὸ βέβαιον διὸ τιὼ ὑπαλληλίαν. Ἀναλύσειε δ' ἄντις ὁμαρῶς τὲς τοιέτες, εἰς συλλογισμὲς δύω.

§. ψλβ'. ΙΔ'. Ἐπὶ τέτοις δὲ καὶ οἱ συλλογισμοὶ τετάχθωσαν, ἐν οἷς Θεωρητικῆς προτάσεως προτεθείσης, πρακτικήτις ὑπεξάγεται δεικνῦσα, τὶ δήποτε, τὸ περὶ θάτερον ἐκείνης ἄκρον ποιῆν. ἢ μὴ ποιῆν, ἐπιβαλεῖται δρᾶν καὶ περὶ θάτερον. Οἷον πνεῦμα ὁ ΘΕΟΣ· τὲς ἄρα προσκυνέντας αὐτῷ ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἦ, Ἆρα οἱ μὴ τιὼ ἐν πνεύματι λατρείαν προσφέροντες, τῷ ΘΕΩ ἐ προσκυνέσι (3).

§. ψλγ'.

(1) Οὐόλφ. Λογ. §. 434.

(2) Περὶ τέτων Ῥιδιγέρ. Βιβλ. Β'. Κεφ. Ζ'.

(3) Διανοήματα ταῦτα ἀσυλλόγιστα ἐπιγράφεται τῷ Ῥιδιγέρῳ (ἐν τῷ περὶ Λεθής. ἀληθ. καὶ ψεύδ. Βιβλ. Β'. Κεφ. ή.), ὡς ἄρα ἐπὶ Συλλογισμῦ ἔιδος τε καὶ μορφιὼ ἀνακληθιῶσαι μὴ ἔχοντα. Καίτοι συλλογισμοὶ κφκτέτων ἀνακύψσιν (ὡς ἄρισα τῷ κλεινῷ Οὐιγκλ. §. 908. σεσημέωται) τῆς σχέσεως τῶν ἐν τῇ θεωρητικῇ προτάσει ὅρων θεωρκμένης. Ἐὰν γὰρ, ὡς ὁρισμὸς ὁρισῦ, ἢ διαφορὰ, ἢ ἴδιον, ἔχῃ ἐν ἐκείνῃ τὸ τῦ ὑποκειμένε κατηγορέμενον, παρὰ τὸ ἀψευδῶς ἀληλων ἔχειν τε

§. ψλγ'. ΙΕ'. Τὰς ἐκ μόνων ταυτολογεσῶν (§. τιή.) ἃς διφόρους καλοῦσιν· Οἷον ὁ τρέχων τρέχει. Ἀλλ. Ἆρα. ἀδὲ τοῖς ἀμεθόδοις τῶν συλλογισμῶν ἄξιον συναριθμεῖν, ὡς λήρους ἀντικρυς. Τὰς δὲ ἐκ τῆς ἑτέρας ταυτολογέσης ἤτ' ἀμεθόδους ἤτε περιττὰς εἶναι τακτέον· Δι' αὐτῶν γὰρ ἄχρι τῶν πρώτων τὰς Συλλογισμὰς ἀναλύομεν ἀκριβεστάτῳ τιὼ τῷ προκειμένῳ ἀπόδειξιν παρεχόμενοι (1).

ψλδ'. Ις'. Πολλὰς δ' ἂν καὶ ἄλλας προσεπισημειώσειέτις ἀσυλλογίστως μὰν, ὀρθῶς ἀλλ' ἓν συμπεραίνοντας λόγους, οἷον τὸν ἀπὸ τοῦ ὀρθῶ χωροῦντα τόνδε, ἐπὶ τὸ πλάγιον.

Ὁ Ἰησοῦς Χριστὸς ἐστὶ ΘΕΟΣ.

Οὐκοῦν ἡ Μήτηρ τοῦ Ἰησοῦ ἐστὶ Μήτηρ ΘΕΟΥ. Ἔτι δὲ καὶ ὁ κατ' ἀναστροφιὼ χέσεως.

Οἷον

τὰ τοιαῦτα ἀντικαθίσασθαι, παντοῖοι διὰ τῆς ἀντικατασάσεως προβήσονται συλλογισμοί. οἷον,

Ὁ πνεύματι προσκυνῶν ἐν πνεύματι ὀφείλει προσκυνεῖν.

Ὁ ΘΕΩ προσκυνῶν, πνεύματι ἐστὶ προσκυνῶν.

Ὁ ΘΕΩ ἄρα προσκυνῶν, ἐν πνεύματι ὀφείλει προσκυνεῖν.

Ἢ καὶ ἔτως:

Ὁ μὴ πνεύματι προσκυνῶν ΘΕΩ ἀ προσκυνεῖ.

Ὁ μὴ ἐν πνεύματι προσκυνῶν, πνεύματι ἀ προσκυνεῖ.

Ὁ ἄρα μὴ ἐν πνεύματι προσκυνῶν ΘΕΩ ἀ προσκυνεῖ.

Ἀλλ' εἴπερ ἄρα ἐπὶ τῆς προβαλλομένης θεωρητικῆς τὸ μὲν εἶδος εἴη, τὸ δὲ γένος ἐκείνῃ κατηγορούμενον· οἷον ὁ χρυσὸς ἐστὶ μέταλλον· ὁ ἀετὸς ἐστὶν ὄρνις, παρατηρητέον ἐπὶ τῷ συλλογισμῷ τὰ μεταξὺ γενῶντε καὶ εἰδῶν, περὶ συνεισαγωγῆς, καὶ συναναιρέσεως κανονιθέντα (§. ρδ'.). Ἔστι γὰρ συνάπτειν, ὡς ὁ ἀετὸν θηρῶν ὄρνιν θηρᾶται. Καὶ ὁ μὴ ὄρνιν, ἀδ' ἀετόν. Ἀνάπαλιν δ'ἔ. Ἀποφασκόσης δὲ τῆς θεωρητικῆς, ὡς ἐπὶ τῶν διαφόρων, ἢ ἀντιθέτων, οἷον ὁ χρυσὸς ἐκ ἔστι μόλιβδος. ὁ κύκλος ἐκ ἔστι τετράγωνον· Ἐκ τῆς περὶ θατέρου ἐνεργείας, ἡ ἀπόφασις τῆς περὶ θατέρου συνάγεται, ἐκ δὲ τῆς ἀποφάσεως ἡ θέσις ἀδαμῶς, ἀδ' ἡ ἀπόφασις.

(1) Οὕτως ἄντις ἀποδείξειε τιὼ Ε. πρότασιν ἁπλῶς ἀντιστρέφειν, διὰ συλλογισμοῦ Δευτεροχήμονος κατὰ ΘΕ. ΝΑΖΕ.

Οὐδὲν Α ἐστὶ Β.

Πᾶν Β ἐστὶ Β.

Οὐδὲν Β ἐστὶν Α.

Καὶ τιὼ Ι ἁπλῶς ἀντιστρέφειν, διὰ Συλλογισμοῦ Τριτοχήμονος, κατὰ ΣΑ. ΡΙΝΙ.

Ἅπαν Α ἐστὶν Α.

Τὶ Α ἐστὶ Β.

Τὶ Β ἐστὶν Α.

Καὶ τιὼ Α δὲ κατὰ συμβεβηκὸς ἀντιστρέφειν, διὰ Συλλογισμοῦ Τριτοχήμονος κατὰ ΣΑΒΑΣΙ.

Ἅπαν Α ἐστὶν Α.

Ἅπαν Α ἐστὶ Β.

Τὶ Β ἐστὶν Α.

Ἐξ ὧν δὴ φανερὸν μὴ πάντῃ ἀχρήσεις εἶναι τὰς ταυτικὰς τῶν προτάσεων, (Λειβνίτ. Ἀνακρ. περὶ τοῦ Νοῦ Βιβλ. Δ'. Κεφ. Β. §. 1. Θεοφ.) ὥς τινες οἴονται.

Οἷον εἰ Δαυὶδ πατὴρ ἦν Σολομῶντος, ὁ Σολομὼν ἄρα υἱὸς ἦν τῦ Δαυὶδ (1). Τελευταῖον καὶ οἱ Ἐνθυμηματικοὶ καὶ Σωρικοὶ ἐπὶ τιὼ τάξιν τῶν ἀτακτεσῶν διανοητικῶν ἐφόδων εἰκότως ἀναληθεῖεν. Ἀλλὰ περὶ τύτων, ὡς τινὸς περιττοτέρας θεωρίας ἠξιωμένων, διαληπτέον ἐν μέρει.

Περὶ Ἐνθυμήματος.

§. ψλέ.

Εἴδει τὸ ἐνθύμημα θεωρῆσι, Συλλογισμός ἐστιν ἀτελὴς, μὴ ὁλοχερὴς δηλ. ἐδ' ἀκέραιος, θατέρᾳ δὲ τῶν προκειμένων ἐλλείπων (2), ὁποτέρ' ἂν τύχοι, ἦν ὡς σαφῆ ἔσαν τὰ πολλὰ καὶ δήλιω, σιγῶντες ἐνθύμιον φέρειν εἰώθαμεν. Οἷον,

Μέγα πρὸς εὐδαιμονίαν ἡ ἀρετή.
Τῆς ἄρα ἀρετῆς ἐπιμελητέον. Καὶ:
Τὰ ἀνθρώπινα τῶν πραγμάτων ἐπισφαλῆ καὶ ἄπιστα.
Τοιγαρῆν καὶ ὁ πλῆτος.

§. ψλϛ'.

(1) Ὅρα Λεῖβν. ἐν ταῖς τῆ περὶ Νῆ Ἀνακρίσ. Βιβλ. Δ'. Κεφ. ΙΖ.

(2) Τῆ Ἀριστοτέλες πῆ μὲν ἐξ εἰκότων εἶναι καὶ σημείων τὸ Ἐνθύμημα ἀποδεδωκότος, (Προτ. Ἀναλυτ. Βιβλ. Β'. Κεφ. κζ'.) Πῆ δὲ καὶ Συλλογισμὸν αὐτὸ ἐξ ὀλίγων τε καὶ ἐλασσόνων ὁρισαμένε. (Ῥητορ. πρὸς Θεοδέκτ. Βιβλ. Α'. Κεφ. β'.), ἐντεῦθεν οἱ μὲν τῆ ὕλῃ διαφέραν τῆ Συλλογισμῆ τὸ Ἐνθύμημα ὑπαλήφασιν, οἱ δὲ καὶ Εἴδει, ὧν καὶ ὁ ἐξ Ἀφροδισιάδος Ἀλέξανδρος ἐστὶν (ἐν Τοπικ. ὡς τὸ Α. τῶν Τοπικῶν.) „Οὗς γὰρ οἱ περὶ Ἀντίπατρον Μονολημμάτες Συλλογισμὲς λέγεσιν, ἢ εἰσὶ (φησὶ) Συλλογισμοὶ, ἀλλ' ἐνδεῶς ἐρωτῶντες. Καὶ τάτες αὖ τὸς ῥητορικὲς Συλλογισμὲς ἀποκαλῆ, καὶ Ἐνθυμήματα. Ὥστε ἢ ἀληθῆ τὰ ὁ Κορυδαλλὸς (Λογ. περὶ Ἐνθυμ. Σελίδ'. 433.) τιὼ δόξαν ταύτιω τοῖς Νεωτέροις ἀνατιθεὰς. Ὁ δὲ προσίθησιν, ὡς τὸ ἀτελῆ συλλογισμὸν ἐπιλέγεσθαι, παρείσακτον ἐστὶ, μάτιω καὶ τόδε τοπάζα, τῆ Φιλοσόφε τῆς γραφῆς μαρτυρέντος τῆ γνησιότητι. Ἀποδὲς γὰρ (ἐν Προτ. Ἀναλ. Β'.) ἀτελῆ συλλογισμὸν τὸ Ἐνθύμημα, διεξηγεῖται κατωτέρω τὸν ὅρον, προσιθεὶς. „Πλὴν „τὸ μὲν ἐ λέγεσι διὰ τὸ εὐδένας, τὸ „δὲ λαμβάνεσι. Καὶ ἔτι κατωτέρω• „ἐὰν μὲν ἓν ἡ μία ληφθῆ πρότασις „σημεῖον γίνεται μόνον. (τετέστιν Ἐν„θύμημα.). Ἐὰν δὲ καὶ ἡ ἑτέρα πρότα„ληφθῆ, Συλλογισμός. Ἀλλὰ γὰρ ἐν πολλοῖς σύνηθες τᾶτο Κορυδαλῆ τῶν Νεωτέρων εἶναι λέγειν τὰς δόξας, ἃς αὐτὸς ἀπαρέσκεται. Ὡς ἔτι καὶ διαφέρον ἰδῖ πρὸς ἀλήθειαν ἢ ψεῦδος, τὸ παλαιὸν ἢ νέον γεγονέναι τὸν ἀληθεύοντα, ἢ ψευδόμενον.

§. ψλϛ'. Ποτέρα δὲ ἡ παραλειπομένη πρότασις ἐπὶ παντὸς ἐϛὶν ἐνθυμήματος, ȣ̓ δυχερὲς ἐπικρίνειν τοῖς τȣ̃ συμπεράσματος ἄκροις προσέχοντας. Τȣ̃ γὰρ τῶν ἄκρων ἐλάσσονος (§. φξ'.) ἐπὶ τῆς ἡγȣμένης παρόντος, δῆλον ὡς ἡ μείζων παρελείφθη. Οἷον ἐπὶ τȣ̃ Α'. (§. ἀνωτ.) τȣ̃ δὲ δὴ μείζονος, ἡ ἐλάσσων, ὡς ἐπὶ τȣ̃ Β'.

§ ψλζ' Τὰ γȣ̃ν ȣ̔́τως ἔχοντα Ἐνθυμήματα συλλογισμȣ̀ς Μονολημμάτȣς ἐκάλȣν οἱ παλαιοὶ (1), εἰ μὴ παρ' ὅσον ἐπὶ τῶν Μονολημμάτων ἀεὶ (φασὶ) τῶν προκειμένων ἡ μείζων εἰώθει παραλείπεσθαι. Ἀλλὰ γὰρ ȣ̓κ ἐντεῦθεν ὑποληπτέον ὁποτέραν βȣ́λοιτότις ἐξεῖναι παρασιγᾷν, ἀλλ' ἥτις ἂν ῥᾳδίως ἔχοι καὶ νοηθῆναι, καὶ ὁμολογηθῆναι. Οἷον εἴτις ἐνθυμηματικῶς βαρὺν εἶναι τὸν ἀέρα δεῖξαι ἐθέλοι, λήψεται μὲν ὅτι ἀὴρ πιέζειν πέφυκε καὶ θλίβειν, παραλείψει δὲ λέγειν ὅτι τὸ πιέζειντε καὶ θλίβειν πεφυκὸς ἐϛὶ βαρύ. Ἐκεῖνο γὰρ ἂν καὶ διαπορηθείη, τȣ̃το δὲ δῆλον. Ἐκ παντὸς ȣ̃ν οἷόντε καὶ συλλογισμȣ̃ ἐνθύμημα λαβεῖν, καὶ ἐνθυμήματος συλλογισμὸν πληρῶσαι. Οὐδὲ γὰρ ȣ̓σιώδης ἡ μεταξὺ τȣ́των διαφορά. Συντελεῖ δὲ τὸ ἐνθύμημα εἰς βραχυλογίαν, καὶ κοινῇ λέγȣσι, καὶ φιλοσοφȣ̃σι, καὶ ῥητορεύȣσι (2).

§. ψλη'.

(1) Ἀλέξ. Ἀφροδισ. ἐν Α'. Τοπικ. Καὶ ὁ Φιλόπον. καὶ ὁ Μαγεντῖνος ἐν τοῖς ὑπομν. εἰς τὰ Πρότ. Ἀναλ.

(2) Ῥητόρων ȣ̃ν παῖδες, φιλοτεχνȣ̃ντες πάλαι φέρονται τὸ Ἐνθύμημα, ἢ ὅτι πρὸς ὕδωρ ῥέον λέγȣσι, βραχυλογεῖν αὐτοῖς μέλον ἦν· ἢ ἐφ' ᾧ περιποιεῖσθαι σφίσι τὴν παρὰ τῶν δικαϛῶν εὔνοιαν. Τὸ γὰρ πάντα λέγειν, ἀσθένειαν κατηγορεῖ τȣ̃ ἀκȣ́οντος. Τὸ δὲ καί τινα παριέναι, ὡς ἐκείνῳ δῆλα, τὸ ἀγχίνȣν καὶ ȣ̓φυὲς αὐτῷ ἐπιμαρτυρεῖ, ὡς ἄρα καὶ παρ' ἑαυτȣ̃ συνιδεῖν τὸ σιγηθὲν δυναμένῳ, καὶ τὸ ἐνδέον τȣ̃ λόγȣ ἀναπληρώσασθαι. Καὶ ἦν ἄρα καὶ τȣ̃το αὐτοῖς, ὡς ἕν τι δὴ τῶν καλῶν σπȣδαζόμενον. Θαυμάζεται δὴ ἡ Σεκȣ́νδȣ τȣ̃ Ἀθηναίȣ βραχύλογος λύσις τῆς προτεθείσης αὐτῷ ὑποθέσεως. „Ὁ ἄρξας ϛάσεως ἀποθνησκέ„τω. Καὶ ὁ παύσας ϛάσιν ἐχέτω δωρεάν. „Ὁ αὐτὸς καὶ ἄρξας καὶ παύσας αἰτεῖ τὴν „δωρεάν. Τὴν ȣ̃ν ὑπόθεσιν ὁ Σοφι„ϛὴς ὧδε ἐβραχυλόγησεν. Οὐκȣ̃ν, ἔ„φη, τὶ πρότερον; τὸ κινῆσαι ϛάσιν· „τὶ δȣ́τερον; τὸ παῦσαι. Δȣ̀ς ȣ̃ν ἐφ' „οἷς ἠδίκεις τιμωρίαν, τὴν ἐφ' οἷς ȣ̓ „πεποίηκας δωρεὰν, εἰ δύνασαι, λάβε. (Φιλόϛρ. εἰς βίον Σεκȣ́νδ.). Ἀλλ' ȣ̔́τω μὲν καὶ διὰ ταῦτα οἱ ἐκ τῆς ῥητορείας. Οἱ δὲ φιλοσοφȣ̃ντες ȣ̓χὶ τȣ́των ἕνεκα, ὅτι δὲ ἐπὶ παντὸς λόγȣ τὸ ἀποχρῶν εἰώθασι θηρᾷν, καὶ ἀπέριττον. Ἐν δὲ δὴ ταῖς κοιναῖς τέως ἐντȣ́ξεσι καὶ ὁμιλίαις, αὐτήπως ἡμῖν ἡ φύσις τὴν τῶν Ἐνθυμημάτων χρῆσιν καθυποβάλλει. Σώματος γὰρ ὀξυτέρα ἡ ψυχὴ πρὸς ἐνέργειαν, καὶ θᾶττον, ἢ διὰ τῆς τȣ̃ προφορικȣ̃ λόγȣ ὑπȣργίας, τὸ ἑαυτῆς διανόημα δηλῶσαι σπȣδάζȣσα.

§. ψλή. Οἱ δὲ δὴ ὡς ἐκ τῆς ὕλης καὶ μόνον τοῦ συλλογισμοῦ διαστέλλοντες τὸ ἐνθύμημα, οὐδὲν ἄλλ' ἢ συλλογισμὸν αὐτόχρημα τοῦτο εἶναι φασὶν, ἐξ εἰκότων, ἢ σημείων κατασκευάζοντα τὸ ζητούμενον.

ψλθ'. Καὶ τὰ μὲν εἰκότα ἀποφάνσεις εἰσὶν, ἐπὶ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβαινόντων (§. υ'.), ἢ τῶν, ἃ δέον μὲν ὡς ἐπὶ τὸ πολὺ, μᾶλλον δ' ἀείποτε συμβαίνειν, οὐκ ἔχει δὲ, ὡς τὰ ἀναγκαῖα, τὸ ἀπαραίτητον. Καὶ ταῦτα μὲν ἐπὶ τῶν καθηκόντων, ἤτοι τῶν κατ' ἦθος τὸ εὔλογον τηρούντων· Οἷον ὧν, ἄν τις εὖ πεπόνθοι, τούτων ἔδει καὶ μεμνῆσθαι. Καὶ ἅπαξ προσπταίσαντα προσέχειν εἰκὸς, μὴ καὶ αὖθις προσκρούσοιτο. Δίκαιον δὲ, γονεῖς μὲν τιμᾶν, αἰδεῖσθαι δὲ τοὺς γεραιτέρους· καὶ τὰ παραπλήσια. Ἐκεῖνα δὲ (§. αὐτ.), ἤτοι τέχνῃ, οἷον εἰκὸς κυβερνήτην ἔμπειρον ὄντα, διασώσειν τὸ σκάφος· καὶ στρατηγὸν ἄριστον, τρέψειν τοὺς πολεμίους· καὶ ἰατρὸν ἐπιστήμονα, τὴν αἰτίαν τοῦ νοσήματος διαγνώσεσθαι· καὶ τὰ τοιαῦτα. Ἢ φύσει, οἷον εἰκότως πληϊάδων ἐπιδυομένων

„Δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται.
Καὶ πεντήκοντα ἡμέραις μετὰ θερινὰς τροπὰς,
„Ὡραῖος πέλετε θνητοῖς πλόος. Οὐτέκε νῆα,
„Καυάξαις· οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα.

§. ψμ'. Τὰ δὲ Σημεῖα ἀποφάνσεις παρέχεται, καθ' ἃς ἡ πρὸς αὐτὰ τῶν σημαινομένων σχέσις παρίσταται. Ἔστι δέτοι καὶ τῶν Σημείων, τὰ μὲν ἐπ' ἔλαττον τῶν σημαινομένων, οἷον τοῦ πῦρ ὑποκαίεσθαι σημεῖον ὁ ἀποθρώσκων καπνός· Καὶ τοῦ εὐθύμως ἔχειν τὸ ᾄδειν· τὰ δὲ ἐπὶ πλέον, οἷον τὸ πνευστιᾷν τοῦ πυρέσσειν, καὶ τὸ ἐρυθριᾷν τοῦ αἰδεῖσθαι. Τὰ δὲ ἐπίσης, καὶ ἀντιστρέφοντα, οἷον τὸ γάλα τοῦ συνειληφέναι, καὶ τὸ ἀναπνεῖν τοῦ ζῆν, ἅπερ ἰδίως καλεῖται τεκμήρια. (§. τνή.).

§. ψμά. Ἐκ τούτων οὖν οἱ συνιστάμενοι συλλογισμοὶ, τὰ κατὰ τὴν Β'. ἐκδοχὴν (§. ψλή.) εἰσὶν Ἐνθυμήματα. Οἷον ἐκ μὲν εἰκότων, (§. ψλθ'.).

Τὰ παθήματα μαθήματα.		Ποιεῖντε καὶ διδάσκειν.
Ἔπαθε δέ.	Καὶ	Διδάσκει δέ.
Ἔμαθεν ἄρα.		Ποιεῖ ἄρα.

Ὧν ὅσον μὲν εἰς πειθῶ τὸ κράτος, οὐκ ἄδηλον. Δῆλον δὲ ὅτι ἐναληθέστερα τῶν ἐξ εἰκότων (§. ψλθ'.) τὰ φύσει, τῶν τέχνῃ·

καὶ ταῦτα, τῶν ἤθει καὶ προαιρέσει. Τὰ γὰρ πρότερα ἧττον ὥρισα.

§. ψμβ'. Ἐκ σημείων δὲ τῶν ἐπ' ἔλαττον (§. ψμ'.), ὑποκειμένῳ τῷ σημείῳ, τῇ θέσει τότε ἐξ ἀνάγκης τὸ σημαινόμενον ἐπιφέρεται καταφατικῶς· ἡγεῖται γὰρ τὸ ἐπ' ἔλαττον (§. ρδ'.). Οἷον,

Ὁ ὀρχούμενος εὐθύμως ἔχει.
Ὀρχεῖται δέ· Εὐθυμεῖ ἄρα.

Οὐκ ἀνάπαλιν δὲ· Οὐ γὰρ ἀνάγκη εὐθυμοῦντα καὶ ὀρχεῖσθαι.

Ἀποφατικῶς δὲ τῇ ἄρσει τῷ σημαινομένῳ, ὡς ἐπὶ πλέον ὄντος (§. ρδ'.), ἀναιρεῖται τὸ σημεῖον. Οἷον ἐπὶ τῷ ἀνωτέρω.

Οὐκ εὐθυμεῖ δέ. Οὐδ' ἄρ' ὀρχεῖται.

Ἀνάπαλιν δ' ἔχει. Οὐ γὰρ ἐπάναγκες μὴ ὀρχούμενον εὐθυμεῖν.

§. ψμγ'. Ἐκ σημείων δὲ τῶν ἐπὶ πλέον (§. ψμ'.), τῷ σημείῳ κατηγορουμένῳ, καταφατικῶς μὲν τῇ τῷ σημαινομένῳ θέσει, ὡς ἐπ' ἔλαττον ὄντος (§. ρδ'.) συνάγεται ἡ θέσις ἡ τῷ σημείῳ· Οἷον,

Ὁ πυρέσσων πνοὴν ἰᾷ.
Πυρέσσει δέ. Πνοὴν ἰᾷ ἄρα.

Οὐκ ἀνάπαλιν· Οὐ γὰρ εἰ πνοὴν ἰᾷ, καὶ πυρέσσει· Ἐπὶ πλέον γὰρ ἐκεῖνο, ἐνὸν καὶ ἄλλως κοπιάσαντα πνοὴν ἰᾶν.

Ἀποφατικῶς δὲ τῇ ἄρσει τῷ σημείῳ, ὡς ἐπὶ πλέον (§. ρδ'.), συνάγεται καὶ ἡ τῷ σημαινομένῳ. Οἷον, Οὐ πνοὴν ἰᾷ. Οὐδ' ἄρα πυρέσσει. Οὐμλὶ δ' ἀνάπαλιν. Οὐ γὰρ ἀνάγκη μὴ πυρέσσοντα ἐδὲ πνοὴν ἰᾶν.

§. ψμδ'. Ἐκ σημείων δὲ τέως τῶν ἐπίσης, καὶ ἀντιστρόφων (§. ψμ'.), οἷα τὰ λεγόμενα τεκμήρια, ὁποτέρως ἂν τύχοι, ὑποκειμένων, ἢ κατηγορουμένων, ἐκ παντὸς τρόπου διὰ τὴν ἴσος ὀφιὼ (§ σιγ'.) ἀναγκαῖον τὸ συναγόμενον. Ζῇ γὰρ ἀναπνέων· Καὶ ζῶν ἀναπνεῖ· Καὶ εἰμὴ ἀναπνεῖ, οὐδὲ ζῇ πάντως. Καὶ ἀνάπαλιν.

§ ψμε'. Καὶ ταῦτα μὲν ὡς εἰπεῖν Διαλεκτικώτερον· Τοῖς δὲ Ῥήτορσιν Ἐνθυμήματα ἰδιαίτερον ἐς, καὶ τὰ ἐκ τῶν Ἀντιθέτων τιὼ ἐπιφορὰν ἔχοντα. Οἷον εἰ τ' ἀγαθὰ ἐπαίνοις ζέφεται,

φεται, καὶ τὰ φαῦλα δεόντως καταγηλιτεύεται ψόγοις. Καὶ εἰ πολυάχολον ὁ πλῆτος, καὶ μερίμνας πολλὰς ἐπιφέρον, ἀτάραχον ἡ πενία, καὶ τὸ ψυχρὸν ἐν ἡσυχίᾳ καὶ γαλήνῃ ἀποκαθιστῶν. Οἱ δ' αὐτοὶ καὶ προτάσεις ἐνθυμηματικὰς ἀποκαλοῦσι, τὰς ἐν εἴδει ἀποφάνσεων ἐνθυμήματα περιεχούσας. Οἷον θνητὸς ὢν, θνητὰ καὶ φρόνει. Καί, ἥμαρτες, ἠσύχασον. Ἀναλύεται γὰρ εἰς ἐνθύμημα, ἡ μὲν ὧδε· θνητὸς εἶ· δεῖσε ἄρα θνητὰ καὶ φρονεῖν. Ἡ δὲ ὧδε· Σὺ ἥμαρτες· δεῖσε ἄρα καὶ συγαλῆναι· ἐξυπακουομένης ἐφ' ἑκατέρων τῆς μείζονος.

Περὶ Σωρείτου.

§. ψμ΄.

Ὁ δὲ Σωρείτης ἄλλως ὁπωσοῦν καθ' ἡμᾶς, ἢ παρὰ τοῖς παλαιοῖς (1) λαμβανόμενος, ἔφοδός τις ἐστὶ συλλογιστικὴ ἐκ προτάσεων πλειόνων ἑτοίμως διατεταγμένων, ὡς ἀεὶ τὸ ἐπὶ τῆς προταχθείσης κατηγορηθὲν, ὑποκείμενον γίγνεσθαι τῆς ἑξῆς ἑπομένης, εἰς ὃ τὸ πρώτως ὑποτεθὲν, τῷ ἐχάτως συμπλακὲν κατηγορηθέντι, σιωπᾷψειε τὸ ζητούμενον. Σωρείτης δὲ ὄνομα τῷ λόγῳ καὶ ἕτως ἐκληφθέντι, παρὰ τὴν σωρείαν τῶν ἐπαλλήλως ἐπιφερομένων προτάσεων. Εἴρηται δὲ καὶ κλιμακωτὸν παρὰ τοῖς ῥήτορσι, τῷ βαθμηδὸν ἐν αὐτῷ χωρεῖν τὴν τῶν ὅρων πρόοδον. Οἷον,

Ὁ βάσκανος ἀνιᾶται ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς.
Ὁ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἀνιώμενος ὑφ' ἑαυτῷ τήκεται.
Ὁ δ' ὑφ' ἑαυτῷ τηκόμενος, αὐτὸς ἑαυτῷ ἐπιζήμιος.

(1) Ἦν γὰρ εἶδος πάλαι τοῦτο σοφίσματος, δι' ὃ, ἐκ τῶ παρὰ μικρὸν, ὃ παρ' ἐδὲν ποιέμεθα, διλωσικέσι προδήκαις, συνεπέραινον οἱ σοφισιῶντες τὸ ἀτοπώτατον. Οἷον εἰ ἐκ σωρὸς πυρῶν προκαμόνε, κόκκον ἕνατις ἀφέλοιτο, μὴ ἄρ' ἐντεῦθεν ὁ σωρὸς ἀρθείη; Ἀλλὰ μὴ καὶ δεύτερον εἰ ἀφέλοιτο κόκκον ἕνα; Ἀλλὰ μὴ καὶ τρίτον; Καὶ ἕτως ἐφεξῆς. Ἐκ τέτε δὴ καὶ σωρείτης ἄρηται, καὶ σωριτικὴ, ἢ σωρικὴ ἀπορία. (Σέξτ. Πυῤῥων. Ὑποτυπώσ. Βιβλ. Γ'. Κεφ. ή. Καὶ πρὸς Γραμματ. Κεφ. γ'.) τῆς δὲ κατὰ σωρείαν ἕτω γινομένης ἐπιχαρήσεως, καὶ Λαέρτιος μέμνηται ἐν Βίοις Εὐκλείδ. τῆ Μεγαρ. καὶ Ζηνῶν. τῆ Κιττιε, καὶ Χρυσίππε. Καὶ Λεκιανὸς δὲ ἐν Λαπίθαις. Καὶ ἐν Α'. τῶν Νεκρικ. Διαλ. καὶ ἐν τῷ Συμποσ. τῶν Φιλοσόφ. καὶ ἀλαχῆ.

Ὁ δ' ἑαυτῷ ἐπιζήμιος, καὶ ἑαυτῷ πολέμιος ἐςίν.
Ὁ ἄρα βάσκανος αὐτὸς ἑαυτῷ πολέμιος ἐςίν (1).

§. ψμζ'. Καθάπερ οὖν ἐπὶ τῶν Διανοητικῶν ἐφόδων (§. φλγ'.) ταῖς μεταβάσεσιν, οὕτω κἀνταῦθα ταῖς προτάσεσιν ἀεὶ οἱ ὅροι ἰσάριθμοι εἰσί. Τούτων γὰρ αἱ μὲν μεταξὺ, καινὸν ἀεὶ ὅρον ἕνα, τὸν κατηγορούμενον προσλαμβάνουσιν· ἡ δὲ δὴ πρωτίςη, τῶν ἐν αὐτῇ δύο, ἀφ' ἑτέρας ἔχει προσλαβοῦσα οὐδέτερον· ἡ δ' ὑςάτη καινὸν οὐδένα προσίεται· τὸν μὲν γὰρ παρὰ τῆς πρώτης φέρει, τὸν ὑποκείμενον, τὸν δὲ ἐκ τῆς παραληγούσης· Οον,

Τὸ Α ἐςὶ Β.
τὸ Β ἐςὶ Γ.
τὸ Γ ἐςὶ Δ.
τὸ Δ ἐςὶν Ε.
τὸ Α . . . . . ἐςὶν Ε.

Ἐξ οὗ ἄντις καὶ τὸν Σωρείτην οὐδὲν ἄλλο εἶναι ὁρίσειεν, ἢ τῆς Διανοητικῆς Ἐφόδου (§. φλβ'.) ψιλὴν ἔκφρασιν.

§. ψμη'. Ἐν παντὶ δὲ Σωρείτῃ τοσοίδε λανθάνουσι συλλογισμοὶ, ὁπόσοι οἱ κοινολογούμενοι τῶν ὅρων εἰσί. Τοιοῦτοι δὲ πάντες, παρὰ τὰ ἐν τῷ συμπεράσματι ἄκρα. Ἰσάριθμοι δὲ οἱ ὅροι ταῖς προτάσεσιν (§. ψμζ'.). Ὅσαι ἄρα αἱ ἐν τῷ Σωρείτῃ προτάσεις, δυεῖν δεουσῶν, τοσοίδε μὲν οἱ μεταξὺ γινόμενοι τῶν ὅρων, ἤτοι οἱ μέσοι, ὡς κἀν ταῖς Διανοητικαῖς τῶν ἐφόδων, (§. φλγ'.

(1) Κατὰ ταύτην δὲ τὴν ἤδη κρατήσασαν τοῦ Σωρείτου ἐκδοχὴν, καὶ τὸ τῆς Ἀλώπεκος παρὰ Πλουτάρχῳ (ἐν τῷ Πότερα τῶν Ζώων φρονιμ.) διεσχημάτισαι ἐπιχείρημα, ἣν γνώμονα οἷον οἱ Θρᾶκες ἐποιοῦντο τῆς τοῦ πάγου στερρότητος ποταμὸν παγέντα διαβαίνειν μέλλοντες.

Τὸ ψοφοῦν κινεῖται.
Ὃ κινεῖται οὐ πέπηγεν.
Ὃ οὐ πέπηγεν ὑγρὸν ἐςί.
Τὸ ψοφοῦν . . . . . ὑγρὸν ἐςί.

Καίτοιγε τοῦ Στίλπωνος (παρὰ τῷ αὐτῷ ἐν τῷ περὶ Εὐθυμ.) πρὸς Μητροκλῆν ὀνειδίσαντα αὐτῷ τῆς θυγατρὸς τὸ ἀκόλαστον. Ἐμὸν γὰρ (ἔφη) „ἁμάρτημα τοῦτο ἐςὶν, ἢ ἐκείνης; εἰ„πόντος δὲ τοῦ Μητροκλέους ἐκείνης μὲν „ἁμάρτημα σὸν δ' ἀτύχημα· Πῶς „λέγεις (εἶπεν) οὐχὶ τὰ ἁμαρτήματα „καὶ διαπτώματα ἐςί; πάνυ μὲν οὖν ἔ„φη. Τὰ δὲ διαπτώματα, οὐχ' ὧν „διαπτώματα καὶ ἀποτούγματα; Συ„νωμολόγησεν ὁ Μητροκλῆς. Τὰ δὲ „ἀποτούγματα, οὐχ ὧν ἀποτούγματα „ἀτυχήματα; Πράῳ λόγῳ καὶ φιλο„σόφῳ κενὸν ἀποδείξας ὕλαγμα, τὴν „τοῦ κυνικοῦ βλασφημίαν.

φλγ΄.)· εἰς τοσάτας δὲ συλλογισμὰς ὁ Σωρείτης ἀναλυθήσεται. Οὗ δὴ καὶ πεῖραν ἑκάστῳ πρόχειρον ἐστὶ λαβεῖν.

§. ψμθ΄. Ἐξ ἁπασῶν καταφασκεσῶν, καὶ ὁ Σωρείτης καταφατικὸν ἀποίσεται τὸ συμπέρασμα. Ἐφ' ᾧ δὲ ἀποφατικῶς συμπεράνα, ἅλις ἂν ἔχοι, εἰ (ὡς ἐπὶ τῆς Διανοήσεως σεσημείωται §. φλε΄.) μία τῶν ἐν αὐτῷ ἀποφάσκοι. Οἷον,

Ὁ ἄνθρωπος ἐστὶ σώθετος,
τὸ σώθετον ἐκ ἔστιν ἄλυτον.
τὸ ἄλυτον ἔστιν ἀθάνατον.
Ὁ ἄνθρωπος . . . . . ἐκ ἔστιν ἀθάνατον.

§. ψύ΄. Ἐκ μόνης ἀποφασκεσῶν σωρείας προτάσεων, κἂν ὦσι καθ' ἑαυτὰς ἀληθεύσαι, Σωρείτης ὑγιὴς ἐ συνήσεται, ὡς καὶ ἐπὶ τῆς Διανοητικῆς ἐφόδε ἐλέγετο (§. φλς΄). Πλὴν εἰμὴ τυχὸν ἀορίστως τῶν κατηγορεμένων ὅρων εἰς ὑποκείμενα ἑξῆς μεταλαμβανομένων, τὸ δοκεῖν ἀποφάσκοιεν αἱ προτάσεις πράγματι καταφάσκεσαι. Οἷον ὁ μὲν ὄδδεται.

Ἡ λογικὴ ψυχὴ ἐκ ἔστι σῶμα.
τὸ μὴ ὂν σῶμα ἐκ ἔχει μέρη.
τὸ μὴ ἔχον μέρη ἐκ ἀναλύεται.
ὃ ἐκ ἀναλύεται ἐ θνήσκει.
Ἡ λογικὴ ψυχή . . . . . ἐ θνήσκει.

Ὁ δὲ ἑξῆς ἐκ ὄδδεται.
Ἡ λογικὴ ψυχὴ ἐκ ἔστι σῶμα.
τὸ σῶμα ἐκ ἔστιν ἀμερές.
τὸ ἀμερὲς ἐκ ἀναλύεται.
ὅπερ ἀναλύεται ἐκ ἀθάνατον.
Ἡ λογικὴ ψυχή . . . . . ἐκ ἀθάνατον.

§. ψνά΄. Ἐὰν δὲ ταῖς τέσσαρσι καὶ πέμπτη ἐπιπροσεθῇ ἀποφάσκεσα, οἷον ὅτι τὸ ἀθάνατον ἐ θνήσκει, τὸ ἐπιφερόμενον τιωικαῦτα ὑπὸ τῦ Σωρείτε, ὅτι ἡ ψυχὴ ἐ θνήσκει, ἀληθὲς ἔσαι. Ἢ ἐὰν τὰ τῆς προόδε ᾖ ἄχρι τῆς τρίτης, τὸ συναγόμενον, ὅτι τὸ ἀμερὲς ἐκ ἀναλύεται, ὡσαύτως ἀληθεύσει. Τί δήποτε; ἢ ὅτι ἐπὶ τῶν κατὰ ἀντίθεσιν τὲς ἡγεμένες ὅρες ἀνατρεπόντων, αἱ μὲν ἄρτιοι καὶνταῦθα, τῦ δὲ ἁπασῶν ἀποφατικῶν Σωρείτε ἐπιφοραὶ (καθάπερ ἐπὶ τῆς Διανοίας αἱ

μεταβάσεις (§. φλζ.), ἀληθεύουσαι εἰσὶν, αἱ δὲ περιττὰι ψευδόμεναι.

§. ψνβ'. Τούτοις ἀντὶς καὶ εἶδος ἕτερον Σωρείτε προσθείη, Σωρείτιον τοῦτον κατὰ συνέχειαν, πρὸς ἀντιδιαστολὴν τοῦ ἀνωτέρω κατ' Ἀληλεχίαν ὄντος, ἐπονομάσας. Γίνεται δὲ, ἐπειδάντις, ἐχ ὅλον, ὡς ἐπ' ἐκείνε, μέρος δὲ τοῦ κατηγορεμένε ἐφεξῆς προσλαμβάνων, τὸ λοιπὸν, σωὶ ἑτέρῳ προσληφθέντι, ἐκείνε κατηγορεῖ ἀεὶ τὸ αὐτὸ, ἐπὶ τὸ μᾶλλον, ἢ ἧττον πρόβαϊνον κατὰ τὴν πρόοδον. Οἷον,

Ἀχιλλεὺς ἰῷ ἀνδρειότερος Αἴαντος.
Αἴας δ' Ὀδυσσέως ἰῷ ἀνδρειότερος.
Ὀδυσσεὺς δὲ Μενελάε.
Ἀχιλλεὺς ἄρα πολλῷ τοῦ Μενελάε ἰῷ ἀνδρειότερος.
Τοιοῦτος ὁ παρὰ Πλωτάρχῳ (1).
Οἱ δεδεμένοι δαιμονίζεσι τοὺς λελυμένες.
Ἐκεῖνοι δὲ τοὺς ἐλευθέρες.
Οἱ δὲ ἐλεύθεροι τοὺς πολίτας.
Οὗτοι δὲ πάλιν αὖ τοὺς πλησίες.
Οἱ δὲ πλήσιοι τοὺς Σατράπας.
Οἱ δὲ Σατράπαι τοὺς Βασιλεῖς.
Οἱ δὲ Βασιλεῖς τοὺς Θεὸς, μονονεχὶ βροντᾶν καὶ ἀστράπτειν ἐθέλοντες.
Πόσῳ ἓν οἱ δεδεμένοι δαιμονιῶσι τοὺς Σατράπας, καὶ τοὺς Βασιλεῖς;

(1) Περὶ Εὐθυμίας.

ΚΕΦ. ΕΚΤΟΝ.

Περὶ Συλλογισμῶν Συνθέτων.

§. ψνγ'.

Τῶ Συλλογισμῶ ὁ μέντις ἁπλῶς ἐσὶν, ὁ δὲ σύνθετος. Καὶ ἁπλῶς μὲν, ὃς καὶ Κατηγορικὸς λέγεται, ὁ ἐξ ἁπλῶν (§. υιδ'.) ἀποφάνσεων, σύνθετος δὲ ὁ ἕκτινος τῶν μὴ ἁπλῶν (§. υιέ. κξ'.) συνισάμενος, ἅ εἰδη, ὁ Συμπλεκτικὸς, ὁ Αἰτιολογικὸς, ὁ Διαζευκτικὸς, ὁ Ὑποθετικὸς, καὶ τἄλλα, περὶ ὧν ἑκάσε ἐν μέρει.

Περὶ Συλλογισμῶ Συμπλεκτικῶ.

§. ψνδ'.

Ὁ ἐκ μείζονος συμπλεκτικῆς (§. υκγ'.) παρωνύμως καλέμενος, τοῖς μὲν ἁπλῶς ἐσὶ συλλογισμὸς, τοῖς δὲ σύνθετος. Ἔσι δὲ, τόγε ἡμῖν δοκῶν, ἄλοτε ἄλως, ἑκάτερον. Τῆς γὰρ τῶ ὑποκειμένω συμπλεκτικῆς μείζονος, συλλεκτικῶς (§. σκς'.) τοῖς συμπλεκομένοις περιαπτέσης τὸ κατηγόρημα, ἁπλῶς ὁ Συλλογισμὸς ἔσαι· Οἷον,

Ὁ Ἀγαθός τε καὶ πανθενὴς ὢν ποιεῖ τὸ ἄριςον.
Ὁ ΘΕΟΣ ἀγαθός τε καὶ πανθενὴς ἐσίν.
Ὁ ΘΕΟΣ ἄρα ποιεῖ τὸ ἄριςον.

Τῶτον γὰρ εἰς πλείονας συλλογισμὲς μὴ ἔξον ἀναλύσαι, τοῖς Κατηγορικοῖς ἀνάγκη συγκαταλέγειν.

§. ψνέ. Τῆς δὲ δὴ κατὰ τὸ συμπλεκτικῶ ὑποκειμένε καλῆγορίας διανεμητικῶς, ἢ φασὶ (§. Αὐτ.) νοεμένης· ἢ γᾶν ἐὰν ἁπλᾶτινος τὸ κατὰ συμπλοκὴν ἀνάπαλιν κατηγορῆται, σύνθετος ὁ Συλλογισμὸς ἀποβήσεται, εἰς ἁπλᾶς τοσάτως, ὅσα τὰ συμπλεκόμενα ἐσὶν, ἀναλυόμενος. Οἷον,

Σωκράτης καὶ Πλάτων καθηγηταὶ ὑπῆρξαν Ἀριςοτέλες.
Σωκράτης δὲ καὶ Πλάτων Ἀθλωαῖοι ἐγένοντο.
Ἀθλωαῖοι ἄρα οἱ Ἀριςοτέλες ὑπῆρξαν καθηγηταί.

Ἀναλυθήσεται γοῦν εἰς συλλογισμοὺς δύω, ὧν τῷ μὲν ἡ μείζων, τὸ Σωκράτην καθηγήσασθαι τῆς παιδείας Ἀριστοτέλει, τῷ δὲ, τὸ Πλάτωνα. Συναγόμενον δὲ ἑκατέρῳ, ὅτι τὶς Ἀθηναῖος, κτ.

Ὡσαύτως δὲ καὶ τοῦ συμπλεκτικοῦ κατηγορουμένου.

Ἀριστοτέλης φιλοσοφεῖ, καὶ περιπατεῖ.

Ἀριστοτέλης ἐστὶν ἐκ Σταγείρων.

Τῶν ἐκ Σταγείρων ἄρατις φιλοσοφεῖ, καὶ περιπατεῖ.

§. ψνϛ'. Οἱ δὲ τὸν ἐξ ἀποφατικῆς συμπλεκτικῆς μόνον ὡς ἐκ τοῦ κατηγορουμένου, χρήσεως εἶναι τινὸς ἀξιοῦσιν (1), οἷον,

Οὐδεὶς δύναται ΘΕΩ δουλεύειν καὶ Μαμμωνᾷ.

Οἱ φιλοκτήμονες δουλεύειν προήρηνται τῷ Μαμμωνᾷ.

Οὐκ ἄρα δύνανται δουλεύειν τῷ Θεῷ.

Εὔοδος δὲ ὁ οὕτως ἔχων ὅταν τῇ θατέρου τῶν κατὰ τὴν συμπλοκὴν μερῶν θέσει, τὴν ἄρσιν τοῦ ἑτέρου συνάγῃ, ὡς ὁ ἀνωτέρω. Οὐκ ἀνάπαλιν δὲ, ἐπειδὰν τῇ ἄρσει τὴν θέσιν. Οὐ γὰρ εἴτις οὐχὶ τῷ Θεῷ δουλεύοι, τῷ Μαμμωνᾷ παραυτίκα δουλογραφήσεται ὁ τοιοῦτος. Οὐδ' εἰ μὴ τῷ Μαμμωνᾷ δουλεύοι, τῷ Θεῷ δουλεύσει. Ὁ γὰρ τῶν ἀσώτων βίος ἐλέγχει τὸ συναγόμενον.

§. ψνζ'. Ἐφ' ὧν δὲ τρίτον οὐδὲν μεταξὺ φέρεται, ἀμέσως ἀντιφερομένων, καὶ τοῦ ἑτέρου ἀναιρεθέντος, θάτερον ἂν καταφατικῶς συναχθείη. Οἷον,

Οὐδεὶς ἀριθμὸς, ἄρτιος ὁ αὐτὸς καὶ περιττὸς ἅμα.

Ὁ δὲ τριαδικὸς οὐκ ἔστιν ἄρτιος. Περιττὸς ἄρα· καὶ ἀνάπαλιν. Ἀλλὰ γὰρ τοὺς τοιούτους ἐπὶ τοὺς Διαζευκτικοὺς ὀρθῶς ἄντις ἀνακαλέσαι. Περὶ ὧν κατωτέρω.

Περὶ Συλλογισμοῦ Αἰτιολογικοῦ.

§. ψνή.

Τούτου ἀμφοῖν, ἢ τῇ ἑτέρᾳ μόνον τῶν προκειμένων, πρότασις ἑτέρα εἰς κατασκευὴν τοῦ λεγομένου παρασυνάπτεται. Καθ' ὃ καὶ Αἰτιολογικὸς εἴρηται, ὡς ἐξ ἀμφοῖν, ἢ τῆς ἑτέρας Αἰτιολογικῆς (§. υιθ'.)· λέγεται δὲ καὶ Ἐπιχείρημα. Οἷον,

Πᾶν

(1) Περὶ Τέχν. τοῦ Νοεῖν. Μέρ. Γ'. Κεφ. κβ'.

Πᾶν ἄϋλον ἀθάνατον. Ἁπλῆν γὰρ ὄν, καὶ κρεῖττον ἔσαι συνθέσεως· καὶ ἐδὲ τῇ μάχῃ ὑποκείσεται τῶν ἐναντίων, ἐξ ἧς ἡ λύσις, ἐν ᾗ ὁ θάνατος.

Ἀλλ. ἡ ψυχὴ ἄϋλος ἐσὶν, ἅτε δὴ ταῖς τῶν νοητῶν ἀντιλήψεσιν ἑαυτὴν μεταβάλλουσα, ὃ πάντῃ τῆς ὕλης ἐσὶν ἀλλότριον. Ἆρα ἡ ψυχὴ ἀθάνατός ἐσιν.

§. ψνθ'. Διὰ τὲ ἐν τῇ Αἰτιολογέσῃ καινὲ ὄρε, ὡς διὰ μέσε, τὴν αἰτιολογεμένην πρότασιν κατασκευάζοντες εἰς τοσᾶτες ἀναλύομεν τὸ Ἐπιχείρημα συλλογισμὲς, ὅσα τῶν αἰτίων ἐσὶ τὰ παρεισαγόμενα· Οἷον ἐπὶ τὲ τεθέντος (§. ἀνωτ.) κατασκευάσειέ τις τὸ ἄϋλον εἶναι ἀθάνατον, ὡς διὰ μέσε τὲ μὴ λύσιν ἐπιδεχεθαι. Εἶτα καὶ τὸ ἄϋλον μὴ εἶναι λύσιν ἐπιδεχόμενον, διὰ τὲ κρεῖττον εἶναι συνθέσεως καὶ ἁπλῆν. Ὡσαύτως δὲ καὶ τὴν ψυχὴν ἄϋλον ἔσαν δείκνυμεν ἐπὶ τῆς ἐλάσσονος, διὰ τὲ ἑαυτὴν μεταβάλλειν. Τᾶτο δὲ διὰ τὲ νοεῖν ἄλλοτε ἄλλως καὶ ἄλλα, ἥπερ ἂν ἐθέλοι. Ὥςε ἐν συλλήψει Διανοιῶν πλειόνων κείσεται τὲπιχείρημα, καὶ συλλογικὴν ἄντις συλλογισμῶν αὐτὸ ὀνομάσειεν, ὥσπερ συλλογικὴν λόγων πλειόνων τὸν συλλογισμὸν ἐτυμολογᾶντες ἀπέδωκαν (1).

§. ψξ. Τοῖς Αἰτιολογικοῖς συλλογισμοῖς πολὺ καίτοι τὸ χρειῶδες ἐν ταῖς συγγραφαῖς ἔχσιν, ἐ πάντῃ χρῆθαι ἐπιτρέπεσι, κατὰ τὰς διαλεκτικὰς σωσείας. Ἐν ταύταις γὰρ πρὸς τὸ ἀκριβὲς τᾶ χήματος τὰς συλλογιςικὰς ἐφόδες ἐπιτηδᾶντας, τῆς ἰᾶ ὁ προσδιαλεγόμενος ἀπέφη προτάσεως τὴν δεῖξιν ὡς ἤδη νέα προβλήματος, δι' ἄλλε συλλογισμᾶ κατασκευάζειν εἰώθασι, καὶ ἕτως ἐφεξῆς, ἄχρι τῶν ἀναποδείκτων. Βίβλον δὲ συγγράφοντι ἀποδεικτικῶς, τὸ σειρὰς ἐπιπλέκειν συλλογισμῶν ἐκτενεσέρας ἐπιτηδεύεθαι, ἐξὸν συντόμως τε καὶ ἀπερίττως τὴν κατασκευὴν παραθέθαι, ψυχρόντε λίαν καὶ ἀπειρόκαλον.

Περὶ Συλλογισμᾶ Διαζευκτικᾶ.

§. ψξά.

Τοιᾶτος ὁ ἀπὸ Διαζευκτικῆς (§. υκδ'.) τῆς μείζονος (2). ὃ ὄν, ἤτοι Γῆ κινεῖται, ἢ Ἥλιος· Γῆ δ' ἐκινεῖται. Ὁ ἄρα Ἥλιος.

(1) Ὅρα §. φνθ'. Σημεί.

(2) Τᾶτον κατὰ διάζευξιν Ὑποθετικὸν ἀποκαλᾶν ἀξιᾶσι, τὰ κατὰ συνέχειαν, ἢ ἀκολεθίαν, (περὶ ἃ ἡμῖν ἐξῆς)

λιος. Ἐπεὶ δέτοι τὰ διεζευγμένα, ἤτοι ἀμέσως διέζευκται, ἢ ἔχειτι μεταξὺ, ἢ καὶ πλείω μὲν, ὡρισμένα δὲ, ἢ τέως καὶ πολλὰ ἀορίστως, ποικιλοτρόπως εἰκὸς καὶ τὸν κατ' αὐτὰ συλλογισμὸν μεθοδεύεσθαι.

§. ψξβ'. Καὶ ἐφ' ὧν μὲν ἡ διάζευξις ἄμεσος, ἢ τῇ θέσει τὸ ἕτερον ἀποφατικῶς θάτερον εἰσβάλλειν ἐξίν. Οἷον,

Ἤτοι κινεῖται	Ἢ ἠρεμεῖ.
Κινεῖται δέ.	Ἠρεμεῖ δέ.
Οὐκ ἄρα ἠρεμεῖ.	Οὐκ ἄρα κινεῖται.

Ἢ γᾶν ἀνάπαλιν τῇ ἄρσει καταφατικῶς. Οἷον ἐπὶ τὸ αὐτὸ λήμματος.

Οὐ κινεῖται δέ.	Οὐκ ἠρεμεῖ δέ.
Ἠρεμεῖ ἄρα.	Κινεῖται ἄρα.

§. ψξγ'. Ἐφ' ὧν δὲ τρίτον μεταξὺ, ἢ καὶ πλείω ὡρισμένως ἡ διάζευξις παρεισάγει, ἢ Α. τῷ ἑνὸς τεθέντος, συλλήβδην τὰ λοιπὰ ἀναιρεῖται. Οἷον,

Ἤτοι αὐτόφωτον ἡ σελήνη, ἢ διαφανὲς, ἢ τῷ φωτὸς ἐξὶν ἀνταναπλαστικόν.

Ἔστι δὲ φωτὸς ἀνταναπλαστικόν.

Οὐκ ἄρα ἐδὲ διαφανὲς, ἐδ' αὐτόφωτον.

Ἢ Β. τῷ ἑτέρε ἀναιρεθέντος τὰ λοιπὰ τίθεται πάντα, ἀλλὰ διεζευγμένως· Οἷον,

Ἤτοι πτηνὸν ὁ Καρκῖνος, ἢ χερσαῖον, ἢ ὕυδρον, ἢ ἀμφίβιον.

Οὐκ ἔστι δὲ πτηνόν.

Ἤτοι ἄρα χερσαῖον, ἢ ὕυδρον, ἢ ἀμφίβιον.

Καὶ πάλιν ὐ λήμματι τῷ ἤδη συμπεραν θέντι.

Ἀλλ' ὲ χερσαῖον. Ἤτοι ἄρα ἔνυδρον, ἢ ἀμφίβιον.

Καὶ τέως δυοῖν μόνοιν ὑπολειφθέντοιν, ὡς ἀνωτέρω (§. ψξβ'.) ἐπὶ τῶν ἀμέσως.

Ἀλλ' ὐκ ὕυδρον. Ἀμφίβιον ἄρα.

Ἢ Γ. παρ' ὃ τῶν λοιπῶν συμπλεκτικῶς ἀναιρεθέντων, αὐτὸ τὸ ὃ τίθεται (1). Οἷον ἐπὶ τῷ κατὰ τὸ Β. πρώτε λήμματος.

Οὐκ

ἐξῆς) ἀντιδιαστέλλοντες. (Ὅ, τε Φιλόπονος, καὶ ὁ Ἀνώνυμος εἰς τὰ Πρότερ. Ἀναλυτ.).

(1) „Οὕτωτοι καὶ τὸν κύνα οἱ Διαλεκτικοὶ φασὶ τῷ διὰ πλειόνων διεζευγμένῳ χρώμενον ἐν ταῖς συλλογισ„μοῖς

Οὐκ ἔςι δὲ πτηνὸν, οὐδὲ χερσαῖον, οὐδ' ἔνυδρον.

Ἔςιν ἄρα ἀμφίβιον (1).

§. ψξδ'. Τῶν δὲ δὴ μέσων ἀορίςως πληθυνομένων, ἢ ἀριθμῷ δυσπεριλήπτων ὄντων, Α'. τῇ μὲν τοῦ ἑνὸς θέσει, ἀναιρεῖται τὰ λοιπὰ πάντα (2). Οἷον,

Τὸ ἄνθος, ἤτοι ῥόδον ἐςὶν, ἢ ἴον, ἢ κρίνον, ἢ ὑάκινθος, ἢ νάρκισσος. κτ.

Ῥόδον δὲ ἐςίν.

Οὐκ ἄρα οὐδ' ἴον, οὐδὲ κρίνον, οὐδ' ὑάκινθος, οὐδὲ νάρκισσος. κτ.

Β. Τῇ δὲ τοῦ ἑνὸς ἀναιρέσει, τὰ λοιπὰ τίθεται, ἀλλὰ διαζευκτικῶς, καὶ ἀορίςως. Οἷον,

Οὐκ ἔςι ῥόδον.

Ἤτοι ἄρα ἴον, ἢ κρίνον, ἢ ὑάκινθος, ἢ νάρκισσος, ἤτι τῶν ἄλλων.

Γ. Ἢ τέως καὶ τῇ θέσει τινῶν ἀναιρεῖται τὰ λοιπά· τῇ δὲ τινῶν ἄρσει τίθεται τ' ἄλλα, πλὴν ἀορίςως, καθάπερ εἴρηται, καὶ διεζευγμένως.

§. ψξέ. Διαςροφὴ δὲ τοῦ κατὰ διάζευξιν συλλογισμοῦ, ἕντι παραδραμεῖν, μὴ ἐπ' ἀκριβὲς τῆς διαζευκτικῆς καταλεγούσης τὰ μέρη. Οἷον Ὑπερίδης διὰ δύω προφάσεις, εἰπὼν, τῶν ἀδικημάτων τοὺς ἀνθρώπους ἀπέχεσθαι, ἢ διὰ φόβον, ἢ δι' αἰσχύνην, συλλογισμοῦ Διαζευκτικοῦ ἐπισφαλοῦς ὑπέθετο λῆμμα. Εἴτις γὰρ προσλαβὼν ἀποφήναιτο, τὸν Δεῖνα μὴ διὰ φόβον, οὐκ ἂν ἐντεῦθεν συναγαγεῖν ὀρθῶς παρείη, ὡς ἄρα δι' αἰσχύνην· οὐδ' οὖν ἀνάπαλιν. Τυχὸν γάρτις οὐδὲ φόβῳ βαλλόμενος, οὐδ' αἰσχύ-

ρεδέσιν ἀτραποῖς, συλλογίζεσθαι πρὸς ἑαυτόν. Ἤτοι τήνδε τὸ θηρίον ὥρμηκεν, ἢ τήνδε, ἢ τήνδε. Ἀλλαρμὴν οὔτε τήνδε, οὔτε τήνδε. Τήνδε λοιπόν. Πλούτ. πότ. τῶν ζώφρονιμ.

(1) Τῶν ἐκτεθέντων (§. ψξγ'. ψξδ'). Διαζευκτικῶν, οἱ μὲν τῇ θέσει τὴν ἀναίρεσιν εἰσβάλλοντες τὸ Γ'. Εἶδος τῶν Ὑποθετικῶν συλλογισμῶν παριςῶσιν, οἱ δὲ τῇ ἀναιρέσει τὴν θέσιν, τὸ Δ'. τῶν κατὰ τὸν Ἀνώνυμον· ἢ γοῦν οἱ μὲν τὸ Δ'. οἱ δὲ τὸ Ε'. τῶν κατὰ Φιλόπονον.

(2) Οὗτος ὁ Γ'. τῶν Ὑποθ. συλλογισμ. ἐςὶ τρόπος κατὰ τὸν Φιλόπ. ἢ ὁ Ε. κατὰ τὸν Ἀνών. ὃν καὶ μετὰ συμπλοκῆς τῆς ἀποφάσεως τελεῖσθαι φασὶν, ἤτοι ἐπὶ τῶν ἀντικειμένων, ἐφ' ὧν τὸ μέσον ἀόριςον· Οἷον οὐχὶ καὶ λευκὸν καὶ μέλαν· λευκὸν δὲ· Οὐκ ἄρα μέλαν. Ἢ ὅλως, καὶ ἐπὶ τῶν μὴ ἀντικειμένων, ἑτέρων δέ. Οἷον οὐχὶ καὶ ἵππος, καὶ βοῦς, κτ. Βοῦς δέ· οὐκ ἄρα ἵππος. Ἀεὶ τῇ θέσει δηλονότι συναγομένης τῆς ἀναιρέσεως.

αἰχύνῃ συνεχόμενος, μίσει δὲ καὶ ἀποτροπῇ τῶν φαυλοτέρων (ὅ δὴ τῶν τελείων ἐστί), τὸ ἀθικεῖν ἀπέχεται.

Περὶ Συλλογισμοῦ Ὑποθετικοῦ.

§. ψξ'.

Ὁ ἐξ ἀμφοῖν, ἢ τῆς ἑτέρας, ἐν ὑποθέσει ἀποφαινομένων (§. υιή.) Συλλογισμός, ὁ μὲν Ὑποθετικὸς καλεῖται δι' ὅλων (1), ὁ δὲ μικτὸς (2), ὥπερ ἂν ἡ ἐλάττων κατηγορικὴ ἔῃ (§. υιδ'.). Δι' ὅλων μέν, οἷον,

Εἰ κατὰ νόμον, καὶ δίκαιον.
Ἀλλ' εἰ κατὰ λόγον, καὶ κατὰ νόμον.
Εἴπερ ἄρα κατὰ λόγον, καὶ δίκαιον.

Μικτῶς δέ. Οἷον,

Εἴπερ ἥμαρτεν, ἔστιν ὑπόθυνος.
Ἥμαρτε δέ. Ὑπόθυνος ἄρα.

§. ψξζ'. Καὶ κειμένη τοίνυν ἡ ἐλάττων ἀνεπτυγμένως, ὡς ἐπὶ τῆς ὑποθετικῆς μείζονος ἔσχε, μεταλῆψις ἀκέει, καὶ μεταλαμβανόμενον. Ἐξυπακουομένη δὲ συνεπτυγμένως ἐν τῇ μείζονι, πρόσληψις, καὶ προσλαμβανόμενον (3). Οἷον ἐπὶ τοῦ παρὰ Χρυσίππῳ ὑποθετικῶς σοφιζομένου.

Εἴτις ἐστὶν ἐν Μεγάροις, ἐκ ἔστιν ἐν Ἀθήναις.
Ἄνθρωπος δὲ ἐστὶν ἐν Μεγάροις.
Οὐκ ἄρα ἄνθρωπος ἐστὶν ἐν Ἀθήναις.

§. ψξή. Ἐκ τῆς κατὰ τὸν ὑποθετικὸν μείζονα ἀκολουθίας (§. υιή.). ὁ Ὑποθετικὸς συλλογισμὸς ἅπαν τὸ κράτος πορίζεται. Κατὰ

(1) „Οὗτοι καλοῦνται διὰ τριῶν, καὶ δι' ὅλων ὑποθετικοί. Δι' ὅλων μέν, „ὅτι πᾶσαι αἱ παραλαμβανόμεναι προ„τάσεις ὑποθετικαί. Διὰ τριῶν δέ, ὅ„τι τελάχιστον ἔτοι οἱ συλλογισμοὶ διὰ „τριῶν ὑποθέσεων περαίνονται (Φιλόπ. „εἰς τὰ Πρότ. Ἀναλυτ. Βιβλ. Α'.) Ἕκτον δὲ τρόπον τὸν ἐξ ὅλων ὑποθέσεων ὁ Ἀνώνυμος ἀριθμεῖ, καὶ Ἀλεξάνδρῳ τῷ Ἀφροδισεῖ, ὡς εὑρετῇ ἀνατίθησι.

(2) Διαφέρουσι δέ, ὅτι οἱ μὲν μικτοὶ „τοσοῦτον μόνον τῶν ὑποτεθέντι, ἀνα„λῆψαι τόδε λέγουσιν· οἱ δὲ δι' ὅλων καὶ αὐτὸ τὸ ὑπόθεσιν κατασκευά„ζοντες ἀποφαίνονται. (Αὐτ. αὐτ.).

(3) „Τὸ μέντοι μεταλῆψιν πρόσ„ληψιν οἱ Στωικοὶ καλοῦσιν (ὅπως ἂν „κέοιτο δηλονότι ἀεὶ ἕτως ὀνομάζοντες.) καὶ ἔμπνε τοῦτο ἐν τῇ συνηθείᾳ. Φιλόπ. ἔνθα ἀνωτ.

Κατὰ γὰρ τὰ περὶ τῆς συνεισαγωγῆς καὶ συναναιρέσεως τῶν ἡγεμένων, καὶ ἑπομένων, καὶ ἀντιστρόφων ῥηθέντα (§. ρδ'. σιγ'.) τύποι τέτε φέρονται δύο, τῶ μὲν κατὰ θέσιν, καὶ διὰ συνεισαγωγῆς χηματιζομένε· τῶ δὲ κατ' ἄρσιν, καὶ διὰ συναναιρέσεως. Καὶκείνως μὲν, ἐὰν τὸ ἐν τῷ σωημμένῳ ἡγέμενον τεθῇ κατὰ τὴν ἐλάσσονα, τὸ ἑπόμενον ὀρθῶς μάλα συναχθήσεται εἰς συμπέρασμα. Οἷον,

Εἰ ἄνθρωπος, καὶ ζῶον. Ἐκεῖνο δέ. Τῶτο ἄρα.

Οὕτω δέτοι, ἐὰν ἀρθῇ τὸ ἑπόμενον, καὶ τὸ ἡγέμενον συναρθήσεται. Οἷον,

Εἰ κύκλος, καὶ χῆμα.

Οὐκεν δὲ τῶτο. Οὐδ' ἄρ' ἐκεῖνο.

Ἐπὶ δὲ τῶν ἰσοσρόφωντε καὶ συμπαρεκτεινομένων, τὰ τῆς συνεισαγωγῆς καὶ συναναιρέσεως, καθ' ὁπότερον ἔτυχεν ἀδιαφορεῖ. Οἷον,

Εἰ λογικὸν, καὶ γελασικόν.

Λογικὸν δέ.	Ἤ	Γελασικὸν δέ.
Γελασικὸν ἄρα.		Λογικὸν ἄρα.

Καὶ κατὰ συναναίρεσιν δὲ παραπλησίως.

Οὐ λογικὸν δέ.	Ἤ	Οὐ γελασικὸν δέ.
Οὐδ' ἄρα γελασικόν.		Οὐδὲ λογικὸν ἄρα.

§. ψξθ'. Τῶ κατὰ τὸ σωημμένον ἑπομένε, πρὸς τὸ κατηγορέμενον αὐτῶ μείζονα λόγον ἔχοντος, ἢ πρὸς τὸ αὐτὸ τὸ ἡγέμενον, ὁ Ὑποθετικὸς συλλογισμὸς ἀπὸ τῶ ἧττον ἐπὶ τὸ μᾶλλον λέγεται χωρεῖν κατὰ θέσιν συμπεραίνων. Οἷον,

Εἰ καμμύοντι ὁρατὸν, πολλῷ δὴ μᾶλλον ὀξυδορκῆντι.

Ὁρατὸν δὲ ἔμοιγε καμμύοντι.

Πολλῷ ἓν μᾶλλον Σοὶ ὀξυδορκῆντι.

§. ψό. Τῶ δ' ἑπομένε ἧττονα λόγον ἔχοντος, ἢ τὸ ἡγέμενον, ἀπὸ τῶ μᾶλλον ἐπὶ τὸ ἧττον ὁ Συλλογισμὸς χωρήσει. Οἷον,

Εἴτι τῷ σοφῷ μόλις κατανοεῖται, πολλῷ γ' ἂν δέοι νοητὸν τῶτο εἶναι τῷ ἀπαιδεύτῳ.

Ἀλλ' ἡ ἠλεκτρίζουσα δύναμις τῷ σοφῷ μόλις ἐσὶ κατανοεμένη. Πολλῷγ' ἂν ἄρα δεήσειε κτ.

§. ψοά.

§. ψοά. Ἀντιστρεφόντων δὲ τῶν λόγων καὶ τὸ ἀνάπαλιν, ὡς ἐν τοῖς Γεωμετρικοῖς, καὶ τῶν μειζόνων ἐλασσόνων καθισαμένων, εἴτις ἐπὶ μὲν τὸ προτέρᾳ (§. ψξθ'.) διὰ τῆς τοῦ ἑπομένου ἀναιρέσεως συναναιρεῖν ἐθέλοι τὸ ἡγούμενον. Οἷον,

Σοὶ δ' ὀξυδορκοῦντι ἐδαμῶς ὁρᾶται· ὥστε πολλοῦ γ' ἂν δέοι τοῦ ἐμοὶ ὁρᾶσθαι καμμύοντι.

Ἐπὶ δὲ τὸ δευτέρᾳ (§. ψό.) ὡσαύτως.

Ἀλλ' ἡ ἠλεκτρίζουσα δυνάμις, κἂν τῷ ἀπαιδεύτῳ σαφῶς καταναοηθείη.

Ἐκ πολλοῦ ἄρα τοῦ περιόντος αὐτὴ τῷ σοφῷτε καὶ ἐπιστήμονι καταναοηθήσεται.

Τραπείη ἂν ὡς εἰκὸς καὶ ἡ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον τάξις, τῆς ἐφόδου χωρούσης κατὰ τὸ ἀντίστροφον.

§. ψοβ'. Ὁμοιολόγων δὲ πρὸς ἅπερ ἀνάγεται πεφυκότων τοῦτε ἡγουμένου, καὶ τοῦ ἑπομένου, ἐκ τῶν ὁμοίων ὁ Ὑποθετικὸς συλλογισμὸς εἰρήσεται συμπεραίνειν, εἴστε κατασκευὴ ὁμοίως καὶ ἀνασκευὴ θατέρᾳ διὰ θάτερον. Καὶ κατασκευαστικῶς μὲν. Οἷον,

„Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς „ὑμῶν τὰ σαρκικὰ θερίσομεν; ἐ μέγα δηλονότι. Ὁμόλογον γὰρ, ὅσονγε τῇ πρὸς τὸ ζῆν ἐκ τοῦ τρέφεσθαι ἑκατέρωσε χρείᾳ. Ἄλλως γὰρ τὸ ὑπερέχον τῆς πνευματικῆς τροφῆς, ὅσον ἀναλογιζομένοις, καὶ τῶν πάνυ ἂν εἴη σμικρῶν, τοῦ λόγου ταύτῃ ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἐλάττονον (§. ψό.) μεταπίπτοντος.

Καὶ ἀνασκευαστικῶς καθ' ὁμοιολογίαν ὡσαύτως. Οἷον, Εἰ μὴ τῷ Φύσαντι ἀνετράπη ἐμπαροινῆσαι, τί θαυμαστὸν εἰ μὴ καὶ πρόσωπον ἔτος ἠδέσθη τὸ τοῦ διδάξαντος; θαυμαστὸν ἐδεῖ. Σχεδὸν γὰρ ὅμοιον.

§. ψογ'. Ἐξ ἡγουμένου καὶ ἑπομένου ἀντικειμένωντε ἀλλήλοις, καὶ πρὸς ἔτι ἀντικείμενα λόγον ἐχόντων τὸν αὐτὸν, Ὑποθετικοὶ συνίστανται συλλογισμοὶ, ὁμοιοι τοῖς ἀνωτέρω. Οἷον,

Εἴπερ ὁμιλίαι φαῦλαι φθείρουσιν ἤθη χρηστὰ, ὁμιλίαι χρηστὰι βελτίουσιν ἤθη φαῦλα.

Ἀλλὰ μὴν τὸ Α. Ἄρα καὶ τὸ Β.

§. ψοδ'. Τὰς ἓν ἐξ ὁμοίων (§. ψοβ'.), καὶ ἀντικειμένων (§. ψογ'.) Ὑποθετικὰς ὅτι δὴ ῥᾴδιον ἐστὶν, ἐπὶ τὰ ἐνθυμήματα (§. ψμά.

(§. ψμά. κξ.) καὶ τὰ παραδείγματα (§. φος'. κξ.) μεθαρμόζειν, καὶ ἀνάπαλιν ἐπὶ τούτοις ἐκεῖνα, ἐκ πείρας οἷόντε μαθεῖν.

Περὶ Διλήμματος.

§. ψοέ.

Τὸ δὲ Δίλημμα, (ὃν καὶ δίκερων καλοῦσιν, ἢ κερατόεντα Συλλογισμὸν, καὶ, κατὰ τὸν Κρατίνου Βένδιν, δίλογχον.) ἐκ αἰεὶ ἐκ διμερῆς συνίσταται προτάσεως, ἀλλ' ἔστιν ὅτε καὶ ἐκ τριῶν ἢ πλειόνων μερῶν, καὶ πλειόνων. Εἶδος δὲ πίστεως ἐστὶν, οὗ ᾧ διαιρέσεως ἡγεμένης, τὸ κατὰ τῶν μερῶν ἑκάστου, καὶ κατὰ τὸ ὅλον τέως συναίγεται. οἷον,

Δημόκριτος ἀεὶ γελῶν, ἤτοι τῶν φαύλων τὸν πολὺν καταχέων ἐτύγχανε γέλωτα, ἢ τῶν ἀγαθῶν, ἢ τῶν ἀδετέρως ἐχόντων.

Ἀλλ' εἰ μὲν τῶν τρίτων, ψυχρῶς· ἔτε γὰρ ἐλεεινὰ τὰ τοιαῦτα, ἔτε καταγέλαστα.

Εἰδὲ τῶν ἀγαθῶν, ἀτόπως. Οὐ γὰρ τὰ ἀγαθὰ γέλωτος ἐστὶν ἄξια.

Εἰ δὲ τέως τῶν φαύλων, εἰκὸς ἦν ἐπ' αὐτοῖς καὶ θρηνῳδεῖν, ἢ γελᾶν.

Ἀτόπως ἄρα καὶ παρὰ τὸ εἰκὸς ἀεὶ γελῶν ἐτύγχανεν ὁ Δημόκριτος.

§. ψος'. Ὥρισαι δὲ (1) ἀκριβέστερον ἔτι τὸ Δίλημμα Συλλογισμὸς ὑποθετικὸς (§. ψξς'.) ἢ Αἰτιολογικὸς (§. ψνή.), οὗ ᾧ τὸ ἑπόμενον (§. υιή.), ἢ ἡ αἰτιολογία (§. υιθ'.) πρότασις ἐστὶ Διαζευκτικὴ (§. υκδ'.), καὶ τὸ ὅλον αἵρεται, (τὸ ἡγούμενον, ἢ τὸ αἰτιατὸν δηλ.) ἐπὶ τῶ Συμπεράσματος, τῶν τῶ ἑπομένου, ἢ τῆς αἰτιολογίας μερῶν, κατὰ τὸν ἰσομερῆ ἐλάσσονα προαιρεμένων. Οἷον ὑποθετικῶς μέν,

Εἴπερ ἀριθμὸς ἡ μονὰς, ἤτοι περιττὸς ἂν εἴη, ἢ ἄρτιος.

Οὐκ ἔστι δὲ περιττὸς. (τί γὰρ ἂν τῷ ἑνὶ μοναδικῶς ἔχοντι περιττὸν εἴη;).

Οὐδὲ

(1) Ὅρα καὶ Οὐόλφ. Λογ. §. 482. *Καίτοι διὰ μόνα τὰ ὑποθετικὰ τὸ Δίλημμα γνωρίζοντα.*

Οὐδὲ μὲν οὖν ἄρτιος. (ὑπὸ τίνος γὰρ ἂν περιόντος ἀρτιωθείη;)
Οὐκ ἄρα ἡ μονὰς ἀριθμός.

Καὶ αἰτιολογικῶς δὲ οὕτως.

Ἔστιν ὀρφανὸς, ἢ ὅτι τέθνηκεν αὐτῷ ὁ Πατὴρ, ἢ ὅτι ἡ Μήτηρ.

Οὐδέτερον δὲ. Περίεστι μὲν γὰρ αὐτῷ ὁ Πατὴρ, ζῇ δὲ καὶ ἡ Μήτηρ.

Οὐκ ἄρα ὀρφανὸς ἐστί.

§. ψοζ'. Φανερὸν δὲ, ὡς ἐπειδὴ τὸ ἐν τῇ μείζονι ἡγούμενον, ἢ τὸ αἰτιατὸν ὅλον αἴρεται κατὰ τὸ Συμπέρασμα (§. ἀνωτ.), ἀντικείσεται ἄρα ἀείποτε τοῦτο ἐκείνῳ, ἀποφάσκον μὲν καταφάσκοντι, καταφάσκον δὲ ἀποφάσκοντι· ὧν τὸ μὲν ἐπὶ τῶν ἀνωτέρω Διλημμάτων συμβαῖνον πάρεστιν ἰδεῖν, τὸ δ' ἐπὶ τοῦ ἐφεξῆς.

Εἰμήτις ἰὼ τῆς ὕλης Δημιουργὸς, ἰὼ ἂν αὕτη, ἤτοι παρ' ἑαυτῆς ὑφεστῶσα, ἢ μηδόλως.

Ἀλλὰ τὸ μὲν ἄτοπον. Ἀδρανὴς γὰρ ἡ ὕλη παραχεῖν ἑαυτῇ τὸ εἶναι, καθὰ καὶ τὸ ὧδέ πως εἶναι. Τὸ δὲ προφανῶς ψευδόμενον. Ὑφέστηκε γάρ.

Ἔστι τις ἄρα τῆς ὕλης Δημιουργός.

§. ψοή. Δῆλον δὲ καὶ ὅτι αἱ τὴν ἐλάσσονα συμπληροῦσαι ἀποφάνσεις ἐπὶ τοῦ Διλήμματος, τοῖς τοῦ διεζευγμένου μέρεσιν ἀεὶ ἰσάριθμοι εἰσί.

§. ψοθ'. Δυσάντης δὲ καθ' ἑαυτὸν ὢν, ἰώικα πλήρης ἐστὶν ὁ Διλημματικὸς λόγος, εὐέλεγκτος ἂν γένοιτο, παρ' ἔλλειψίν τινα τὴν κατὰ τὸ ἐν αὐτῷ διεζευγμένον. Οἷον ὁ ἑξῆς·

Εἴτις ἐστὶν ἐφετὴ ἐν τῷ τῇδε βίῳ κατάστασις, ἢ πλούτῳ σύνεστιν, ἢ πενίᾳ.

Ἀλλ' εἰ μὲν πλούτῳ, μερίμναις ἄγχει.

Εἰδὲ πενίᾳ, ἐνδείαις τρύχει. Ἄρα κτ.

Παρελείφθη δὴ ἡ μεταξὺ κατάστασις, καθ' ἣν πανήγυριν ὅλον τὸν βίον διάξει, ὁ ἐπαρκεῖσθαι τοῖς παροῦσιν εἰδὼς καὶ προαιρούμενος.

§ ψπ'. Εὐπερίτρεπτον δὲ καὶ ἄλλως τὸ Δίλημμα, ἐφ' οἷς ἄλλοθεν τῶν λεγομένων τἀναντία κρατεῖ, τῶν ἐν τῇ ἐλάττονι. Εὐπετὲς γὰρ τηνικαῦτα τὸ βέλος τρέψαι κατὰ τοῦ βάλλοντος

τος. Οἷον ὁ μὲν (1) πᾶσαν κατοικτείρων τοῦ βίου τρίβον, ἐν πολλοῖς καὶ τάδε συνεῖρεν.

„. . . . . Ἔχεις γάμον; οὐκ ἀμέριμνος
„Ἔσσεαι· οὐ γαμέεις; ζῆς ἔτ' ἐρημότερος.
„Τέκνα πόνος. Πήρωσις ἄπαις βίος· Αἱ νεότητες
„Ἄφρονες· Αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.

Ἵν' ἐντεῦθεν εἰσβάλοι.

„Ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις· ἢ τὸ γενέσθαι
„Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Τῷ δὲ (2) πρὸς ταῦτ' ἀντεπενήνεκται.

„. . . . . Ἔχεις γάμον, οἶκος ἄριστος
„Ἔσσεται. Οὐ γαμέεις; ζῆς ἔτ' ἐλαφρότερον.
„Τέκνα πόθος. Ἄφροντις ἄπαις βίος· Αἱ νεότητες
„Ῥωμαλέαι. Πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.

Ἵν' ἐκ τούτων ἐπιφέρῃ,

„Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
„Μηδέποτ', ἢ τὸ θανεῖν. Πάντα γὰρ ἐσθλὰ βίου.

§. ψπά. Ἐπισφαλῶς δ' ἂν ἔχοι ἔτι τὸ Δίλημμα, καὶ τῆς ἐν τῇ μείζονι ὑποθετικῆς προτάσεως τὴν συνέπειαν μὴ ὀρθῶς ἐχούσης. Οἷον,

Εἰ διαιρετὸν εἰς ἀεὶ ἡ γραμμὴ, ἤτοι εἰς περιττὰ πάντως μέρη, ἢ γοῦν εἰς ἄρτια.

Ἀλλ' οὐκ ἐκεῖνο. Μονάδος γὰρ προσθέσει, ἢ ἀφαιρέσει τὰ μέρη ἀρτιωθήσεται.

Οὐδὲ μὲν οὖν τοῦτο, προϊούσης γὰρ τῆς διαιρέσεως περιττὰ ἀριθμηθήσεται.

Οὐκ ἄρα εἰς ἀεὶ διαιρετὸν ἡ γραμμή.

Ἡ μὲν οὖν μείζων οὐκ εὔλογον ἔχει τὸ συνημμένον. Τῇ γὰρ ἐς ἀεὶ τῆς γραμμῆς διαιρέσει, οὐδέτερον ἐπιεικῶς ἐκείνων ἐστὶν ἑπόμενον, οὔτε τὸ περιττὸν οὔτε τὸ ἄρτιον, τῆς διαιρέσεως ἀεὶ πρόσω χωρεῖν ὑποτιθεμένης.

(1) Ποσείδιπ., ἢ ὡς ἄλλοι Κράτ. ὁ Κυνικ. ἐν Ἀνθολογ. Ἐπιγραμμ.

(2) Μητρόδ. ὁ τὰ πιθανὰ εἰς ταῦτα ἀντιτάξας. Ἀντ.

§. ψπβ'. Καὶ τὸ ἐξ Αἰτιολογικῆς δὲ τῆς μείζονος (§. ψος'.) καὶ κατὰ τὲς ἀνωτέρω τρόπες (§. ψοθ'. κξ'.) σφαλιῦαι δυνάμενον, ἐλεγχθείη ἂν ἰδίᾳ ποτὲ καὶ παρὰ τὸ μὴ αἴτιον. Τοιῦτο δὴ τὸ τῦ Ζηνωνος (1) πρὸς τὸν εἰπόντα „Μηδὲ δίκην δικά„σης, πρὶν ἀμφοῖν μῦθον ἀκέσης.

„Εἴτε γὰρ ἀπέδειξε (φησὶν), ὁ πρότερον εἰπὼν, ἐκ ἀκεσέον „τῦ δευτέρε λέγοντος· πέρας γὰρ ἔχει τὸ ζητέμενον.

„Εἴτ' ἐκ ἀπέδειξεν· ὅμοιον γὰρ ὡς εἰ μηδὲ ὑπήκεσε κληθείς, „ἢ ὑπακέσας ἐτερέτισεν. Ἦτοι δὲ ἀπέδειξεν, ἢ ἐκ ἀπέδειξεν. Οὐκ ἀκεσέον ἄρα τῦ δευτέρε λέγοντος.

Οὐκ ὀρθῶς ἔν ὁ Ζηνων ἐν τέτοις αἰτιολογεῖ, τὸ δεῖν ἀκῦσαι τῦ δευτέρε λέγοντος, καθ' ὅτι ὁ πρώτως εἰπὼν, ἦτοι ἀπέδειξεν, ἢ ἐκ ἀπέδειξεν· Ἀλλ' ὅτι ἔδοξεν, εἰπὼν, ἦτοι ἀποδεδειχέναι, ἢ μή. Ταύτητοι καὶ τὸ δόξαν τοῖς τῦ δευτέρε λόγοις προσεπιβασανιστέον, ἵνα μήτις τὸ δοκήσει ἀληθὲς, ὡς ἤδη καὶ τοιῦτον πράγματι ὄν, λάθοι προπετέτερον προσκυρώσας.

Περὶ Συλλογισμῶν ἄλλων Σωθέτων, τοῖς ἤδη καταλεχθεῖσι προσεοικότων.

§. ψπγ'.

Εἰσί τινες καὶ ἄλλοι τῶν Σωθέτων Συλλογισμῶν, ὧν ἐκ ἄδηλος ἡ πρὸς ἕνα τινὰ τῶν καταλεχθέντων ὁμοιότης. Τοιῦτοι δὲ·

Α. Ὁ ἀπὸ μείζονος Συγκριτικῆς (§. υκή.). Ἐν ᾧ ἀνυποθέτως αὐτῆς πρετεθείσης, καθάπερ ἐν τοῖς ἐξ ἀνομοιολόγων Ὑποθετικοῖς (§. ψξθ'. κξ'.), προβαίνει τὸ σωαγόμενον. Οἷον τεθέντος ὅτι ὁ μὲν ὀξυωπῶν μᾶλλον ὁρᾷ, ὁ δὲ καμμύων ἧττον, τετραχῶς εἰσβάλλειν ἐξί. Α. Καταφατικῶς ἀπὸ τῦ ἧττον μετέχοντος ἐπὶ τὸ μᾶλλον. οἷον,

Ὁ καμμύων ὁράσει τῦτο διακρίνει. Ἆρα κ' ὁ ὀξυωπῶν.

Β. Ἀποφατικῶς ἀνάπαλιν· οἷον,

Ὁ ὀξυωπῶν ὃ διακρίνει, Οὐδ' ἄρα ὁ καμμύων.

Γ. Κα-

(1) Παρὰ Πλετ. περὶ Στωϊκ. Ἐναντιωμ.

Γ. Καταφατικῶς ἀπὸ τῦ μᾶλλον, ἐπὶ τὸ ἧττον· οἷον,
Ὁ ὀξυωπῶν προσκρέει. Ἆρα καὶ ὁ καμμύων.

Δ Ἀποφατικῶς ἀνάπαλιν· οἷον,
Ὁ καμμύων ἐ προσκρέει· ἐδ' ἄρα ὁ ὀξυωπῶν.

§. ψπδ'. Ἀλλ' ἔστι δὴ καὶ εἶδος ἕτερον Συγκριτικῦ Συλλογισμῦ, ἐν ᾧ συγκριτικαὶ προτάσεις εἴτε κείμεναι ἀμφότεραι εἰσὶ, καὶ τὸ συναγόμενον. οἷον

Ὁ Αἴας ἀνδρειότερος ἢ Ὀδυσσεύς.
Ὁ Ἀχιλλεὺς ἀνδρειότερος ἢ Αἴας.
Ὁ ἄρα Ἀχιλλεὺς ἀνδρειότερος ἢ Ὀδυσσεύς.

Ὃν ἄντις καὶ Σωρικῶς (§. ψνβ'.) διατάξειε.

§. ψπέ. Β'. Ὁ ἀπὸ μείζονος Ἐξομοιωτικῆς (§. υκά.), ὃς ἰσοδυάμος ἐστὶ τῷ ἐξ ὁμοιολόγων (§. ψοβ'.) ὑποθετικῷ. οἷον,
Ἔστι τὰ σιτία πρὸς τὸ σῶμα, ὥσπερ πρὸς τλιὼ ψυχλιὼ αἱ τῶν λόγων ὑποθῆκαι.
Ἀλλ' ὑπ' ἐνδείας τῆς ἐκείνων τὸ σῶμα ἐξασθενεῖ.
Καὶ ἡ ψυχὴ ἄρα ὑπ' ἐνδείας τῆς τέτων.
Ἀναχθείη δ' ἂν ἔτος ἐπὶ τὸ κατ' ἀναλογίαν σωιζάμενον παράδειγμα (§. φοζ'.).

§. ψπς'. Γ. Καὶ ὁ ἐξ Ἀναφορικῆς (§. υκ'.) τῆς μείζονος, ὃς καὶ αὐτὸς τῷ ὑποθετικῷ (§. ψξή.) ἐστὶ παραπλήσιος. Τῦ γὰρ πρὸς ὃ, ὡς ἡγεμόνι τῇ θέσει, καὶ τὸ πρὸς αὐτὸ ἕπεται. Καὶ τῇ ἀναιρέσει τῇ τέτε, καὶ ἐκεῖνο σωαναιρεῖται. οἷον,
Ὅπε ὁ θησαυρὸς, ἐκεῖ καὶ ἡ καρδία.
Τῶν δὲ Φιλοκλημόνων ὁ Θησαυρὸς ἐπὶ τῆς γῆς.
Οὐκῦν καὶ ἡ καρδία. Ἡ γῆν,
Οὐκ ἐν ἐρανῷ ἡ καρδία.
Οὐδὲ ὁ θησαυρὸς ἄρα.

§. ψπζ'. Δ. Καὶ ὁ ἐξ Ἐναντιωματικῆς (§. υκβ'.). οἷον
Πᾶς ἄνθρωπος κἂν εἰς ἀκρότητα γένηται παιδείας ἑλληνικὸς, ἀπάτη ὅμως ὑπόκειται.
Ἀριστοτέλης δὲ καὶ εἰς ἀκρότητα παιδείας ἐλάσας, ὅμως ἄνθρωπος ἐστίν. Ἆρα κλ.
Ὃν ῥᾷσα ἄντις ἐπὶ τὸν δι' ὅλε ὑποθετικὸν (§. ψξς'.) μεταῤῥυθμίσειεν.

ΚΕΦ. ΕΒΔΟΜΟΝ.

Περὶ Συλλογισμῶν Ἀναγωγῆς, καὶ τῆς τέτων Ἀπαγωγῆς εἰς ἀδύνατον.

§. ψπή.

Ἀναγωγὴ Συλλογισμὸς ὀρθὸν μὲν καὶ Ἀποδεικτικὸν προσεῖπον, τὸν ἐξ ἀτελεστέρε ἐπὶ Σχῆμα τελεώτερον μεταρρύθμισιν. Μὴ ὀρθὸν δὲ, ἀλλὰ πλαγίαν, καὶ Ἀπαγωγὴν ἐκάλεσαν εἰς ἀδύνατον, τὸν τῆ ἀφυῶς μὲν, καὶ ἀνεπιλήπτως ἔχοντος, ὑπὸ δὲ τῶν ἐριστικώτερον, ἢ θρασύτερον ἐντυγχανόντων μὴ τῆς δεήσης ἀξιωμένε πίστεως, ἐπὶ τὸ ἄτοπόν τι συμβαίνειν καλὰ τῆ μάτην διαφιλονεικοῦντος, διαστροφήν.

§. ψπθ'. Ὑπεργεῖ ἓν εἰς Ἀναγωγὴν, ἥτε τῶν προτάσεων κατὰ τὸ ἐγχωρῆν Ἀντιστροφὴ, καὶ ἡ τέτων, ὅπη παρείκοι, Μετάθεσις· διὰ γὰρ τέτων ἅπαντες οἱ ἐν τοῖς λοιποῖς τῶν Σχημάτων, μὴ πάντοτε κατὰ φύσιν συγκεκροτημένοι (§. χί.) Συλλογισμοὶ Καταλληλοί τε καὶ Ἀκατάλληλοι, περιβαλλόμενοι τὸν κατὰ τὸ Α. μορφὴν, κρείττες ἑαυτῶν εἰς τὸ συμβαίνειν καθίσανται. Πλὴν τῶν Καταλλήλων ΓΡΑΨΟΔΟ καὶ ΓΟΡΓΑΔΟ, ὧν ὁ μὲν ἐπὶ τῆ Β. (§ χγά.) συμβαίνει, ὁ δὲ ἐπὶ τῆ Γ. (§. ψβ'.)· ἧς Ἀπαγωγικῶς μέτιμεν ὡς εἰρήσεται.

§. ψή. Ῥᾴστα τοίνυν τὸν Ἀποδεικτικὸν Ἀναγωγὴν μεθοδεύσομεν· Α. Τὰ ἐπὶ τῶν Συμβολικῶν φωνῶν, δηλωτικὰ τῆ ποσῆ καὶ τῆ ποιῆ (§ υβ'.) φωνήεντα σημειέμενοι. Β Τοῖς ἀρκτικοῖς τῶν ἐπ' αὐταῖς συμφώνων προσέχοντες, δι' ἂν δηλῆται, ἐφ' ἑῶτινα δὴ τῶν τῆ Α. Σχήματος τεττάρων Καταλλήλων Συζυγίαν τὸν Συλλογισμὸν ἀνάγειν χρή· Ἐπὶ τὸν ἐκ τῆ αὐτῆ δηλονότι ἀρχομένην γράμματος. Γ. Καὶ τῶν παρεμπιπλόντων δὲ συμφώνων ἐν τοῖς Συμβόλοις παρατηρῆντες τὰ τέσσαρα. Τὸ Ν, ὃ ἁπλῶς σημαίνει ἀντιστροφὴν τῆς κατὰ τὸν συλλαβὴν προτάσεως, ἥπερ ἐφέπεται· τὸ Σ., ὃ τὸν κατὰ συμβεβηκὸς· τὸ Μ, ὃ Μετάθεσιν ἀπαιτεῖσθαι αἰνίττεται· τὸ Δ, ὃ Ἀπαγωγὴν ἐλέγχει τῆ τρόπε τὸν εἰς ἀδύνατον. Ὡς ἐν τοῖς ἔπεσι.

„Ε, Α, Ο, Ι τε ποιὸν, ἢ ποσὸν λέγει.
„Ἀρκτικὰ δ' αὐτε εἰς ὃν ἄξεις τῶν τρόπων.
„Κ' ἀντισροφιὼ μὲν, ΝΥ ἁπλιῶ παρισάνει.
„Ἀντισροφιὼ δὲ ξυμβεβηκὸς ὂν ΣΙΓΜΑ.
„Μετάσασιν πάλιν δὲ ΜΥ προκειμένων.
„ΔΕΛΤΑ τρόπε δὲ, ὥσιν εἰς ἀμήχανον.

§. ψγά. Ἔσαι τοίνυν τῇ τοιαύτῃ χρωμένες μεθόδῳ, τῶν ἐν τῷ Α. Σχήματι Ἀκαταλλήλων, τὸν μὲν ΓΡΑΦΑΛΙΝ (§. χπδ'.) ἐπὶ τὸν ΓΡΑΜΜΑΤΑ ἀνάγειν τὸν ὁμοιακρόσιχον, διὰ ἁπλῆς ἀντισροφῆς τῆς σωαγομένης, ὡς διασημαίνει τὸ ἐφεπόμενον Ν, καὶ διὰ ἀναδρομῆς τῆς ὄρε (§ υξθ'.), ἥπερ ἔξεσι.

Γρά	Πᾶν αἰθητικὸν ζῶον.	Γράμ	. . . . .
Φα	Πᾶς ἵππος αἰθητικός.	μα	. . . . .
λιΝ	Τὶ ζῶον ἵππος.	τα	Πᾶς ἵππος ζῶον.

Τὸν δὲ ΘΕΑΖΕΝ, καὶ τὸν ΘΕΑΖΟΝ ὡσαύτως, (πλιὼ ὅσον τὸ κατὰ τὸν δεύτερον σωαγόμενον ἀναβιβασέον (§. υξθ'.) ἐπὶ τὸν καταλληλον ΘΕΑΣΕ. Καὶ τὸν ΣΑΒΙΤΙΝ ἐπὶ τὸν ΣΑΝΙΔΙ. Τόντε ΤΑΣΕΝΜΟ (§. χπέ.) καὶ τὸν ΤΙΝΕΝΜΟ (§. χπς'.) ἐπὶ τὸν ΤΕΧΝΙΚΟΣ μεταθέσειτε τῶν προκειμένων, ὡς δηλῶσαι διὰ τῆς αὐτοῖς Μ, καὶ ἀντισροφῇ τῆς μὲν κατὰ συμβεβηκὸς, ἥπερ ἂν ἐφέποιτο τὸ Σ, τῆς δ' ἁπλῶς, ἥπερ ἂν τὸ Ν, καθάπερ § ψή.) εἴρηται.

§. ψγβ'. Καὶ τῶν ἐπὶ τῆς Β. δὲ Σχήματος Καταλλήλων (§. χγά.) τόντε ΘΑΜΒΕΝΕΝ, καὶ τὸν ΘΕΝΑΖΕ ἐπὶ τὸν τῆς Α. ὁμοιακρόσιχον ΘΕΑΣΕ τελειῶντες ἀνάγομεν· τὸν μὲν, μεταθέσει τῶν προκειμένων, διὰ τὸ Μ, καὶ ἁπλῇ ἀντισροφῇ τῆς ἐλάσσονος, καὶ τῆς σωαγομένης κατὰ τὸ ἑπόμενον Ν. τὸν δὲ δι' ἀντισροφῆς ἁπλῆς τῆς μείζονος. Καὶ τὸν ΤΕΝΙΟ δὲ, ἐπὶ τὸν ΤΕΧΝΙΚΟΣ ἁπλῶς τιὼ μέζονα ἀντισρέφοντες. Τὸν γεμιὼ ΓΡΑΨΟΔΟ, μόνῃ τῇ εἰς ἀδιώατον ἀπαγωγῇ, ὡς δῆλον ἐκ τῆς Δ, μετασκδάσομεν.

§. ψγγ'. Τῇ αὐτῇ δὲ μεθόδῳ, καὶ τὰς ἐξ ἀντισροφῆς (§. χγγ'.), ἢ μεταθέσεως (§. χγς'.) Ἀκαταλλήλες τῶν Δευτεροχημόνων· Καὶ πάντας δὲ τὰς Τριτοχήμονας (§ ψβ' κξ'.) Καταλλήλες τε καὶ Ἀκαταλλήλες· Καὶ τὰς διαχηματιζομένας ἔτι κατὰ τὸ Δ (§. ψιβ'. κξ'.) ἐπὶ τὰς ὁμοιακροσίχας τέτταρας τῆς Α. μεταῤῥυθμίζοντες ἐπανάξομεν.

§. ψηδ'. Ἀλλὰ γὰρ ἐφ' ὧν τὸ Δ. ἐμφέρεται τρόπων, οὐδὲ μιᾷ τούτους μηχανῇ, διὰ τῶν αὐτῶν μεθόδων, ἐπὶ τὸ κρεῖττον μεταστοιχειοῦν ἐστὶ καὶ τελεώτερον. Εἰσὶ δὲ ΓΡΑΨΟΔΟ, ὡς εἴρηται, ὁ ἐπὶ Β. Σχήματος Κατάλληλος (§. χηά.) καὶ ΓΟΜΑΔΟ (§. χηζ'.) Ἀκατάλληλος εκ μεταθέσεως ἐπὶ τοῦ αὐτοῦ. Ὅ, τε ΓΟΡΓΑΔΟ (§. ψβ'.) Κατάλληλος ἐν Σχήματι Γ. καὶ ΓΑΜΟΡΔΟ, ὁ ἐν τῷ αὐτῷ ἐκ μεταθέσεως Ἀκατάλληλος (§. ψζ'.). Τούτους γὰρ, οὔτε δι' ἀντιστροφῆς ἀνάγειν ἐστὶ· τῆς γὰρ Α προτάσεως ἐν αὐτοῖς κατὰ συμβεβηκὸς ἀντιστρέφειν δυναμένης (§. υό.), καὶ τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς, ἣν ἂν ἡ Ο ἐπιδέξαιτο (§. υοβ'.) εἰς μεταῤῥύθμισιν συλλογισμῶν ἀχρηστούσης (§. χπδ'.), συσταίη ἂν Συλλογισμὸς ἐκ δυεῖν ἐπὶ μέρους ἀσυστάτως (§. χμδ'.). Ἀλλ' οὐδὲ διὰ μεταθέσεως. Ἐὰν γὰρ Α ἡ μείζων ὑποτεθῇ, ἡ Ο εἰς ἐλάσσονα χώραν οὐχ ἕξει ἐν Α. Σχήματι (§. χξη.) ὡς ἀποφάσκουσα. Ἐὰν δ' ἀνάπαλιν, ἄχρηστος ἔσται εἰς μείζονα (§. χοά.) ὡς ἐπὶ μέρους. Λείπεται τοίνυν ἄλλως πως τοὺς τοιούς δε Συλλογισμοὺς μετιέναι, διὰ τῆς Ἀπαγωγῆς εἰς ἀδύνατον.

§. ψηέ. Ἔχει δὲ ἡ μέθοδος οὕτω. Τῆς ἀντιφασκούσης τῷ συναγομένῳ εἰς μείζονα, ἢ ἐλάσσονα μεταληφθείσης, τὴν ἀντιφάσκουσαν ταύτῃ ἀνθ' ἧς μετείληπται συναπτέον· ὡς οὕτως ἂν γένοιτο τὸν εἰκῇ θρασυνόμενον, ἄμφω τὰ μόρια προσέσθαι τῆς ἀντιφάσεως καταναγκάσαι, τὸ μὲν πρὸ τῆς Ἀπαγωγῆς τιθέμενον, τὸ δὲ μετὰ τὴν Ἀπαγωγὴν, διὰ συλλογισμοῦ ἄριστα καὶ τελεώτατα συνάπτοντος. Διαιτητέον δὲ τὰ τῆς μεθόδου κατὰ τὰ ἐφεξῆς ἔπη.

„Α λείπων, Ο τρέπων, Δέλτ' εἰς τὸ ἀμήχανον ἄξεις,
„Γράμμα τὸ Μῦ κεῖται, ἣν μεταθεῖο ὅπου.

Ἀμέλει καὶ γὰρ, τῶν οἷς ἐμφέρεται τὸ Δέλτα τρόπων, τῇ εἰς ἀδύνατον Ἀπαγωγῇ ἐπὶ τὸν ΓΡΑΜΜΑΤΑ τὸν μὲν ΓΡΑΨΟΔΟ, καὶ τὸν ΓΟΡΓΑΔΟ μεταστοιχειώσεις, τὴν μὲν κατὰ τὸ Α πρότασιν, ὡς ἔχει κατὰ χώραν ἐῶν, ἀντὶ δὲ τῆς κατὰ τὸ Ο, τὴν ἀντιφατικὴν τοῦ συμπεράσματος (ἥτις ἔσται Α) προτιθέμενος, καὶ τὴν ἐκείνῃ (τῇ Ο) ἀντιφάσκουσαν Α, εἰς συμπέρασμα ὑποσυνάπτων. Τὸν δὲ ΓΟΜΑΔΟ, καὶ ΓΑΜΟΡΔΟ ὡσαύτως. Πλὴν ὅσον ἡ Α πρότασις ἐπὶ τούτων, ἀπὸ μείζονος εἰς ἐλάσσονα, ἢ ἀνάπαλιν, μεταθετέα, ὃ δηλοῦν καὶ τὸ Μ, τέτακται. οἷον·

Γρά

Γρά	Πᾶσα ἀρετὴ ἐρατή.	Γράμ	Πᾶσα ἀρετὴ ἐρατή.
ψο	Τὶς πρᾶξις ἐκ ἐρατή.	μα	Πᾶσα πρᾶξις ἀρετή.
δο	Τὶς πρᾶξις ἐκ ἀρετή.	τα	Πᾶσα πρᾶξις ἐρατή.

Καὶ ὁ κατὰ ΓΟΜΑΔΟ, μεταθέσεως διὰ τὸ παρεμπίπλον Μ γινομένης

Γο	Τὶ ζῶον ἐκ ἄνθρωπος.	Γράμ	Πᾶς Φιλόσοφος ἄνθρωπ.
μα	Πᾶς Φιλόσοφος ἄνθρωπ.	μα	Πᾶν ζῶον Φιλόσοφος.
δο	Τὶ ζῶον ἐκ ἔστι Φιλόσοφος.	τα	Πᾶν ζῶον ἄνθρωπος.

Παραπλησίως δ' ἂν ἀπαχθεῖεν, καὶ τῶν λοιπῶν ὁ μὲν κατὰ ΓΟΡΓΑΔΟ ἄνδρ μεταθέσεως, ὁ δὲ κατὰ ΓΑΜΟΡΔΟ σὺν μεταθέσει.

§. ψιγ'. Παρὰ τέτες δὲ, καὶ πάντα ἄντις ἀπαγάγοι Συλλογισμὸν, ἐξ οποιοσδηποτῶν Σχήματος καὶ τρόπε, βραχύτι τινὶ μέθοδον παραλάξας, καὶ τῇ ἀντιστροφῇ, καὶ μεταθέσει, καὶ μιᾷ καὶ τῇ ἀκολουθίᾳ τῶν προτάσεων, κατὰ τὸ ἐπιβάλλον ὠ δέοντι προχρησάμενος. Οἷον ἀπάγω δὴ τὸν ἐξ ἀντιστροφῆς Ἀκατάλληλον τῶ Α'. Σχήματος,

Γρά	Πᾶν αἰσθητικὸν ζῶον.
Φα	Πᾶς ἵππος αἰσθητικόν.
λιν	Τὶ ζῶον ἵππος.

Τὸ μὲν ἀντιφάσκον τῷ συναγομένῳ λαβὼν εἰς μείζονα, τινὶ δὲ μείζονα μεταλαβὼν εἰς ἐλάσσονα, καὶ τὸ ταύταις τεθείσαις κατὰ ΘΕΑΣΕ ἐπιφερόμενον (ἐ γὰρ ἐνταῦθα παρατηρητέον τὸ ἀκρόσιχον.) ἁπλῶς τε, ἢ πέφυκεν (§. υξή.) ἀντιστρέψας, καὶ τῇ καθόλε τέως ὑποσυνάψας (§. φιζ'.) τινὶ ὑπάλληλον.

Θέ	Οὐδὲν ζῶον ἵππος.
α	Πᾶν αἰσθητικὸν ζῶον.
σε	Οὐδὲν αἰσθητικὸν ἵππος.

Καὶ (§. υξή.) Οὐδεὶς ἵππος αἰσθητικόν.
Καὶ (§. φιζ'.) Οὐ πᾶς ἵππος αἰσθητικός.

ἥτις ἐστὶν ἡ τῇ ἐλάσσονι τῶ ἀπαχθέντος Συλλογισμῶ ἀντιφάσκουσα.

Καὶ τὸν κατὰ ΘΑΜΒΕΝΕΝ Δευτεροχήμονα.

Πᾶς ὄνος τετράπους.
Οὐδεὶς ὄρνις τετράπους.
Οὐδεὶς ὄρνις ὄνος.

Ἐπὶ τὸν κατὰ ΤΕΧΝΙΚΟΣ τῷ Α'. ἀπάγω, λαβὼν εἰς μείζονα τιὼ ἐλάσσονα. καὶ τὸ ἀντιφατικὸν τῷ σωαγομένῳ ἁπλῶς εἰς ἐλάσσονα ἀντιστρέψας, καὶ τιὼ ἀντιφάσκουσαν τῇ μείζονι ὑποσωάψας εἰς σωαγόμενον. Οὕτως·

Οὐδεὶς ὄρνις τετράπους.
Τὶς ὄνος ὄρνις.
Οὐ πᾶς ὄνος τετράπους.

§. ψιζ'. Μεθόδῳ δὲ παραπλησίᾳ χρησαμένοις ἀπάγειν ἔσται ῥᾳδίως καὶ τὰς λοιπὰς ἀπαξάπαντας. Πλὴν ἀλλ' εἰσὶν οἱ ματαιοπονίας αἰτιῶνται τὰ τοιαῦτα, πλεῖον εἶναι τῷ χρειώδες τὸ περίεργον ἐν αὐτοῖς τιθέμενοι. Ἔστι δὲ τ' ἀληθὲς φάναι, τιὼ μὲν τῶν λογικιζομένων διάνοιαν γυμνάσαι καὶ διεξυναι, ἐ πάντη ἀπρόσφορα, κατὰ δὲ τὰς σωσεσίας προχειρίζεσθαι περιττὰ ἐπιεικῶς καὶ ἀνόνητα. Εἰ γάρ τις σοφιστῶν, καὶ ἐριστικώτερον τῷ δέοντος ἡμῖν προσφερόμενος, δοίη μὲν τὰς ἐν τῷ συλλογισμῷ προκειμένας, ἀποφήσειε δὲ τὸ ἐξ αὐτῶν ὀρθῶς σωαγόμενον, κἂν κατα τιὼ εἰρημένῳ μέθοδον εἰς ἀδύνατα σωωθοῖτο, ἐδὲν ἧττον καὶ μετὰ τιὼ Ἀπαγωγιὼ τὰ ἴσα ὀφθήσεται θρασυνόμενος ὁ τοιοῦτος, καὶ δώσει μὲν αὖθις· ὡς καὶ πρῶτον, τὰ τεθέντα, ἀποφήσει δὲ τὸ ἑπόμενον. Ἀπαξ γὰρ προθέμενος ψεύδεσθαι, ἐδὲ δεύτερον τῆς ἱερᾶς ἀληθείας καταψεύσεται.

§. ψιη'. Βέλτιον οὖν κατὰ τῶν τοιούτων, τοῖς τῶν Συλλογισμῶν βασιμωτάτοις ἐκείνοις ὁπλίζεσθαι (§. φπδ'. κξ.) καὶ Στοιχειώδεσιν, ἃς Γνώμονας οἷον Συλλογιστικῆς ἐφόδῳ, καὶ πέρας εἴδος ἀπάσης (§. χδ'.) ὑπεσησάμεθα. Ἐν ἐκείνοις γὰρ, ὡς ἐν ἀρχαῖς γνωριμωτάταις καὶ φανωτάταις ἐναστρέπτου τὸ ἀλόγως ἐπιφερόμενον, ἑκόντα ἀέκοντάγε ὁμολογεῖν καταναγκάζει τὸν ἀντιλέγοντα. Ἄλλαγε τὰς ἀρχὰς, ἐρεῖ, ἀπαναίνομαι. Ἀλλ' ἀλογεῖς. Ἀλλὰ δεῖξιν αἰτῶ. Ἀλλ' ἐκ ἐν λάβοις. Πρὸς γὰρ τὸν ἀναιρεῖντα τὰς ἀρχὰς λόγος οὐδείς. Καίγε πλέω ἂν ἐπιεικῶς ἀπανήναιτο κἂν ὁ σφόδρα ἀπαίδευτος, ἢ δεῖξαι ἰσχύσειε, καὶ ὁ ἐπ' αὐτιὼ ἐλάσας τιὼ Σοφίας ἀκρότητα.

§. ψιθ'.

§. ψγθ'. Ἀλλ' ἔστιν εἶδος ἕτερον Ἀποδείξεως εἰς ἀδιώατον ἀπαγέσης, ἣ χρῆθαι εἰώθασιν, ἐφ' οἷς ἀγνοεμένων τῶν αἰτίων ἐπάναγκες ὅμως ὂν ἀποδείκνυται τόδε, ἢ τόδε τιθέναι, διὰ τὰ ἄλλως ἂν, ἐφεπόμενα ἄτοπα. Τιωικαῦτα γὰρ ὁ διὰ τῦ ἀδιωάτε ἐγκρίνεται Συλλογισμὸς, ἐχ ἁπλῆς τις ὢν, ἐδὲ μοναδικὸς, διὰ τριῶν δὲ συγκροτέμενος· τῦ μὲν Α Διαζδκτικῦ, τιὼ ἄρσιν (§. ψξβ'.) προσλαμβάνοντος· τῦ δὲ Β. ὑποθετικῦ, κατὰ ἄρσιν (§. ψξή.) εἰσβάλλοντος· τῦ δὲ Γ. Κατηγορικῦ, τῦ τιὼ ὑπόθεσιν τῦ Β. τιὼ τὸ ἀδιώατον προϊχομένιω κρατύνοντος. Οὕτως ὁ Γεωμέτρης τιὼ διαγώνιον ἀσύμμετρον ἔσαν τῇ τετραγώνε πλδρᾷ ἀποδείκνυσιν (1).

Α. Ἤτοι γὰρ σύμμετρος, φησὶν, ἢ ἀσύμμετρος.
Οὐκ ἔστι δὲ σύμμετρος.
Ἀσύμμετρος ἄρα.

Β. Εἰ γὰρ σύμμετρος, ὁ αὐτὸς ἀριθμὸς καὶ περιτὸς ἔσαι, καὶ ἄρτιος.
Οὐκ ἔστι δὲ ὁ αὐτὸς καὶ περιτὸς ἅμα, καὶ ἄρτιος.
Οὐκ ἄρα σύμμετρος.

Γ. Ὁ γὰρ τῦ ἀπὸ τῆς πλδρᾶς τῦ τετραγώνε ἀριθμὸς, τῷ τῦ ἀπὸ τῆς διαμέτρε ἡμίσει ὁ αὐτὸς ἀριθμὸς ἐστὶν. (Ἐπεὶ τὸ ἀπὸ ταύτης διπλάσιον δείκνυται τῦ ἀπ' ἐκείνης.).
Ἔστι δὲ, ὁ μὲν περιτὸς (ἀπὸ τῆς πλδρᾶς, φέρε, γ'.) οἷον ὁ θ'.
Ὁ δὲ ἄρτιος, ὁ ἥμισυς τῦ ιε'. (τῦ ἀπὸ τῆς διαγωνίε φέρε δ'.) οἷον ὁ ή. (2).
Εἴπερ ἄρα σύμμετρος, ὁ αὐτὸς καὶ περιτὸς ἀριθμὸς ἔσαι, καὶ ἄρτιος.

Παρα-

(1) Πυκνὴ τῶν τοιῶνδε Ἀπαγωγικῶν Δείξεων ἡ χρῆσις τοις Γεωμέτραις, καὶ τῷ Εὐκλείδη ἰδίως ἐν Α. τῶν Στοιχείων. Πρδ. ε'. καὶ ζ'. καὶ ή. καὶ ιθ'. καὶ κέ. Καὶ ποδαχῦ.

(2) Ἡ καὶ τῆς μὲν πλδρᾶς τεθείσης 4. Τῆς δὲ διαγων. 5, ὁ ἀπ' ἐκείνης 16, ὁ αὐτὸς ἂν, τῷ τῦ ἀπὸ ταύτης 25, ἡμίσει 12½, ἃ μόνον περιτὸς ἔσαι καὶ ἄρτιος ἅμα, ἀλλὰ καὶ μείζων ἑαυτῦ καὶ ἐλάσσων· καὶ ὅλον καὶ μέρος. Ἔτι δὲ, κἂν ἡ μὲν πλδρὰ τεδῇ, 2. ἡ δὲ διαγ. 4. ἄμφω ἄρτιοι, δέον τὸν ἀπ' ἐκείνης τὸν αὐτὸν εἶναι τῷ ἡμίσει τῦ ἀπὸ ταύτης, ἔσαι 4 = 8. ὁ αὐτὸς ὅλον τε καὶ ἥμισυ. Κἂν ἡ μὲν 3. ἡ δὲ 5. ἄμφω περιτὼς, ἔσαι 9 = 12½.

Παραπλησία δὲ τῇ Ἐφόδῳ, δείξειεν ἄντις καὶ τὴν λογικὴν ψυχὴν οὖσαν ἀθάνατον.

Α. Ἤτοι γὰρ θνητὴ, ἢ ἀθάνατος.
Οὐκ ἔστι δὲ θνητή.
Ἀθάνατος ἄρα.

Β. Εἰ γὰρ θνητὴ ἄδικος ἡ δίκη.
Οὐκ ἄδικος δὲ ἡ δίκη.
Οὐκ ἄρα θνητή.

Γ. Ἡ γὰρ δίκη, ἡ μὴ τοὺς ἐξ ἀδικίας εὐπραγοῦντας μετιοῦσα, ἄδικος.
Ἡ δὲ δίκη τοὺς ἐξ ἀδικίας εὐπραγοῦντας οὐ μέτεισιν.
Εἴπερ ἄρα ἡ ψυχὴ θνητὴ, ἄδικος ἡ δίκη.

§. ώ. Οὐ πόῤῥω δὲ ἴσως τῆς παρούσης ἂν εἴη προθέσεως, καὶ περὶ τῆς ἐκ τοῦ ἀντιφάσκοντος μὲν, ὀρθῆς δ' οὐχ ἥκιστα δείξεως, νύξιν τινὰ παραχεῖν. Ἣν οἱ μὲν ἀσύστατον οἴονται, οἱ δὲ καί τοι παραδοξοτέραν δοκοῦσαν, ἐπ' ἐνίων ἄριστα συνίστασθαι διατείνονται (1). Γίνεται δ' αὕτη ἐπειδάντις ἐκ θατέρου τῶν τῆς ἀντιφάσεως μορίων, ὃ κατὰ δόξαν ἰδίαν ἀδυνάτως ἔχει, θάτερον ὀρθῶς τε, καὶ ἐπ' εὐθείας εἰσβάλλῃ. Οὕτωτις τῶν Νεωτέρων (2) τὸ κενὸν ὑπεροῤῥωδήσας, καὶ οὐ μόνον μηδαμοῦ τῆς φύσεως εἶναι, ἀλλ' οὐδὲ δυνατῶς ἔχειν διδάξας, διὰ τοῦ ἀντιφάσκοντος, ἐκ τῶν αὐτῷ Ἀρεσκόντων ἂν ἀποδείξειεν. Ἔστω γὰρ δὴ τὸ κενόν. Τὸ δὲ ἔκτασίς τις ὑποτίθεται τριχῇ διαστατὴ οὖσα· τὸ δὲ τριχῇ διαστατὸν σῶμα (ᾗ αὐτῷ δοκεῖ.). Εἰ δὲ σῶμα, πλῆρες. Τὸ δὲ πλῆρες οὐχὶ κενόν. Ὥστε ἐκ τοῦ εἶναι τὸ κενὸν, ὀρθῇ (φησὶ) τῇ δείξει συνάγεται μὴ εἶναι τὸ κενόν.

Παραπλησίως ἄντις ἐκ τοῦ μὴ ἐν τόπῳ εἶναι τὴν σφαίραν τὴν ἐξωτάτω, συνάψειε κατὰ Ἀριστοτέλους τὸ ἀντιφάσκον, ὅτι ἐν τόπῳ. ᾗ γὰρ ἐξωτάτω, καὶ τῆς κατὰ τὸ πῦ διαφορᾶς μετειληφεῖα ἔσται, καὶ ἐν τόπῳ οὖσα.

Καὶ τὸ σφαιροειδῶς δὲ κυρτοῦσθαι τὴν θαλάσσης, καὶ παντὸς ὑγροῦ ἐπιφάνειαν, ἐν τοῖς Κοσμογραφικοῖς, τοιᾷδε δείκνυται τῇ ἐφόδῳ (3). Κείσθω γὰρ μὴ· ὥστ' οὐκ ἀπέχει ἐπίσης τοῦ κέντρου

(1) Διηνέχθη περὶ τούτου ὁ Μαθηματικὸς Τακυέτιος πρὸς Δανιὴλ Λιπστόρπιον, δείξας ἐν τῷ Παραρτήμ. τῷ μετὰ τὰ Ἀρχιμ. Θεωρ., ὡς κἀκτοῦ ψευδοῦς πολλάκις ἐστὶν ὀρθῶς τε καὶ ἐπ' εὐθείας τ' ἀληθὲς συνάγεσθαι.

(2) Ὁ Καρτέσιος.

(3) Ἀνδρέ. Τακυέτ. ἔνθα ἀνωτ.

κέντρε τὰ ὕδατα. Εἰ δὲ τᾶτο, τὰ μᾶλλον, καὶ ὑψηλότερα. Ταῦτα δὲ καὶ κατὰ τῶν πρανωτέρων ἄγεται φύσει, καὶ ἀπὸ τᾶ κέντρε, τὸ ἶσον ἄτω περιποιεῖται τῆς ἀποστάσεως. Ἆρ' ἂν τὰ ὕδατα πρὸς τὸ σφαιροειδὲς τιὼ ἐπιφάνειαν ἀποκυρτᾶται. Πλεῖς' ἄντις εὗροι παρὰ τοῖς Μαθηματικοῖς κατὰ τιὼ τεθεῖσαν μέθοδον κατασκοπαζόμενα (1).

ΚΕΦ. ΟΓΔΟΟΝ.

Περὶ Συλλογισμᾶ Ἐπισημονικᾶ, ἢ περὶ Ἀποδείξεως.

§. ωά.

Ἡ δὲ Ἀπόδειξις διανοίας εἶδος ἔσα τὸ κράτιστον, καὶ τιμιώτατον, Συλλογισμός ἐστιν ἐξ ἀμέσων, καὶ διὰ ψιλῆς ἐποπτείας τὸ σαφὲς ἐχέσων (§. υι. Φλα.) ἀποφάνσεων σωεσηκώς, καὶ ἀνενδοίαξόν τι γνωσθιῶαι παρέχων τὸ σωαγόμενον. „Ἐξ ἀληθῶν, καὶ πρώτων, καὶ ἀμέσων, καὶ „γνωριμωτέρων, καὶ προτέρων, καὶ αἰτίων τᾶ συμπεράσμα„τος, τὸν κατ' Ἀπόδειξιν Συλλογισμὸν καὶ Ἀριστοτέλης (2) ἀπέδωκεν. Καὶ δή.

§. ωβ'. Α. Ἐξ ἀληθῶν, ἐπὶ γὰρ τὸ ἀληθὲς μία φέρσα ἐστὶν, ἡ διὰ τᾶ ὄντος τρίβος. Τὸ γὰρ ἐκ ψευδᾶς, ἄλλοθέν ποθεν ἀληθεῦον ἐνίοτε (§. φιβ'.), ἐ κατ' ἀπόδειξιν. Ἐξ ἀληθῶν δὲ ἡ ἀπόδειξις ἔχ ἁπλῶς τὸ εἶναι, ἐξ ὧν ἄντις καὶ πιθανῶς συλλογίζοιτο, τὸ δ' ἄλλως εἶναι μὴ ἔχειν· τετέσιν ἐξ ἀναγκαίων (§. ύ.) (3).

§. ωγ'. Β. Ἐκ πρώτων, καὶ ἀμέσων· τοιαῦτα δὲ τῶν ἀποφάνσεων, ἃς ὑποθέσεις καλᾶσιν (§. υθ'. υί.). Ἐν αἷς νοητοῖς μὲν, ἀδιανοήτοις δὲ ἔσαις (§. Φλα. Φλγ'.) ὡς μὴ διάτινος

(1) Οὕτω παρ' Εὐκλείδ. δείκν. ἡ κβ'. τᾶ Θ. τῶν Στοιχ. Καὶ ἡ δ'. τᾶ ΙΑ. Καὶ ἡ λε. τᾶ Ε. παρὰ Τακνετ. Καὶ παρὰ Καρδάνῳ δὲ ἐν τῷ Ε. τῶν Ἀναλογ. Καὶ παρὰ τῷ Θεοδοσ. ἐν τῷ Α. τῶν Σφαιρικ. ἡ τοιάδε δεῖξις οὐ χρήσιμα γίνεται, ὡς οὐ τῷ ἀνωτέρω μνημονευθέντι παραρτήματι ὑπὸ Τακνετίε δηλᾶται.

(2) Τσέρ. Ἀναλυτ. Βιβλ. Α. Κεφ. β'.

(3) „Ἐξ ἀναγκαίων ἄρα Συλλογι„σμός ἐστιν ἡ Ἀπόδειξις. Ἀριστ. Τσέρ. Ἀναλ. Βιβ. Α. Κεφ. δ'.

νος μέσȣ κατὰ διανοητικὴν μετάβασιν ἀποδείκνυσθαι πεφυκείαις, ἀκριβὴς ἡ τȣ̃ Νȣ̃ ςάσις· ἐξ ὧντε ὡς ἀρχῶν (1), καὶ αἱ διάνοιαι συνίςανται αἱ ἐκ τριῶν δι' ἑνὸς μέσȣ καὶ οἱ κατ' αὐτὰς πρῶτοι συγκροτȣ̃νται Συλλογισμοί (2).

§. ωδ'. Γ. Καὶ ἐκ προτέρων δὲ, καὶ γνωριμωτέρων τȣ̃ συμπεράσματος. Ὃ καὶ ἐπὶ παντὸς Συλλογισμȣ̃ εὐλόγως ἄντις αἰτήσειε, κἂν μὴ κατ' ἀπόδειξιν ᾖ. Εἰκὸς γὰρ ἐφ' οἱασȣ̃ πίςεως ἀείπως προτερεύειν τȣ̃ δεικνυμένȣ τὸ δι' ȣ̃ δείκνυται, καὶ γνώριμον εἶναι ἐκείνȣ ὑπαγνοȣμένȣ (§. φνς'.)· Ἡ γὰρ ἐν ἀδύτῳ κειμένη ἀλήθεια, ȣ̓δ' ἑαυτὴν παραφαίνȣσα ὅλως, σχολῇ γ' ἄν ποτε εἰς παρέμφασιν ἑτέρας γένοιτο ἀληθείας ὑπολανθανȣ́σης πυρσός.

§. ωέ. Δ. Τέως δὲ καὶ ἐκ τῶν αἵπερ ἂν ὦσιν αἰτίαι τȣ̃ συμπεράσματος. Αἰτίας δέμοι νόει ȣ̓ καθ' ἑαυτὰς, ᾗ προτάσεις εἰσί. Πῶς γὰρ ἂν ὑπὸ τῶν τεθέντων εἴη τὸ συναγόμενον; ἢ ἐξ αὐτῶν; ἢ κατ' αὐτὰ; ἢ ἐκείνων ἕνεκα; ȣ̃τω δέτοι, ὡς τὸν ἐν ἐκείνοις μέσον, τῇ πρὸς ἑκάτερα τῶν ἄκρων θέσει, παραίτιον γίνεσθαι τȣ̃ ἐν τῷ συμπεράσματι ἀναγκαίως ἡμᾶς ἐπιγινώσκειν τὴν αὐτῶν ἐκείνων συνάφειαν, ἢ διάςασιν (§. φνθ'. φξ'. φξα'. φξβ'.).

§. ως'. Ἄλλως τε δὲ ἐξ αἰτίων ὁ κατ' Ἀπόδειξιν Συλλογισμὸς, ὡς διὰ τȣ̃ αἰτίȣ τὸ πάθος κατὰ τȣ̃ ὑποκειμένȣ κατασκευάζων, διὸ καὶ ἐπιςημονικὸς εἴρηται, καὶ Ἐπιςήμης ὕμνηται

(1) „Ἀρχὴ δὲ ἐςὶν Ἀποδείξεως „πρότασις ἄμεσος. Ὑςέρ. Ἀναλ. Α. Κεφ. δ'. Πρὸς δὲ ταῖς ἀμέσοις καὶ ἀναποδείκτοις προτάσεσιν, ἃς ὑποθέσεις καλȣ̃σιν (§. υθ'.), οἷα τὰ Ἀξιώματα, καὶ οἱ Ὅροι, καὶ τὰ Αἰτήματα (§. υί.)· ὡς Ἀρχαὶ Ἀποδείξεων καταλεγέσθωσαν, καὶ αἱ ἀνελλιπῶς ἔχȣσαι τῶν Διαιρέσεων, (§. ρνή. ρνθ'. κ7. καὶ ἀμέμπτως. Καὶ οἱ τῶν Ἀντιθέσεων, καὶ Ἰσοδυναμιῶν, καὶ Ἀντιςροφῶν, καὶ Ἀκολȣθιῶν ὅροι, ȣ̃ς δίκην λογικῶν θεμελίων εἴρηται προκαταβεβλῆσθαι (§. φκθ'.)· ἐξ ὧντε καὶ Συλλογισμοὶ συνίςανται οἱ Ἀρχοειδεῖς τε καὶ Στοιχειώδεις, ȣ̃ς τῶν λοιπῶν γνώμονας ὀνομάζομεν (§. χδ'.). Καὶ τὰ ἀναμφίλεκτα δὲ, καὶ τοῖς πᾶσιν ὁμόλογα τῶν φαινομένων, καὶ τῶν γινομένων πειραμάτων (§. τλή. Σημ.). Τελευταῖον δὲ, καὶ ὅσαι δήποτε προτάσεις, εἴτ' ἐπὶ τῆς αὐτῆς, εἴτ' ἐπὶ ἄλλης ἀναντιῤῥήτως δειχθῆναι φθάσασαι θεωρίας παραλαμβάνονται, ὡς ἤδη ἐκ τῆς κατασκευῆς τὸ πιςὸν ἔχȣσαι καὶ βέβαιον. Ἐκ τȣ́των ȣ̃ν, καὶ τῶν τοιȣ́των, ὡς ἐξ ἀρχῶν αἱ Ἀποδείξεις.

(2) „Εἰσὶ δὲ τοιȣ̃τοι Συλλογισμοὶ „οἱ πρῶτοι ἐκ τῶν τριῶν δι' ἑνὸς μέσȣ. Ἀριςτ. Μεταφ. Δ.

ται γεννήτωρ (1). Ἡ γὰρ κατ' Ἐπιστήμην γνῶσις οὐ μόνον πρὸς τῷ ἀληθεῖ καὶ βεβαίῳ τὸ σαφὲς περιποιεῖται, οἷον δὴ, καὶ τοῖς αἰσθήσει ἀνεπιλήπτως, καὶ τοῖς κατὰ νοῦν ἐναργῶς τε καὶ αὐτοπίστως γινωσκομένοις προσήκειν ἐλέγετο (§. σμγ' κξ), Ἀλλὰ καὶ τὴν αἰτίαν ἐπαγγέλλεται κατειληφέναι ἀνενδοιάστως (2), δι' ἣν οὕτω καὶ οὐκ ἄλλως κρίνεται τὸ νοούμενον.

§. ωζ'. Ἐκ παντὸς οὖν εἴδους αἰτίου (3) εἰς Ἀπόδειξιν τὸ μέσον ἐστὶ λαβεῖν· Καὶ γὰρ, καὶ διὰ τοῦ Ποιητικοῦ τις ἀπέδειξεν, οἷον εἶναι τὰ πάντα λίαν καλὰ, διότι φύσει ἀγαθὸς ὁ τούτων Δημιουργός. Καὶ ἐκ τοῦ Τελικοῦ μηδὲν εἶναι τῶν ὄντων εἰκῇ, καὶ μάτην, διὰ τὴν Πρόνοιαν. Καὶ ἐκ τοῦ Ὑλικοῦ, τροπῇ τὰ σώματα ὑποκεῖσθαι, διότι ἐκ τῶν ἐναντίων συγκέκραται. Καὶ ἐκ τοῦ Εἰδικοῦ τέως, ὡς ἡνίκα ἐκ τοῦ ἐν τῷ ὁριστικῷ λόγῳ οὐσιώδους γνωρίσματος, ὃ φύσει πρότερον νοεῖται, τὸ ἐξ αὐτοῦ πως ἠρτημένον εἰσβάλλεται. Οἷον πάντα ἄνθρωπον ἐπιστήμης δεκτικὸν τυγχάνειν, διότι λογικός· Καὶ αὕτη μὲν, ἡ διὰ τοῦ αἰτίου Ἀπόδειξις, ἡ τοῦ ΔΙΟΤΙ ἐστὶ, καὶ ἐκ τῶν προτέρων ἀκούουσα (4).

§. ωη'. Ἐπεὶ δέ τοι ἐν Ἐπιστήμαις, καὶ τὸ αἴτιον αὐτὸ πρόκειται πολλάκις ζητεῖν· τοῦτο δὲ ἐκ τοῦ αἰτίου ὡσαύτως ἀείποτε λαμβάνειν οὐχ οἷόν τε, ἢ παρὰ τὸ μὴ ἔχειν, ἢ παρὰ τὸ εἶναι δυσθήρατον, ταύτῃ τοι καὶ ἀντιστρόφως τὰ πολλὰ χωροῦσιν αἱ Ἀποδείξεις, τοῖς αἰτιατοῖς ἀντὶ μέσων προσχρώμεναι. Οἷον εἰ διὰ τῆς καλλονῆς τῶν ὁρωμένων, τὸν Δημιουργόντις γεραίροι. Καὶ τὴν Πρόνοιαν εἰσάγοι, ὅτι ἕκαστα ἕνεκάτου. Καὶ ἐκ τοῦ κηραίνεσθαι τὰ σώματα, τὴν ἐν αὐτοῖς μίξιν εἰσβάλλοι. Καὶ λογικὸν εἶναι κατασκευάζοι, τῷ ἐπιδεκτικὸν φαίνεσθαι ἐπιστήμης τὸν ἄνθρωπον. Καλεῖσθαι δὲ φιλοῦσιν αἱ Ἀποδείξεις αὗται τοῦ ΟΤΙ (5), ὡς ἄρα τὸ μὲν οὕτως ἔχειν τὸ πρᾶγμα διαπιστούμεναι, τὸ δὲ διατὶ μὴ διατρανοῦσαι. Αἱ δ' αὐταὶ καὶ ἐκ τῶν ὑστέρων οὕτως οὖσαι, καὶ αἰτιατῶν, οὐδὲν ἧττον, εἰ καὶ καθ' ὑπόβασίν-

(1) Ἀριστ. Ὑστέρ. Ἀναλ. Βιβ. Α. Κεφ. β'.

(2) Ἐπίστασθαι γὰρ οἰόμεθα, ὅταν „τὴν αἰτίαν οἰώμεθα γινώσκειν, ὅτι „ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεσθαι „τοῦτ' ἄλλως ἔχειν. Αὐ. αὐτ.

(3) „Ὅτι Ἀπόδειξις δι' ὅτου δηποτε „τῶν τεττάρων αἰτίων γίνεται. Ἀριστ. Β Ὑστέρ. Ἀναλ. Κεφ. ιά.

(4) Α. Ὑστέρ. Ἀναλ. Κεφ. Ι.

(5) Αὐτ.

βασίντινα, τῷ τῆς Ἀποδείξεως διαγνωρίζονται λόγῳ. Κἂν γὰρ μὴ τὰ ἐν αὐταῖς ἀποδεικνύμενα, διʼ ὧνπερ δείκνυται, διὰ ταῦτα καὶ ὑπάρχοι· Ἀνάπαλιν γάρ. Ἀλλὰ διʼ αὐτὰ δῆπερ γιγνώσκεται. Ὥστε καὶ τὰ κατὰ ταύτας μέσα, εἰ καὶ μὴ τῷ πράγματι, ἀλλ᾽ ἡμῖν γε πάντως· τετέσι καθʼ ἡμᾶς ἐμποιεῖ γνῶσιν, (§. ωέ.), τόν τε τῆς αἰτίας λόγον, καὶ ταύτῃ δὴ καὶ τὸν τῶ προτέρᾳ, ἐ πάμπαν ἀφῄρηται (1).

§. ωϑ΄. Ὅστις μὲν ἔν (§. ωά.) ὁ κατʼ Ἀπόδειξιν Συλλογισμὸς ἐστὶ, καὶ ἐξ οἵων δὴ προτάσεων (§. ωβ΄. ωγ΄. ωδ΄. ωέ.) σωίσαθαι πεφυκὼς, καὶ ποσαχῶς ἔχων (§. ωζ΄. ωή.) ἐστὶν εἴρηται· θεωρῆσι δὲ κἂν τίσι, καὶ περὶ ἃ οἷος ἐστὶν ἐμφιλοχωρεῖν, φανερὸν ὅτι ἐ πᾶν τὸ ἀπαντῶν τῇ γνώσει, καὶ ἀποδείξει αὐτὸ τῶτο φύσιν ἔχει διαπισῆθαι. Ἔσι γὰρ τὰ μὲν παρὰ τλὼ ἐπιπολάζεσαν ἀσάφειαν ἧκισα ἀπόδεικτά, τὰ δὲ καὶ παρὰ τλὼ ἐπαυγάζεσαν ἐνάργειαν ἀναπόδεικτα. Κἀκεῖνος μὲν, ὅσα λόγον ἐκ ἔχει, ἢ ἡμῖν ἐκ ἔχει· ὡς τῶν θείων τὰ πίσει μόνῃ δεκλὰ· καὶ τῶν ἀνθρωπίνων, ἐν οἷς ἐπέχειν ἀνάγκη, μὴ ἐξὸν ἀσφαλῶς ἀποφλίαθαι, μηδὲ ἁπλαίσως περὶ αὐτὰ διανοηθλῶαι. Οἷον ὅσος ὁ τῶν ἀσέρων ἐστὶν ἀριθμὸς, ἡλίκαιτε αἱ τῶν σωμάτων μερίδες αἱ πρώτισαι καὶ ἁπλέσταται, καθ᾽ ὧν ἁπλῶς ὁ λόγος λανθάνει τῆς τῆ κατηγορεμένῃ πρὸς τὸ ὑποκείμενον χέσεως, μυρία ὄντα, καὶ ἀριθμὸν ὑπερπαίοντα.

Κατὰ

(1) Διττῶς δὲ τὰς ἐκ τῆ ΟΤΙ Ἀποδείξεις Ἀριστότελης (ἔνθα ἀνωτ.) ὑπέθετο γίνεθαι. Ἕνα μὲν τρόπον, ἐὰν μὴ διʼ ἀμέσων αἰτίων γίνηται ὁ Συλλογισμὸς, διάτινος δὲ τῶν πορρώτερω, ἅτλα τοῖς ἐξ αὐτῶν ἐκ ἔσιν ἀντίστροφα· οἷον εἴτις τὸν τοῖχον δακνύοι μὴ ἀναπνέειν ὅτι ἐ ζῷον. Τὸ μὲν γὰρ ἀντίστροφον ἂν εἴη ὅτι ἀμοιρεῖ πνεύμωνος, ἐκεῖνο δέπως καθʼ ὑπέρβασιν εἰρημένον, παραπλήσιον ἐσὶ (φησὶ) τῷ τῆ Ἀναχάρσιδος, ὅτι παρὰ Σκύθαις ἐκ ἐσὶν Αὐλητρίδες, ἐδὲ γὰρ ἄμπελοι. Ἄλλον δὲ, εἰ διʼ ἀμέσων μὲν, ἀλλὰ μὴ διὰ τῆ Αἰτίᾳ, διὰ δὲ τῶν ἀντιστρεφόντων τῇ γνωριμωτέρᾳ· οἷον ὅτι ἔγγυς οἱ πλάνητες διὰ τῆ μὴ σίλβειν. Καὶ ὅτι σφαιροειδὴς ἡ Σελήνη, διὰ τῶν ἐμφανομένων ἐν αὐτῇ μειαυξήσεων. Τάτοις γεμιὼ, καὶ τὸν τρόπον ἐξέσαι προδεῖναι, τὸν διὰ τῆς Ἀπαγωγῆς εἰς ἀδύνατον (§. ψιϑ΄.), καθʼ ὃν συχνὰς ἄντις εὕροι περαινομένας τῶν παρὰ τοῖς Γεωμέτραις Ἀποδείξεων· Καὶ ἐπὶ τῶν προαποδεχθέντων δὲ Συλλογιστικῶν Θεωρημάτων (§. χλδ΄. χλέ. χλή. χμ΄. χμδ΄. κξ.) παρʼ ἡμῖν ἐκ ὀλίγας. Ὧν δῆπε καὶ τὸ κράτος, ἰσχυρὸν μὲν ὅσον εἰς πειθῶ τλὼ κατʼ Ἐπισήμιλυ τὸν νᾶν ἐκβιάσαθαι, ἐμιλὼ δʼ ὡς καὶ τέλεον διαναπαῦσαι· καθʼ ὅτι ἐδὲ τὸ ἄμεσον καὶ κυριώτατον ἐκδιδάσκησιν αἰτίου, διʼ ὃ τὸ πάθος τῷ ὑποκειμένῳ προσᾶναι δείκνυται.

Κατὰ δὲ τὸ περιὸν τῆς ἐναργείας, ἀναπόδεικτα τυγχάνει, παρὰ τὰς κατ' αἴθησιν ἀκραιφνεῖς ἀντιλήψεις, καὶ τὰ καθαρώτατα τῶν ἐννοημάτων, οἷς ἀμέσως τε καὶ λαμπρῶς ἐναρραπτει θατέρῳ θάτερον, τὰ ἀπαραιτήτως συνεπινοόμενα· Περὶ ἃ δὴ ἄλλως κρίνειν καὶ βελομένοις ἀμήχανον. οἷα τὰ καλέμενα ἀξιώματα. Ἀποδεικτὰ δὲ μόνα, ἐν οἷς λόγος τις ἐγχωρεῖ τῆς τῶν ὅρων συναφείας, ἢ διαζεύξεως, τῆς μὲν τῇ ἑκατέρων πρός τινα τρίτον προσοικειώσει (§. χιθ'.), τῆς δὲ τῇ ἑτέρᾳ μὲν προσοικειώσει, ἑτέρᾳ δὲ ἀπαλλοτριώσει ἀπὸ τᾶ αὐτᾶ (χκ'.).

§. ωί- Ἐπιμνησέον δὲ, καὶ τᾶ ἐν ἄλλοις (§. φλγ'. φλδ'.) ἐκτεθέντος, μὴ ἀεὶ τὰ ἀποδεικτὰ δι' ἑνὸς καὶ μόνε πεφυκέναι δείκνυθαι μέσε, ὅτι μὴ ἐφ' ὧν αἱ ἐκ τριῶν διὰ μέσε ἑνὸς διανοητικαὶ τελεῦνται μεταβάσεις (§. αὐτ.), καὶ οἱ κατ' αὐτὰς πρῶτοι (§. ωγ'.) συλλογισμοί. Ἔνθα δὲ ἡ ἑτέρα τῶν προκειμένων, ἢ καὶ ἄμφω αὐτοπίστως ἐκ ἔχεσιν, ἐπάναγκες δὴ τὶωικαῦτα δι' ἄλλε περαιτέρω κατασκδάζοντας μέσε τὸ μὴ αὐτόπιστον, τοῖς παραλαμβανομένοις μέσοις τὲς συλλογισμὲς συναναπληδύνειν (1), καὶ ἄχρι τῶν ἀμέσωντε καὶ αὐτοπίστων χωρεῖν. Οὐδὲ γὰρ ὡς ἕνα δεον ἀεὶ Συλλογισμὸν ἔσαν νοεῖν τὶω Ἀποδειξιν, πλιὼ εἰ μὴ αυτη τῶν μονοσυλλογίσων εἴη τυγχάνεσα, αἳ καὶ ωάνιοι εἰσίν. Ἐν δὲ ταῖς πλείσαις πολυσυλλογίσοις ἔσαις, κὰν τῷ τῶν συλλογισμῶν πλήθει, ὡς μίαν ἐκλογίζεθαι χρὴ τὶω Ἀπόδειξιν.

§. ωιά. Ἀλλὰ καὶ τὰ ἀποδεικτὰ ὄντα ταῦτ' ἂν εἴη, καὶ ἔτως ἔχοντα. Ἐν δὲ τῷ ἀποδεικνύειν προσεκτέον Α. μὴ ἐς ἄγαν φιλοτιμεμένες, καὶ αὐτοῖς τοῖς δείξεως ἀναδεέσιν ἐπιχειρεῖν. Λέγω δὲ ἐχὶ τοῖς ἀναποδείκτοις μὲν, τοῖς ἐκ ἀποδεικτέοις δὲ ἴσως, διὰ τὸ αὐτόθεν εἶναι δοκιμώτατα. Ταύτητοι ἐδὲ τὸν Εὐκλείδιω ἀπο-

(1) Καὶ ἔσονταί τοίνυν τῶν συλλογισμῶν ἡμῖν

Πρῶτοι μὲν, οἱ ἐξ ἑκατέρας αὐτοπίστε καταφατικοὶ καὶ ἀποφατικοί.

Δευτερόπρωτοι δὲ, οἱ ἐξ ἑτέρας μὲν αὐτοπίστε, ἑτέρας δὲ ἀποδεικνυμένης.

Δευτεροδεύτεροι δὲ, οἱ ἐκ μηδετέρας αὐτοπίστε, ἑκατέρας δὲ δεικνυμένης.

Καὶ ἑξῆς δὲ ὡσαύτως Δευτερότριτοι, Τριτότριτοι, κξ. εἰς ὃ ἂν ἄχρι τῶν ἀναποδείκτων τὰ τῆς προόδε τῇ· καθ' ἣν δὴ πρόοδον οἱ πρῶτοι ῥηθέντες ἔσονται ἔχοντες.

„ἀποδέχονται (1) τὰς δύο τῶν πλευρῶν παντὸς τριγώνου μείζους εἶναι τῆς λοιπῆς δεῖξαι ἀγωνιζόμενον. „Καὶ τῇ δοθείσῃ „εὐθείᾳ πρὸς τῷ δοθέντι σημείῳ, ἴσην εὐθεῖαν θέσθαι σπουδάζοντα. Τούτων γὰρ τὸ μὲν αὐτίκα συμφανὲς εἶναι φασὶν, ἐξ „αὐτῆς τῆς εὐθείας, ἥτις ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα „ἐχουσῶν (2). Τὸ δὲ αἰτεῖν ἐχρῆν, ἢ κατασκευάζειν. Οὕτως οὐκ ἔξω βαίνουσι τοῦ περιττοῦ, καὶ οἱ ἐν τοῖς Μεταφυσικοῖς „ἀποδεικνύειν νεανιευόμενοι τοῦ μηδενὸς ποιητικὸν εἶναι μηδέν. Καὶ „τῷ μηδενὶ μηδεμίαν ὅλως προσήκειν μήτ' ἐνέργειαν, μήτε δύναμιν. Καὶ ὅσα τοιαῦτα. Εἰ γὰρ καὶ διὰ τῶν πρεσβυτάτων ἀρχῶν, (§. σμϛ'.) τῆς τε Ἀντιφάσεως, καὶ τῆς τοῦ λόγου ἐναργείας, (Προδι. Γ'. §. ϐ'.) ὡς διὰ προτέρων πέφυκε κρατύνεσθαι καὶ ταῦτα, οἷαπου καὶ τὰ λοιπὰ τῶν Ἀξιωμάτων, ἀλλάπως φθάνει τὸ διανοητικὸν παρὰ τὸ ἐναργὲς ἐν αὐτοῖς τὴν δεῖξιν. Διὸ, εἰ μὴ μεθόδου τυχὸν ἕνεκα, καὶ τάξεως ἀκριβοῦς ἐπὶ τῶν Συγγραφομένων βιβλίων, οὐ πάνυτι χρειώδης ἡ τούτων κατασκευή.

§. ωιβ'. Β'. Ἐπὶ τῶν Ἀποδείξεων τῆς ἀνάγκης φροντίζοντας, οὐκ ἀμελητέον οὐδὲ τῆς σαφηνείας. Πίστις γὰρ δὴ μόνη ἡ Θεία, οὐχ ἡ κατ' Ἐπιστήμην δὲ, ἐν ἀσαφείᾳ περιποιεῖται τὸ βέβαιον (§. σξζ'.). Διὸ καίπερ τὰ ἀναντιῤῥήτως ἐν ἄλλαις ἐπιστήμαις δειχθῆναι φθάσαντα, ἀρχαὶ καθίστανται (§. ωγ'. Σημ.) ἀποδείξεως, Λῆμμα γεμὴν (§. υιβ'.) οὐ παρεισακτέον εἶμαι

(1) Τέχν. τοῦ νοεῖν Μέρ. Δ'. Κ. Θ'. Ἐλλείμ. β'.

(2) Τῷ ὄντι δὲ καὶ Ἀρχιμήδ. ὡς Ἀξίωμα τόδε ὑπέθετο, ᾧ καὶ Ἀνδρ. Τακυέτ. ἑπόμενος, ἀναπόδεικτον παρέδραμε. Γεγόνασιν ἀλλ' οὖν καὶ τῶν πάνυ ἐνδόξων, οἱ μέχρι πορρωτάτω προάγειν χρῆναι τὰς Ἀποδείξεις, ἡγησάμενοι ὡς οὐ μικρὰ συντελοῦν εἰς ἀκρίβειαν Ἐπιστημονικῆς γνώσεως, καὶ αὐτὰ ἔτι κατασκευάζειν φιλοτιμεῖσθαι τῶν Ἀξιωμάτων τὰ μὴ προκαταρκτικά. Ταῦτα γὰρ καὶ βουληθεῖσιν ἀμήχανον, ὡς αὐτεννόητα, καὶ ἥκιστα διανοητά. Ὁ γοῦν Πρόκλος Θάλητα ἱστορεῖ τὸν Μιλήσιον, πολλῶν ἐπιχειρῆσαι προτάσεων τὴν ἀπόδειξιν, ἃς ὕστερον Εὐκλείδης ὡς σαφεῖς ὑπετίθετο, καὶ μηδὲν δείξεως δεομένας. Ἀλλὰ καὶ Ἀπολλώνιος Εὐκλειδείων τινῶν Ἀξιωμάτων φέρεται τὰς ἀποδείξεις ἐκλεπτουργήσας. Καὶ Πρόκλος δὲ αὐτός. Τῶν δὲ ὕστερον Ῥοβερβάλιον τὸν ἀπὸ τῶν Μαθημάτων κλεϊζόμενον, Ὀγδωηκοστόνπου ἄγοντα τοῦ βίου, κατὰ ζῆλον Ἀπολλωνίου καὶ Πρόκλου τὰ τοῦ Στοιχειωτοῦ Ἀξιώματα ἀναλύοντα, οἱ μὲν ἐν Παρισίοις σοφοὶ διαμυκτηρίζοντες ἦσαν, ὁ δὲ Γερμανὸς Λεϊβνίτιος καὶ ὑπὲρ αὐτοῦ ἀπελογεῖτο, νέος ἤδη πρεσβύτου, οὐκ ἀλυσιτελὲς εἶναι τὸ πρᾶγμα τιθέμενος. (Ἐν τοῖς πρὸς τὰ Λωκ. περὶ τοῦ Νοῦ Βιβ. Α'. Κεφ. Α'. §. 1. Καὶ Κεφ. Γ'. §. 24. Καὶ Βιβλ. Δ'. Κεφ. Ζ'. §. 24.)

δῖμαι ἀποδεικνιῶτας ὁδὸν, ἐκ θεωρίας, ἧς ἡ γνῶσις ἐπρὸ ὁδῦ γίγνεται ἐξ ἀνάγκης, τῷ εἰς ἀπόδειξιν προκειμένῳ. Πρὸς γὰρ τὸν μὴ τῆς ἕξεως ἐπίβολον, ἐξ ἧς τὸ Λῆμμα, τὸ ἕτως ἀποδεικνύμενον ἀναπόδεικτον ἔτι μενεῖ. Ἁμαρτάνεσι δὲ ἄρα τῦτο, οἱ τλὺ θρυλλεμένῳ Ἀλγεβραϊκλῷ Ἀνάλυσιν, ἐπὶ παντὸς μονονεχὶ τῦ προτεθέντος, φιλοτίμως πάνυ παρεισωθέντες, καὶ μηδὲν ἀξιῦντες πραγματοῖεθαι ὅλως, μηδὲ ξυγγράφειν ὃ μὴ τοῖς κατ' ἐκείνλν συμβολικοῖς χαρακτῆρσι περιττῶς εἴη κατάσκτον.

§. ωιγ'. Γ'. Ταύτῃ δέτοι, καὶ ταῖς δι' Ἀπαγωγῆς τῆς εἰς ἀδύνατον ἀποδείξεσιν (§. ψιθ'.) ἤτοι ὡς ἧκισα χρηστέον, ἢ ὡς ἐλάχισα, καὶ ὅτι μὴ πᾶσα ἀνάγκη· Ὡς ἐφ' ὧν ἄλλως χωρῆσαι ἐχ οἷόντε. Ὁ γὰρ τρόπος ἰσχυρὸς μὲν πεῖσαι, διδάξαι δὲ ἐχ ἱκανός. Καὶ τὸ μὲν ἕτω χρῆναι ὑπολαμβάνειν περὶ τῦ πράγματος παρασῆσαι δεξιὸς, τὸν δέτοι λόγον, (ὃς μάλισα εἰς ἀκρίβειαν συμβάλλεται ἐπισήμης (§. ως'.) τὸν αἰτιώδη, ὑποθέθαι ἀδύνατος.

§. ωιδ'. Δ'. Ἀδελφὸς τῷ ἀνωτέρω, καὶ ὁ διὰ τῦ ἐλέγχε τρόπος τῆς δείξεως. Οἷον ἐάντις τὸν ἀντιδοξέντα, μὴ ὀρθῶς ἀποδεδειχέναι κατασκευάζῃ τὸ οἱ προκείμενον, τὰς πίσεις περιτρέπων αἷς ἐκεῖνος χρησάμενος διετέλεσεν. Οὐ γὰρ διὰ τῦτο ἐπισφαλὲς δηλονότι τὸ δόγμα, ὅτι ὁ ἐπιχειρήσας συσῆσαι τε καὶ κρατῦναι ἐκ ἴσχυσεν. (§. φνζ'. Σημ. 2.) ἴσως γὰρ ἄλλος ἄντις ἐπισηρίζειε λόγος, τὸ τέως, μὴ ἐπενεχθέντος αὐτῷ, ὑποσαλεύομενον.

§. ωιέ. Ε'. Καὶ τὸ ἐξ Ἀντιπερισάσεως δὲ ποιεῖθαι τὰς Ἀποδείξεις, ἐπίσης τοῖς εἰρημένοις πρὸς ἐπισήμην ἀσυντελές. Λέγω δὲ ἐξ Ἀντιπερισάσεως, ὅτε τις ἐξ ἀνασκευῆς τῆς ἀντιθέσεως, τὸ ὑπεναντίον συνισᾶν οἴεται, καὶ εἰσάγειν. Ἅπαντες γὰρ (§. ωιγ'. κξ') ἤτοι οἱ τρόποι, ὅ,τι μὲν ἧκισα δοξάζειν προσήκει ἀποχρώντως ἴσως· Ὅ,τι δὲ τὐναντίον ἐς', καὶ διοτί τῦτο τιθέναι δεῖ, ἀδόλως ἀποδεικνύσιν. (Ὅρα Σημ. 2. §. φνζ'.) (1).

(1) Τοῖς ἐκτιθεμένοις ἀταῦθα, ἢ τοῖς καταλεχθεῖσιν ἀνωτέρω (σὺ Σημ. 2. §. φνζ'.) καταχρησικωτέροις τρόποις τῆς Ἀποδείξεως προσίθησιν ὁ Λεϊβν. (σὺ τοῖς πρὸς Λώκ. περὶ Νῦ Βιβλ. Δ'. Κεφ. ΙΖ'. §. 11--22.) καὶ τὸ Ἐπιχάρημα, ὅπερ ad vertiginem, πρὸς ἴλιγγα, ἢ ἀμηχανίαν ἐπάλεσεν. Ἔστι δὲ

§. ωιϛ'. ϛ'. Τὸ δὲ διὰ κύκλου ἀποδεικνύειν, ἔστι μὲν ὅτε, καὶ παρ' οἷς ἐγκρίνεται, ἔστι δὲ καὶ οἷς διαβάλλεται ὅλως. Τελεῖται δὲ ἡ τοιάδε δεῖξις ὁπλωϊκὰ διὰ τῶ δειχθέντος, ὡς ἀρχῆς παραλαμβανομένω κατ' ἐπάνοδον δείκνυται αὐτὸ ἐκεῖνο, δι' ὃ τῶτο προαποδέδεικται. Ἡ ὡς Ἀριστοτέλης τεχνολογήσας ἀκριβέστερον ἔφη, ὅτετις διὰ τῶ συμπεράσματος, καὶ τῶ ἀνάπαλιν „τῇ κατηγορίᾳ τιὼ ἑτέραν λαβών, συμπεραίνει τιὼ λοιπιὼ, „ιῶ ἐλάμβανεν ἐν ἑτέρῳ συλλογισμῷ (1).

Οἷον εἰ Συλλογισμῶ προκειμένω, τὸ Α. Β.
τὸ Γ. Α.
τὸ Γ. Β.

τὸ συναγόμενον εἰς μείζονα λαβών, καὶ ἀνάπαλιν τιὼ ἐλάσσονα, συνάγοι τιὼ μείζονα, ἅτω. τὸ Γ. Β.
τὸ Α. Γ.
τὸ Α. Β.

Ἡ γᾶν ἀνάπαλιν μὲν τιὼ μείζονα, εἰς ἐλάσσονα δὲ λαβών τὸ συμπέρασμα, συνάγοι τιὼ ἐλάσσονα ἅτω. τὸ Β. Α.
τὸ Γ. Β.
τὸ Γ. Α.

§. ωιζ'. Ἐνθα σημειωτέον, ὡς ἐπὶ τῶν ἀντικατηγορουμένων ἐν Σχήματι τῷ Α. μόνε τῶ κατὰ ΓΡΑΜΜΑΤΑ τρόπω, τιὼ κύκλω δεῖξιν κατ' ἄμφω ἐπιδεχομένε τὰς προκειμένας, ὁ μὲν ΘΕΑΣΕ, κατὰ μόνιν τιὼ μείζονα κυκλικῶς δειχθήσεται (§. ψμβ'.)· Ὁ δὲ ΣΑΝΙΔΙ, κατὰ μόνιν τιὼ ἐλάσσονα (§. χμδ'.)· Ὁ δὲ ΤΕΧΝΙΚΟΣ κατ' ἀμφοτέραν (§. §. Αὐτ.). Καὶ ἐπὶ τῶν λοιπῶν δὲ σχημάτων, μόναι αἱ τῷ συμπεράσματι ποσῶτε καὶ ποιῶ κατὰ τὸ χεῖρον συγκοινωνῶσαι προτάσεις, κυκλικῶς ἂν συναφθεῖεν, ἵνα μὴ τῇ τῆς δείξεως διαλληλίᾳ, ἐκ δυεῖν, εἴτε ἀποφασκόντων, εἴτε μεριζομένων, ἀσύστατός τε ὁ Συλλογισμὸς ἀνακύψῃ, καὶ ἀσυλλόγιστος.

§. ωιη'. Ἀλλ' ἡ μὲν δὴ τῆς κύκλω δείξεως φύσις τε καὶ μέθοδος αὕτη. Ἡ δέτοι χρῆσις ἁπλῶς μὲν τιὼ τῶ κύκλω φύσιν

δὲ τριῶτον, οἷον εἰπεῖν, ἐν τὸ εἰς πίστιν ἐπενεχθὲν ἐκ ἀποδεκτὸν, ἀδεὲς λοιπὸν ἡμῖν εἰς τιὼ περὶ τῶ προκειμένε βεβαιότητα ἄλλος περιέσεται τρόπος. Οἷον Εἰ μὴ τὸ ἀξίωμα, ὡς ἐκ ἔστι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, συγχωροῖτο, ἀδὲ ἄρα ἀποδεικτὸν ἂν εἴη.

(1) Ἀρισ. Προτ. Ἀναλ. Β'. Κεφ.

σιν ἐκμιμȣμένης, καὶ ἀρχὴν τε τὸ αὐτὸ ποιȣμένης καὶ πέρας, ȣ̓κ ἀπεικότως ὑπ' ἐνθυμίω ὑπάγεται. Τίθεσθαι γὰρ ȣ̓τως ἔοικε τὸ αὐτὸ πρὸς τὸ αὐτὸ, μᾶλλον τε καὶ ἧττον σαφὲς εἶναι καὶ γνώριμον, πάνυ ἀτόπως. Ταύτῃ τοι καὶ τὸν Ἀριστοτέλην ȣ̓κ ἐπαινȣ̃σι, τὸν ἀπὸ μὲν τῆς ἀϊδίως περαινομένης κινήσεως, τὸ ἀΐδιον τȣ̃ κινȣ̃ντος συνάγοντα, ἀπὸ δὲ τῆς τȣ́τȣ ἀϊδιότητος, ἐπὶ τὴν τῆς κινήσεως ἀναποδίζοντα (1). Καὶ ȣ̓δὲ τὸν Νεώτερον ἀποδέχονται (2), τῇ μὲν τὴν θείαν ὕπαρξιν ἐκ τῆς ἡμῶν ταῖς ψυχαῖς ἐναστραπτȣ́σης ἰδέας κατασκευάζειν οἰόμενον, τῇ δ' ἀνάπαλιν ἐκ τῆς τȣ̃ Θεȣ̃ ὑπάρξεως, τȣ̃ μήτε ἐξαπατᾷν χαίροντος, μηδ' ἐξαπατᾶσθαι φύσιν ἔχοντος, τὸ ἀληθὲς καὶ πιστὸν καὶ βέβαιον τῆς ἰδέας ἀποδεικνῦντα.

§. ωιθ'. Ἀνεκτὸν μέντοι φασὶ τῶν δείξεων τὸ διάλληλον, ὅτε τὸ ἤδη δειχθὲν, πολλαχόθεν καὶ ἄλλοθεν προσεμπεδοθὲν ἐκ περιȣσίας, καὶ λευκότερον γνωρισθὲν, πρὸς αὐτȣ̃ ἐκείνȣ τὴν πίστιν ȣ̓τως ἔχον παραληφθείη, πρὸς ȣ̓περ ȣ̓χ ἅπαν οἶδε τὸ τῆς διαγνώσεως φῶς, ὃ καὶ ἐξ ἄλλων ἀρχῶν ἀφθονώτερον προσαπηνέγκατο. Οὕτω διαλλήλως ἐξέσται, φασὶ, προαποδεδειχόταστι διὰ τῆς ἰδίας αἰτίας, εἶτα ποικίλῃ τῇ πείρᾳ, καὶ λόγοις ἄλλοις αὐτὸ προσβασανίσαντας ἀκριβέστερον, εἰς δεῖξιν τῆς αἰτίας ἀνάπαλιν ȣ̓τω προσεπιβεβαιωθέντι προσχρήσασθαι. Οὐ γὰρ τηνικαῦτα δηλονότι τὸ σαφὲς διὰ τȣ̃ ἀσαφεστέρȣ συμβαίνει δείκνυσθαι, διὰ δὲ τȣ̃ ἄλλοθεν τὸ ἐναργὲς προσπορισαμένȣ ἐμπεδȣ̃ν ἐστὶ τὸ τέως ἡττηθὲν εἰς σαφήνειαν. Οἷον κατασκευάσαντι τὴν σελήνην ἐκλείπειν διὰ τὴν τῆς γῆς παρέμπτωσιν· Εἶτα τεθεωρηκότι περὶ τὴν ἔκλειψιν, τὸ, τε κατὰ μικρὸν αὐτὴν ἐπισκιάζεσθαι, καὶ τὸ περιφερῶς, καὶ τὸ κατὰ τὰς ἀντιθέσεις, καὶ μὴ ἐν τοῖς τετραγωνισμοῖς, μηδὲ κατὰ τὰς συνόδȣς αὐτὸ πάσχειν· ἐκ τȣ́των ἐπανιόντι ἐξέσται φασὶ, διὰ τῆς ἐκλείψεως ἀνάπαλιν ἐπικατασκευάσαι τὴν ἐν τοῖς φωστῆρσι τῆς γῆς παρέμπτωσιν. Ὃς δὴ τρόπος ἐπαναστροφήτις ἂν εἴη τῆς δείξεως, ἢ κύκλος, ὡς μὴ ἀπὸ τȣ̃ αὐτȣ̃, ἀλλὰ καὶ ἀπὸ ἄλλων πλειόνων ἐπὶ τὴν κατασκευὴν τȣ̃ πρώτȣ ἐπανιȣ́σης.

§. ωκ'. Ἐφ' ὧν δὲ κατὰ κύκλον πως ἡ γένεσις πρόεισιν ἀπ' ἀλλήλων, ἀεὶ τȣ̃ ἐφεξῆς ἐφεπομένȣ τῷ πρὸ ἐκείνȣ ἄχρι τῆς

(1) Μεταφ. Θ'.
(2) Καρτεσ.

ἐπὶ τὸ πρώτιστον ἀποκαταστάσεως, ἐν τοῖς τοιούτοις ἐχ ὅπως ἀνεκτὴ ἡ κυκλικὴ δεῖξις ἔσα δοκεῖ, ἀλλὰ καὶ ἀναγκαία (1). Οὕτω τοῖς συμβαίνεσι παρακολεθῶν δείξειέτις τιὼ γῆν εἰς καρπὲς μεταβάλλειν, τὲς δὲ εἰς τροφὰς, τὰς δὲ εἰς τὰ ζώων σώματα, τὰ δ' αὖ πάλιν εἰς γῆν (2).

§. ωκά. Ζ'. Ἐπὶ τοῖς ῥηθῆναι φθάσασι, κὴ τὸ καθ' ὑπόθεσιν ἀποδεικνύειν ἐκ ἀπαραιτήρητον παραλειπτέον. Τᾶτο δὲ, ἐχὶ δ' ὑποθετικᾶ συλλογισμᾶ συμπεραίνειν ἐςὶν (§. ψξς'. κξ.), ἀλλὰ τέως μὲν ὑποτιθέναιτι ἀναπόδεικτον τὸ πρῶτον, εἶθ' ὅσα ὑποτεθέντι παρέπεται ἐκείνω ἀκριβῶς σκοπεῖν· ψευδῶν γὰρ ὄντων ἤτοι πλειόνων, ἢ ἑνὸς γᾶν, τὸ τεθὲν ἀναιρεθήσεται ὡς ἐκ εὔλογον (§. τοή.). τῷ γὰρ ἀληθεῖ τὸ ψευδὲς ἀνακόλεθον (§. φμθ'.). Ἀληθευόντων δὲ πάντων, καὶ τῷ λόγῳ, καὶ τοῖς φαινομένοις ἀναμφισβητήτως ὁμολογέντων, ἐκέτι ἐν μοίρᾳ ταχθήσεται ψιλῆς ὑποθέσεως (§. τπ'.), πολλᾶ γὰρ ἂν δέοι τᾶ ψεύδεθαι· ἃ γὰρ φύσιν ἔχον ἐςὶ τῷ ψευδεῖ τ' ἀληθὲς παρακολεθεῖν (§. φν'.). Ἀλλ' ἡ μὲν ἐπὶ τιὼ ἀναίρεσιν τᾶ ὑποτεθέντος χωρᾶσα δεῖξις, ἐκ τᾶ ψευδᾶς παρακολεθᾶντος, Ἀπαγωγικὴ τυγχάνει, (§. ψιθ'.), ὡς ἐπὶ τὸ ἄτοπον φέρεσα· Ἡ δὲ ἐπὶ τιὼ θέσιν, καίπερ ὀρθῶς προιᾶσα, ἐδὲν πλέον, ἢ δυνατὸν εἶναι ἔοικε κατασκευάζειν, ἕως ἃ περὶ τιὼ ὕπαρξιν τῆς ὑποτιθεμένης αἰτίας ὑπανδοιάζειν ἔπεσιν (§. τοθ'.). Οἷον ὅτι γῆ κινεῖται τυχον, ἵνα σώζοιτο τὰ φαινόμενα (3). Διὸ ἐδὲ τὰς ὑποθέσεις ἀποσυρικτέας εἶναι κομιδῇ τῆς Φιλοσοφίας φασί. Χρῆθαι δὲ δεῖν καὶ αὐτᾶις, ὡς ἂν ἐκ παντὸς τρόπε τὸ ἀληθὲς θηρεύηται, ἀλλὰ μὴ καταχρῆθαι.

(1) „Τῶν κύκλῳ γινομένων, ἀνάγ-„κη καὶ τιὼ ἀπόδειξιν κυκλικιὼ εἶναι. Ἀριστ. Ὑστέρ. Ἀναλ. Β'. Κεφ. ιγ'.).

(2) „Ἐπὶ γὰρ τῶν ἔργων φαίνεται „ὧδε. Βεβρεγμένης τῆς γῆς ἀνάγκη ἀτ-„μίδα γενέθαι· τᾶτα δὲ γενομένα νέ-„φος· τᾶτο δὲ γενομένε ὕδωρ· τᾶτα „δὲ γενομένε ἀνάγκη βρέχεθαι τιὼ „γιῶ. τᾶτο δ' ἰὼ τὸ ἐξ ἀρχῆς· ὥστε „κύκλῳ περιελήλυθεν. (Αὐτ. αὐτ.).

(3) Οὐδὲν γὰρ διαφέρει, ἢ τιὼ ὅ-„λην κινῆσαι, ἢ τὸ ὁρώμενον. Ἀριστ. περὶ Οὐρανᾶ Βιβλ. Β'. Κεφ. ή.

ΚΕΦ.

ΚΕΦ. ΕΝΝΑΤΟΝ.

Περὶ συλλογισμοῦ Ἐνδόξου. Καὶ περὶ τῆς τοῦ Μέσου Εὑρέσεως.

§. ωκβ'.

Συλλογισμὸς Ἔνδοξος, καὶ πιθανὸς δὲ, καὶ τοπικὸς, ὁ ἐκ προτάσεων ἐνδεχομένων τιὼ ὑλίω (§. υ'.) συνισάμενος. Ἤτοι ἑκατέρας, ἢ τῆς ἑτέρας. Καὶ Ἔνδοξος μὲν εἴρηται, ὅτι ἐκ τῶν κατὰ δόξαν τοῖς σοφοῖς λεγομένων, καὶ μήτε πάντῃ βεβαίων, μηδ' ἄλλως ἀτόπων, ἢ παραδόξων πρόεισι χωρῶν. Ἢ ὅτι δόξαν ἐναποκύει. Πιθανὸς δὲ, ᾗ πειθῶτινα ἐξ ὧν συνάγει ἐνίοις τῇ ψυχῇ. Τοπικὸς, ὡς ἐκ τόπων τινῶν, τὰ ἐπὶ τῇ κατασκευῇ τοῦ προκειμένου μέσα ποριζόμενος. Διαλεκτικὸς δὲ τέως, ὅτι περὶ τὰ ἑκατέρωθεν ἐκ ἀπιθάνως εἰ ταῖς διαλέξεσιν ἀντιπροτεινόμενα, ἐσὶν ὑπέργων.

§. ωκγ'. Προτάσεις ἓν, ἢ προβλήματα Διαλεκτικάτε καὶ πιθανὰ, τὰ μήτε τοῖς πᾶσιν ὁμόλογα, περὶ ὧν ἐ δίκαιον ἀπορεῖν. Οἷον πότερον δεῖ τὸ Θεῖον τιμᾶν; ἢ χιὼν λάσκη; τούτων γὰρ τὸ μὲν ἀπορεῖν, τῶν κολάσεως ἐσὶ δεομένων, τὸ δὲ τῶν αἰσθήσεως (1)· μήτε δὲ μηδενὶ δοκοῦντα, ἀλλὰ παρὰ δόξαν φερόμενα πολὺ τῶν πάντων. Οἷον πότερον πάντα κινεῖται; πάντα ἠρεμεῖ; Οὐδὲ μὲν ἓν ὧν ἐκ τοῦ σύνεγγυς πάρεσι λαβεῖν τιὼ Ἀπόδειξιν. Οἷον πότερον αἱ τρεῖς ἐπὶ τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι γωνίαις εἰσίν; Οὐδ' ὧν τελευταῖον, ὅτι πορρωτάτω ἡ πίσις. Οἷον ὁ τῶν Ἀστέρων ἀριθμὸς τετράγωνος ἐσί; Κυβικὸς ἐσίν; Ὥσε τὰ κατὰ τὸ δέον, καὶ ὁλόγως διαπορούμενα, καὶ τοῖς μὲν ὡς, τοῖς δ' ἄλλως δοξαζόμενα, καὶ οὐ ὑπεναντιωμένοις τοῖς λόγοις ἐκ ἀπιθάνως δείκνυσθαι πεφυκότα, ταῦτα δὴ καὶ Προβλήματα ἐσὶ τὰ διαλεκτικά. Ὧν καὶ τὰ μὲν τῆς Πρακτικῆς ἰδέας τυγχάνει, οἷον πότερον πολεμητέον, ἢ μή; τὰ δὲ τῆς Θεωρητικῆς, οἷον πότερον ὁ Κόσμος ἀΐδιος ἐσίν; ἢ Γῆ κινεῖται;

(1) Ἀρισ. Α'. Τοπικ. Κεφ. Θ'.

ται; (1) κτ. Κατὰ ταῦτα μὲν οὖν, καὶ περὶ ταῦτα, καὶ ὁ Συλλογισμὸς ὁ Διαλεκτικός.

§. ωκδ΄. Τῶν εἰς διαφορὰς τοῦ Ἀποδεικτικοῦ παρατεθέντων (§. ωά. κξ΄.), καὶ τῷ Τοπικῷ τῷδε συλλογισμῷ καὶ Ἐνδόξῳ, ἔστιν ἃ προσήκοντα ἐστίν. Οἷον οὐχ ὅπως ἐκείνου, ἀλλὰ δὴ καὶ τούτου τὰς προκειμένας εἶναι δέον, σαφεστέρας καὶ γνωριμωτέρας τοῦ συμπεράσματος (§. ωδ΄)· καὶ προτέρας δὲ, καὶ ταύτῃ, δὴ, καὶ αἰτίας (§. ωέ.). Ὡς τὸ πᾶν τῆς τούτων μεταξὺ ἑτερότητος, ἐκ τῆς ἀνάγκης, καὶ τῆς ἐναργείας ἠρτῆσθαι, ὧν παρόντων Ἀπόδειξις ἔσται τὸ διανόημα, ὅ,τε διανοηθεὶς βεβαίως ἕξει περὶ τὸ δειχθὲν καὶ ἀμεταπείστως· ἀπόντων δὲ, καὶ μετὰ τὸ διανοηθῆναι, ἐν ὑπονοίᾳ τε καὶ δισταγμῷ ὑποσαλευθήσεται.

§. ωκέ. Δεύτερος δὲ τιμιότητι καὶ δυνάμει ὁ πιθανὸς οὗτος, καὶ τῶν πρωτείων δεόντως τῇ Ἀποδείξει ἐν ἐπιστήμαις παραχωρῶν· Ἐν αἷς οὐδὲ προκύπτειν κομιδῇ προσῆκεν, εἰμὴ τῶν θεωρουμένων, μᾶλλον δὲ τῶν θεωρούντων ἡ φύσις ἐτύγχανεν ἐπιτρέπουσα, δι' ἀπουσίαν πολλάκις ἀναγκαιοτέρου λόγου τὸν σύνεγγυς τοῦ ἀληθοῦς εἶναι δοκοῦντα, ἀντικαθιστᾶν ἐνδιδοῦσα, καὶ τὸ μᾶλλον εἰκὸς πρεσβεύειν, εἰμὴ κατ' ἐπιστήμην, κατὰ γοῦν δόξαντε καὶ ὑπόληψιν· Οἷαπου τῇ Φυσιολογίᾳ συχνὰ συμβαίνει, καὶ ὅσαι ἄλλαι ταύτης εἰσὶν ἐξημμέναι τῶν Ἕξεων. Τῶν γὰρ ταῖς κατ' ἐπιστήμην ὑποκειμένων Θεωρίαις, καὶ διασκέψεσιν, ἔστι μὲν ὧν τὰ αἴτια ἐφικτὰ, ἔστι δ' ὧν ἀνέφικτα διατελεῖ καὶ ἀπόριστα παρὰ τὴν ἐν τοῖς οὖσιν ἀσάφειαν. Καὶ τὰ μὲν Ἀποδείξεσιν ἁλωτὰ, τὰ δὲ πιθανοῖς τισι καὶ εἰκόσι λόγοις θηράσιμα. Ὁ δὲ τῆς τῶν ὄντων φύσεως ἰχνευτὴς, τοῖς μὲν ἐπιστημόνως ἐντυγχάνων ἐφήδεται, τοῖς δὲ διαλεκτικῶς προσιὼν, ἐπεὶ μὴ ἄλλως οἷόντε, ἐξαρκεῖται. Καίγε λόγον ἐξαιτούμενος, καὶ προτρεπόμενος εἰπεῖν, τὰ μὲν ἀποδεικνύειν ἐπιχειρεῖ ὡς ἐστί· τὰ δ' ὡς ἐνδέχεται πείθειν. Ἐφ' ἑκατέροις δὲ Μέσου χρεία τινὸς, οὗ χωρὶς διάνοιαν ὅλως συστῆναι ἀμήχανον.

§. ωκς΄. Ἡ δὲ τοῦ Μέσου εὕρεσις οὐχ οὕτω ῥᾳδία τῷ τυχόντι, καὶ πρόχειρος, ἀλλὰ καὶ φύσεως ἐστὶ δεομένη τῶν πραγμάτων ἐπιδρασσομένης ὀξέως, καὶ μελέτης χρήζουσα, δαψιλῆτε καὶ ἄφθονον ἐπινοίας ὑπόθεσιν ἐπιχορηγούσης. Πολλὰ γοῦν συνείροντες

(1) Ἀρισ. Ἔνθα ἀνωτ.

τες περὶ τῆς τῶ Μέσου θρέσεως οἱ λογικὰς συνταξάμενοι πραγματείας, ἐδὲν ὤνησαν, τῇ δὲ πληθύι τῶν περιττῶν καὶ ἀνονήτων κανόνων, τὸν τῶν Νεωτέρων νῶν μᾶλλον συνεσκότασαν. Ἀλλ' ἐξ αὐτῶν ἄντις τὰ περιττὰ ἀποξέσας, τὸν ἐφεξῆς τρόπον. ὡς ἐκ ἀσυντελῆ κομιδῆ ἐδ' ἄχρηςον ὄντα, λόγε τινὸς ἀξιώσειε.

§. ωιζ'. Πρὸ πάντων θεωρητέον εἰ τὸ Ζητέμενον τῶ Διδομένῳ (§. φξ'.) καταφατικῶς πρόκειται συνάψαι, εἰτ' ἐν ἀλλήλων δι' ἀποφάσεως αὐτὰ διαξῆσαι· καὶ εἰμὲν τὸ Α'. Μέσε δεῖ πάντως, τῶ πρὸς ἄμφω οἰκείως ἔξοντος (§. Αὐτ.). Εἰ δὲ τὸ Β'. τοιῶτε δήπε, οἷον τῷ ἑτέρῳ προσοικειεμένε, θατέρε ἀπαλλοτριῶθαι, καὶ ἀποζεύγνυθαι.

§. ωκή. Προσοικειῆται δὲ τὸ Μέσον τοῖς ἄκροις, ἢ ὡς ἀνώτερον, καὶ ἢ φασὶν Ἑπόμενον· ἢ ὡς κατωτέρω ὂν, καὶ Ἡγέμενον· ἢ ὡς Ἀντίστροφον, τὸ αὐτὸ ἅμα συνεισάγοντε, καὶ συνεισαγόμενον (§. ρδ'. σιγ'.). Οἷον τῷ ἐμψύχῳ οἰκεῖον ὡς μὲν Ἑπόμενον τὸ σῶμα, καὶ ἡ ἐσία, καὶ τὸ ὄν, καὶ ὅσα δηλοτῶν αὐτῶ τῷ βάθει τῆς ἀνοίας (§. ργ'.) ἐμπεριέχεται· Ὡς δὲ Ἡγέμενα τό, τε ζῶον, καὶ ὁ ἄνθρωπος, ὅσα δηλ. ὑπ' ἐκεῖνα κεῖται, καὶ τὸ πλάτος αὐτῷ συμπληροῖ (§. Αὐτ.). Ὡς Ἀντίστροφα δὲ, τὸ αἰσθητικὸν εἶναι, καὶ τὸ ζωτικῶν δυνάμεων δύμοιρεῖν, καὶ ἐνεργειῶν, καὶ ἰδιωμάτων. Καὶ ἁπλῶς εἴτε διαφοραὶ (§. ηή'.), καὶ τὰ ἴδια (§. ηθ'.).

§. ωκθ'. Ἀλλοτριῶται δὲ, ἑτερογενὲς ὂν, ἢ ἑτερειδὲς, ἢ ἀριθμῷ ἕτερον, ἤτι τῶν τέτοις προσιδιαζόντων, ἢ τοιαῦτα. Οἷον τῷ ποιῷ, καὶ τοῖς ὑπ' αὐτὸ εἴδεσιν, ἢ τοιῆτον, ὅσα τῶ ποσῶ ἐςὶν, ἢ τοιῆτον. (§. ρό'.). Οἷς δ' ἂν ἀντίθεσίς τις ἐμπίπτοι (§. ρμέ'.), τῷ λόγῳ τῆς ἀντιθέσεως, καὶ ταῦτα ἀλλότρια.

§. ωλ'. Τέτων ἕτω τεθεωρημένων, διωρίσθω δὴ καθ' ὃ χῆμα δοκεῖ, καὶ τίνα τρόπον, ἢ συζυγίαν τὸ συναγόμενον συμπεράναι. Εἰ γὰρ φέρε κατὰ τὸν πρωτοχήμονα ΓΡΑΜΜΑΤΑ, ἐπειδὴ τὸ Μέσον ὑπόκειται μὲν τῷ μείζονι τῶν ἄκρων, κατηγορεῖται δὲ τῶ ἐλάσονος ἐπὶ τῶ τοιῶδε χήματος (§. χς'.), ζητητέον εἰς μέσον ὅρον, ὃς ἂν ἢ τῶ μὲν Ζητεμένῳ Ἡγέμενος, τῷ δὲ Διδομένῳ Ἑπόμενος· Ἢ γῶν θατέρε, ἢ καὶ ἀμφοτέρων Ἀντίστροφος. Κατὰ δὲ τὸν ΘΕΑΣΕ τοιῶτον, οἷος περ Ἀλλότριος μὲν ἂν εἴη τῶ Ζητεμένῳ (ἡ γάρ τοι μείζων ἀποφάσκει). Ἑπό-

Ἑπόμενος δὲ τῷ Διδομένῳ (ὁ γὰρ Μέσος ἐν τῇ ἐλάττονι κατηγορεῖται (§. χε΄.).

Εἰ δὲ συναίψαι δέοι ἐν χήματι Β΄. λαπτέον ὅρον εἰς Μέσον, τῷ μὲν ἑτέρῳ τῶν ἄκρων Ἀλλότριον, κατὰ γὰρ τὸ χῆμα τόδε ἀεὶ ἀποφατικῶς συμπεραίνεται §. χπζ΄. χπή.)· τῷ δὲ ἑτέρῳ Ἑπόμενον, (ἐπ' ἀμφοῖν γὰρ ἐν Β. χήμ. τὸ Μέσον κατηγορεῖται (§. χζ΄.) ἢ γὰν Ἀντίστροφον.

Ἐπὶ Γ΄. Σχήματος, ἔνθα ἂν οἰκείως ταχθῇ ὁ Μέσος, ἡγέμονος εἶναι ὀφείλει, τῷ ὅρῳ ὥπερ ἂν συνάπτοιτο, διὰ τὸ ἐν ἀμφοτέραις κατ' αὐτὸ (§. χή.) ὑποκεῖσθαι ταῖς προκειμέναις.

Ἐπὶ δὲ τῷ Δ΄. κατὰ τὸν ἀντίστροφον λόγον τῷ Α΄. (§. χθ΄.).

Καὶ ἁπλῶς ἐὰν μὲν ἡ πρότασις ᾖ ἀποφάσκουσα, Ἀλλότριος ὁ Μέσος ληφθήσεται. Ἐὰν δὲ καταφάσκουσα, οἰκεῖος· ταύτῃ δὲ δὴ ἤτοι Ἡγέμονος, ἐὰν ὑποκείηται· ἢ Ἑπόμενος, ἐὰν κατηγορῆται· ἢ τέως Ἀντίστροφος, ἐὰν ὁποτέρως ἔτυχεν ἔχῃ· ἅτε δὴ ἀμφιδέξιος ὢν ὁ τοιοῦτος, καὶ ἡγεῖσθαι δηλονότι καὶ ἕπεσθαι.

§. ωλα΄. Ἐφ' ὧν δ' ἂν ἀποδεικτικῶς δέοι προελθεῖν, γένοιτ' ἂν καὶ πρὸς ὁμαρεστέραν τὰ εἰρημένα, καὶ ἁπλουστέραν μέθοδον συσκεῖλαι, τὸ ἔτι περιττὸν ἀπ' αὐτῶν ἀποξέσαντας, καὶ ἐπὶ τὰς δύο πρωτοχήμονας τρόπους, τὰ περὶ τῶν ἄλλων χημάτων καὶ τρόπων ἀναγαγόντας. Ἐπειδὴ γὰρ ἅπαν ὁποιονοῦν πρόβλημα, ἤτοι ἐν καταφάσει φέρεται, ἢ ἐν ἀποφάσει· Καὶ καθ' ἑκάτερον αὖθις ἤτοι καθόλε, ἢ ἐπὶ μέρους. Α΄. μὲν τοῖς ἐπὶ μέρους προσοχθίζειν πως αἰ κατ' ἐπιστήμην ἔοικασιν Ἀποδείξεις, περὶ τὰ καθόλε μάλιστα ἐφαπλῶσθαι χαίρουσαι. Β΄. δὲ, καὶ τὰ καθ' ἕκαστα ὑπὸ τοῖς καθόλε ὄντα, αὐτοῖς ἐκείνοις καὶ παροπηδεῖ, καὶ συνδιατίθεται, ὡς καὶ τιὼ ἐπ' ἐκείνων μεθοδολομένῳ τῇ Μέσῃ εὕρεσιν, μηδὲ πρὸς ταῦτα κομιδῇ ἀχρηστεῖν. Τῇ τοίνυν καθόλε καταφατικῶς ὑποκειμένῃ δεικνύναι, κατὰ τὸν τρόπον δηλονότι ΓΡΑΜΜΑΤΑ, ἢ ἀποφατικῶς κατὰ τὸν ΘΕΑΣΕ, ῥᾴδιον τὸ Μέσον εὑρεῖν, τὰς διασὰς ταύτας συμβολικὰς φωνὰς ΓΗΖΔΕ, ΘΑΖΔΕ, φέροντας διὰ μνήμης. Δηλῶται γὰρ διὰ μὲν τέτων τῆς Α΄. ὡς εἰς μὲν τιὼ κατὰ ΓΡΑΜΜΑΤΑ τῇ προκειμένῃ καλασκοπῶ, Ἡγέμενον μὲν εἶναι δέον τῷ Ζητουμένῳ τὸ Μέσον, τῷ δὲ Διδομένῳ Ἑπόμενον. Διὰ δὲ τῆς Β΄. ὡς εἰς τιὼ κατὰ ΘΕΑΣΕ, Ἀλλότριον μὲν

μὲν τῷ Ζητεμένῳ, τῷ δὲ Διδομένῳ ὁμοίως Ἑπόμενον. Οὐδὲν δὲ διαφέρει ἀντὶ τῶν Ἡγεμένων καὶ Ἑπομένων λαβεῖν τ' Αντίστροφα (§. ωλ΄.).

§. ωλβ΄. Κὰ τὰ μὲν ἓν Ἀντίστροφα ὁρισμοῖς θηρώμεθα (§. ρν΄.). Οὗτοι γὰρ, καὶ τὰ διαυτῶν ὁριστὰ εἴδη, καὶ τὰ ἀν αὐτοῖς πρὸς ἀντιδιαιρολιὼ τῶν ἑτεροειδῶν παραλαμβανόμενα, (τάς τε διαφορὰς φημὶ καὶ τὰ ἴδια (§. ρμζ΄.), ἀντικατηγορέμενα ἐσὶν, ἡγεῖσθαι τε ἀλλήλων, καὶ ἀλλήλοις ἕπεσθαι φύσιν ἔχοντα. Τοῖς δὲ Ἡγεμένοις, καὶ τοῖς Ἑπομένοις διαῶς ἀντυγχάνειν ἐσίν. Ἤτοι γὰρ διὰ Καθόδε, ἀπὸ τῷ Ζητεμένε δηλονότι ἐπὶ τὸ Διδόμενον κατιόντας, ἢ δι' Ἀνόδε, ἀπὸ τῷ Διδομένῳ ἀναπαλιν, ἔσγ' ἐπὶ τὸ Ζητέμενον, διὰ τῶν μεσιτεόντων ἐφεξῆς ἀναφερομένες. Καὶ τάγε τοῖς παρεμπίπτεσιν ἐπιθεωρέμενα, οἷον τὰς διαφορὰς καὶ τὰ ἴδια ἐπιμελῶς προσεξετάζοντας, ἄχρις ἓ τοιόνδετι ἡμῖν ἀπαντήσῃ, οἷον ἀπαιτῆται πρὸς τιὼ τῶν ἄκρων τῷ ζητήματος σύναψιν. Ὡσαύτως δὲ καὶ ἐν Ἀποφατικῷ ζητήματι, ὅ τι τοιῦτο θηρατέον τῶν Ἑπομένων τῷ Διδομένῳ, οἷον τῷ Ζητεμένῳ τυγχάνειν Ἀλότριον, δι' ἓ τὰ ἄκρα ἀπ' ἀλλήλων διαζεύχθειη, καὶ χωρὶς γένοιτο. Τὸ πᾶν ἐν ὑποδείγμασι διαλαβκᾶναι πειράσομαι.

§. ωλγ΄. Προκείσθω δὴ εἰς Ἀπόδειξιν καταφατικῶς· Ὅτι ἡ Λογικὴ ἐσὶν Ἐπισήμη. Τῶτο δὲ ἕως κατὰ τιὼ συμβολικιὼ φωνιὼ ΓΗΖΔΕ, συλλογισμὸν λαβεῖν ἐπὶ συζυγίας ΓΡΑΜΜΑΤΑ, διὰ Μέσε, ὅς ἂν ἡγοῖτο μὲν τῷ Ζητεμένῳ, παρέποιτο δὲ τῷ Διδομένῳ (§. ωλά.). Ἦν μὲν ἓν ἀπὸ τῆς Ἐπισήμης κατιῶσιν, ὅπερ ἐσὶ τὸ ἐνταῦθα Ζητέμενον, καὶ διὰ τῶν ἐφεξῆς ἁπάντων χωρήσασιν, ἐπ' αὐτιὰ ἡμῖν τιὼ Λογικιὼ ἕξιν γένηται ἀφικέσθαι, ἥτις ἐσὶ τὸ Διδόμενον· Ἡ γὲν ἀνιῶσιν ἀνάπαλιν, ἀπὸ τῆς Λογικῆς ἕξεως ἀπαντήσῃ ἐν γένει ἡ Ἐπισήμη, παρέσαι δὴ ἐκ τῶν μεταξὺ τὸ δοκεῖν ἐλέσθαι, τὸ, κατὰ ΓΗΖΔΕ, τῷ μὲν Ζητεμένῳ Ἡγέμενον, τῷ δὲ Διδομένῳ Ἑπόμενον. Οἷον εἰς τύπον.

Δ. Λογική.		Ζ. Ἐπιστήμη.	
Α΄. Ἑπόμενον ἄμεσον, ἢ Ἀντίστροφον.	Ἕξις ἀποδεικτικὴ Ὁρισμ. Διαιρ. Ἀντιστροφ. Ἀντιθ. Ἰσοδυναμ. Συλλογισμ. ἐπὶ θήρᾳ τῆ ἀληθῆς.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν ὑποκειμένε τινός.	Α΄. Ἡγέμενον ἄμεσ. Ἀντίστρ.
Β΄. Ἑπόμενον ἔμμεσον.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν ἐπὶ θήρᾳ τῆ ἀληθῆς.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν ἐφ' ὁποιῳδήποτε τέλει.	Β΄. Ἡγέμενον ἔμμεσον.
Γ΄. Ἑπόμενον πορρωτέρω.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν, ἐφ' ὁποιῳδήποτε τέλει.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν ἐπὶ θήρᾳ τῆ ἀληθῆς.	Γ΄. Ἡγέμενον πορρωτέρω.
Δ΄. Ἑπόμενον πορρωτάτω.	Ἕξις ἀποδεικτικὴ τῶν παθῶν ὑποκειμένε τινός.	Ἕξις ἀποδεικτικὴ Ὁρισμ. Διαιρ. Ἀντις. Ἀντιθ. Ἰσοδυναμ. Συλλογ. ἐπὶ θήρᾳ τῆ ἀληθῆς.	Δ΄. Ἡγέμενον πορρωτάτω.

Λαβῆσι τοίνιω τῶν τῆ Ζητεμένε Ἡγεμενων τὸ Δ΄. ὃ τὸ Α΄. ἐσὶ τῶν Ἑπομένων τῷ Διδομένῳ, ὡς Ἀνσίστροφον αὐτῷ, τοιόσδε ἐπὶ ΓΡΑΜΜΑΤΑ συσήσεται συλλογισμός·

Ἡ ἕξις ἡ ἀποδεικτικὴ Ὁρισμῶν, Διαιρέσεων κξ. Ἐσὶν Ἐπισήμη.

Ἀλλ. Ἡ Λογικὴ ἐσὶν ἕξις ἀποδεικτικὴ Ὁρισμ. Διαιρ. κξ.

Ἆρα ἡ Λογικὴ ἐσὶν Ἐπισήμη.

Ἡ μὲν ἓν ἐλάσσων, ἐκ τῶν δι' ὅλης τῆς σὺ χερσὶ πραγματείας ἀποδεικτικῶς κατασκοβαζομένων, καὶ μάλισα ἐκ τῶν συλλογισικῶν Θεωρημάτων (§. χιβ'.--ψιζ'.), τὸ πισὸν ἔχει καὶ βέβαιον. Δεῆσαν ἓν καὶ τιὺ μέζονα παραπλησίως ἐξέσαι δεῖξαι, λαβῆσιν ἐφεξῆς ἀντὶ μέσε, τὸ Γ΄. ἢ Β΄. ἐκ τῶν Ἡγεμένων, τῆ Ζητεμένε, ὧν τὸ μὲν τὸ Β΄. τὸ δὲ τὸ Γ΄. ἐσὶ τῶν Ἑπομένων

πομένων τῷ Διδομένῳ· καὶ ἑπομένως τὸ μὲν, τὸ ἀμέσως ἐστὶν Ἑπόμενον τῷ Α΄. τὸ δὲ, τὸ ἐμμέσως· ὅ δήπε Α΄. ἐπὶ τῶ παρόντος ὑπόκειται ὡς Διδόμενον. Οὕτω.

Ἡ ἕξις ἡ ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν ἐπὶ θήρᾳ τῶ ἀληθῶς (ἢ ἐφ' ὁποιῳδήποτε τέλει) ἐστὶν Ἐπιστήμη.

Ἀλλ. ἡ ἕξις ἡ ἀποδεικτικὴ Ὁρισμ. Διαιρ. κξ. ἕξις ἐστὶν ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν, ἐπὶ θήρᾳ τῶ ἀληθῶς.

Ἄρα ἡ ἕξις ἡ ἀποδεικτικὴ Ὁρισμῶν Διαιρέσεων κξ. ἐστὶν Ἐπιστήμη.

Ὡς εἴτις καὶ περαιτέρω πρὸς δεῖξιν χωρεῖν ἐθέλοι τῆς μείζονος, διὰ τῶ Α΄. τῶν Ἡγεμένων, ὅ τὸ Δ΄. ἐστὶ τῶν Ἑπομένων, ὡσαύτως ἂν προβαίη.

Ἡ ἕξις ἡ ἀποδεικτικὴ τῶν παθῶν ὑποκειμένε τινὸς ἐστὶν Ἐπιστήμη.

Ἀλλ. ἡ ἕξις ἡ ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν κτ. ἕξις ἐστὶν ἀποδεικτικὴ τῶν παθῶν ὑποκειμένε τινός.

Ἄρα ἡ ἕξις ἡ ἀποδεικτικὴ τῶν παθῶν τῶν ἐννοιῶν, ἐστὶν Ἐπιστήμη.

Ὅς δήπε συλλογισμὸς τῶ λοιπῶ ἀπείραξος ἐστὶν, ὡς ἐκ τῆς μὲν ὁρισικῆς, τῆς δὲ ταυτολογικῆς συγκεκροτημένος.

§. ωλδ΄. Οὐκ ἄλλως δὲ καὶ ἀποφατικῶς εἰς δεῖξιν προκειμένε. οἷον ὅτι ἡ μονὰς ἐκ ἔστιν ἀριθμὸς, κατὰ τὴν φωνὴν ΘΑΖΔΕ Μέσον πειρατέον εὑρεῖν, Ἀλλότριον μὲν ὂν τῶ Ζητεμένῳ, τῷ δὲ Διδομένῳ Ἑπόμενον, δι' ὃ ἀποφατικῶς ἂν συναφθείη τὸ ζήτημα ἐν Συλλογισμῷ τῷ κατὰ ΘΕΑΣΕ. Ἀλλότριον ἓν ἀριθμῷ, τὸ ἐφ' ἑαυτῷ ἑπαγόμενον μὴ πολλαπλασιάζεθαι· ἐπειδὴ δὲ τὸ αὐτὸ τῶτο τῇ μονάδι ἐστὶν ἑπόμενον, συλλογιστέον ὧτω·

Τὸ δι' ἑαυτῶ ἀπολλαπλασιάσως ἔχον ἐκ ἔστιν ἀριθμός.
Ἡ δέτοι μονὰς δι' ἑαυτῆς ἀπολλαπλασιάσως ἔχει.
Οὐκ ἄρα ἡ μονὰς ἐστὶν ἀριθμός.

Ἡ ἄμει-

Ἢ ἄμεινον καὶ ταῦθα εἰς τύπον.

	Διδόμενον.	Ζητέμενον.	
	Ἡ λογικὴ ψυχή.	Τὸ ζητόν.	
Ἑπόμ.	* Οὐσία λογικῶς εἰδοποιῆσα τὸ ὀργανικὸν σῶμα.	* Οὐσία ἀδιάλυτος.	ΑΛΛΟΤΡΙΑ
Ἀμεσ.		* Ἄκρατος.	
Ἀντισρ.	* Παντοίως αὐτὸ κινῆσα.	* Ἀμιγὴς ὕλης.	
	* Ταῖς τότε ὁρμαῖς ἀντιβαίνουσα.	* Μὴ ἐξηρτημένως τῆ σώματος ἐνεργῆσα.	
	* Μὴ ἐξηρτημένως τῆ σώματος ἐνεργῆσα.	* Ταῖς ὁρμαῖς αὐτῆ ἀντιβαίνουσα.	
		* Παντοίως αὐτὸ κινῆσα.	
Ἑπόμ. ἐφεξῆς πορρῶ.	* Ἀμιγὴς ὕλης.	* Λογικῶς εἰδοποιῆσα τὸ ὀργανικὸν σῶμα.	
	* Ἄκρατος.		
	* Ἀδιάλυτος.		

Ἐξ ἑνὸς τοίνυν τῶν Ἀλλοτρίων τῆ Ζητεμένε καὶ Ἑπομένων τῷ Διδομένῳ, συζήσεται συλλογισμὸς ἐπὶ ΘΕΑΣΕ ὁ ἑξῆς.

Οὐδὲν ἀμιγὲς ὂν ὕλης, ἢ ἄκρατον, ἢ ἀδιάλυτον κξ. ἐστὶ θνητόν.

Ἀλλ. Πᾶσα λογικὴ ψυχή, ἀμιγὴς ὕλης ἔσα ἐστὶν, ἢ ἄκρατος, ἢ ἀδιάλυτος, κξ.

Οὐδεμία ἄρα λογικὴ ψυχὴ ἐστὶ θνητή.

§. ωλέ. Ἐὰν ἓν δὶ ἑνὸς καὶ μόνε συλλογισμῆ, πέρας λάβῃ τὰ τῆς ἀποδείξεως (ὅ μάλιστα συμβαίνει τῶν προκειμένων αὐτοπίστων ὄντων). Εἰδ' ἓν, ἀλλ' ἡ ἑτέρα, ἢ καὶ ἄμφω δείξεως ὦσιν ἐπιδεεῖς, ὡσαύτως δὴ παρέσται τῆ ἐπισκέψει τῶν Ἡγεμένων, καὶ Ἑπομένων, ἢ τῶν Ἀλλοτρίων (ὡς ἂν ἀπαιτοίη τὸ ποιὸν τῆς προτάσεως) τὸ Μέσον θηρᾶν. Τοῦτο δ' ἂν εἴη, τὸ μεταξὺ τότε προληφθέντος Μέσε (ὃ Ζητέμενον ἐξῆς ἔσαι, εἰ ἐν τῆ προτάσει κατηγόρητο, Διδόμενον δὲ, εἴπερ ὑπέκειτο), καὶ τὰ ἄκρα τὰ προτέρα ζητήματος. Οἷον ἐδείκνυτο, ὡς ἡ λογικὴ ψυχὴ οὐκ ἔστι θνητὴ, ἔτως.

Οὐδὲν ἀδιάλυτον θνητόν.
Πᾶσα λογικὴ ψυχὴ ἀδιάλυτος.
Οὐδεμία λογικὴ ψυχὴ θνητή.

Τῷ

Τῷ ὃν ἀποφήσαντι δεικτέον τὴν ἐλάσσονα· διὰ Μέσου τοῦ ἀκράτου, ὃ τοῦτε ἀδιαλύτου μεσιτεῦον καὶ τῆς λογικῆς ψυχῆς, κατὰ δὴ τὸ ΓΗΖΔΕ προδήλως, τοῦ μὲν, ὡς ἤδη Ζητουμένου Ἡγεῖται, τῇ δὲ ὡς Διδομένῳ Ἕπεται.

Πᾶν ἄκρατον ἀδιάλυτον.
Πᾶσα λογικὴ ψυχὴ ἄκρατος.
Πᾶσα λογικὴ ψυχὴ ἀδιάλυτος.

Ἀπανηναμένῳ δὲ δειχθήσεται ἡ ἐλάσσων καὶ τοῦδε ὡσαύτως.

Πᾶσα ἀμιγὴς ὕλης οὐσία ἄκρατος.
Πᾶσα λογικὴ ψυχὴ ἀμιγὴς ὕλης οὐσία.
Πᾶσα ἄρα λογικὴ ψυχὴ ἄκρατος.

Καὶ τούτου δὲ ἡ ἐλάσσων παραπλησίως.

Πᾶσα οὐσία ἡ μὴ ἐξηρτημένως τοῦ σώματος ἐνεργοῦσα, ἀμιγὴς ὕλης ἐστί.
Πᾶσα δὲ λογικὴ ψυχὴ, οὐσία μὴ ἐξηρτημένως τοῦ σώματος ἐστὶν ἐνεργοῦσα.
Πᾶσα ἄρα λογικὴ ψυχὴ ἀμιγὴς ὕλης ἐστί.

Καὶ τοῦτου τέως ἡ ἐλάσσων κατὰ τὰ αὐτά.

Πᾶσα οὐσία ἡ ταῖς ὁρμαῖς τοῦ σώματος ἀντιβαίνουσα, οὐκ ἐξηρτημένως τοῦ σώματος ἐνεργοῦσα ἐστί.
Πᾶσα δὲ λογικὴ ψυχὴ οὐσία ἐστὶ ταῖς τοῦ σώματος ὁρμαῖς ἀντιβαίνουσα.
Πᾶσα ἄρα λογικὴ ψυχὴ, οὐσία μὴ τοῦ σώματος ἐξηρτημένως ἐνεργοῦσα ἐστίν.

Ἡ μὲν οὖν τοῦ ἐσχάτου τοῦδε συλλογισμοῦ ἐλάσσων, ἐξ ἐνδοτάτης συνειδήσεως συμφανὴς ἑκάστῳ ἐστὶ καὶ κατάδηλος, Ἡ δὲ δὴ μείζων ὀχυροῦται τῷ λόγῳ τῆς ἀντιφάσεως· Οὐδὲ γὰρ φύσιν ἔχον ἐστὶ, τὸ οὕτως ἐξηρτημένον τινὸς, πρὸς αὐτὸ ἐκεῖνο ταῖς ἐνεργείαις καὶ διαμάχεσθαι. Εἴη γὰρ ἂν ἅμα συμβαῖνοντε τὸ αὐτὸ καὶ ἀντιβαῖνον, καὶ συνενεργοῦν καὶ ἀντενεργοῦν πρὸς τὸ αὐτό. Ὅπερ ἀδύνατον. Παραπλησίως δὲ καὶ τῶν ἀνωτέρω συλλογισμῶν ταῖς πρώταις, ἀπόδειξις οὐ προσοφείλεται· Ἀξιώματα γὰρ ἐστὶ, καὶ τοῖς μὴ ἀξιοῦσιν αὐτὰς, ἡ ἀντίφασις παρὰ πόδας.

§. ωλϛ'.

§. ωλς'. Ἡ αὐτὴ δὲ συμβάλλεται μέθοδος, καὶ ἐπὶ ὕλης ἀδεχομένης· Πλὴν ὅσον κατ' αὐτὴν ἡ τῶ Μέσω πρὸς τὰ τῶ ζητήματος ἄκρα οἰκειότης, ἢ ἀλλοτρίωσις, ἐκ ἀναγκαία ἐδ' ἀπαραίτητος. Παντὸς ἓν τῶ ἔργω περὶ τὴν εὕρεσιν ζρεφομένω τῶν Ἡγεμόνων, καὶ Ἑπομένων, καὶ Ἀντιζρόφων, καὶ Ἀλλοτρίων (§. ωκή. ωκθ'.) τοσέτωτις ὀφθήσεται κρείσσων, ὅσω δύφυῶς τε μᾶλλον ἔχει καὶ δεπιβόλως τὰ ἑκάζω γένη θηρᾶθαι, καὶ τὰ εἴδη, καὶ τὰς διαφορὰς, καὶ τὰ ἴδια, καὶ τὰς αἰτίας, καὶ τὰ αἰτιατὰ, καὶ ὅσα συνέλόντι φῶναι εἴτε ἐσιωδῶς, εἴτε ἐπεισιωδῶς ἐπιθεωρεῖται τοῖς πράγμασι. Συντελεῖ δὲ πρὸς τέτο, καὶ ἡ τῶν τῶ ζητήματος ὅρων ἐπὶ τὴν προσήκεσαν κατηγορίαν ἀναγωγὴ (§. ροβ'.), Καὶ ἡ τῶν κατ' αὐτὸς ἐννοιῶν ἀνάλυσις (§. ρια'. ριγ'.) οἵτε ἀνεπιλήπτως ἔχοντες ὁρισμοὶ (§. ριζ'. κξ'.)· καὶ αἱ ἐπ' ἀκριβὲς γινόμεναι διαιρέσεις (§. ρνά. κξ.). Καὶ πάντων δὲ ἧκισα, τὸ πυκνόντε καὶ ἐμμελὲς τῆς ἀναγνώσεως, καὶ ἀκροάσεως, καὶ μελέτης. Ἐντεῦθεν καὶ γὰρ βαθεῖατις ἡ διὰ τῶν φρενῶν τέμνεται αὖλαξ, ἐξ ἧς ἂν δέοντι τὰ πρόσφορα τῶν νοημάτων ἀναβλαςάνει, ἐξ ὧντις ὀφθόνως ἂν καρπῶτο τὰ Μέσα, εἰς τὸν παντὸς τῶ προκειμένω κατασκεδὸν καὶ ἀπόδειξιν.

ΚΕΦ.

ΚΕΦ. ΔΕΚΑΤΟΝ

Περὶ τῶν ψοδωνύμων Συλλογισμῶν.

Ἤτοι

Περὶ Σοφιστικῶν Ἐλέγχων.

§. ωλζ'.

Τὸν ψοδωνύμως ἀκόντα Συλλογισμὸν τὸν Σοφιστικὸν ἐπιλεγόμενον, καὶ ἀπάτης ὄντα γεννήτορα, ἐκ ἄλλως οἱ Διαλεκτικοὶ διασκεψόμενοι προβάλλονται, ἢ ὥσπερ οἱ μὲν ἐκ τῆς ἰατρικῆς τὰ τῶν νοσημάτων εἴδη παντοῖα, οἱ δ' ἐκ τῆς ἱερᾶς Θεολογίας τὰ τῶν δυσεβῶν περὶ τὰ θεῖα δοξασμάτων μετιόντες φιλοκρινῆσιν. Ὅπως ἀποκλινεῖτις αὐτὸν ἀμέλει καὶ ἀπελέγξει, ἢ προσήσεται καὶ προχρήσεται, διδάσκειν ἐπιβαλλόμενοι. Ἦν ἔν ποτὲ ἡ τῶν Σοφιστῶν ἐπαγγελία καὶ τῶν λίαν σεμνῶν (1), ἡ δὲ παράχρησις τῦ πράγματος τὶν φωνὶν ἐκφαυλίσασα, ὡς καὶ ἐπὶ ἄλλων τινῶν (2), ἐντεῦθεν ἡμῖν Σοφισὰς παρέχειν ἀποκαλεῖν, τὰς τῇ διπλόῃ τῶν ῥημάτων, καὶ ταῖς σκολιαῖς τῶν λόγων πλεκτάναις, εἰς ἀπάτην συμποδίζειν, καὶ παγιδεύειν καταμεθοδευομένας τὸν αὐτοῖς ἐντυχάνοντα.

§. ωλή Ἔστιν ἔν τὸ Σόφισμα λόγος Ἐριστικὸς ἐκ προτάσεων τῷ μὲν δοκεῖν ἀληθῶν, πράγματι δὲ ψοδομένων, δοκῶν συλλογίζεσθαι. Ἐριστικὸς μὲν γάρ, ὅτι διαφιλονεικῆντες τοῖς ἄλλοις οἱ Σοφισαὶ, κίβδηλόντινα καὶ ψοδῆ περιποιήσασθαι δόξαν διὰ τάτε ἀσκάζεσι. Λόγος δέτοι ἐκ προτάσεων τῶν ἐν προχήματι ἀληθείας τὸ ψεῦδος σωισᾶν βελομένων. Δοκεῖν δὲ συλλογίζεσθαι εἴρηται· τῷ γὰρ ὄντι ὁ Σοφιστικὸς λόγος ἐστὶν ἀσυλλόγιστος. Τὸν αὐτὸν δὲ καὶ Σοφιστικὸν ἔλεγχον προσεῖπον Ἀρι-

(1) „Οἱ γὰρ Σοφοὶ καὶ Σοφισαὶ „ἐκαλοῦντο· καὶ ἐ μόνον, ἀλλὰ καὶ „οἱ Ποιηταὶ Σοφισαὶ, καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ, τὸν περὶ Ὁμηρον καὶ Ἡσίοδον ἐπαινῶν ἔτω καλεῖ. Λαέρτ. ἐν τῷ Προοιμ.

(2) Τῶν Τυράννων, τῶν Μάγων, τῶν Ἀστρολόγων κξ.

Ἀριστοτέλης (1) „Ὁ γὰρ ἔλεγχος συλλογισμὸς ἐστὶν ἀντιφά-„σεως, δι' οὗ συνάγεται τὸ ἀντικείμενον τῆς θέσεως τοῦ ἀποκρι-„νομένου. Καὶ εἰ μὲν τὸ δι' αὐτοῦ συναγόμενον ἀληθῶς συνάγοι-το, ἀληθεύων ἂν εἴη καὶ ὁ ἔλεγχος, καὶ φιλοσόφοις τοῦ ἀλη-θοῦς ἰχνευταῖς πρέπων· Εἰ δὲ ψευδῶς, ὅ,τε ἔλεγχος ψευδὴς, καὶ φαινόμενος (2) καὶ Σοφιστῶν ἴδιος. Περὶ τῶνδε δὴ τῶν Σο-φιστικῶν ἐλέγχων ἐς πλάτος τῷ Σταγειρίτῃ συγγέγραπται, ἐπεὶ καὶ φορὸς τοῦ ὁ τότε χρόνος τῶν ἐκ τῆς Σοφιστείας δόξαν κενὴν θηρωμένων, ἀλλ' ὁ καθ' ἡμᾶς τοῦδε τοῦ δειλέου φύλου σπα-νίζων, ἐπιτομωτέραν ἡμῖν καὶ τὴν τῶν Σοφισμάτων ἔκθεσιν ἐπιτρέψει.

§. ωλθ'. Φέρεται τοίνυν Σοφισμάτων τριττόντι εἶδος· τῶν μὲν τῷ κατὰ τὸν Συλλογισμὸν σχήματι, τῶν δὲ τῇ κατὰ τὴν φωνὴν δυνάμει, τῶν δὲ καὶ ἐξ αὐτῶν τῶν πραγμάτων τὴν ἀ-πάτην φιλοτεχνούντων. Καὶ Σόφισμα μὲν τῶν παρὰ τὸ σχῆ-μα, Συλλογισμός ἐστι, τῶν Συλλογιστικῶν τινα θεσμῶν, ἤτοι τῶν κατὰ γένος (§. χκή. κξ.), ἢ τῶν κατ' εἶδος (§. χξή. κξ.) παραβαίνων. Τὸ δὲ διττῶς ἂν συμβαίνοι· ἢ γὰρ ἐλαθέτις τοῖς τῶν Συλλογισμῶν κανόσιν ἀσυνθετήσας, ἢ ἑκώντε καὶ κακοή-θως τὴν παρεκτροπὴν πρὸς ἐξαπάτην ἐπιτετήδευκεν. Εἰ μὲν οὖν τοῦτο, Σόφισμά τε τὸ γενόμενον, καὶ Σοφιστὴς ὁ ἐπιτηδεύ-σας, εἰ δ' ἐκεῖνο, Παραλογισμὸς τὸ συμβαῖνον, Σόφισμα δ' οὔ (3).

§. ωμ'. Ῥᾷστα δ' ὁ ἐκ τοῦ σχήματος, εἴτε σοφιστικὸς ἔλεγχος, εἴτε καὶ παραλογισμὸς ἀνακαλυφθήσεται, τοῦ Συλλογισμοῦ ποτὶ τὰν σπάρταν τῶν συλλογιστικῶν προσαγομένου κανόνων. Οἷον τὸν ἑξῆς·

Τὶ μέλαν ἐστὶ ζῶον.
Τὶς οἶνος ἐστὶ μέλας.
Τὶς οἶνος ἐστὶ ζῶον.

Κατὰ τοῦ ΙΕ'. τῶν γενικωτέρων Θεωρημάτων (§. χμδ'.) ῥᾴδιον ἐλέγξαι βαίνοντα.

Ὡσαύ-

(1) Σοφιστ. Ἐλέγχ. Βιβλ. Α. Κεφ. α'.

(2) „Καὶ Συλλογισμὸς καὶ ἔλεγ-„χος, ὁ μὲν ἐστὶν, ὁ δὲ οὐκ ἔστι μὲν, „φαίνεται δέ. Αὐτ. αὐτ.

(3) „Καὶ γὰρ, καὶ ἡμᾶς αὐτοὺς, „ἄκοντας ἐστὶν ἰδεῖν ὅτε σοφιζόμεθα. Γαλην. περὶ Αἱρέσ. τοῖς Εἰσαγομ. Τοῦτο δὲ ἐστὶ παραλογισμὸς, τὸ δὲ ἑ-κόντας τοὺς ἄλλους κυρίως Σόφισμα.

Ὡσαύτως Παραλογισμοῦ, ἢ Σοφίσματος προτεθέντος τοῦ ἐφεξῆς καθ' ὑπόθεσιν.

Εἰ ἔστιν ἄνθρωπος, ἔστι ζῶον·
Ἀλλ' ἔστι ζῶον ἢ, Οὐκ ἔστιν ἄνθρωπος·
Ἄρα ἔστιν ἄνθρωπος Οὐκ ἔστι ζῶον.

εὐχερῶς ἀνευρεῖν ἐστὶ τὴν διαμαρτίαν, ἐκ τοῦ ἀθετεῖσθαι τὸν ἐν τοῖς Ὑποθετικοῖς τῶν Συλλογισμῶν ὅρον (§. ψξή.), συμβαίνουσαν.

§. ωμά. Τῶν δὲ ἐν τῇ φωνῇ, καὶ παρὰ τὴν Λέξιν Σοφισμάτων εἴδη ἀπαντᾷ· Α. τὸ ἐξ Ὁμωνυμίας οἷον,

Πᾶς ταῦρος μυκᾶται.
Ὄρος τι ἐστὶ ταῦρος.
Ὄρος τι μυκᾶται.

Β. Τὸ παρὰ τὴν προσῳδίαν ἐπὶ φωνῶν ὁμοιολέκτων ἀπὸ τῆς διαφορᾶς παιζόμενον, ἤτοι τοῦ τόνου οἷον ὁ τυρὸς ἐκ γάλακτος, τύρος δὲ πόλις φοινίκης· Ἄρα κτ. ἢ τῶν φωνηέντων, οἷον πυρὸς μὲν ὁ καρπὸς ὁ Δημήτρειος· πηρὸς δὲ ὁ τὴν ὅρασιν βεβλαμμένος. ἢ ἑκατέρων, οἷον μόρος μὲν ὁ θάνατος, μῶρος δὲ τοῖς Ἀττικοῖς ὁ μωρός.

Γ. Τὸ παρὰ τὸ σχῆμα, ὁπηνίκα τις ἐξ ὁμοιοσχημόνων τερθρευόμενος φωνῶν, τὰ μηδὲν εἰσβάλλει ἑπόμενα· οἷον τὸ τύπτειν ποιεῖντι εἰς ἕτερον ἐστὶν, οὐκοῦν καὶ τὸ πίπτειν.

Δ. Τὸ ἐξ ἀμφιβολίας (1), ὅτε κατὰ τὴν αὐτὴν φράσιν λεκτικῶς, διπλόητις ἐμπίπτει τῷ λόγῳ σημασίας. Γίνεται δὲ τοῦτο πολλαχῶς· ἤτοι γὰρ ἀπὸ λέξεως, ἐν ἤχῳ τῷ αὐτῷ, ἑτεράτινα κατὰ σύλληψίν τε καὶ διαίρεσιν νοεῖν παρεχομένης, ὡς τὸ Στωϊκὸν ἐκεῖνο (2) Αὐλητρὶς πέπτωκεν. Δηλοῦται γὰρ τὸ μὲν τοιοῦτον, οἰκία τρὶς πέπτωκεν· τὸ δὲ τοιοῦτον, Αὐλήτρια πέπτωκεν. Οὕτω τοι καὶ τὸ ἐν τῇ πατρώᾳ διαθήκῃ ἐχέτω τἀμὰ πάντα Λέων, ἢ Πανταλέων, ἑκάτερος πρὸς ἑαυτὸν ἀνθεῖλκε, καὶ διηρμήνευεν. Ἢ διττῆς Αἰτιατικῆς ἐν Ἀπαρεμφάτῳ λόγῳ, ὡς ἐπὶ τοῦ Πύῤῥῳ χρησθέντος·

 „Φημίσε

(1) „Ἀμφιβολία δὲ λέξις ἐστὶ δύο, „ἢ καὶ πλείονα πράγματα σημαίνουσα „λεκτικῶς, καὶ κυρίως, καὶ κατὰ τὸ „αὐτὸ ἔθος, ὥσθ' ἅμα τὰ πλείονα „ἐκλέξασθαι κατὰ τὴν αὐτὴν λέξιν. Διογέν. Λαέρτ. ἐν βίῳ Ζήνων. Ἐλεάτ.

(2) Παρὰ τῷ αὐτῷ. αὐτ.

„Φημίσε Λιακίδιω Ῥωμαίας ὠλέσαι ἔξειν.

Ἢ κατὰ Ἀοριστολογίαν, ὡς ἐπὶ τῦ ἑτέρυ χρησμῦ·

„Κροῖσος Ἅλιν διαβὰς, μεγάλιν ἀρχὶν καταλύσει.

Ἢ διὰ ῥήματος κοινῦ· οἷον ὁ δεῖνα ἀδίκως βιάζεται. Ἢ ἐν μετοχῇ μεταβαινόσῃ εἰς ὄνομα ὁμοιόπτωτον δι' ἀμφιῤῥεπῆς ἐπιθέτυ· οἷον, εἶδον παῖδα καλὸν φέροντα ῥόδον. Οὐδὲν ἂν ἔργον ἐπὶ τῶν τοιύτων τινὶ ἐπὶ τῆς λέξεως διπλόϊν ἐλέγχοντας, ἀραχνιαίς δικίν ὑφάσματος διαλύειν τὰ προτεινόμενα· τοιαῦτα γὰρ ἀτεχνῶς ἐστὶν, ὡς παιδαρίοις μὲν ἀδολεσχίας τινὰ διατριβὶν παρεχόμενα, φιλοσόφοις ἀνδράσι, μηδ' ἅχρις ἀκοῆς γίνεθαι ἀνεκτά.

§. ωμβ'. Τοῖς λεκτικοῖς τύτοις, καὶ τὰ παρὰ τινὶ Σιώθεσιν, καὶ τινὶ Διαίρεσιν σοφίσματα συγκαταλέγειν εἰώθασι. Καὶ παρὰ μὲν τινὶ Διαίρεσιν τελεῖται τὸ σόφισμα, ὅτε τις ἐκ τῦ μὴ συμβαίνειν πεφυκέναι εἰς ταὐτὸ διασὰς ἐνεργείας, ἐντεῦθεν ἀσύμβατον εἰσβάλλειν ἐπιχειρεῖ τινὶ ἑτέραν, καὶ τῇ δυνάμει, ἧς ἡ ἑτέρα ἐξήρτηται. Οἷον, ἐπεὶ ὁ τὸ πονηρὸν πράσσων, ἅμα τὸ ἀγαθὸν ἐκ ἔξι ποιῶν, εἴτις σιωάπτοι τὸν τοιῦτον μηδεμίαν εἰς τὸ ἀγαθοεργεῖν ἔχειν διύαμιν. Ταύτης ἔν τῆς ἰδέας καὶ ταῦτα. Οὐδεὶς σιγᾷν ὁ αὐτὸς διύαται καὶ λέγειν. ὁ ἄρα λέγων ἃ διύαται σιγᾷν. Καὶ ἃδ' ἃ μὴ βαδιεῖται ἔτω ποτὲ ὁ καθήμενος, ἃδ' ἃ μὴ γράψει ὁ μὴ γράφων.

§. ωμγ'. Τὸ δὲ παρὰ τινὶ Σιώθεσιν βαίνει ἀπ' ἐναντίυ. Ἐκ γὰρ τῦ σιωυπάρχειν ἐπὶ πολλῶν τῇ ἤδη γινομένῃ ἐνεργείᾳ, τινὶ πρὸς τ' ἀντίθετον διύαμιν, σιωάπτειν ἐπιχειρεῖ καὶ τὰς ἐνεργείας τὰς ἀντικειμένας. Εἰ γὰρ ὁ βαδίζων διύαται, φησὶ καθεθδιῦαι, διυατὸν ἄρα τὸν αὐτὸν ἅμα καὶ καθῆθαι βαδίζοντα, καὶ βαδίζειν καθήμενον. Παρὰ τινὶ Σιώθεσιν δὲ πλέκεθαι δοκεῖ, καὶ τὸ Σοφιζόμενον ἴσα δύναθαι τῷ ἵππῳ τὸν παῖδα, καθότι ὅσα ἅμα ὁ ἵππος, τοσαῦτα καὶ ὁ παῖς κομίζειν διηρημένως καὶ κατὰ βραχὺ διύαται.

§. ωμδ'. Τῆς ἴσης δέμοι δοκεῖ τερθρείας, καὶ τὰ παρὰ τινὶ Ἀντίφασιν λεγόμενα σοφισμάτια, ἐν οἷς διὰ τῦ κατ' ἄλλο, ἢ ἄλλοτε, ἢ ἄλλως τοῖς ἀντιπίπτεσιν ὑποκειμένυ, κατὰ τὸ αὐτὸ, καὶ ἅμα, καὶ ὡσαύτως ἡ ἀντίφασις καταπαίζεται· οἷον τὸν Αἰθίοπα μέλανα εἶναι ἅμα καὶ μὴ εἶναι, ὡς ἄρα μελάγχρωντε καὶ λευκόδοντα.

§. ωμε'.

§. ωμέ. Τῶν δὲ παρὰ τὰ πράγματα σοφισμάτων πλειόνων ἀριθμουμένων, Α. κείσθω τὸ παρὰ τὴν πρώτην ἐπίνοιαν, καὶ τὴν δευτέραν (§. σιγ'.). Διαιρεῖται δ' ἐντεῦθεν ἡ ἀπάτη, ὅτε τὸ κατὰ δευτέραν ἐπίνοιαν προσῆκον τῷ μέσῳ, καὶ τῷ κατ' ἐπίνοιαν πρώτην ὑπὸ τὸ αὐτὸ μέσον ὑποκειμένῳ προσαποφέρεται. οἷον, ὁ ἄνθρωπος ἐστὶ καθόλου· ὁ Σωκράτης ἐστὶν ἄνθρωπος· Ἆρα ὁ Σωκράτης ἐστὶ καθόλου. Ἀδελφὸν τούτῳ καὶ τὸ Χρυσίππειον·

Εἴτι λαλεῖς τοῦτό σε διὰ τοῦ στόματος ἔρχεται.
Ἅμαξαν δὲ λαλεῖς.
Ἅμαξα ἄρα διὰ τοῦ στόματός σε διέρχεται.

§. ωμς'. Β. δὲ τὸ παρὰ τὸ συμβεβηκὸς, διὸ ὅ, τι δ' ἄλλο συμβέβηκέ τινι, ἐκεῖνο τούτῳ προσεῖναι καθ' αὑτὸ ἐπιφέρεται. Οἷον εἴτις δεῖξαι ἐπιχειρήσειε κινήσεώς τε, καὶ στάσεως, καὶ μέτρου, καὶ τόπου ταῖς περὶ τὰ σώματα μετεῖναι δυνάμεσι, διὰ τὸ ἐκείνοις καθ' αὑτὰ κινουμένοις, καὶ μένουσι, καὶ μετρουμένοις, καὶ τόπον ἐπέχουσι, συμμεταφέρεσθαι πως δοκεῖν καὶ ταύτας, καὶ συμμετρεῖσθαι, καὶ συντοπίζεσθαι. Ὅμοιον δὲ καὶ τὸ τῆς Ἰατρικῆς, φέρε, ἢ τῆς Ῥητορικῆς, ὡς ὀλεθρίοντε καὶ ἐπιβλαβῶν καταφέρεσθαι, διὰ τὸς ἀμαθῶς, ἢ φαύλως αὐταῖς καταχρησαμένους. Καὶ τὸ παραινεῖν τῆς Διαλεκτικῆς, ὡς ἐρεχελίας κενῆς ἀπέχεσθαι, διὰ τὸς σοφιστικῶς τε καὶ κακοζήλως αὐτῇ μετιόντας.

§. ωμζ'. Γ. Οὐ πολὺ τοῦ ἀνωτέρω ἀπέχει, καὶ τὰ παρὰ τὸ κατάτι, καὶ τὸ ἁπλῶς, σοφίσματα. Καὶ γίνεται μὲν παρὰ τὸ ἁπλῶς, ὁπωσοῦν, εἴτε ἐκ τοῦ παραμικρὸν ὅλου, καὶ τὸ παρεξηρημένον σωζόμενον μέρος· οἷον ἐπεὶ μέλας ὁ Αἰθίοψ, ἄρα καὶ τοὺς ὀδόντας. Ἢ ἐκ τοῦ ἀορίστου τὸ ὡρισμένον· οἷον ἂν ὁ Χρύσιππος σωμύλλοιτο, ἐκ τοῦ ἄνθρωπον Ἀθήναζε εἶναι, εἰσβάλλων ὅτι ἄρα καὶ ὁ Ξέρξης Ἀθήναζε ἦλθε. Ἢ ὅταν τὰ οὐ ὄντα τῷ γένει, ὅτι καὶ τῷ εἴδει· ἢ τὰ τῷ εἴδει, ὅτι καὶ τῷ ἀριθμῷ, σωάγοντες· οἷον Σωκράτους εἶναι τῷ Πλάτωνι τὸν αὐτὸν, ὅτι ἄμφω ἄνθρωποι. Καὶ βοῦν ἀνθρώπῳ, ὅτι ζῷα· Δέον τοὐναντίον. Ἢ ἐκ τοῦ ὡς τὰ πολλὰ, καὶ ἁπλῶς, καὶ ἀορίστως, ἐπιφέρειν τοδέτι, καὶ ὡρισμένως, μὴ τοῖς ἀντιπίπτουσι προσέχων δι' ἃ ὑπεξήρηται. Οἷον εἴτις δοτέον εἶναι διατείνοιτο τὸ ξίφος τῷ μαινομένῳ, δέον ἑκάστῳ νέμειν τὸ ἴδιον· Καὶ πειθε-

σθαι χρεὼν τοῖς Ἡγȣμένοις, πειςέον αὐτοῖς καὶ τὰ μὴ δέοντα ἐπιτάσσȣσι. Καὶ τὸ φονεύειν ἀπειρημένον, ȣ̓δ' ἐν πολέμοις ὅλως, τὸν ὑπὲρ ψυχῆς, καὶ πατρίδος, καὶ τῶν φιλτάτων ἀγῶνα ἀναληπτέον.

§. ωμή. Δ. Σοφίζεσθαι δὲ ἀνάπαλιν παρὰ τὸ κατάτι συμβαίνει, τὸν ἤτοι ἐκ τȣ̃ μέρȣς τὸ ὅλον συνάγοντα, οἷον ὅτι ὁ Αἰθίωψ λευκὸς, ἐπεὶ τοιȣ̃τος τȣ̀ς ὀδόντας· ἢ ἐκ τῆς ἀτομικῆς ἑτερότητος τὴν εἰδικὴν, κἀκταύτης τὴν κατὰ γένος· δέον τȣ̀ναντίον· ἢ ἐκ τȣ̃ ὡρισμένȣ τὸ ἀόριςον, οἷον ἐκ τȣ̃ ποτὲ, καὶ πȣ̃, καὶ περὶ ἃ, καὶ τρόπῳ τινὶ, ἀείτε, καὶ πανταχȣ̃, καὶ περὶ πάντα, καὶ τρόπῳ παντὶ· ᾧ δὴ σοφίσματι, καὶ Φιλώτας τις παρὰ Πλȣτάρχῳ (1) τὸν ἀκαίρως παρὰ τὴν τράπεζαν περὶ διαίτης φιλοσοφȣ̃ντα ἰατρὸν ἐπιςομίσαι ἱςόρηται:

„Τῷ πῶς πυρέττοντι δοτέον ψυχρόν.
„Πᾶς δὲ ὁ πυρέττων πῶς πυρέττει.
„Παντὶ ἄρα πυρέττοντι δοτέον ψυχρόν.

Ἡράκλεις ὡς πυκνὸν ἐμφιλοχωρεῖ καὶ τοῖς περὶ τὸν βίον πράγμασι τȣ̃ παραλογισμȣ̃ τȣ̃δε ἡ ἀτοπία! ἐφ' ἅπαν ὅ,τι τύχοι ἁπλῶς ὑπὸ ἀμαθίας μετεωριζομένων, καὶ βαφαῖς ἀκράτοις ὡς φάναι καταχρωννύειν μηδὲν ὑπενδοιαζόντων, τȣ̀ς καὶ μετρίȣ τινὸς, καὶ μάλα μόγις, δοκȣ̃ντας μετέχειν βάμματος. Οἷον ἐπειδήτις τῶν περὶ τὴν Ἀςρολογικὴν φλυαρίαν καταχολȣμένων προειπών τι, ἐκ τύχης πως μεταξὺ μυρίων ἐφ' οἷς ἐψεύσθη, τῆς ἐκβάσεως ἥψατο, ἐντεῦθεν ὅδε,

„ . . . . . Θεοςορίδης οἰωνοπόλων ὃχ ἄριςος·
„Ὃς οἶδε τάτ' ἐόντα, τάτ' ἐσσόμενα, πρὸ τ' ἐόντα.

Καὶ ὡς ὑποθεὶς θεραπείαν ἅπαξ ὠφέλησε, τῷ Ἀσκληπιῷ ἐκ τȣ́τȣ τὰ ἶσα γεραίρεται. Καὶ βȣλὴν εἰπὼν ȣ̓κ ἠςόχησε, Νέςορι ἄρα μῆτιν ἀτάλαντος. Τȣ̀ναντίον δέτις εἴποτε ἀποτυχὼν περίτι ἐγένετο, ȣ̓κέτι τȣ̃ λοιπȣ̃ πρὸς ȣ̓δὲν ὅλως δεξιῶς ἔχειν κρίνεται ὁ τοιȣ̃τος. Ὁ δέτις ἁμαρτὼν ἐφωράθη, τῆς ἄρα μοίρας τῶν σωζομένων ἐφάπαξ, σὺν αὐταῖς ἐλπίσιν ἐξώκειλεν. (Ὅρα. Προδι. Β. §. ιθ'.).

§. ωμθ'. Ε. Τὸ παρὰ τὸ ἑπόμενον τῷ ἐλέγχῳ, ἐν ᾧ διὰ τȣ̃ ὀρθῶς συνημμένȣ, συνημμένον τὸ ἀντίθετον εἰσβάλλειτις ȣ̓κ

(1) Εἰς Βίον Μ. Ἀντωνίȣ.

ἐκ δὲ λόγως. Οἷον εἰ γράφω, δῆλον ὅτι κινῶ τὰς τῆς χειρὸς δακτύλας· Ἆρα εἰ ἃ γράφω τούτας ἃ κινῶ. Καὶ εἰ λέγω, κινῶ τινὰ κάτω γένιον, ἆρα εἰ ἃ λέγω ταύτην ἃ κινῶ. Καὶ τούτοις δὲ καὶ ὑπεναντίως. Εἰ ἃ κινῶ τινὰ κάτω γένιον ἃ λέγω. Λέγω ἄρ' εἰ ταύτην κινῶ. Ἀλλ' οὐ τούτοις διακρίνειν δέον τὰ ἐπὶ τῶν σωπημένων Ἡγέμενα, καὶ τὰ Ἑπόμενα. Ἐπὶ μὲν γὰρ τῶν Ἀντικατηγορεμένων ἡ τῶν Ἀντιθέτων ἐπιφορὰ εὖ μάλ' ἂν ἔχοι, ἐπὶ δὲ τῶν μή. τὰ τῆς ἀκολουθίας ἐκ ἐρώτας, μὴ κατὰ τὰς ἐκτεθέντας (§. ψξή) ὅρους τεχνιτεύομενα.

§. ωνέ. ς. Τὸ παρὰ τινὰ ἀτελῆ ἐξαριθμησιν, οἷον ἤτοι δρασμῷ χρησάμενος, ἢ τὰς φύλακας παραβιασάμενος, ἢ χρήμασι τινὰ παρὰ τῶν δικαστῶν ὠνησάμενος ψῆφον, ὁ σὺ εἱρκτῇ κεκρατημένος ἀπηλλάγητε. καὶ ὡς ἡμᾶς ἥκε. Τί ἔν, εἰ κρειττόνων ὀφθεὶς αἰτίας, ὑπὸ τῶν δικαστῶν ἀπολέλυται;

§. ωνά. Τὸ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι· τοῦτο δὲ ἐστί, τὸ ὡς μέσον εἰς δεῖξιν παραλαμβάνειν τὸ προκείμενον δειχθῆναι, αὐτόπρο τὸ ζητούμενον συναρπάζοντα. Ὃ ποτὲ μὲν ἐξ ἀμαθίας συμβαίνει, ὡς εἰ, μηδὲν παρὸν τῷ διαλεγομένῳ εἰς κατασκευὴν τοῦ ζητουμένου μέσον, ὁ δὲ διὰ φωνῶν ἴσα δυναμένων, τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ πείθειν πειρῶτο. Ἢ καὶ ἐπίτηδες πληθυόντων τὰς δείξεις, κύκλῳ περιιόντων, καὶ τινὰ διάλειξιν παρατεινόντων, ἐφ' ᾧ θαυμασθῆναι τῆς περινοίας· ἢ δὴ καὶ τὸν χρόνον ἑαυτῷ πραγματευόμενος ῥᾳδιουργῆσαι τινὰ εὕρεσιν. Ἀριστοτέλης μὲν οὖν ἐλέγχεσιν (1) ὡς αἰτησάμενον τὸ ἐν ἀρχῇ, ἔνθα ἐν αὐτῷ τῆς Γῆς τῷ μεσαιτάτῳ τοῦ παντὸς εἶναι τὸ κέντρον, διὰ τινὰ ἐπὶ τὸ κέντρον αὐτῆς ῥοπὴν τῶν βαρέων κατασκευάσαι ἐπιχειρεῖ. Δῆλον γὰρ φασὶν, ὡς ἐκ ἂν ἄλλως ἐκεῖνο ἔψοιτο, μὴ τὸ μέσον τοῦ παντὸς ἐπέχειν τῆς γῆς προϋποτεθείσης. Τὸ γὰρ, ὅτι περὶ τὸ τοῦ παντὸς μέσον, πᾶν τὸ βάρος ἔχον νένευκε, διατείνεσθαι, τρόπος ἄλλος ἔστος τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι ἂν εἴη· καθ' ὃν διὰ τοῦ ἐπίσης ἀμφιβαλλομένου, ἡ τοῦ ζητουμένου πίστις τηνάλλως θηρᾶται. Οὕτω παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι σοφίζοιτο, καὶ εἴτις τινὰ Λογικὴν πειρῶτο, τῆς τῶν Ἐπιστημῶν ἐκκλείειν χορείας, διὰ τὸ μὴ μέρος αὐτὴν εἶναι τῆς Φιλοσοφίας, ἁπλῶς δὲ ὄργανον.

(1) Ὁ Τυρρηνὸς Γαλιλαῖος παρὰ τῷ Συγγραφ. τῆς Τέχν. τοῦ Νοεῖν, Μέρ. Γ. Κεφ. ιδ'. Σοφίσμ. Β.

§. ωνβ'. Η. Τὸ παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνειν. Οὕτως ἄντις τιὼ τῆ οἴνῳ (φέρε) χρῆσιν κακίσειε, δέον τιὼ κατάχρησιν. Ἢ τιὼ παιδείαν ὡς τῶν ἀτοπωτάτων αἱρέτην αἱρέσεων, ὧν αἰτιατέον μάλισα τιὼ ἀπαιδευσίαν, καὶ τιὼ τῆ νῆ πώρωσιν. Οὕτω δὴ, καὶ οἱ δι' ὀλόγων καὶ ἀληθῶν αἰτίων, πολλὰ τῶν φαινομένων ἰχνοσκοπεῖν καὶ ςιβδεῖν μὴ δυνηθέντες, θᾶτλον ἢ τιὼ ἄγνοιαν ἑαυτῶν καθομολογῆσαι, εἰς ἀτόπους περιωὐχθησαν ὑπολήψεις· Καὶ τιὼ μὲν διὰ τῶν ἀντλιῶν καὶ συρίγγων ἄνοδον τῶν ὑγρῶν, τῇ τῆ κενῆ Φρίκῃ Φέροντες ἀπέδωκαν· συμπαθείαις δὲ ἐκ οἷδ' αἵτινι, καὶ ἀντιπαθείαις, καὶ πλείσαις ἄλλαις ἀποῤῥήτοις δυνάμεσι, καὶ ποιότησιν, αὐτάρκη τὸν Φυσικὸν ἐκπεράναι λόγον ὠήθησαν. Παραπλήσια δὲ καὶ οἱ ἐκ τῶν κατ' ἐρανὸν τὰ ἐπὶ τῆς γῆς, σοφιζῶσι, τὰ μὲν αἰτιολογεῖν, τὰ δὲ προλέγειν νεανιζόμενοι. Ὑπὸ τοιῶδε γὰρ ὁ τεχθεὶς, φασὶ, γεγαὼς πλανήτη, ἢ τῆ ἡλίῳ ἔτως οἰκοδεσποτοῦντος, τοιόσδε ὤφθη. Καὶ ὕσεγε δαψιλὲς ἐν σιωόδῳ, παραίτιος ἄρα τῶν καταῤῥαγέντων ὄμβρων, ἡ τῶν φωσήρων συζυγία. Λυτῶν δὲ πάλιν ἐν ἀντιθέσει ἤδη γενομένων, Κάραβοι καὶ Καρκῖνοι μεσοὶ βρωθῖῶαι, ὥσε καὶ τότων ἐκ πλησιφαὲς τῆς Σελήνης ἡ πλήρωσις. Κομήτε δὲ ἀναφανέντος, ςάσεις ἐν ἔθνεσι γενέθαι σιωέβη, καὶ μάχας, καὶ τυράννων πτώσεις, καὶ τὰ παραπλήσια· ἐκῆν διὰ τὸν Κομήτιω καὶ ταῦτα. Τὲς ἓν ἔτω σοφιζομένες, ἢ παραλογιζομένες διερωτητέον, τὶς ἡ μεταξὺ τότων καὶ τῶν συμβαινόντων ἀναφορὰ, ἢ εἰκότι γῆν καὶ πιθανῶ λέγῳ τὸ βάσιμον ἔχεσα; καὶ δεχθῆναι ἀξιωτέον ὅπως τὰ προχειριζόμενα εἰς παραγωγιὼ τῶν γινομένων ποιεῖν πιςόεται.

§. ωνγ'. Θ. Τὸ παρὰ τιὼ τῆ ἐλέγχε ἄγνοιαν τετάχθω, δι' ἣ παρ' ὃ ἔδει, ἕτερόντι ἐλέγχειν ἐπιχειρεῖ ὁ σοφιζόμενος· τό, τε παρὸν ἐπίτηδες ἀποκλίνων ἀγώνισμα, ἀντ' Ἀχιλλέως ἑαυτῷ τὸν Πάτροκλον ἀντιπροβάλλεται, ὡς ῥᾷσα ἔτω περιεσόμενος. Οἷον προκειμένε ἐλέγξαι τὸν ψέγοντα τῷ λόγῳ τὲς μάτιω τοῖς τυχηροῖς τῶν ἀγαθῶν ἐπιχαίνοντας· καὶ δεῖξαι δέον μὴ ἀληθὲς ὂν τὸ εἰρημένον, τὰ τῆς τύχης μηδαμῆ ἔμπεδα ἔναι, ἐπισφαλῆ δὲ καὶ ἀκίνητα, θᾶτλον ἢ λαμβανόμενα μεταβαλλόμενά τε καὶ μεταπίπτοντα, ὁ δὲ τὸν ἔλεγχον παρελθὼν τῆ σαφῶς ἀληθεύοντος, δοκεῖν δὲ ἄλλως ἐλέγχειν βελόμενος, λῆρον ἄπλετον καταχεῖ τῆς δαίμονος, κενοντι τῆτο τυγχάνειν

χανειν ονομα λέγων, καὶ ἑδενὸς τῶν ὄντων κυρίως παρασατικόν. Καὶ ἦπται ἐκ ἀπεικότως, εἰδὲ τῦ ἀληθῦς ἐκτός. Ἀλλ' ἐχὶ τῦτ' ἰῷ, ἅπερ ἔδει ἐπιλαβέσθαι, ἐκεῖνο δὲ μᾶλλον πεῖσαι μὴ ὀρθῶς εἰρῆσθαι, ὅτι τὰ πράγματα αὐτὰ, ἐφ' οἷς οἱ πολλοὶ τιὼ καλαμενίω τύχιω, ὡσανεὶ ἔφορον ἐπικαθιζῶσιν, ἐν ἀσάτω τινὶ φορᾷ διιωεκῶς ἄγεται καὶ φέρεται· ὁ δὲ τυχὸν ἠγνόησεν ἔ ἐχρὶῦ τραπεῖται, ἢ ἀγνοεῖν ὑπεκρίνατο, πρὸς ἄλλο τρέψας τὸν ἔλεγχον. Τοιῷδε τινὶ, καὶ τὸν Ἀριστοτέλιω χρήσασθαι φασὶ, κατὰ Μελίσσητε καὶ Παρμενίδε σοφισματι, τῶν μίαντε καὶ μοναδικιὼ τιὼ ἀρχιὼ ὑποτιθεμένων, καὶ κατὰ Πλάτωνος τῦ τὰς Ἰδέας εἰσάγοντος. Τοῖς μὲν γὰρ ἴσως περὶ τῦ Ποιητικῦ ἰῷ ὁ λόγος, ὁ δὲ ὡς ἄρα ἀπελέγξων, ἀντιμεθεῖλκε τὸν λόγον ἐπὶ τὰς ἀρχὰς τῆς σωθέσεως. Καὶ Πλάτων ἴσῃ Νῦν ἀπειροτέλειον. Ὁ δὲ ἀπὸ τῦ Νῦ ἐπὶ τὰ κοῖλα τῆς Σελιναίας σφαίρας, τὰς ἰδέας κατῆγε, καὶ Λύθυποσάτες καθίδρυσαν. Ὁπώσποτε γῶν ἔχει τὰ τοιαῦτα τῶν ζητημάτων, παρείσθω τοῖς Κριτικωτέροις, καὶ οἷς πρόθεσις ἡ τότων ἔρευνα, ἐξετάζειν. Εἰς γὰρ δεῖγμα μόνον ἐνταῦθα τῦ, παρὰ τιὼ ἄγνοιαν τῦ ἐλέγχυ, ἐλήφθη σοφίσματος. Ἡμῖν δὲ δὴ τὸ τοιόνδε σόφισμα ῥᾴδιον παρεῖ ἐπιλύειν, πρὸς τὸ ζητέμενον ἀνακαλῦσι τὸν Σοφισεύοντα, καὶ τὸν πῶλον παραινῦσιν ἐπὶ τιὼ νύσαν κεντεῖν, ὑπειπῦσι τὸ παροιμιῶδες·

„Ἄλλο Γλαῦξ, ἄλλο Κορώνη φθέγξεται.

§. ωνδ'. Ι. Τὸ παρὰ τιὼ ἀπὸ γένυς εἰς γένος μετάβασιν, ἰῶϊκα ἀφ' ἑτέρας τάξεως, ἢ τρόπε, ἐφ' ἕτερον ὁ διαλεγόμενος μεταβαίνων, ψεῦδέ τι ἐπιφέρειν ἔοικε συγκλώθων τ' ἀσύγκλωστα. Οὕτω φασὶ παραλογίζεθαι τὸν ἐν τοῖς Νεωτέροις διαθρυλληθέντα Καρτέσιον, ἐν οἷς ἀφ' ἧς ἰῷ φέρων κατὰ νῦν ἐννοίας, τιὼ τῦ ΘΕΟΥ ὕπαρξιν ἀραρότως κατασκεύαζειν ἐνόμιζε. Μὴ γὰρ ἐπάναγκες τὸ ὄν, ὃ ἐκ ἔξιν ἀπὸ τῆς ἰδέας, τιὼ τῆς ὑπάρξεως ἰδέαν ἀπεῖναι, ἤδη καὶ ὑπάρχειν αὐτό; Ἀμέλει καὶ γὰρ, ὃ' ἐνεργείας ὁποιασῦν οἷοντε ἰδέαν λαβεῖν, μὴ ταύτηγε ἀπαραιτήτως σωεπινοῦντας καὶ ἰδέαν ὑπάρξεως. Ἀλλὰ μὴ παρὰ τῦτο, ἀπὸ τῦ κατ' ἐπίνοιαν ἐπὶ τὸ πράγματι εἶναι μεταπηδῶντας, εἰσβάλλειν ἔνι, ἀναγκαίαντε καὶ ἀπαραίτητον τυγχάνειν τῆς ἐνεργείας τιὼ ὕπαρξιν; Οἶμαι γὰρ δὴ ὡς ἄλλο μὲν ἡ ἰδέα ἐστὶν, ἅπερ ἰδέα ἄλλη ἡ τῆς ὑπάρξεως,

ἀδιαζβήκτως παρακολεθεῖ· ἄλλο δέτι, τῷ παντὶ διαφέρον, ἡ ἰδέα, ἰῶ ἐχ οἴοντε ἔχειν, ἀνυπαρκλῆν τὸ ἐξ αὐτῆς παρισάμενον.

Παραπλήσια δὲ σοφίζονται, καὶ οἱ ἀπὸ τῶν κατ' ἀφαίρεσιν ἐννοιῶν, τὰ καθόλε πραγματιῆν αἱρέμενοι (§. πγ'. υδ'.). Καὶ οἱ ἀπότινων δὲ Γεωμετρικῶν Θεωρημάτων καθ ὑποθέσεις τινὰς τοῖς περὶ τὰ μαθήματα ἐναχολεμένοις ἰδιαζέσας, φυσικά τινα προβλήματα σωάγειν πειρώμενοι. Οἷον κύκλος (φασὶν) ὀθείας ἐφαπτόμνος, καὶ σφαῖρα ἐπιπέδε, κατὰ σημεῖον ἐφάπτονται. ἐκῆν ἐκ σημείων, καὶ γραμμὴ πᾶσα, καὶ ἐπιφάνεια. Καὶ εἰ ταῦτα, καὶ τὸ σῶμα ἄρα. Καὶ ἐκ τῶν ἀμοιρέντων ἔτως ἐκτάσεως, ἔκτασις συγήσεται πᾶσα. Καὶ αἱ παλαιαὶ κρατήσσι μονάδες ἐξ ὧν τὰ σώματα, καὶ αἱ νεώτεραι. Ἀλλὰ γὰρ ἀδεὶς ἂν δοίη τοιαῦτα εἶναι ἐν τοῖς ἔσι τὰ σημεῖα, καὶ τὰς γραμμὰς, ἀδὲ κύκλες καὶ σφαίρας ἐν τῇ Φύσει ἔτως ἀκριβεῖς ὑφεσᾶναι ὥσε κατ' ἀμερῆ πάντη σημεῖα τῶν γραμμῶν, ἢ ἐπιφανειῶν ἐφάπτεθαι, ὥσπερ δὴ Γεωμετρῶν πασὶ τὰ τοιαῦτα ψιλαῖς ἐφεῖται ταῖς ἐπινοίαις θεωρεῖν, καὶ ὑποτιθέναι. Ταύτητοι καὶ ὁ τρόπος τῷ παντὶ διαφέρων, τλὺ ἀφ' ἑτέρε εἰς ἕτερον ἐκ ἐπιτρέπει μετάβασιν.

Τοῖς ἐκτεθεῖσιν ἀδελφὰ, καὶ ἅτινες ἀπὸ τῆς τάξεως τῶν κατὰ φύσιν εἰσβάλλσσιν ἐπὶ τλὺ τάξιν μεταβαίνοντες τῶν ὑπερφυεςέρων. Τέτοις ἓν ἅπασιν ὁλόγως ἀπαντητέον, ὅτι τῶδε μὲν, ἢ τῷδε τῷ γένει τῶν ὄντων, ἐπαληθόει προσιδιάζον τὸ λεγόμνον, ἐμὶὺ δὲ καὶ παντὶ, ἀδὲ τῷδε.

§. ωνέ. ΙΑ. Τὸ παρὰ τὰς πολλὰς ἅμα ἐρωτήσεις γινόμενον· οἷον τὸ μέλι, καὶ ἡ χολὴ γλυκύ; ἐφ' ὧν προδήλε τῆς διπλόης ὔσης, ἀδὲ δοτέον, Ἀριτοτέλει πειθομένως (1) ἀπόκρισιν. Ἀλλ' ἔτιν ἃ δοκεῖ μὲν ἐν ἁπλότητι ἐρωτᾶθαι, ἐχ οἷα δὲ καὶ μίαν ἔτιν ἀπόκρισιν ἐπιδέχεθαι. Οἷον εἰ, πολλῶν παρόντων μηδ' ἐπίσης τλὺ διὰ λόγων ἡγμόνων ἐρωτήσειέ τις περὶ αὐτῶν, πότερον τῶν τροφίμων ἔτοι παιδάς εἰσιν, ἢ τῶν ἀπαιδότων; Καὶ πότερον ἁπλῶς σιγᾶν ἄμεινον, ἢ λέγειν; μετὰ διαζολῆς ἀπαντητέον, πρὸς μὲν ἐκεῖνο,

„Τὶς,

(1) Σοφις. Ἐλίγχ. Βιβλ. κ'. Κεφ. δ'.

„Τὶς, καὶ τὶς εἰπὲ· δύο γὰρ ἐξαυδᾷς ἅμα.

Πρὸς δὲ τᾶτο,

„Λέγειν θ' ὅπᾳ χρὴ, καὶ σιγᾷν ὅπῃ καλόν.

§. ΙΒ. Τὸ παρὰ τλὺ ὑπόθεσιν τᾶ πύσματος. Καθ' ὃ, τᾷ Σοφιστᾷ ἐν τῷ ἐρωτᾶν παρυποτιθεμένᾳ τῶν ἀτόπων, καθ' ἑαυτᾶ λήσεται, ὃς ἂν ἁπλῶς ἀπαντήσῃ. ἐρῶν, εἰ μὴ φθάσας τὸ ἐνοχλᾶν τῆς ὑποθέσεως προαποσκοδάσηται. Οἷον εἴτις πύθοιτο, μόνος ἆρ' ἦθα ληςῶν, ἢ σιωεργὲς ἐπὶ τλὺ ληςείαν ἦγες καὶ ἄλλες; ὑποτίθησι ληςρικόν τινα διαγενέθαι ἄγοντα βίον τὸν ἐρωτώμενον. Ὡσαύτως ἰῶ ἔροιτο, πότερον ἐμπεροινεῖν ἐπαύσω εἰς τὸν πατέρα, ἢ τυγχάνεις ἔτι τᾶτο ποιῶν; Φανερὸν ὅτι τὸν ἐρωτηθέντα, τῷ τᾷ πατραλοίᾳ καθυπάγει ἐγκλήματι.

§. ωνζ'. Τὰ μὲν ἓν τῶν Σοφισμάτων εἴδη τοιαῦτα καὶ τοσαῦτα (1). Ὁ δὲ δὴ τᾷ Σοφιστᾷ χαρακλὴρ, καὶ τῆς φωνῆς ὁ τό-

(1) Παρὰ ταῦτα δὲ, καὶ ἄλλα τινὰ παρὰ τοῖς Ἀρχαίοις Σοφισμάτων εἴδη, ἐκ τῆς Στοᾶς τὰ πλείω φέρεται προελκυθότα, ἐξ αὐτῶν (περὶ ας ἐρωτᾶθαι εἰώθεσαν), τῶν ὑποθέσεων γνωριζόμενάτε, κ, ὀνομαζόμενα. Οἷον ὁ Ψευδόμενος, ὁ Ἐγκεκαλυμμένος, ἢ Λανθάνων, ὁ Κροκόδειλος, ὁ Κερατίνης, ἢ ἡ Κερατὶς, ὁ Φαλακρὸς, ὁ Οὖτις, ὁ Θερίζων, ὁ Σωρείτης, ἡ Ἠλέκτρα, ὁ Ἀχιλλεὺς, ὁ Ἰνδὸς, ὁ Κυριεύων κλ.

Ψευδόμενος ἰῶ ἔτος· Ἐάντις ψεύδομαι φήσας, εἶτ' ἐρωτήσῃ, πότερον ἠλήθευσεν εἰπὼν, ἢ μὴ, τὶ χρὴ λέγειν; πότερον ὡς ἠλήθευσεν; ἐκεῖν ἐψεύσατο, ἵν' ἀληθεύῃ λέγων ὅτι ψεύδεται. Ἀλ' ὅτι ἐψεύσατο; τοιγαρᾶν ἠλήθευσε, ψευσάμενός τε καὶ εἰπὼν, ὡς ἐψεύσατο.

Ὁ δὲ Ἐγκεκαλυμμένος, ἢ Λανθάνων, ἔτως ἰῶ προβαλόμενος. „Τὸν „πατέρα οἶδα τὸν σαυτᾶ; Ναὶ. Τᾶτον δὲ οἶδα τὸν λανθάνοντα, ἢ ἐγ„κεκαλυμμένον; Ἀγνοῶ. Ἀλ' αὖ„τὸς ἔτος ἰῶ ὁ πατὴρ ὁ σὸς· ὥσε εἰ „τᾶτον ἀγνοεῖς, δῆλος εἶ τὸν πατέ„ρα τὸν σὸν ἀγνοεῖν. Λεκιαν. Βίων Πρᾶσ.

Ὁ δὲ Κροκόδειλος ἔτως ἰῶ ἔχων· „Τὸ σὸν παιδίον ἤν πως ὁ Κροκόδειλος „ἁρπάσῃ, πλησίον ποταμᾶ πλαζόμε„νον βρῶν, κἄτα σοὶ ἀποδώσειν ὑπι„σχνεῖται αὐτὸ, ἢν εἴπῃς τ' ἀληθὲς, „ὅ, τι δέδοκται περὶ τῆς ἀποδόσεως τᾷ „βρέφες· τὶ φήσας αὐτὸν ἐγνωκίας; Λεκιαν. αὐτ.

Ὁ δὲ Κερατίνης· οἷον ὃ ἐκ ἀπέβαλες ἔχεις, κέρατα δ' ἐκ ἀπέβαλες. Ἆρα κλ. Τᾶτον σὺν καὶ ἄλλοις παρεπλησίοις ἀπονέμεσι Χρυσίππῳ (Ὅρα Λαίρτ. ἐν Βί.) οἱ δὲ Εὐβελίδε τᾶτο φασίν.

Ὁ δὲ Φαλακρὸς ἔτως ἂν ληροίη· ὁ Φαλακρὸς ὧν τρίχας ἐπὶ κεφαλῆς ἔ φέρει. Ἀλ' οὐ δ' ὁ ἐν χρῷ κκρίας. Ἆρα κλ. τότε δεῖγμα παρ' ἐσενὶ τῶν ἀρχαίων ἀνεγνωκέναι μέμνηται φησὶν ὁ Γάλλος Μενάγιος, ἐν ταῖς παρασημα-

ὁ τόνος, καὶ ὁ τῆς ἐπαγγελίας τρόπος, καὶ προσώπου σχῆμα, καὶ ἔμφασις ἤθους, καὶ μελῶν ἄτακτοι κινήσεις, τὰ πάντα Σόφισμα. Στεντόρειόντι οὗτοι ὑπερφωνοῦντες βοῶσι, μόνοι δὲ καὶ λέγειν θέλουσι καὶ ἀκούεσθαι· διακόπτουσί τε θρασυνόμενοι, εἴτι τούτοις ὡς ὑποβαλεῖν ἀρξόμενος τὰ χείλη διάροι ὁ πρὸς ὃν διαλέ-

μειώσεσι, καὶ ἐπιδιορθώσ. ταῖς εἰς τοὺς Βί. τοῦ Λαερτ. Βιβ. β. Τμήμ. 108.

Ὁ δὲ Οὔτις, ἐξ ἀφορμῆς τοῦ Ὁμηρικοῦ ἔπους παιχθῆναι δοκῶν.

„Οὖτις μὲ κτείνει δόλῳ, οὐδὲ βίηφι. Ὀδυσ. I. (ὡς Εὐστάθ. φησίν ἐν Παρεκβ. αὐτ.) „παραλογισμὸς ἐστὶ κα„τὰ τὸν παρ' Ὁμήρῳ Ὀδυσσέα, Οὖ„τιν ἑαυτὸν καλέσαντα. Οὔτινος πα„ραλογισμοῦ παράδειγμα· εἴτις ἐστὶν „ἐν Ἀθήναις οὗτος οὐκ ἔστιν ἐν Μεγά„ροις. Ἄνθρωπος δὲ ἐστὶν ἐν Ἀθή„ναις. Ἄνθρωπος ἄρα οὐκ ἔστιν ἐν Με„γάροις (Ἀμμών. εἰς τὰς Κατηγ.) Δεῖν μέντοι λαβεῖν οἶμαι, ὅτι τις ἄνθρωπος ἐν Ἀθήναις, εἰς τὸ κατὰ Οὔτινα συναγαγεῖν, οὔτις ἄρα ἄνθρωπος ἐν Μεγάροις.

Ὁ δὲ Θερίζων· Εἰ θεριεῖς, φησὶν, „οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ „θεριεῖς, ἀλλὰ πάντως θεριεῖς. Καὶ „εἰ μὴ θεριεῖς, ὡσαύτως οὐχὶ τάχα „μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλ„λὰ πάντως οὐ θεριεῖς· Ἀλλ' ἐξ ἀνάγ„κης, ἤτοι θεριεῖς, ἢ οὐ θεριεῖς· „Ἀνῄρηται ἄρα τὸ τάχα, εἴπερ μή„τε κατὰ τὴν ἀντίθεσιν τοῦ θεριεῖν καὶ „μὴ θεριεῖν ἔχει χώραν. Ἀμμών. εἰς τὸ περὶ Ἑρμην. Ἀλλὰ γὰρ εἰ τὸ ἐξ ἀνάγκης ἕπεται κατὰ τὸ ἀόριστον τῆς Ἀντιθέσεως, τὶς οὐ συνορᾷ, ὡς ἐπὶ τοῦ ἑτέρου τῶν ἀορίστων ὡρισμένως, τὸ τάχα παρακολουθήσει; τοῦ δὲ Σοφίσματος μέμνηται καὶ Λουκιαν. ἐν Πράσ. Βίων, καὶ Λαέρτ. ἐν Βίῳ Ζήνων. τοῦ Κιττιέως.

Ὁ δὲ Σωρείτης· Παρετέθη ἡμῖν ἀνωτ. (§. ψμϛ'. ἐν τῇ Σημειώσ.)

Ἡ δὲ Ἠλέκτρα, τοιάδε· Παρεστῶτος αὐτῇ τοῦ Ἀδελφοῦ Ὀρέστου ἀγνῶτος, ᾔδει μὲν τὸν Ὀρέστην ὅτι ἀδελφὸς αὐτῆς, ὅτι δὲ οὗτος Ὀρέστης, ἠγνόει· ὥστε τὰ αὐτὰ ἦν ἅμα καὶ εἰδεῖα, καὶ μὴ, ἡ Ἠλέκτρα. Λουκ. ἔνθ. ἀνωτ.

Ὁ δὲ τετραγῳδημένος τῷ ὀνόματι „Ἀχιλλεὺς, ἀπὸ τοῦ παραληφθέντος „Ἀχιλλέως ἐκλήθη, ὃν ἀδύνατον φη„σὶν ὁ λόγος τὴν χελώνην διώκοντα „καταλαβεῖν. Σιμπλίκ. καὶ Θεμίστ. ἐν ὑπομν. εἰς τὰ περὶ Φυσικ. Ἀκροάσ. Ἀριστ. Βιβλ. ϛ'. Κεφ. ιδ'.

Τελευταῖον δὲ τοῦ Ἰνδοῦ, καὶ τοῦ Κυριεύοντος, Μέμνηται μὲν καὶ Λουκιανὸς (ἔνθα ἀνωτ.) μέμνηται δὲ καὶ Πλούταρχος (ἐν τῷ περὶ Ὑγιειν. παραγγελμ. τοῦ δὲ Κυριεύοντος καὶ Συμποσ. Προβλ. Βιβλ. Α. Προβλ. Α.) Καὶ Ἀρριανὸς δὲ (εἰς Ἐπίκτ. Βιβλ. Β. Κεφ. ιθ'.) καὶ Θεμίστιος (Λόγ. Β.). Ὁ δὲ Μενάγιος ἐν ταῖς εἰς τὸν Λαέρτ. παρασημ. ἔνθ. ἀνωτ. Quid sit Ἰνδὸς, ignorare me fateor. Ἀλλ' εἰκάσαι ῥᾴδιον ἐκ τῶν ἄλλων, Σοφισμάτι' ἄττα προτεθῆναι καὶ ταῦτα, ἀπὸ τῶν τοιῶνδε ὀνομάτων τὴν ὑπόθεσιν εἰς ἐξαπάτην κακουργοῦντα. Οἷον ἐάντις εἴπῃ, ὅτι πᾶς Ἕλλην ἄνθρωπος· ὁ δὲ Ἰνδὸς οὐκ ἔστιν Ἕλλην, ὁ Ἄρα Ἰνδὸς οὐκ ἔστιν ἄνθρωπος. Καὶ ὁ Κυριεύων εἷς· ὧν δὲ κυριεύει οὗτοι πολλοὶ· ἔλαττον δὲ τὸ ἓν τῶν πολλῶν. Καὶ ὁ ἄρα Κυριεύων, ὧν ἐστὶ Κύριος ἐλάσσων ἔσται· ψυχρὰ γοῦν ταῦτα, εὖ οἶδα, ἀλλὰ γὰρ δὴ καὶ τὰ ἀνωτέρω, οὐδὲν ἐπιεικῶς ἀμείνονα.

διαλέγονται· σκώπτουσίτε σὺν ἀλαζονίᾳ τὰ λεγόμενα ὑπ' ἐκείνου, καὶ ὑποθαυμάζουσί πως ἐοίκασιν ἐπ' αὐτοῖς, ὡς καὶ ῥηθῆναι δῆθεν καὶ νοηθῆναι ἀτοπωτάτοις. Ἀλλὰ καὶ τοῖς παρεστῶσι διανεύοντες, εὐνουστέρους σφίσι ποιεῖν πειρῶνται κλεπτίστατα· καὶ δολερὰ μὲν, τὰ ῥήματα, δολερὰ δὲ καὶ τὰ νεύματα τούτων, καθάπερ καὶ τὰ νοήματα. Εἶτα ἐπαλλόμενοι ἄττουσι, καὶ μανικὸν κατορχοῦνται τι καὶ παράφορον· χείρας τε καὶ πόδας ἀπρεπῶς κινοῦσι, καὶ παταγοῦσι παλάμας ἀλλήλαις ἐπανακρούοντες, καὶ τὸν θρίαμβον πρὸ τῆς νίκης διασαλπίζοντες. Ὁ γεμὴν τῷ ὄντι Σοφὸς, σώφρων τε ἀεὶ καὶ καθεστὼς, καὶ φωνὴν, καὶ σχῆμα φαινόμενος, μόνης φροντίζει τῆς ἀληθείας, ἣν προστάτιν ἑαυτῷ στήσας, περιελεῖται μὲν λόγοις ἑδραίοις καὶ ἀκαπηλεύτοις τὸ τοῦ ψεύδους προκάλυμμα, ἐλέγξει δὲ τὸν νόθοις κάλλεσι φυσιούμενον. Ἡ γὰρ ἀλήθεια κἂν ἐπὶ βραχὺ ἀμαυρῶτο ποτὲ διαβαλλομένη, οὐμὴν ἀλλ' οὐ τέλεον ἀποσβεννυμένη, τοῦ νέφους διασκεδασθέντος, λαμπροτέρα τέως καὶ εὐπρεπεστέρα ἢ πρὶν, πέφυκεν ἐξαστράπτειν.

ΤΗΣ ΛΟΓΙΚΗΣ.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Περὶ Μεθόδε.

ΚΕΦ. ΠΡΩΤΟΝ.

Ὁποίατις καὶ ποσαπλῆ ἡ Μέθοδος ἐςί.

§. ωνή.

Μέθοδος ἡμῖν ἐπὶ τῶ παρόντος ἔςω, ἡ ἐν ταῖς κατ' Ἐπιςήμιν γινομέναις μελέταις, εὔλογός τε καὶ πρέπουσα τῶν νοεμένων οἰκονομία, καθ' ἣν ἐν τάξει κατὰ τὸ πρότερον αὐτὰ καὶ ὕςερον μετιόντες, τὸ σκοπεμένε τέλος τῆς γνώσεως ῥαδίως περιγινόμεθα, καὶ ἀνεπιβόλως. Ὁδὸς γέτοι πρόκειται αὕτη, δι' ἧς ἀπόςετε καὶ ἀσιβῶς ἴεσιν, ἀπροσκόπως ἐξὶ χωρεῖν, καὶ πρὸς τὸ σπεδαζόμενον τῆς ἐπιςήμης πέρας ἁπλανῶς τε καὶ σὺν ἀσφαλείᾳ ἐλαύνειν.

§. ωνθ'. Ἡ μὲν ἓν τοιάδε τῶν νοεμένων εὔλογός τε καὶ εὔθετος τάξις, ἤτοι ἐφ' ἑνὸς ἄν ἰδία καὶ μόνε τῶν κατὰ τὰς λογικὰς εἰδῶν ἐνεργείας οἰκονομοῖτο· οἷον ἐπὶ Ὁρισμῶ Φέρε, ὡς ἂν ὀρθῶς ἔχοι· ἐπὶ Διαιρέσεως, ὡς ἂν ἀνελλιπῶς καὶ ἀμέμπτως· ἐπὶ Συλλογισμῶ, ὡς ἂν κατὰ σχῆμα Φιλοτεχνοῖτο καὶ συζυγίαν τιὰ ταχθεῖσαν κλ.· καὶ μέθοδος ἂν εἴη αὕτη Ἁπλῆ. Ἢ μεταξὺ πάντων, ἢ πλειόνων τινῶν νοερῶν ἐνεργημάτων, συλλήβδιν ἐπὶ τὸ αὐτὸ παραλαμβανομενῶν, ἡ τέτων ἂν πρὸς ἄλληλα διαπρυλανδοίλο τάξις· οἷον εἰ ἐπὶ ὁλοχερῆς Φέρ' εἰπεῖν ζητήμαλος προκειμένε, ἢ διδασκαλίας γινομένης, ἢ συγγράμμαλος φιλοπονεμένε, ἢ διαλέξεως σωισαμένης κλ. Ἥτε μέθοδος ὀρθῶς ἂν ἔτως ἐκληφθεῖσα Μικλὴ ἀκόσεσιν.

§. ωξ'. Μεθόδε τοιγαρῆν τῆς Ἁπλῆς εἴδη τοσαῦτα, ὅσα καὶ τὰ τῶν νοερῶν ἐνεργειῶν ἀριθμήσειέτις, ὁλοχερέςερον ἐκλαβόμενος.

βόμενος. Διὸ καὶ Μέθοδος τοῖς πάλαι ἡ μὲν Ὁριστικὴ, ἡ δὲ Διαιρετικὴ, ἡ δὲ Συλλογιστική. Καὶ Ἀναγωγῆς δὲ μέθοδος, καὶ Ἀπαγωγῆς τῆς εἰς ἀδύνατον, καὶ σωρεύοντι πᾶσαι αἱ περὶ τὰς ἐννοίας, καὶ σκέψεις, καὶ κρίσεις, καὶ διανοήσεις ποικιλοτρόπως φιλοτεχνέμεναι· Ἀκριβέσι δὲ μᾶλλον καὶ πρὸς τὸ ἰχνότερον διαστέλλεσι, τὰ τῶν Ἁπλῶν εἴδη μεθόδων, καὶ ὑπὲρ αὐτὰ τὰ τῶν ἐνεργημάτων πληθύνεται. Καὶ γάρτοι καὶ Ὁρισμῶν, καὶ Διαιρέσεων πλείους οἱ τρόποι· Καὶ Ἀντιστροφῆς δὲ, καὶ ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς προτάσεως ὡσαύτως· Καὶ Ἀντιθέσεως δὲ, καὶ Ἰσοδυναμίας, καὶ Ἀκολουθιῶν, καὶ Συλλογισμῶν αἱ Μέθοδοι παντοῖαι, ὡς ἐκ τῶν εἰς τόδε ἐκτεθέντων ῥᾴδιον σωιδεῖν, ὧν τιὼ ἔκθεσιν καὶ αὖθις ἐδὲν δέον ἀναμασήσασθαι.

§. ωξά. Τῆς δὲ δὴ Μικτῆς εἰρημένης (§. ωνθ'.) εἴδη Μεθόδε, τρία μάλισα φέρεται τὰ κυριώτατα ταῦτα· τὸ κατὰ Μελέτιω, τὸ καθ' Ἔκθεσιν, τὸ κατ' Ἀνάλυσιν· Τέτων τιὼ μὲν Εὑρέσεως ἐκάλεσαν μέθοδον, τιὼ δὲ Διδασκαλίας, τιὼ δὲ Προσδιαλέξεως. Περὶ ὧν καὶ αὐτοῖς πειραλέον βραχέα διελθεῖν, προυποθεμένοις πρῶτον τινὰ ταῖς Ἁπλουστέραις τῶν μεθόδων ἀνήκοντα.

ΚΕΦ.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ Μεθόδων τινῶν ἁπλουστέρων, ὧν Ἐπίσημος καὶ τὰς λογικὰς ἐνεργείας ἡ χρῆσις.

Μέθοδος Ὁρισμῶν.

§. ωξβ'.

Τῷ ὁρισμὸν ἀποδώσοντι Γνωρισικόν τινος (§. ρκθ'. Σημ.') θεωρείσθω πρῶτον τὸ ὁριζον ἐν ὑπάρξει· τετέσιν ἀτομικῶς (§. ή. Σημ.), ἐν πλείοσιν ὑποκειμένοις, καὶ χρόνοις, καὶ τόποις, καὶ τρόποις, καὶ ταῖς ἄλλαις περιστάσεσι καὶ σύγκρισιν ἐναρμοζόμενον. Εἶτα, ἃ μὲν διὰ τῆς τοιᾶς δὲ ποικίλομένω συγκρίσεως, ἄλλε ἄλλως ἐνορᾶται συμβαίνοντα ἀποπεμπέσθω δι' ἀφαιρέσεως (§. οδ'.), ἃ δ' ἂν ἐν οἱαδήποτε καταστάσει τεθάντι, ἀπαραιτήτως προσεῖναι νοοῖτο, ταῦτα δὴ κατεχέσθω. Διὰ γὰρ τέτων ὡς ἐσιωδῶντε καὶ ἀναφαιρέτων γνωρισμάτων (§. αὐτ.), ἡ παντὸς τᾶ προκειμένᾳ τελεῖται ἀνάλυσις (§. ριά.), ὃς ἐστὶν ὁ Ὁρισμός (§. ρις'.).

§. ωξγ'. Οἷον μιᾶς Φεβρουαρίε $\frac{2}{3}$ τᾶ 1766. ὅπερ ἄγομεν ἔτος, περὶ πρώτην ὥραν ἀπὸ μεσημβρίας, ἐκλελοιπὼς ὁ ἥλιος ἔντισι τῶν ἔξω τῆς Εὐρώπης ὤφθη κλιμάτων, ὡς ἐκεῖσε δὴ, καὶ καθ' ἐκεῖνο τᾶ χρόνε, παρὰ τοῖς ἐκείνας ἔχεσι τὰς οἰκήσεις τὸν γενόμενον σκοτασμὸν θεαθῆναι, τῶν δὲ τῇ Εὐρώπῃ οἰκέντων ἐθνῶν πάρ' ἐδενί. Ἀλλὰ γὰρ ἔτος τᾶ αὐτᾶ, Αὐγέσε μιᾶς $\frac{1}{3}$ μετὰ μεσημβρίαν πάλιν αὐτὸ τᾶτο πείσεται ἥλιος, ἢ μᾶλλον ἡ γῆ. Καὶ διαληφθήσεται μὲν ἡ ἀκλὶς προδήλως πᾶσι μικρᾶ τοῖς τῇ Εὐρώπῃ, καὶ τῆς Ἀμερικῆς τὰ Ἀρκτῶα οἰκᾶσι, τᾶ δὲ σκοτασμᾶ ἀρχὴ, τοῖς μὲν τὸ Βερολῖνον ἔχεσι, Φέρε, ἐν ὥρᾳ 5. καὶ 25'. γενήσεται, μέσον δὲ ὡ 7. καὶ 13'. τό, τε τέλος αὐτοῖς ἀθέατον, τῆς τᾶ Φωσῆρος δύσεως φθανέσης τῇ ἀνακάθαρσιν. Τοῖς δὲ πρὸς ἥλιον ἀνίσχοντα, ἢ δύσμενον τεταμμένοις πρότερον ἢ ὕστερον, καὶ τάχιον ἢ βραδίον, τῷ λόγῳ δηλονότι τῆς ἀπὸ τᾶ ληφθέντος μεσημβρινᾶ, ἐκλέρωθεν ἀποστάσεως. Καὶ κατ' ἄλλας δὲ χρόνας, τοῖς τῇ αὐτῇ

ἔχεσι

ἔχεσι μοῖραν ἐκ ἀεὶ ὡσαύτως τὸ φαινόμενον καθορᾶται, καὶ ἄλλοις ἄλλως, ὡς ενίοτε καὶ δακτύλιόν τινα φαινὸν δι' ἄκρης πέρατος τῆς δίσκης χηματογραφῆσθαι, ὅπερ ἐπὶ ταῖς κεντρώσεις ἐκλείψεσι συμβαίνει, ταῖς καὶ δακτυλιοειδέσι καλεμέναις ἀπὸ τοῦ χήματος. Ἐπὶ γὰν τῶν εἰρημένων ἐκλείψεων, τρεπτὰ μὲν τὸ ὧδε ὁρᾶσθαι ἢ ἐκεῖσε· καὶ τὸ τότε ἢ τότε· καὶ τὸ τοσόνδε ἢ τοσονδε, καὶ τὸ τοιῶς δε τῷ χήματι ἢ τοιῶς δε. Ἄτρεπτα δὲ, καὶ ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐν ἁπάσαις κοινὰ, τὸ τὴν ἀντιφραξιν γίνεσθαι· τὸ τὴν ἀκτῖνα διαλαμβάνεσθαι· τὸ μέρος τι τῆς δίσκης ἀφωτόν ποθεν κατοπτάνεσθαι· τὸ κατὰ τὰς συνόδας τῶν φωτήρων, ἢν ἀκριβέσι ταῖς ἐπὶ τῶν δεσμῶν, ἢ λέγεσι, συζυγίαις, τόδε τελεῖσθαι· καθ' ἃ δὴ καὶ ὁ ὁρισμὸς ἀποδοθήσεται. Ὅτι Ἔκλειψις ἡλίε ἐσ'ν, ὁ τισὶ τῶν ἐπὶ γῆς εἰκόντων τῷ φωτῆρος φαινόμενος σκοτασμὸς, ὁ ἐν ἀκριβέσι ταῖς συζυγίαις συμβαίνων.

§. ωξδ'. Κατὰ μὲν ἓν τὴν εἰρημένην μέθοδον ὁ ὁρισμὸς φιλοτεχνεῖται ἄριστα ὁ Γνωρισικὸς. Ἐὰν δὲ συνάμα τοῖς ἄλλοτε ἄλλως ἐπὶ τῷ ὁρισῷ ἔχειν παρατηρεμένοις, καὶ τὰ ἀπαραίτητα αὐτῷ ἐν οἱαδήποτε καταστάσει ἐπιθεωρέμενα διὰ τῆς ἀφαιρέσεως ἀπεξεχθῇ, μόνα δὲ παραληφθῇ εἰς μέσον τὰ αἴτια, δι' ἃ δὴ τῶν δυνατῶν εἶναι νοεῖται τὸ ὁριθῆναι προκείμενον, τὴν ικαῦτα ὁ δι' ἐκείνων ἀποδιδόμενος ὁρισμὸς Γενετικὸς, ἢ φασὶ, καὶ πραγματικώτης (§. ρκθ'. Σημ.) ἔσαι, ὃν ἄλις ἔχει αἰτιώδη καλεῖν. Οἷον ἐάντις ἐπὶ τῷ ἀνωτέρω ἀποδῷ, ὅτι Ἔκλειψις ἡλίε ἐσ'ν, ἡ τῆς Σελήνης ἡλίε μεταξὺ καὶ γῆς, ἐπ' ὀθείας, ἢ ὡς ἔγγιστα τῆς ὀθείας κειμένων παρεμπτωσις.

§. ωξέ. Δυνατὸν ἐπ' ἐνίων τὸν Γνωρισικὸν (§. ωξγ'.) τῷ Γενετικῷ (§. ἀνωτ.) εἰς ταὐτὸ συμπαραλαμβάνειν καὶ ὁρισμὸν ἐξ ἀμφοῖν ἀποδιδόναι μικτὸν, οἷον παρὰ τὸν εἰς δεῖγμα τεθέντα τῆς ἐκλείψεως· καὶ τὰς παραλλήλες τῶν ὀθειῶν, Γνωρισικῶς μὲν ἐσ'ν ὁρισθαι, ὅτι εἰσ'ν αἱ ἐπιπέδῳ εἰς ἄπειρον προεκβαλλόμεναι, μηδέποτε δὲ συμπίπτεσαι. Αἰτιωδῶς δὲ, ὅτι αἱ ὀθείας ἀπαρεγκλίτως εἰσὶν ἀγομένης, ὑπὸ τῶν περατόντων αὐτὴν σημείων καταγραφόμεναι. Συνάψαντας δὲ ἀποδῶναι οἱοντε καὶ ἑκατέρωθεν. Ἔσι δ' ἐφ' ὧν εἰς ταὐτὸ, ἑκάτερος τῶν ὁρισμῶν ἔτω συμπίπτει, ὡς χαλεπὸν εἶναι διαξῆσαι τῷ ἑτέρου τὸν ἕτερον. Οἷον ἐπὶ τῆς ὀθυγράμμε γωνίας, τῶν ἄλλοτε ἄλλως αὐτῇ συμβαινόντων, κατὰ τὴν ταχθεῖσαν μέ-

θοδον §. ωξβ΄.) ἀποκρεθέντων (τοιαῦτα δὲ, τὸ ἐπὶ ψάμμε, ἢ σανίδος, ἢ χάρτε τὰς ἀθείας ἄγεθαι· τὸ προμηκεςέρας εἶναι ἢ βραχυτέρας· τὸ ἐρυθρὰς ἢ μελαίνας, ἢ κτ. τὸ μᾶλλον ἢ ἧττον διεχέσας κτ.) διὰ τῶ ὑπὸ δυεῖν ἀθειῶν, τῶν ἐν ἐπιπέδῳ κατὰ σημεῖον συνιεσῶν περιέχεθαι, καὶ τὰ γνωρίσματα τῆς γωνίας ἅμα παρίσαται, καὶ τὰ αἴτια.

§. ωξς΄. Ἀλλ' ἔσιν ἃ οἷς ἐδὲν εἰμὴ τὰ γνωρίσματα οἱοντε προχειρίζεθαι, τῶν αἰτίων ἀγνοεμένων, οἷον χρυσὸς ἐςὶ τῶν μετάλλων τὸ βαρύτατον, τὸ ἀδαγωγότατον, τὸ εἰς ἰὸν μὴ τρεπόμενον, τὸ μαρμαῖρον ἐν αὐγοειδεῖ τῇ ἀχρότητι, τὸ ἐν τῷ βασιλικῷ καλεμένῳ ὕδατι ἀναλυόμενον, κξ. Τοιαῦτα δὲ ἡ ἠλεκτρικὴ δύναμις, ἡ μαγνητικὴ, ἡ βαρυτης, τὸ ἐλατήριον, καὶ ὧν τὰ ποιητικὰ λανθάνει κρυπτόμενα. Ἐπὶ τέτων ἓν καὶ τὰ γνωρίσματα ἐκ τῶν ὑςέρων, τετέσιν αἰθήσεως καὶ πείρας, μόνον τυγχάνει ἀποδεικτά (1).

§. ωξζ΄. Τελευταῖον δὲ καίτινα φέρεται, ὧν ἔςι μὲν Γενετικὸν ὁρισμὸν λαβεῖν, Γνωρισικὸν δὲ ἔχ οἷοντε· Οἷον τῶ πρασίνε ἄνθες, ἔτινος ἔκλε τῶ κυανῶ καὶ τῶ κιτρίνε ἀκριβῶς μιγνυμένων, ἡ γένεσις, ὁποῖατις ἂν γνωρίσματα καταλέξειεν (2);

Μέθοδος Διαιρέσεων.

§. ωξή.

Διαιρήσοντι δὲ, καθ' ἣν ἰδιαίτερον Διαίρεσιν ἔφθημεν ὀνομάσαντες (§. ριβ΄.), προσαρμοζέον ὡσαύτως τὸ διαιρετέον τοῖς ἐν ὑπάρξει, ποικιλαχῶς αὐτοῖς συγκρινόμενον. Ἔπειτα κατὰ τιὼ ὑπεναντίαν τῆς ἐπὶ τῶ ὁρισμῶ (§. ωξβ΄.) μέθοδον χωρητέον. Ἐπ' ἐκείνε μὲν γὰρ τῶν ἀπαραιτήτως σωζομένων ἀφι-

(1) Λειβνίτ. ἐν Ἀνακρίσει τῶ περὶ Νῶ τῶ Λωκίε Βιβλ. Γ΄. Κεφ. Γ΄. §. 19.

(2) Ἀυτ. αὐτ. Κεφ. Δ΄. §. 4-7. „τῶν γὰρ ὅρων (ἤτοι τῶν ἰδεῶν) οἱ μὲν „καθ' ἑαυτὰς ἁπλοῖ ὁρισμῶ παντὸς ἀ„σὶν ἀνεπίδεκτοι ὀνοματικῶ τε δὴ (ὅς ὁ „καθ' ἡμᾶς τυγχάνε γνωρισικὸς) καὶ „πραγματικῶς (ὅς ἐςὶν ὁ καθ' ἡμᾶς. „Λιτικῶς.) οἱ δὲ μὴ καθ' ἑαυτὰς, ἡ„μῖν δὲ ἁπλοῖ τυγχάνοντες, ἅτε δὴ „ἐπὶ τὰ ἐξ ὧν σύγκεινται σοιχεῖα ἀνα„λύειν αὐτὰς μὴ δυναμένοις, οἷοι πε„φύκασι θερμὸν, ψυχρὸν, κίτρινον, „πράσινον, ὁριθεῖεν ἂν δ' ὁρισμῶ „πραγματικῶς, τῶ τῶν ἐν αὐτοῖς αἰ„τίων γινομένε δηλωτικῶ.

ἀφῃρεῖτο τὰ ἄλλοτε ἄλλως ἔχοντα· Ἐπὶ δὲ τῆς Διαιρέσεως συνεκλαμβάνειν δεήσει ἐκείνοις καὶ ταῦτα. Ἐκ γὰρ δὴ τῆς τέτων εἴτε διαμάχης, εἴτ' ἔν ἄλλως διαφορᾶς, ἐπ θεωρεμένης τε καὶ διοριζομένης, τὰ μέλη ἀνακύπτει, τὰ εἰς ἃ γενήσεται ἡ Διαίρεσις.

§. ωξθ'. Οἷον ἡ Ἔκλειψις ἐν γένει, ἅτε δὴ σκοτασμός τις ἁπλῶς τῶ φωτοειδῶς σώματος ἔσα, διὰ μὲν τῆς τῶν ὑποκειμένων οἷς περ ἂν προσαρμοσθείη, διαφορᾶς, ἡ μὲν ἡλίε ἐστὶν, ἡ δὲ σελήνης, ἡ δέ τινος τῶν ἄλλων πλανητῶν, ἡ δὲ τῶν περὶ τὲς πλάνητας καλεμένων δορυφόρων. Διὰ δὲ τῆς τῶν αἰτίων· ἡ μὲν Σελήνης, ἢ τινὸς ἑτέρε πλανήτε τῇ παρεμπτώσει συμβαίνεσα, ὡς ἡ τῶ ἡλίε· ἡ δὲ Γῆς, ὡς ἡ τῆς Σελήνης. Αἱ δὲ τῶν ἀνωτέρω πλανητῶν, καὶ τῶν περὶ αὐτὲς δορυφόρων, δι' ἀλλήλων. Ἡ δὲ ὅρος ἀντιληπτικῆς καθίσαται δυνάμεως, ἡ μὲν ἔκλειψις ὁρατὴ, ἡ δὲ τέτοις, ἢ ἐκείνοις ἀόρατος. Καὶ ἡ μὲν προθεωρηθεῖσα τε καὶ προρρηθεῖσα, ἡ δὲ ἄ Ἀλλὰ καὶ τῷ μέτρῳ τῶ σκοτασμῶ, καὶ τῷ χήματι, ἡ μὲν ὁλοπρόσωπος, ἡ δ' ἡμιπρόσωπος· καὶ ἐπὶ τῶ ἡλίε, ἡ μὲν κερατοειδὴς, ἡ δὲ δακτυλιοειδὴς, ἡ δὲ (ἐμπιπτόσης τῆς Ἀφροδίτης), δίς ἔτω λέγειν, κηλιδοειδής. Καὶ τῷ χρόνῳ δὲ, ἡ μὲν διαρκεστέρα, ἡ δὲ βραχυτελεστέρα. Καὶ τῇ ὥρᾳ ἡ μὲν χειμερινὴ, ἡ δὲ ἐαρινὴ, κτ. (Ὅρα §. ργγ'. ργδ'.).

§. ωο'. Σιωτελεῖ δὲ, καὶ τῶ Ἀριστοτελικῶ Κανόνος μεμνημένες ἐνταῦθα, πρῶτον ὁρίζειν ἔπειτα τὸ προκείμενον ἀναβάλλεσθαι διαιρεῖν (§. ρξε'.)· Ἐκ γὰρ ἑκάστε τῶν ἐπὶ τῶ ὁρισμῶ γνωρισμάτων, οἷα πηγήτις ἐν μέρει διαιρέσεων ἀναστομωθήσεται. Οἷον ἐπειδὴ τριγώνου γνωρίσματα τὸ διὰ τριῶν εὐθειῶν ἂις περατῶται, τρεῖς ἔχειν γωνίας· ἐκ μὲν τῶ πρώτε ἡ διαίρεσις τῷ τριγώνῳ εἰς τὸ ἰσόπλευρον, καὶ τὸ ἰσοσκελὲς, καὶ τὸ σκαληνόν· Ἐκ δὲ τῶ δευτέρε εἰς τὸ ἀμβλυγώνιον, καὶ τὸ ὀρθογώνιον, καὶ τὸ ὀξυγώνιον.

Μέθοδος τῶ τὰς προτάσεις μερικεύειν, ἢ καθολικεύειν.

§. ωοά.

Τῶν προτάσεων αἱ μὲν εἰσὶ μερικαὶ, αἱ δὲ καθόλε· Καὶ αἱ μὲν καθολικεύομεναι, ὡς ἀπ' ἐκείνων, αἱ δὲ ὡς ἀπὸ τέ-

των μερικευόμενων. Καὶ μερικαὶ μὲν κυρίως αἱ ἐποπτικαὶ τὴν κρίσιν (§. σμέ.), ἐφ' ὧν δηλαδὴ ἡ τῶν ὅρων χέσις, δήλη καθίσαται ἡμῖν αἰσθήσει μόνη καὶ πείρᾳ· Οἷον κινεῖται μὲν ἥλιος, μεταβάλλει δὲ ἡ σελήνη τὸ σέλας· Καθόλε δὲ αἱ ἐννοηματικαί, ἐφ' ὧν τῆς κατὰ τὸν ἕτερον τῶν ὅρων ἐννοίας, ἡ τῷ ἑτέρῳ ἀπήρτηται· οἷον τὸ ἀμερὲς ἧκισα διαιρεῖται· τὸ ὅλον μέρη ἔχον ἐσίν (1). Ἐπὶ μὲν ἓν τῶν πρώτων ἐκ ἐνορᾶται τὸ ἀναγκαῖον τῆς χέσεως· τίς γὰρ ἡ ἀνάγκη τῷ κινεῖσθαι μὲν τὸν ἥλιον, τρεπομένῳ δὲ ὀπτάνεσθαι τὴν σελήνην; καὶ τὸν μὲν χρυσὸν βαρὺν εἶναι, τὸν δὲ μαγνήτιν τὸ σιδήριον προσεφέλκεσθαι; Ἀλλ' ἐπὶ τῶν δευτέρων ἡ ἀνάγκη ἐκ τῷ λόγῳ καταφανής· ἔτω γὰρ τὸ κατηγορέμενον τῷ ὑποκειμένῳ συνείληπται, ὡς μηδ' ἐξεῖναι τὰ τοιαῦτα ἄλλως νοεῖν.

§. ωοβ'. Τῷ τοίνυν τὰς μερικὰς τῶν προτάσεων καθολικεύειν ἡ μέθοδος ἐσὶ διὰ τῆς Ἐπαγωγῆς, (§. φξέ.). Οἷον ἅπας χρυσὸς διὰ τῷ βασιλικῷ λεγομένῳ ὕδατος ἀναλύεται· Καὶ ἐδεὶς ἰὸν ἀποφέρει. Ἅπας ὑδράργυρος πυρὸς διωάμει ἐξαναθυμιᾶται· Καὶ ἐδεὶς τήκεται. Χρεία δὲ πρὸς τὰς τοιάσδε Ἐπαγωγὰς ἀμφιλαφῶς τῆς πείρας, καὶ παρατηρήσεως· συμβαίνει γὰρ ἐνίοτε τισιν ἀπάντων ἐξαιρέσεσιν, ἃς ἐκ ἄντις ἤλπισε. Διὸ καὶ τὸ καθόλε ἐπὶ τῶν τοιότων ἔσι πως ὕποπτον (§. φό.). Κἂν δὲ μηδεμία ὅλως ὑπεισήει τινὶ ψυχικὴ ὑπόνοια, ὡς ἐπὶ τῶν αἰσθήσει προδήλοτάτων, καὶ ὧν πάρεσιν ὅσαι ὧραι βελομένοις πεῖραν λαβεῖν· τὸ μέντοι καθόλε ἐδὲ τότε ἀκραιφνὲς ἂν εἴη καὶ τέλεον, μὴ ἐξὸν τὸν τῆς κατηγορίας λόγον ἐν τῷ ἀναγκαίῳ τῆς τῶν ὅρων χέσεως συνιδεῖν, καὶ περινοῆ-

(1) Τέτων τὰς πρώτας ὁ μὲν Λώκιος, propositions fur l'existence (προτάσεις ἐπὶ ὑπάρξει). Ὁ δὲ Λεϊβνίτιος, propositions de fait (προτάσεις ἐπὶ τῷ γινομένῳ) ἀποκαλέσι. Τὰς δὲ δευτέρας, ὁ μὲν fur la dependance des idees, (ἐπὶ τῇ συναρτήσει καὶ ἁλύσεσχίᾳ τῶν ἰδεῶν), ὁ δὲ propositions de raisons (προτάσεις τῷ λόγε. Ἐν τοῖς περὶ τῷ Νῷ ἑκάτερος Βιβλ. Δ'. Κεφ. ιά'. §. 13.). Ἐν οἷς ὁ Λεϊβνίτιος καὶ τρίτον εἶδος μικτῶν καταλέγει προτάσεων τῶν ἐκ προκειμένων, τῶν μὲν κατὰ τὰς πρώτας, τῶν δὲ κατὰ τὰς δευτέρας, ἐπιφερομένων· ὡς ἐπὶ τοῖς Γεωγραφικοῖς φησὶ, καὶ τοῖς Ἀστρονομικοῖς τῶν θεωρημάτων, ἐν οἷς ἡ τῶν φαινομένων παρατήρησις, πρὸς ἐπιφορὰν τῷ ἐκ τῆς Γεωμετρίας καὶ Ἀριθμητικῆς λόγῳ συνάπτεται. Καί τοι καὶ ταύτας τῷ ἀδενεστέρῳ ἕπεσθαι μέρει φησὶν (Αὐτ.).

νοῆσαι, ὡς εἴρηται (§. ἀνωτ.). Οὗ χάριν κἀν ταῖς καθολικευομέναις τις αὐτὰς, ἢ ἐν ταῖς καθόλου εἰκότως τάξειεν.

§. ωογ'. Ἔστι δὲ καὶ ἄλλως τὴν ἐπὶ μέρους πρότασιν καθολικεύειν μεθόδῳ τοιᾷδε. Ζητείσθω ὁ λόγος δι' ὃν τὸ κατηγορούμενον τῷ ἐν μέρει προσάπτεται ὑποκειμένῳ. Τοῦ γὰρ ὑποκειμένου τῷ τοιῷδε λόγῳ συναφθέντος, καθόλου τὸ αὐτὸ κατηγορηθήσεται. Οἷόν τις ἄνθρωπος πένης· τίνος δὴ χάριν; ὅτι τῶν πρὸς τὸ ζῆν ἀμοιρεῖ ἀναγκαίων· Οὐκοῦν πᾶς ἄνθρωπος ὁ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἀμοιρῶν ἐστὶ πένης. Τὶς φιλόσοφος ἐστὶ μεμπτέος. Τὶ δήποτε; ὅτι τυχὸν οὐχὶ συμφώνως ἐστὶ βιωτεύων τῷ ἐπαγγέλματι. Πᾶς ἄρα φιλόσοφος ὁ μὴ συμφώνως βιωτεύων τῷ ἐπαγγέλματι ἐστὶ μεμπτέος.

§. ωοδ'. Πρόδηλον δὲ ὅτι τῷ τὴν πρότασιν μερικεύσοντι, ἐπὶ τῶν τοιούτων δεήσει τὸν αἰτιώδη λόγον ἀπὸ τοῦ ὑποκειμένου ἀπάγειν· ἐφ' ὧν δ' οὐχ οἷόν τε διὰ τὸ ἀναγκαῖον τῆς τῶν ὅρων σχέσεως, γίνεται μὲν ἡ ἐπὶ τὴν ὑπάλληλον κάθοδος, ἡ μέντοι πρότασις κυρίως μερικὴ οὐκ ἔσται, ἀλλὰ μερικευομένη· προσλαβοῦσα μὲν ἐκ τῆς διὰ τοῦ προσδιορισμοῦ συστολῆς τὸ ἐν μέρει, διασώζουσα δὲ τὸ καθόλου εἶναι, ὡς ἐκ τῆς τῶν ὅρων δυνάμεως. Οἷον τὶς ἄνθρωπος ζῶον. Οὐ πᾶς κύκλος τετράγωνος.

Μέθοδος Ἀξιωμάτων.

§. ωοέ.

Ἔστι δὴ τὸ Ἀξίωμα ἀπόφανσις ἐκ τοῦ ταυτισμοῦ ἢ τῆς ἐναλληλίας τῶν ὅρων, τὸ ἐναργὲς, καὶ βέβαιον, καὶ αὐτόπιστον ἔχουσα. Ἐκ μὲν τοῦ ταυτισμοῦ, οἷον ἕκαστον ἐστὶν ὅπερ ἐστὶν, καὶ οὐδὲν ἐστὶν ὃ οὐκ ἔστιν. Ἐκ δὲ τῆς ἐναλληλίας, οἷον τὸ ὅλον μέρη ἔχον ἐστὶ, τό, τε μέρος οὐκ ἔστιν ἴσον τῷ ὅλῳ αὐτοῦ. Ἐκεῖνα μὲν γὰρ ταυτίζεται· τούτων δὲ θάτερον θατέρῳ ἀναγκαίως συνείληπται. Καθ' ἑκάτερόν τε εἶδος ἡ πίστις τῇ φύσει βέβηκε τοῦ Νοητικοῦ, τῇ τὰ ὑπ' ἀλλήλων ἀναιρούμενα εἰς ἓν συλλαβεῖν, καὶ ἅμα νοῆσαι ἀδυνατούσῃ. Εἴτε γάρ τις θείη τὸ αὐτὸ καὶ μὴ, εἴτ' ἐν θατέρῳ θάτερον καὶ μὴ, ἐπίσης ὁ Νοῦς ἀνοηταίνων ὀφθήσεται, ὡς ἐξ ἑαυτοῦ τὴν ἣν προέσχε νόησιν καθαιρῶν, καὶ τὴν ᾗπερ γνωστικῶς ἠλλοίωται ἀλλοίωσιν δι' ἀντιπιπτούσης ἀλλοιώσεως (§. ιϛ'.). Περιτρέπων· Διὸ καὶ Κριτήριον ἀλη-

ληθείας πρώτιστον εἰκότως εἶναι καὶ κυριώτατον διατεινόμεθα, τὸ τῆς Ἀντιφάσεως (§. σμϛ΄.).

§. ωοϛ΄. Δυοῖν οὖν ὄντων Ἀξιωμάτων ὡς εἴρηται, τούτων εἰδῶν, ἐπὶ μὲν τὸ πρῶτον πάσας ἀνακτέον τὰς ταυτικὰς, ἢ ταυτολογούσας καλουμένας προτάσεις (§ τυη΄.), ἃς καὶ ἐκ πάσης ὕλης λαμβάνειν πρόχειρον, (καίτοι ἐπὶ τὰ ἀνωτέρω ἀνακαλουμένας ἐκεῖνα· ἕκαστον ἐστὶν ὅπερ ἐστὶν, οὐκ ἔστι δὲ ὃ οὐκ ἔστιν), ὧν τε λῆρος μὲν ἄντικρυς ἡ κρίσις, ὡς μηδὲν ἐκπαιδεύουσα, οὐ πάντῃ δὲ περιττὴ ἐπὶ τῶν διακριβουμένων Ἀποδείξεων, κατὰ τὰ ἐξ ἀφαιρέσεως νοητὰ, καὶ μάλιστα ἐν τοῖς Γεωμετρικοῖς, ἡ χρῆσις (1). Ἐπὶ δὲ τὸ Δεύτερον τὰς Ἐννοηματικὰς εἰρημένας (§. σμϛ΄.) ἁπάσας· ἃς δὴ ταυτικὰς ὁπωσοῦν καὶ ταύτας, κατ' ἐκείνας ἄντις ὀνομάσειεν οὐκ ἀλόγως. Πλὴν ὅσον ἐπ' ἐκείνων μὲν, κατ' ἐπενθύμησιν τῆς αὐτῆς ἰδέας, καὶ ἡ τοῦ ὅρου γίνεται ἐπανάληψις τοῦ αὐτοῦ, οἷον τὸ ὅλον ἐστὶν ὅλον· ἐπὶ δὲ τούτων, ὁ τῶν νοημάτων ταυτισμὸς ἐν ἰδεῶν ἑτερότητι, καὶ ἐν ὅροις ἐκφέρεται διαφέρουσιν. Οἷον τὸ ὅλον ἔχει μέρη. Ἑτεροία γάρτις ἡ τῶν μερῶν ἰδέα τῆς τοῦ ὅλου· κἂν ἐν αὐτῷ τῷ ὅλῳ ἀπαραιτήτως ἐνθεωρῆται τὰ μέρη νοούμενα.

§. ωοζ΄. Πότερον δὲ ἐκ τῶν Ἐποπτικῶν δυνατὸν ἀξιώματα καρποῦσθαι; Οὐ γὰρ δοκεῖ· παρὰ τὸ μὴ σαφῶς τὴν τῶν ὅρων ἐν ἐκείναις συνθεωρεῖσθαι συνάρτησιν (§. ωοα.). Ἀλλὰ γὰρ εἴτις κἂν ταύταις τὴν τῶν ἐννοιῶν σχέσιν ἀκριβῶς ἐξετάσειε, συνίδοι ἂν εὐμαρῶς, ἀρχάς τινας καὶ δι' αὐτῶν συνίστασθαι ἀμέσους τε καὶ αὐτοπίστους, ἃς ἅπασιν εὔλογον κοινῇ τε ἀξιοῦσθαι, καὶ ἀραρότως πρεσβεύεσθαι τοῖς οὐδὲν πλέον δι' αὐτῶν ἀποφαίνεσθαι βουλομένοις, ἢ οὗ κατ' αἴσθησιν εἰσὶν ἀντιλαμβανόμενοι. Γίνεται γάρ πως καὶ ἐπὶ τούτων, τῆς κατὰ τὸ ὑποκείμενον συνθέτου ἐννοίας (§. μγ΄.) στοιχεῖον, ἡ κατὰ τὸ κατηγορούμενον ἁπλουστέρα ἔννοια, οἷον τῆς τοῦ γάλακτος, φέρε, ᾗ χυμὸς λιπαρὸς, γλυκὺς, λευκὸς, ἐκ μαζῶν τῆς κυούσης, ἢ κυησάσης ἀποθλιβόμενος, ἡ ἔννοια ἡ τοῦ λευκοῦ. Ὅθεν καὶ ὁ τὸ γάλα λευκὸν εἶναι ἀξιῶν, οὐδὲν ἕτερον, ἢ οὗπερ ᾗ λευκὸν ἀντιλαμβάνεται, ᾗ λευκὸν ἀντιλαμβάνεσθαι αὐτοῦ ὀφείλει ἀξιοῦν. Καὶ γὰρ εἰ μὴ ἐκ τῶν προτέρων πάρεστι τῷ λόγῳ συνορᾷν τὴν τῶν ἰδεῶν

(1) Λεϊβνίτ. ἐν ταῖς Ἀνακρίσ. εἰς τὸ περὶ τοῦ Νοῦ Βιβλ. Δ΄. Κεφ. Β΄. καὶ Ζ΄.

ἰδεῶν ἐν τούτοις, καθάπερ ἐπὶ τῶν ἐννοηματικῶν, συνάρτησιν, ἀλλὰ τὴν τῆς συνθέτου ἐννοίας ὑπὸ τῶν ἁπλουστέρων ἀντιλήψεων συγκρότησιν, οὐδεὶς ἂν ἐπιεικῶς ἀρνήσαιτο· περισταίη γὰρ εἰς τὸ μὴ ἀντιλαμβάνεσθαι λέγειν, οὗπερ ἤδη ἀντιλαμβάνεται. Τὸ γοῦν ἐγὼ εἰμὶ ἀναπόδεικτον ἀρχὴν καὶ πρώτην, εἶναι τιθέασι (1), τὸν ἀποδεῖξαι ἐπιχειρήσαντα μὴ ἀποδεχόμενοι· τοῦ χάριν; ὅτι ἡ συναίσθησις τὸ εἰμὶ τῷ ἐγὼ ἀνενδοιάστως συνέζευξεν. Ἀλλὰ καὶ τὸ λευκὸν τῷ γάλακτι ὡσαύτως ἡ αἴσθησις. Καὶ οὐδέτερον οὐδετέρῳ ἀπαραιτήτως ὁ λόγος συνῆψεν, οὔτ' ἔμοιγε δηλονότι τὴν ὕπαρξιν, οὐδὲ τῷ γάλακτι τὴν λευκότητα, ἀλλ ἐκεῖνο μὲν ἐκείνῳ προσεῖναι ἡ αἴσθησις ἡ ἔσω, τοῦτο δ' ἐν τούτῳ ἡ ἐκτὸς διεπίστωσεν. Ἐρεῖ οὖντις, ὡς οὕτω, καὶ τὸ τὴν ἐν ὕδασι κώπην κεκλάσθαι, ἀξίωμα ἔσται. Πάντως μὲν δὴ, εἰ τὸ κεκλᾶσθαι νοοῖτο, ἀντὶ τοῦ κεκλασμένην ὀπτάνεσθαι· καὶ εἰ τὸ ἀξίωμα πλατύτερόν πως ἐκληφθείη, ὥστε κρίσιν ἁπλῶς σημαίνειν τὴν ἐκ τῶν ἐν ἡμῖν γνωστικῶν δυνάμεων τὸ πιστὸν ἔχουσαν, καὶ διὰ προηγουμένης κρίσεως ἀναπόδεικτον. Ἀλλὰ ταῦτα μὲν εἴτις οὐδ' οὕτω τοῦ τῶν ἀξιωμάτων ἀξιοῦν ἐθέλοι ὀνόματος οὐδὲν διοισόμεθα μόνον εἰ τῆς δεούσης αὐτὰ μὴ ἀποστεροίη, καὶ ὀφειλομένης πίστεως.

§. ωοή. Τὰ δὲ κυρίως τοιαῦτα, ἤτοι τὰς δι' ἐννοηματικῶν κρίσεων (§. ωοστ'.) ἀξιωματικὰς Ἀποφάνσεις ἐκ τῶν ὁρισμῶν μάλιστα λαμβάνειν ἐστί. Τοῦτο δὲ πολλαχῶς. Οἷον ὑποκειμένου τὴν ἀνδρίαν εἶναι ψυχῆς ἀρετὴν καθ' ἣν δυσέκπληκτοι εἰσὶ περὶ τὰ δεινά. Ἀξιῶ Α'. ἀπὸ τοῦ ὁριστοῦ καὶ τοῦ γένους· ἡ ἀνδρία ἐστὶν ἀρετή. Ἀξιῶ Β'. ἀπὸ τοῦ ὁριστοῦ καὶ τῆς διαφορᾶς· Ἡ ἀνδρία ἐστὶν δυσεκπληξία τις περὶ τὰ δεινά. Ἀξιῶ Γ'. ἀπὸ

 τῆς

(1) Τὸ ἐγὼ εἰμὶ, διὰ τοῦ ἐγὼ νοῶ ἀποδεικνύειν δοκοῦντα τὸν Γάλλον Καρτέσιον ὁ Γερμανὸς Λεϊβνίτιος, οὐκ ἀποδέχεται. Ὁ γὰρ ἐγὼ (φησὶ) νοῶ λέγων, ὅτι ἐγώ εἰμι νοῶν ἀποφαίνεται· τοῦτο δὲ ἐστὶν ἐγὼ εἰμί. Ὥστε τὸ ἐν ἀρχῇ προδήλως αἰτήσεται. Πρὸς δὲ τὸν Ἄγγλον ἀποτεινόμενος Λώκιον, καί τοι (φησὶν) οὐ κομιδῇ ἀλόγως, τὸ ἐγὼ εἰμὶ τῆς τῶν Ἀξιωμάτων ἐκκλείεται τάξεως, διὰ τὸ πρότασιν εἶναι ἀμέσῳ μέν τινι πείρᾳ ἐπερειδομένην, μὴ μέντοι ἀναγκαίαν τὴν τῶν ἐν αὐτῇ ἰδεῶν συνάφειαν παριστάνουσαν (τοῦ Θεοῦ γάρ μόνου τὸ εἰδέναι ἐστὶν, ὅπως οἱ δισσοὶ οὗτοι ὅροι, ἐγώτε, καὶ ἡ ὕπαρξις ἀλλήλοις συνδέδενται.) ἀλλὰ τοῦ Ἀξιώματος (προστίθησιν) ἀντὶ τινὸς ἀληθείας ἀμέσουτε καὶ ἀναποδείκτου γενικώτερον ἐκληφθέντος, ἔχοι ἄντις καὶ τὸ ἐγὼ εἰμὶ, ἀξίωμα ἀποκαλεῖν, κἀν ταῖς πρώταις ἀληθείαις τάξαι καὶ αὐτὸ ἐναρίθμιον.

Λεϊβν. Ἀνακρ. περὶ τοῦ Νοῦ Βιβλ. Δ'. Κεφ. Ζ'. §. 7.

τῆς διαφορᾶς καὶ τὸ γένος· ἡ περὶ τὰ δεινὰ δυσεκπληξία ἐστὶν ἀρετή. Καὶ συγκεκριμένως τὰ αὐτὰ ταῦτα. Ὁ ἀνδρεῖος ἀρετῇ τινι διαπρέπων ἐστίν. Ὁ ἀνδρεῖος ἐστὶν ὁ τοῖς δεινοῖς δυσέκπληκτος. Ὁ περὶ τὰ δεινὰ δυσέκπληκτος ἀρετὴν πλουτεῖ. Καὶ δι' ἀντιστροφῆς κατὰ συμβεβηκὸς (§. υό.) ἄρα δὴ κατηγορεμένῳ τὸ γένος. Ἀρετῇτις διαπρέπων ἐστὶν ἀνδρεῖος. Καὶ δι' ἁπλῆς, παρὰ τὸ ἰσοστροφεῖν τὴν διαφορὰν τῷ εἴδει (§. υή. Σημ.). Πᾶς ὁ περὶ τὰ δεινὰ δυσέκπληκτος ἐστὶν ἀνδρεῖος. Καὶ ὁ ἰσοδυναμίᾳ νοημάτων, εἰς ἀποφάσεις τρεπομένων τῶν καταφάσεων, ἢ τυχὸν ἀνάπαλιν. Τῷ ἀρετῆς ἀμοίρῳ τὸ τῆς ἀνδρίας καλὸν ἐ παρέσαι. Καὶ ψυχὴ δ' κατάπληκτος ὁ τοῖς δεινοῖς ἅσα, δειλήτις ἐπιεικῶς ἐστὶ καὶ ἐκ ἀνδρική. Καὶ ᾧ ἂν μὴ προσείη τὸ τῆς ἀνδρίας καλὸν, καταπλὴξ ἄνθρωπος ὁ τοιοῦτος, καὶ ὑπὸ τῶ τυχόντος δεινῶ ῥᾳδίως κατασειόμενος. Ἐπειδὴ δὲ τὸ προσῆκον τῷ ὁρισμῷ καὶ τῷ ὁριστῷ προσήκει (§ ρή.) καὶ ἀνάπαλιν· καὶ τὸ μὴ προσῆκον ὡσαύτως, ὀντεῦθεν πάλιν δαψιλὴς ἡμῖν καὶ ἄφθονος ἀξιωμάτων, τῶν ἐκ τῶ ὁ ισμῶ ἀναδομένων ἄλλη πηγή. Οἷον τῷ δυσεκπλήκτῳ ὄντι πρὸς τὰ δεινὰ, ἕπεται δὴ δ' θαρσεῖτε εἶναι καὶ δ' τόλμῳ πρὸς τὰς κινδύνους· καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνᾶναι καλῶς, ἢ αἰσχρῶς διασωθῆναι· καὶ τὸ νίκης αἴτιον εἶναι. Καὶ τὸ δ' παῤῥησίασον δὲ αὐτῷ παρακολεθεῖ, καὶ τὸ μεγαλόψυχον, καὶ τὸ καρτερικὸν, καὶ τὸ πονεῖν ἐθέλειν, καὶ ἀνδραγαθίζεσθαι, κτ. Καὶ πάντα τοίνυν ταῦτα ἀξιωθήσεται περὶ τῆς ἀνδρείας· Ὅ, τε ἀνδρεῖος περὶ τάτων ἁπάντων. Καὶ αἱ ἀποφάσεις ὁμοίως περὶ τῶν ἀποφάσεων.

§ ωδ'. Ἀλλὰ καὶ ἐκ τῆς Διαιρέσεως τριχῶς οἷμαι Ἀξιώματα καρπᾶσθαι ἐστί. Α. καθ' ἑκάστε τῶν ἐπὶ τῆς διαιρέσεως εἰδῶς τὸ γένος κατηγορεῦντας. Β'. τὸ ἑτεροειδὲς τῷ ἑτεροειδῆς ἀποφάσκοντας. Γ'. Διαζευκτικὴν ἀνελλιπῶς ἔχεσαν ἀπόφανσιν ἐκ τῶν ἀντιδιαιρεμένων εἰδῶν, κατὰ τῆς γενικῆς ἰδέας συνιεῶντας. Οἷον διαιρεθείσης τῆς ἀνδρίας, εἴς τε τὸ τοῖς ἐπιῆσι κινδύνος δ' τόλμως ἁπαντᾶν, καὶ τὰ παρόντα δεινὰ δ' ψύχως φέρειν· ὧν τὸ μὲν θαρσεῖν ἐς', τὸ δὲ καρτερεῖν, Ἀξιῶ Α. ὡ. τὸ ἐν τοῖς ἐπιῆσι κινδυνοις θαῤῥαλέον τῆς ψυχῆς ἀνδρία ἐσί. Καὶ ὅτι τὸ καρτερικὸν ἐν τοῖς παρῆσι δεινοῖς ὡσαύτως. Ἀξιῶ Β'. ὡς ἔκεν τὸ θαρσεῖν καρτερεῖν ἐστιν. Οὐδὲ μενῆν τὸ καρτερεῖν θαρσεῖν ἀνάπαλιν· Ἄλλο δέτοι καὶ ἄλλο, ὡς ἄρα τῷ

εἴδει

εἴδει ἕτερα. Ἀξιῶ Γ᾽ ὡς τῆς ἀνδρίας, ἤτοι τὸ θαρσῆσαι ἐστὶν, ἢ τὸ καρτερῆσαι. Καὶ ταῦθα δὲ πάλιν, ὡς ἐπὶ τῶν διὰ τῦ ὁρισμῦ (§. ἀνωτ.) ἀξιεμένων, καὶ ἐπὶ τας συγκρίσεις ἀπὸ τῶν ἀφαιρέσεων μεταβαίνειν ἐξέσαι. Καὶ δι᾽ Ἀντιστροφῆς, τὰ ἀξιώματα ποικίλλειν. Καὶ τροπῇ τῆς καταφάσεως ἐπὶ τιὼ ἰσοδυναμῦσαν ἀπόφασιν.

§. ωπ΄. Τελδυταῖον δὲ καὶ τῷ τρόπῳ τῦ τιὼ πρότασιν καθολικὸν (§. ωογ΄.) χρησαμένοις, ἀξιωμάτων ἀφθονία παρέσαι ἐφ᾽ οἱασδῆν ὑποθέσεως. Ἡ γὰρ κατὰ τὸ ὑποκείμενον τῦ αἰτιώδες τῆς κατηγορίας λόγε προσθήκη, ἐννοηματικιὼ ἀποδεικνῦσα τιὼ κρίσιν, ἐναργὲς καὶ πιθὸν παρέξεται τὸ ἀξιέμενον. Οὕτω κἂν γυναῖκα τις, τιὼ τὸ φρόνημα ἐν τοῖς δεινοῖς τηρῆσαν ἀνέκπληκτον, ἀνδρείαν ἀποκαλεῖν ἀξιώσειε· καὶ ἤπερ ἀναμφιρίτως· τὸ γὰρ τῆς ἀνδρίας κατηγόρημα, ἐν τῷ τῆς ψυχῆς ἀνεκπλήκτῳ, ἤδη προείληπται.

Μέθοδος Αἰτημάτων.

§. ωπά.

Παραπλησία τῇ Μεθόδῳ, καὶ τὰ καλέμενα Αἰτήματα (§. υί.) ἐκ τῶν ὁρισμῶν ἀποφέρεται. Εἰ μὴ παρ᾽ ὅσον, τὰ μὲν Ἀξιώματα ἐκ τῶν Γνωρισικῶν (§. ρκθ΄. Σημ.) ὡς ἄρα θεωρητικαὶ ἀρχαὶ ὖσαι· τὰ δὲ Αἰτήματα ἐκ τῶν Γενετικῶν καλεμένων (§. αὐτ.), ἅτε εἰς πρᾶξιν βλέποντα. Οὕτω γὰρ καὶ Γεωμετρῶν παῖδες ἐκ ἀπὸ τῦ ὁρισμῦ τῆς Εὐθείας, ὡς ἡ ἐξίσε ἐστὶ τοῖς ἐφ᾽ ἑαυτῆς σημείοις κειμένη, ἢ τῶν τὰ αὐτὰ πέρατα ἐχσῶν ἡ ἐλαχίση, τὸ ἀπὸ παντὸς σημείε ἐπὶ πᾶν σημεῖον Εὐθεῖαν ἄγειν αἰτῦνται, ἀπὸ δὲ τῦ τιὼ γένεσιν αὐτῆς ἐρμιδίοντος· τετέσι τῦ διὰ τῆς ῥύσεως τῦ σημείε τιὼ Εὐθεῖαν γεννᾶθαι διδάσκοντος. Τὸ γὰρ Εὐθεῖαν ἀπὸ τῦ δοθέντος ἐπὶ τὸ δοθὲν σημεῖον ἀχθῆναι, ἀμέσως δίδωσι τὸ, τὸ σημεῖον πόθεν ποῖ ἐυῆναι. Ὡσαύτως δὲ καὶ τὸ παντὶ κέντρῳ καὶ διαστήματι κύκλον γράφειν, ἀπὸ τῦ Γενετικῦ αὐτοῖς λαμβάνεται ὁρισμῦ τῦ κύκλε· καθ᾽ ὃν χῆμα ὥρισαι εἶναι ὑπὸ Εὐθείας, θατέρῳ μὲν τῶν ἐπ᾽ αὐτῇ σημείων κατὰ χώραν μενέσης, καὶ ἀπὸ τῦ αὐτῦ ἐπὶ τὸ αὐτὸ, ὃ πρότερον ἦν, περιελθέσης, καταγραφόμενον.

ωπβ΄. Τοιῷδε δὴ λόγῳ καὶ τοῖς φιλοσοφοῦσιν ἀφ' ὧν ὁρισμῶν ὁ τρόπος δηλοῦται τῆς τοῦ προκειμένου γενέσεως, καὶ οὐκ ἄλλοθεν αἰτητέα, ἅττα πρὸς ἐπίλυσιν αὐτοῖς συμβάλλεται τοῦ Προβλήματος. Οἷον ἐκ τοῦ ὁρισμοῦ, (ὅτι συλλογισμὸς καταφάσκων ἐστὶν, ὁ τὰ τοῦ ζητήματος ἄκρα συνάπτειν ἐπιχειρῶν διὰ τρίτου τινὸς ὅρου, ὃς ἂν ἡγοῖτο μὲν ἐκείνων τοῦ ἑτέρου, ὡς κατώτερον, ἕποιτο δὲ θατέρῳ ὡς ἀνώτερον, ἢ γοῦν ἰσόστροφος εἴη), αἰτοῦμαι τοῦ μὲν τῶν ἄκρων, τὸ ἀνωτέρω ληφθῆναι· ἤτοι τὸ γένος ἐὰν εἶδος ᾖ, ἢ τὸ εἶδος ἐὰν ᾖ ἄτομον· τοῦ δὲ, τὸ αὐτὸ ἐκεῖνο εἶναι κατώτερον· ἤτοι ὡς γένους εἶδος, ἢ ὡς εἴδους ἄτομον· ἢ γοῦν καὶ τῶν συμπαρεκτεινομένων, ὡς οὕτως ὑπουργοῦν καθ' ἑκάτερον. Τὸ μὲν οὖν τοῦ ὅρου τὸ ἀνώτερον θέσθαι, ἢ τὸ κατώτερον, ἢ τὸ ἴσον, ταῦτα ἐπὶ τῶν Διαλεκτικῶν Αἰτήματα ἐστὶν, οὐδὲν ἧττον ἢ ἐν τοῖς Γεωμετρικοῖς τὰ εἰρημένα (§. ωπά.). εὐλογώτατα μὲν ἐστὶν αἰτεῖσθαι, ῥᾷστα δὲ δίδοσθαι.

§. ωπγ΄. Παραπλησίως Αἰτήματα λαβεῖν ἐθέλων ἐπὶ τῆς ἀνδρίας, οὐκ ἀπὸ τοῦ ἀνωτέρω ἀποδοθέντος χαρακτηριστικοῦ ὁρισμοῦ (§. ωοή.) ταῦτα θηράσομαι, τὸν δέτοι γενετικὸν τόνδε προτάξας, ὅτι ῥώμητις ἐστὶ ψυχῆς ἡ ἀνδρία, ἐκ τοῦ μὴ πάνυ πολὺν λόγον τοῦτε σώματος, καὶ τῶν περὶ τὸ σῶμα ποιεῖσθαι προβαίνουσα, ἐν οἷς τέλος πρόκειται τὸ καλόν· ἔχω τὰ ἐφεξῆς. Ὀλιγωρείσθω δὴ τὸ σῶμα τόδε, καὶ μηδὲν ἄξιον, παραθέσει τῇ πρὸς αὐτὴν τὴν ψυχὴν, νομιζέσθω. Καὶ, ὁ τὸ σῶμα ὡς ῥευστὸν ἐστὶ διενθυμούμενος, ὡς ὀλιγοχρόνιον, ὡς βραχυτελὲς, οὐδέντι μέγα θήσει ποτὲ τῶν περὶ αὐτὸ συμβαινόντων. Δῆλον δὲ, ὡς ἐπὶ τῶν ἠθικῶν καὶ ταῦτα, δικαίως μὲν αἰτηθήσεται, ῥᾳδίως δὲ παντὶ ὁμολογηθήσεται, ὅτῳ ἂν ὁμόλογον ᾖ, ποιητικὸν ἀνδρίας τυγχάνειν, τὴν τοῦ σώματος, καὶ τῶν περὶ τὸ σῶμα, ὥσγε πρὸς τὴν ψυχὴν καὶ τῶν ἐν αὐτῇ καλῶν, τοιάνδε ἐκτίμησιν. Καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως.

Μέθοδος Θεωρημάτων,
Καὶ προβλημάτων, καὶ τῶν ἐξ αὐτῶν ἐπιφερομένων
Πορισμάτων, καὶ τῶν περὶ αὐτὰ Σχολιασμάτων.

§. ωπδ΄.

Τὸ Θεώρημα πρότασις ἐστὶ δείξεως ἐπιδεκτικὴ καθ' ἧν τι κατά τινος, ἢ ἀπό τινος εἶναι λέγεται, ὃ διὰ μεσιτευούσης ἰδέας

ἰδέας ἔχει κατασκευάζεσθαι. Ὡσαύτως δὲ καὶ τὸ Πρόβλημα πρότασις ἐστὶν ἐκ ἀναποδείκτου, παρὰ τοσοῦτον διαφέρον τοῦ Θεωρήματος, ὅτι δι' ἐκεῖνο μὲν τὸ προσῆκον, ἢ μή, τῷ ὑποκειμένῳ θεωρητικῶς ἀποδείκνυται· διὰ δὲ τοῦ Προβλήματος καὶ τὸν τρόπον δεῖξαι δεῖ καὶ κατασκευάσαι, καθ' ὃν πρακτικῶς εἰς τὸ εἶναι τὸ προβαλλόμενον ἄγεται (§. υιά.) Δεῖ δὲ διαιρεῖλειν τινὶ ἐπὶ τῶν Θεωρημάτων καὶ τῶν Προβλημάτων μέθοδον ἔσαν διττήν· τινὶ μὲν, δι' ἧς αὐτὰ προκείμενα ἤδη ἀποδεῖξαι δέον καὶ κατασκευάσαι, τινὶ δὲ, δι' ἧς μὴ παρόντα δρᾶν πρόκειται, καὶ προθέσθαι· ὡς δὲ τοῦτο ἐκεῖνα πρότερον, φανερόν. Καίπερ ἐκ ἀεὶ, οὐδὲ μόνοις τινὶ ἀπόδειξιν καὶ κατασκευὴν ἐπιχειροῦμεν, οἷς αὐτοὶ παρ' ἑαυτῶν δρίσκοντες ἐσμὲν, πολλὰ δὲ καὶ τῶν ἄλλως κειμένων, καὶ ἄλλοις δρεθέντων ἀποδεικνύοντε Θεωρηματικῶς καὶ Προβληματικῶς ἐπιλύεσθαι, φιλοσοφοῦντες ἀναβαλλόμεθα.

§. ωπέ. Ἡ μὲν ἓν τῶν Θεωρημάτων καὶ τῶν Προβλημάτων εὕρεσις διὰ τῶν Ἀρχῶν γίγνεται· τουτέστι κατὰ πρόοδον τινὶ ἀπὸ τῶν πρότερων χωροῦσαν ἐπὶ τὰ δεύτερα, καὶ ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ ἐξ αὐτῶν σώθετα. Ἀρχαὶ δὲ τούτων, αἵτε αἰθητικαὶ ἀντιλήψεις, καὶ πεῖραι, καὶ Ὁρισμοὶ, καὶ Διαιρέσεις, καὶ Ἀξιώματα, καὶ Αἰτήματα, περὶ ὧν ἐν τοῖς ἀνωτέρω. Ἐκ γὰρ τούτων ἐμμελῶς ἀλλήλοις παραβαλλομένων, παντοίας δυνατὸν συγκρίνειν προτάσεις, ἃς οἷα δὴ ἐμμέσους, καὶ τινὶ διὰ μεσιτευουσῶν ἰδεῶν ἀποδείξιν τε καὶ κατασκευὴν μὴ ἀποφοβεγέσας, τῷ λόγῳ τῆς ῥηθείσης διαφορᾶς (§. ἀνωτ.) Θεωρήματα ἢ Προβλήματα ὀνομάζομεν.

§. ωπς. Οἷον ἐκ τῶν Ὁρισμῶν (α΄) τῆς ἀνδρίας τοῦτε Γνωρισικὸν, ὅτι ἀρετή ἐστι καθ' ἣν δυσέκπληκτοι εἰσὶ περὶ τὰ δεινὰ (β΄.)· Καὶ τοῦ Γενετικοῦ, ὅτι ῥώμητις ἐστὶ ψυχῆς, ἐκ τοῦ μὴ πάνυ πολιῶ λόγον τοῦτε σώματος, ἢ τῶν περὶ τὸ σῶμα ποιεῖσθαι, ἕνεκα τοῦ καλοῦ, προβαίνουσα. (γ΄.)· Τῆς τε Φρονήσεως, ὅτι ἀρετή ἐστι τοῦ λογιστικοῦ (δ΄.)· Τῆστε ἀρετῆς ἁπλῶς, ὅτι ἕξις ἐστὶ τῆς μεσότητος ἐοχατικὴ, ὡς ἂν ὁ ὀρθὸς λόγος προσάξῃ, τέλος ἔχουσα τὸ καλόν· Προτάσεις ἀνακύψουσι διὰ παραθέσεως αἱ ἑξῆς.

Θεωρηματικαί.

Α΄. Ὁ ἀνδρεῖος ἐχ ὁτὲ μὲν, ὁτὲ δ' ἐχὶ ἔσαν ἀνδρεῖος. Ἐκ τοῦ (α΄.) καὶ τοῦ (δ΄.).

Β΄. Ὁ

Β΄. Ὁ ἀνδρεῖος ἔτε περὶ πάντα τὰ φοβερὰ, ἔτε περὶ μηδὲν ἔσαι δυσέκπληκτος. (Ἐκ τῶν αὐτ.).

Γ΄. Ἡ ἀνδρία εἶναι ἐκ ἐθέλει δίχα Φρονήσεως. (Ἐκ τῆ (γ΄.) καὶ τῆς Β΄. Προτάσ.).

Δ΄. Ὁ ἐκ πάθες ἐπικρατῆντος τολμᾶν, ἐκ ἔσιν ἀνδρεῖος. (Ἐκ τῆ (δ΄.) καὶ τῆ (α΄.) προσπαραληφθέντος ἔτι καὶ τῆ, ὅτι ἄλογός τις πέφυκεν εἶναι ὁρμὴ τὸ πάθος.).

Ε΄. Ὁ δι' ἐλπίδα καὶ προσδοκίαν ἀγαθῆτινος, δ' ψύχως φέρων τὰ ἀπαντῶντα, καὶ καρτερικῶς ὑπομένων, ἐκ ἔσιν ἀνδρεῖος. (Ἐκ τῆ (α΄.) καὶ τῆ (δ΄.) καὶ τῆς Α΄. Προτ.).

ς΄. Οὔθ' ὁ κατ' ἀπειρίαν καταθαῤῥῶν, οὔθ' ὁ κατ' ἐμπειρίαν ἀ τοῖς δεινοῖς δυσέκπληκτος, ἐσὶν ἀνδρεῖος. (Ἐκ τῆς Α΄. ἢ δὴ καὶ ἐκ τῶν ὁρ.).

Προβλημαπκαί.

Α΄. Ψυχὴν εἰς ἀπενδοχὴν τῶν ἐπιόντων δυχερῶν παρασκδάσαι, καὶ πρὸς τὸ θαῤῥεῖν ὑποθῆξαι.

Β΄. Ψυχὴν εἰς καρτερίαν ἐπὶ παρῆσιν ἤδη ἀνιαροῖς ἐνισχύσαι.

Γ΄. Τὴν περιῆσαν τινὶ δ' ψυχίαν ὑποχαλάσαι.

Δ΄. Τὸν ἐν δεινοῖς ὄντα δυσαναχετεῖν μᾶλλον ποιῆσαι.

Ε΄. Τὸ τῆς ἀνδρίας καλὸν περιττὸν ἀναδεῖξαι, καὶ καταργῆσαι.

ς΄. Ἀνδρίας ἀνεπίδεκτόν τινας ἀποφῆναι. Ταῦτα δὲ πάντα ἐκ τῆ (Β΄.) τῶν ὁρισμῶν ἤρτηται, καὶ διά τινων Αἰτημάτων, ἐκ ἀδυνάτως ὑποτίθεθαι ἐχόντων ἐπιλύεται.

§. ωπζ. Ἀλλὰ τῆτον δὴ τὸν τρόπον ἡ τῶν Θεωρηματικῶντε καὶ Προβληματικῶν Προτάσεων εὕρεσις Φιλοτεχνεῖται. Ἡ δὲ τέτων Ἀπόδειξις δύχερὴς ἔσαι καὶ ῥαδία, τοῖς τὰ περὶ Ἀποδείξεως ἡμῖν ἀνωτέρω πραγματδθέντα (Βιβλ. Δ΄. Κεφ. Η΄.) διηκριβωκόσι, καὶ τῇ περὶ τῆς Εὑρέσεως τῆ Μέσε μεθόδω (§. ωκς΄. κξ.) ἐπισαμένοις χρῆθαι εἰδόσι. Τὰς δὲ πρὸς Ἀπόδειξιν Μέσας, οἵ ἐδὲν ἄλλο εἰσὶ παρὰ τὰ Ἡγέμενα, καὶ τὰ Ἑπόμενα, καὶ τὰ Ἀντίστροφα, καὶ τὰ Ἀλλότρια (§. αὐτ.), ἐκ ἄλλοθεν ἢ ἐκ τῶν εἰρημένων Ἀρχῶν (§. ωγ΄. Σημ. καὶ §. ωπέ.) θηρᾶθαι δεήσει. Ὧν γὰρ ἡ εὕρεσις, διὰ τέτων καὶ ἡ Δεῖξις. Πλὴν ὅσον ἡ τῆς Προόδε ἐπὶ τέτων τάξις βαίνει ἀντίστροφα. Ἐπὶ μὲν γὰρ τῆς Εὑρέσεως ἀπὸ τῶν ἁπλεσέρων χωρεῖν ἔδει

ἐπὶ

ἐπὶ τὰ σύνθετα (§. ωπέ. ωπς'.) καὶ ἐκ τῶν ἀρχῶν ἐπὶ τὰς Προτάσεις κατὰ βραχὺ προσβιβάζεσθαι. Ἐν δὲ τῇ Ἀποδείξει ἀνάπαλιν, ἀπὸ τῶν συνθέτων ἀναλύειν ἐπάναγκες ἐπὶ τὰ ἁπλέστερα, καὶ τὸ Ζητέμενον ὑπ' ὄψιν ἔχοντας, ἐπὶ τὰς ἀρχὰς ἀνατρέχειν, δι' ὧν ὀξόχως ἀποδειχθήσεται. Ἀλλὰ προκείσθω δὴ καὶ ταῦτα εἰς δεῖγμα ἐκ τῶν ἀνωτέρω δείξαι.

Θεώρημα τὸ Α'.

„Ὁ ἀνδρεῖος ἔχ ὁτὲ μὲν, ὁτὲ δ' ἐχὶ ἔσαι ἀνδρεῖος.

Δεῖξις.

Ὁ γὰρ ἀνδρεῖος τὴν ἀνδρίαν ἔχων ἐσί. (Ταυτικ.)
Ἀρετὴν ἄρα. (Ὁρ. α'.)
Ἕξιν ἄρα. (Ὁρ. δ'.)
Ἡ δέτοι Ἕξις μόνιμόν τι. καὶ δυσαπάλλακτον. (Ὁρ. Ἕξ.
Τὸ δὲ μόνιμον ἔχ ὁτὲ μὲν ἐσὶν, ὁτὲ δ' ἐχί. (Ἀξίωμ.)
Ἐκ γὰρ ἤθων ἄρισα συναχθήσεσθαι τὸ προλεθέν. Ο.Ε.Δ. (1).

Προκείσθω δὲ εἰς δεῖξιν ὡσαύτως καὶ τῶν καταλεχθέντων τὸ ἕκατον.

Θεώρημα.

„Οὔθ' ὁ κατ' ἀπειρίαν ἐν τοῖς δεινοῖς καταθαῤῥῶν, ἔθ' ὁ „κατ' ἐμπειρίαν δυσέκπληκτος, ἀνδρεῖός ἐσίν.

Δεῖξις.

Ὁ γὰρ κατ' ἀπειρίαν καταθαῤῥῶν, ἐφ' οἷς μὲν ἀπείρως ἔχει καταθαῤῥήσει, ἐφ' οἷς δ' ἐχὶ, ἐχί. Ὅ,τε κατ' ἐμπειρίαν δυσέκπληκτος, ἁπλῆξ μὲν ἔσαι ἐφ' ὧν ἔμπειρος, καταπλὴξ δὲ τἐναντίον ἐφ' ὧν ἐχί. (Ὁρισμ. Ὀνομ.)

Ἔσι δὲ ἀδεὴς οὐ ἅπασιν ἔτε ἀπείρως ἔχων, ἔδὲ ἐμπείρως. (ἐκ πείρας)

Οὐκῆν ὁ τοιῆτος ἄλλοτε ἄλλως ἕξει πρὸς τὸ θαῤῥαλέος τε εἶναι καὶ δυσέκπληκτος.

Χαραν-

(1) Οὐδὲν δὲ δυχερὲς, καὶ Σωριτικῶς διατάξαι τιὼ ἔφοδον, ἔτως· Ὁ ἀνδρεῖος == τιὼ ἀνδρίαν ἔχει == ἀρετιὼ ἔχει == μόνιμόν τι ἔχει — ἔχ ὁτὲ μὲν ἔχει, ὁτὲ δ' ἐκ ἔχει. Ἀραα κτ. Τὸν δὲ Σωρείτιον ῥᾴδιον εἰς τὰς ἐνυπολανθάνοντας αὐτῷ Συλλογισμὲς ἀναλύειν, οἳ τοσοίδε τὸν ἀριθμὸν ἔσονται, ὁπόσοι οἱ κοινολογέμενοι τῶν ὅρων εἰσίν. (§. ψμή'.).

Χαρακτὴρ δὲ τὸ δυσέκπληκτον τῆς ἀνδρίας. (Ὁρ. α΄.)
Οὗτος ἄρα ὁτὲ μὲν, ὁτὲ δ' οὐχὶ ἀνδρεῖος ἔσται.
Οὐχ οὕτω δὲ ὁ ἀνδρεῖος. (Θεώρ. Α΄.)
Ὁ Ἄρα κατ' ἀπειρίαν κτ. ἢ κατ' ἐμπειρίαν κτ. Ο. Ε. Δ. (1).

§. ωπη΄. Οὐδὲν διαφέρει, ὅσον γε ἐπὶ τῇ ἀποδείξει, καὶ ὁ ἐπὶ τῶν Προβλημάτων τρόπος. Εἰμὴ ὅτι ἐπὶ τούτων, ἅτε δὴ εἰς πρᾶξιν, ἢ ποίησίν τινος βλεπόντων, προηγεῖσθαι μὲν ἐθέλει ἡ διὰ τῶν Αἰτημάτων τοῦ γενησομένου προκατασκευὴ, ἕπεσθαι δὲ ἐφεξῆς ἡ διά τε τοῦ Γνωριστικοῦ καὶ τοῦ Αἰτιώδους τῶν ὁρισμῶν, ἀπόδειξις. Οἷον ἐὰν προβληθῇ ἐκ τῶν ἀνωτέρω, (§. ωπϛ΄.).

Πρόβλημα τὸ Α΄.

„Ψυχὴν πρὸς ἀπεκδοχὴν τῶν ἐπιόντων δυσχερῶν παρασκευάσαι, καὶ εἰς τὸ θαῤῥεῖν ὑποθῆξαι.

Προκατασκευή.

Δεικνύσθω δὴ τὰ ἐπισειόμενα δυσχερῆ μόνου τοῦ Σώματος ἅπτεσθαι, ἢ μηδὲ τούτου πολλάκις ἀλλὰ περὶ τοῦτο, οἷα δὴ τὰ ἐκτὸς φιλεῖ, στρέφεσθαι· (Ἐκ τῆς τῶν ἀγαθῶν Διαιρ. καὶ ἐκ τῆς ἔξω, καὶ ἔσω πείρας). Τὸ δὲ εὐψύχως αὐτὰ ἀπεκδέχεσθαι ἐπιόντα, τοῦτο τῆς κατὰ ψυχὴν εἶναι ῥώμης τε καὶ δυνάμεως γνώρισμα. (§. ωπϛ΄. Ὁρισμ. α΄.). Ὀλιγωρεῖσθαι δὲ τὸ σῶμα δίκαιον εἶναι παραθέσει τῇ πρὸς τὴν ψυχήν· καὶ τὰ ἐκείνου ἀγαθὰ, τῶν κατὰ ταύτην καλῶν δεύτερα τίθεσθαι. Ἄλλως τε, καὶ ὅτι τὰ μὲν πρόσκαιρα ἐστὶ καὶ ὀλιγοχρόνια, τὰ δὲ ἀναφαίρετα καὶ ἀΐδια. (Αἴτ.). Ὁ γὰρ ταῦτα πειθόμενος, καὶ οὕτω κρίνειν εὐλόγως προσεθιζόμενος, ῥᾴδιον δήπου περὶ τὴν προσδοκίαν ἕξει τῶν δυσχερῶν.

Δεῖξις.

Οὕτω γὰρ ἕξει δηλονότι, τῇ κατὰ τὴν ἀνδρίαν ῥώμῃ, τονούμενος τὴν ψυχὴν (Ὁρ. α΄.) οὕτω δὲ ῥωσθήσεται, μὴ πάνυ πολὺν λόγον τοῦτε σώματος, καὶ τῶν περὶ τὸ σῶμα ποιούμενος (Ὁρ. β΄.). Οὐ ποιήσει δὲ, τὴν ἑκάστου ἀξίαν δικαίως (ἐκ τῆς Κατασκ.) διασταθμησάμενος. Ο. Ε. Π.

Πα-

(1) Ὡσαύτως δὲ κἀνταῦθα Σωρικῶς οὕτως ἄν τις προβαίη. Ὁ κατ' ἀπειρίαν, ἢ κατ' ἐμπειρίαν δυσέκπληκτος, == ἐφ' οἷς μὲν θαῤῥήσει, ἐφ' οἷς δ' οὐχί. == ὁτὲ μὲν τὸν τῆς ἀνδρίας ἕξει χαρακτῆρα, ὁτὲ δ' οὐχί. == Ὁτὲ μὲν ἀνδρεῖος, ὁτὲ δ' οὐχί. — Οὐκ ἔστιν ἀνδρεῖος. Ἄρα κτ.

Παραπλησίως δὲ ἐπιλυθήσεται καὶ τὸ Β΄. Πρὸς ἐπίλυσιν δὲ τῶ Γ΄. καὶ τῶ Δ΄. πειρατέον τὰ μὲν δεινὰ ἐπιτείνειν τῷ λόγῳ, μεγάλατε καὶ χαλεπὰ ἐς ὑπερβολὴν δεικνύντας, τὸν δ' ἐκ τῆς περὶ αὐτὰ ἀδυχίας τε καὶ καρτερίας ἐμποιέμενον τῇ ψυχῇ κόσμον, μικρὸν εἶναι τινὰ, καὶ φρᾶδον, καὶ μηδὲ ἄξιον τοσούτων ἀνιαρῶν ἀνταλλάττεθαι. Ἧττον μὲν γὰρ ἀδύχως ἕξει, ἧττον δ' ἀφόρως οἴσει, ἧττον ἐρρωμένως ἔχων τῇ ψυχῇ, (Αξ. ἐκ τῶ α΄. Ορ.) τῇ κατὰ τὴν ἀνδρίαν ῥώμῃ. Ἧττον δὲ αὐτῷ ἡ τοιάδε ἐγγενήσεται ῥώμη, πολλῷ μὲν τὰ τῶ σώματος τιθεμένω, ὀλίγῳ δὲ τὰ τῆς ψυχῆς (ἐκ τῶ Β΄. Ορ.). Συμβαίνει δὲ τῶτο γίνεθαι (ἐκ τῆς Κατ.). Ἄρα κτ. Ἐπιλύσαιτο δ' ἄντις τελευταῖον καὶ τὸ Ε΄. καὶ τὸ ς΄. βίον αἱτησάμενος μακάριον τε, καὶ ἐκ παντὸς μέρες ἄροῦντα, ἀταραχόν τε κομιδῇ, καὶ ἀπαθῆ, καὶ ἀπερίσατον, οἷος ἀδυνάτως μὲν ἂν ἔχοι τῷ λόγῳ συνίσαθαι, τῷ δὲ ὄντι ἐκ ἂν τοιῶτος ποτὲ κατὰ τὴν παρῶσαν γένοιτο λῆξιν. Τότε γὰρ δοθέντος, περιττὸν ἂν εἴη τὸ τῆς ἀνδρίας καλὸν, καὶ ἐδ' ἂν ἐπιδεκτικὸς ὑπάρχοι ὁ βίος τῆς κατ' αὐτὸ ἕξεως. Οὐδὲν γὰρ δηλονότι ἀνδρίας δεήσει, μὴ ὄντων τῶν περὶ ἅτις κατὰ τὸ δὲ τὸ ἀρετὸ ἐνεργήσει (Αξ. ἐκ τῶ α΄. Ορ.). Καὶ ἐδὲ ἡ, ἐκ τῶ μικρῶ τιθέναι τὰ τῶ σώματος, τῇ ψυχῇ ἀνδιεγερθήσεται ῥώμη (ἐκ τῶ Β΄. Ορ.). Οὐκ ἔσι δὲ (ἐκ τῆς ἐν τῇ Κατάσκ. Ὑποθ.). Ἄρα κτ.

§. ωπθ΄. Ἐκ τῶν Θεωρημάτων καὶ τῶν Προβλημάτων, αὐτόματοί πως τὰ πολλὰ ἐπιφέρονται αἱ προτάσεις, ἅς παρὰ τὸ προσεχὲς τῆς ἀκολουθίας καλῶσι Πορίσματα (§. υια΄.). Οἷον ἐκ τῆς Β΄. τῶν Θεωρηματικῶν προτάσεων (§. ωπς΄.) συνάγεται ὡς ἐάντις ἄρα μὴ φοβῆται βροντὰς, ἢ ἀστραπὰς, ἢ ἄλλοτι τῶν ὑπὲρ ἄνθρωπον φοβερῶν, ἐκ ἀνδρεῖος ὁ τοιῶτος ἔσαι, ἀλλὰ μαινόμενος. Ἐκ δὲ τῆς Γ΄. ὡς ἐδὲ τοῖς βρέφεσιν, ἔτε τοῖς κτιλίοσιν, ἐδὲ τοῖς ἄφροσι καὶ εὐήθεσιν ἀνδρία μετέσαι. Ἐκ δὲ τῆς Δ΄. ὅτι ἄρα ἐδὲ οἱ ἐρῶντες, ἐδὲ οἱ ἐνθουσιάζοντες εἰσὶν ἀνδρεῖοι. Οὐδὲ μὲν ἦν οἱ δι' αἰσχύνλιν παρατολμῶντες· πάθος γάρ τι καὶ ἡ αἰσχύνη. Ἐκ δὲ τῆς Ε΄. ὅτι ἐδὲ οἱ Στρατιῶται ἄρα, ἐδὲ οἱ Ναῦται. κτ. Οὐδὲ τἐναντίον οἱ ἄπειροι τῶν ἐκβησομένων. Ὡσαύτως δὲ καὶ ἐκ τῶ Α΄. τῶν Προβλημάτων (§. αὐτ.) εἰσβάλοι ἄντις Πόρισμα τοιόνδε· ὅτι καλῶς ἄρα ἐπὶ τῶν πολεμικῶν παρατάξεων οἱ Ἡγεμόνες πρὸ τῆς συμβολῆς εἰώθασι τῷ λόγῳ τῶν μαχεσομένων διεγείρειν τὸ φρόνημα. Ἐκ δὲ τῶ Β΄. ὡς ἐ καλῶς

καλῶς οἱ τῶ ὠ ταῖς Γραφαῖς Ἰωβ φίλοι ὡς παραμυθήσοντες παραγενόμενοι, τιὼ μετ' ἐκείνε διατριβιὼ ἐποιήσαντο. Ἐκ δὲ τῶ Γ'. καὶ τῶ Δ'. ὅτι μᾶλλον ὡς ἐπεμβησόμενοι ἦκασιν, ἢ ἐπισκεψόμενοι. Ἐκ δὲ τῶ Ε'. τέως καὶ τῶ ς'. Ὅτι ἄρα οἱ ὠ Ἡλυσίω πεδίω πάλαι πλαττόμενοι ἥρωες, ἐδὲν ἀνδρίας ἐτύγχανον δεόμενοι, ἀδὲ μετέχοντες.

§. ωή. Ἐπὶ τέτοις δὲ καίτινα ἐπάγειν εἰώθασι, δι' ὧν τὰ ἀποδειχθέντα τῶν Θεωρημάτων, ἢ Προβλημάτων, λαθικότερον ἐπιχειρῆσι διασαφεῖν, καὶ πληρέσερον κατασκευάζειν. Οἷον διὰ παραδειγμάτων, διὰ πειραμάτων καὶ παρατηρήσεων, διὰ τῆς τῶ ἀντιπίπτοντος ἐπιλύσεως, διὰ μαρτυρίας τῶν ἐνδοξοτάτων τινὸς, καὶ τῶν ὁμοίων (Καλεῖν δὲ συνήθες τὰ τοιαῦτα Σχόλια. (§. υιγ'.). Ὡς ἐάντις τῶν Θεωρημάτων (§. ωπς'.) ἀποδείξας τὸ Δ'. ὅτι ὁ ἐκ πάθες ἐπικρατῆντος τολμῶν ἀκ ἔστιν ἀνδρεῖος· τό, τε Πόρισμα τὸ ἀντεῦθεν ὑποσιωάψας, ὡς ἀδ' ἄρα ὁ δι' αἰχμῆς (§. ἀνωτ.), εἶτα σὺν Ἀριστοτέλει, ἐν εἴδει Σχολιάσματος, τὰ ἑξῆς προθείη. „Σημεῖον δὲ τέτε, ἢ γὰρ „Ὅμηρος πεποίηκε τὸν Ἕκτορα λέγοντα.

„Ἠλυσιάσμοι πρῶτος ἐλεγχείω ἀναθήσει (1).
„Διὸ οἴεται δεῖν μάχεσθαι. Οὐδὲ δὴ τιὼ τοιαύτιω (ἀνδρίαν)
„Φατέον εἶναι (2). Καὶ μετὰ τιὼ δεῖξιν ὁμοίως τῶ ς'. τῶν Θεωρημάτων, σὺν αὐτῶ αὖθις τῶ Ἀριστοτέλει (3) Σχόλιον ἐξέσαι παρασυνάψαι τὸ ἐφεξῆς. „Οὐδὲ Σωκράτης γε ὀρθῶς ἔλεγεν,
„ἐπιστήμιω φάσκων εἶναι τιὼ ἀνδρίαν. Ἡ γὰρ ἐπιστήμη ἐξ ἔ-
„θες τιὼ ἐμπειρίαν λαβῶσα, ἐπιστήμη γίνεται· τὲς δὲ δι'
„ἐμπειρίαν ὑπομένοντας, ἃ φαμὲν, ἀδ' ἑξῆσιν ἀνδρείες αὐ-
„τὲς εἶναι.

Μέθοδος τῶν Ἀποδεικτικῶν Ἐφόδων.

§. ωιγα.

Καὶ τὰς Ἀποδεικτικὰς δὲ Ἐφόδες τάξει διττῆ προβαινέσας, καλὸν ἐς' διασέλλειν, καὶ τέτων ἑκατέραν ἐν δέοντι φιλοτεχνεῖν. Ἐνίοτε μὲν γὰρ ἀπὸ τῶ εἰς δεῖξιν προκειμένε χωρεῖν πρό-

(1) Ἰλιάδ χ.
(2) Μεγάλ. Ἠθικ. Βιβ. Α'. Κεφ. πά.
(3) Ἐνθ. ἀνωτ.

προσήκει, καὶ ἐπ' αὐτὰ γίνεσθαι τὰ πρῶτα τῶν γινωσκομένων, καὶ ἀναπόδεικτα· ἥτε πρόοδος αὕτη κατ' Ἀνάλυσιν τελεῖσθαι λέγεται. Ἄλλοτε δὲ ἀνάπαλιν, ἀπὸ τῶν πρώτων τε καὶ ἀναποδείκτων, ὡς ἀπὸ ἀφετηρίας κινηθέντες, ἔσγ' ἐπὶ τὰ ὕστατα, ἃ δεῖξαι πρόκειται, κάτιμεν. Ἡ δὲ πρόοδος κατὰ Σύνθεσιν.

§. ωμβ'. Τοιγαρῆν τῷ μὲν Ἀναλυτικῶς συλλογιζομένῳ Α. διὰ μέσε δεξιῶς ἔχοντος, (ὃν κατὰ τὸν ἐν ἄλλοις ἐκλεθέντα τρόπον (§. ωκζ'. κξ.) Θηρᾶσθαι χρή.) συλλογισμὸν αὐτίκα προχειρισέον, ἃ συμπέρασμα ἔσαι αὐτὸ τὸ δειχθησόμενον πρόκειμενον. Τότε δὲ γενομένου, ἐὰν μὲν αἱ ἐπὶ τῷ συλλογισμῷ προτάσεις τῶν αὐτοπίστων ὦσι, διὰ τὴν τῷ παραληφθέντος μέσε πρὸς ἑκάτερον τῶν τῷ ζητήματος ἄκρων χέσιν, ἐναργῆτε ἔσαν καὶ ἄμεσον, ὁ προχειρισθεὶς συλλογισμὸς, πρῶτός τε καὶ ἔσχατος ἔσαι ὁ αὐτὸς· καὶ ἡ Ἀπόδειξις μονοσυλλόγιστος. Ἐὰν δὲ πρὸς ἑκάτερον, ἢ γᾶν θάτερον τῶν ἄκρων, μὴ ἔτως ἄμεσον καὶ ἐναργῆ τὴν χέσιν ὁ μέσος προβάλληται, χωρητέον Β. μέσον ἕτερον προσλαβόντας, καὶ συλλογισμὸν ἐκ τότε δεύτερον ἀποδοτέον, ἔπερ ἂν, ἡ ἐν τῷ πρώτῳ ἀμφιβαλλομένη γένοιτο τὸ συναγόμενον. Καὶ ὡσαύτως δὲ, καὶ τῆδε τῶν κειμένων ἀναποδείκτως ἐχόντων, ἥτε πρόοδος ἥσεται ἐν αὐτῷ, καὶ ἡ Ἀπόδειξις ἔσαι δισυλλόγιστος. Εἰ δ' ἔν, ἀλλ' ὥσπερ ἀνωτέρω ἐλέγετο, πάλιν Γ. μέσε χρεία ἑτέρε, καὶ συλλογισμῷ τρίτε, καὶ ἑφεξῆς (εἰμὴ καὶ ἔτος τὰς προκειμένας ἔχοι βεβαίας) καὶ τελάτε κξ., ἄχρι τῶν ἀναποδείκτων· Ἡ δὲ Ἀπόδειξις τηνικαῦτα τρισυλλόγιστος, τετρασυλλόγιστος, κξ. ἁπλῶς πολυσυλλόγιστος. (§. ωι. Σημ.).

§. ωιγ'. Συλλογιζομένῳ δὲ ἀνάπαλιν Συνθετικῶς Α. μέσον παραληπτέον τῷ Διδομένῳ τῶν ἄκρων ἀμέσως ἑπόμενον (§. ωκζ'. κξ.) ἤτοι αὐτοπίστως κατηγορέμενον· ὅπερ ἐὰν καὶ τῷ ζητεμένῳ ἀναμφιρίστως ὑποκέηται, ἤτοι αὐτῷ ἀμέσως ἡγέμενον, ἢ (ὡς ἐν τοῖς Ἀποφατικοῖς τῶν Συλλογισμῶν ἐπάνεικες) προδήλως ἀλλότριον, ὁ Συλλογισμὸς πρῶτός τε καὶ ἔσχατος ἔσαι παραπλησίως, ἥτε Ἀπόδειξις κἀνταῦθα μονοσυλλόγιστος. Εἰ δὲ μήγε, ἀλλὰ Β. καὶ τῷ μέσε τῆδε ἕτερον κατηγορέμενον ζητητέον, ὡς ἑπόμενον, ἢ ὡς ἀλλότριον (καθαὶ ἂν ἀπαιτοίη ἡ ποιότης ἡ τῆς προτάσεως), τό, τε πρῶτον συμπέρασμα, ἐν

ᾧ τὸ ἕτερον αὐτὸ κατηγόρητο εἰς ἐλάσσονα μεταληπτέον. Καὶ δὴ καὶ Γ. τῷ κατηγορεμένῳ τότε, κατηγορέμενον ἄλλο ἔτι παραληπτέον (ἀεὶ τῷ κατὰ τὸν πρότερον Συλλογισμὸν συμπεράσματος, εἰς ἐλάσσονα τῷ ἐφεξῆς μεθισαμένῳ.), εἰς ὃ τὸ ἔσχατον τῶν κατηγορεμένων, μηδεμιᾶς περαιτέρω ἐπιδεκτικὸν εἴη μεσότητος, ἀλλ' αὐτόχρημα ἀπαντήσειε τὸ ἐπὶ τῷ ἐξ ἀρχῆς εἰς δεῖξιν προτεθέντος ζητέμενον.

Τύπος Ἀποδείξεως ἑκατέρας· ἐπὶ Ζητήματος, ὅτι τὸ Δ ἐστὶ Ζ.

Ἀναλυτικῶς.	Συνθετικῶς.
1.	4.
Α ἐστὶ Ζ.	Δ ἐστὶν Ε.
* Δ ἐστὶν Α.	Ε ἐστὶ Γ.
Δ ἐστὶ Ζ.	⌈Δ ἐστὶ Γ.
2.	| 3.
Β ἐστὶν Α.	⌊Δ ἐστὶ Γ.
** Δ ἐστὶ Β.	Γ ἐστὶ Β.
* Δ ἐστὶν Α.	⌈Δ ἐστὶ Β.
3.	| 2.
Γ ἐστὶ Β.	⌊Δ ἐστὶ Β.
*** Δ ἐστὶ Γ.	Β ἐστὶν Α.
** Δ ἐστὶ Β.	⌈Δ ἐξὶν Α.
4.	| 1.
Ε ἐστὶ Γ.	⌊Δ ἐστὶν Α.
Δ ἐστὶν Ε.	Α ἐστὶ Ζ.
*** Δ ἐστὶ Γ.	Δ ἐστὶ Ζ.
§. ωιβ'.)	(§. ωιγ'.)

§. ωιδ'. Ἀλλὰ καὶ διὰ παραδειγμάτων ἐκθέσθαι τὰ αὐτὰ ἐκ ὀκνητέον. Κείσθω τοίνιν Ζήτημα, ὅτι·

„Ἡ Ἐλπὶς ἐν τῇ Μελλόσῃ Λύζει καταργηθήσεται.

Ἔφοδος τῆς Ἀποδείξεως Ἀναλυτικῶς προβαίνουσα.

(§. ωιβ'.)

1. Ἡ

1.

Ἡ Ἔξις ἡ μὴ ἐνεργὸς ἐσομένη καταργηθήσεται.
* Ἡ Ἐλπὶς ἐν τῇ Μελλόσῃ Λήξει, Ἔξις ἐνεργὸς ἐκ ἔσαι.
Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. καταργηθήσεται.

2.

Ἡ Ἔξις ἡ μηκέτι οἵατε ἐσομένη τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι, Ἔξις ἐνεργὸς ἐκ ἔσαι.
** Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. Ἔξις ἔσαι ἐκέτι οἵατε ἐσομένη, τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.
* Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. Ἔξις ἐνεργὸς ἐκ ἔσαι.

3.

Ἡ Ἔξις ἥτις ἀμοιρήσει τῦ ὄρε περὶ ὃν ἐνεργήσει, ἐκέτι οἵατε ἔσαι τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.
† Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἀμοιρήσει τῦ ὄρε περὶ ὃν ἐνεργήσει.
** Ἡ Ἐλπὶς ἐν τῇ Μ Λ. ἐκέτι οἵατε ἔσαι τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.

4.

Ἡ Ἔξις ἥτις ἀμοιρήσει τῦ ἀγαθῦ ἢ μέλλον, ἀμοιρήσει τῦ ὄρε περὶ ὃν ἡ ἐλπὶς ἐνεργήσει.
†† Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἀμοιρήσει τῦ ἀγαθῦ ἢ μέλλον.
† Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἀμοιρήσει τῦ ὄρε περὶ ὃν ἐνεργήσει.

5.

Ἡ Ἔξις, ἥτις ἂν ἐν καταςάσει τεθείη, καθ' ἣν τὸ ἀγαθὸν ἐκ ἔσαι μέλλον ἀλλ' ἐνεςηκὸς, τῦ ἀγαθῦ ἢ μέλλον ἀμοιρήσει.
Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐν καταςάσει ἔσαι, καθ' ἣν τὸ ἀγαθὸν ἐκ ἔσαι μέλλον ἀλλ' ἐνεςηκός.
†† Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. τῦ ἀγαθῦ ἢ μέλλον ἀμοιρήσει.

Ἅπασαι ἓν αἱ μείζονες τῶν ἐν τῇ προτεθείσῃ Ἀποδείξει προτάσεων ὁρισμοὶ ὀνοματώδεις ἔσαι, καὶ Ἀξιωματικαὶ, δείξεως ἀνεπιδεεῖς εἰσὶ, καὶ ἀνεπίδεικτοι. Δέδεικται δὲ διὰ τῦ ἑφεξῆς ἀεὶ Συλλογισμῦ, ἡ Ἐλάσσων τῦ προηγησαμένε. Ἥτε ἐλαχάτε ἐλάσσων, ὡς ἐκ τῆς ἱερᾶς πίςεως Ἀξιωματικὴ καὶ αὐτὴ καὶ ἀναπόδεικτος. Ἥτε πρόοδος, ἅτε δὴ ἀπὸ τῦ προκειμένε Ζητήματος (ὃ πρῶτον σωπᾶται), ἄχρι τῶν ἀναποδείκτων χωρήσασα, ἔσιν Ἀναλυτική.

§. ωγέ. Ἔχοι δ' ἄντις τιὼ αὐτιὼ πρόοδον καὶ ἔτως ἐκθέσθαι ἁπλέστερον.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. καταργηθήσεται = Διότι ἐκ ἐνεργὸς ἔσαι = Διότι ἐχ οἵατε ἐσομένη τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι = Διότι ἀμοιρήσασα τῦ ἰδίυ ὅρυ περὶ ὃν ἐνεργήσει = Διότι ἀμοιρήσασα τῦ ἀγαθῦ ἢ μέλλον = Διότι ἐν καταςάσει ἔσαι καθ' ἰὼ τὸ ἀγαθὸν ἐκέτι μέλλον ἔσαι, ἀλλ' ἐνεσηκός.

§. ωγς'. Προκείθω ἤδη τὸ αὐτὸ Ζήτημα (§. ωγδ'.), Μεθόδῳ τῇ ἐν (§. ωγγ'.) σωάψαι καὶ κατὰ Σιώθεσιν.

5.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐν καταςάσει ἔσαι καθ' ἰὼ τὸ ἀγαθὸν ἐκ ἔσαι μέλλον, ἀλλ' ἐνεσηκός.

Ἡ Ἔξις ἥτις ἂν ἐν καταςάσει τεθείη, καθ' ἰὼ τὸ ἀγαθὸν ἐκ ἔσαι μέλλον ἀλλ' ἐνεσηκὸς, τῦ ἀγαθῦ ἢ μέλλον ἀμοιρήσει.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. τῦ ἀγαθῦ ἢ μέλλον ἀμοιρήσει.

4.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. τῦ ἀγαθῦ ἢ μέλλον ἀμοιρήσει.

Ἡ Ἔξις, ἥτις ἀμοιρήσει τῦ ἀγαθῦ ἢ μέλλον, ἀμοιρήσει τῦ ὅρυ περὶ ὃν ἡ Ἐλπὶς ἐνεργήσει.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἀμοιρήσει τῦ ὅρυ περὶ ὃν ἐνεργήσει.

3.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἀμοιρήσει τῦ ὅρυ περὶ ὃν ἐνεργήσει.

Ἡ Ἔξις ἥτις ἀμοιρήσει τῦ ὅρυ περὶ ὃν ἐνεργήσει, ἐκέτι οἵατε ἔσαι τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐκέτι οἵατε ἔσαι τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.

2.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐκέτι οἵατε ἔσαι τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι.

Ἡ Ἔξις ἡ μηκέτι οἵατε ἐσομένη τιὼ καθ' ἑαυτιὼ ἐνέργειαν προβαλέσθαι, ἐνεργὸς ἐκ ἔσαι.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐνεργὸς ἐκ ἔσαι.

1.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐνεργὸς ἐκ ἔσαι.

Ἡ Ἔξις ἡ μὴ ἐνεργὸς ἐσομένη καταργηθήσεται.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. καταργηθήσεται.

Καὶ

Καὶ φανερὸν τῷ ἀκριβῶς ἐπισήσαντι, ὡς ἀπὸ τῶν αὐτοπίσων ἡ πρόοδος ἀρξαμένη, ἐπ' αὐτὸ κατέληξε τὸ Ζήτημα, πέρατος ἐν ταύτῃ τῆς κατὰ τὴν Ἀνάλυσιν (§. ωγδ'.) ἀρχῆς γενομένης, καὶ ἀρχῆς τὸ πέρατος.

§. ωγζ'. Ῥᾴδιον δὲ καὶνταῦθα (ὡς τὴν Ἀναλυτικὴν ἀνωτέρω (§. ωγέ.), σωρικῶς ἁπλούστερον ἐκθέσθαι τὴν πρόοδον, ὅτως.

Ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. ἐν κατασάσει ἔσαι καθ' ἣν τὸ ἀγαθὸν ἐκ ἔσαι μέλλον, ἀλλ' ἐνεστηκός. == Τοιγαρῆν τὸ ἀγαθὸ ἤ μέλλον ἀμοιρήσει. == Τοιγαρῆν ἀμοιρήσει τὸ ἰδίε ὅρε περὶ ὃν ἐνεργήσει. == Οὐκῆν ἐχ οἵατε ἔσαι τὴν καθ' ἑαυτὴν ἐνέργειαν προβαλέσθαι. == Ὥσε ἐκ ἐνεργὸς ἔσαι == Ἆρα ἡ Ἐλπὶς ἐν τῇ Μ. Λ. καλαργηθήσελαι. Ἦν δὲ τὸ ἀφ' ὃ ἡ Ἀνάλυσις τὴν Ἀρχὴν ἔσχεν (§. αὐτ.), καὶ πρὸς ὃ κατέληξεν ὡς τέρμα τῦτο, τὸ προτεθὲν εἰς Ἀπόδειξιν.

§. ωηή. Οὐδὲν δὲ δυσχερὲς καὶ ἐπὶ τῶν Ἀποφατικῶν Ζητημάτων, τὸ διτὸν τῆς Ἀποδεικτικῆς προόδε παραπλησίως φιλοτεχνεῖν, εἰ μόνον ἀντὶ τῶν ἐν τοῖς καταφατικοῖς ἡγεμένων τε καὶ ἑπομένων, δεῆσαν τὴν ἀποφάσκεσαν κατασκεύασαι, θηρεύοιτο τὸ ἀλύτριον (§. ωκζ'. κξ.).

ΚΕΦ. ΤΡΙΤΟΝ.

Περὶ τῆς ἐν ταῖς Μελέταις Μεθόδε, ἅθα περὶ Μεθόδε Ἀναλύσεως καὶ Εὑρέσεως.

§. ωγθ'.

Μελέτιω ἐπὶ τῶ παρόντος ὀνομάζειν ἀξιῶ, τὶω μετὰ σιωτόνε τῆς ωεθῆς καθισαμένω θεωρίαν, εἰς ἐπιβολὶω ὧν τῆς σιωέσεως καὶ μάλα τῇ ψυχῇ μέλον ἐσίν. Ἐπεὶ δὲ αὐτῶν ἐσὶ τῶν κατὰ νῶν ἐνεργημάτων χρῆσις ἡ θεωρία, ἢ ἐκ ἄνθ τῆς τότων χρήσεως. Τὰ δὲ, ἐκ ἀεὶ καλὰ κόσμον, ἀθ' ὡς χρὴ συμβαίνει χωρεῖν, εἰκῇ δὲ τὰ πολλὰ καὶ ὡς ἔτυχε παραφέρεθαι, ἀναγκαῖον ἄρα κἀν ταῖς μελέταις μέθοδόντινα καὶ τάξιν τῶν νοημάτων παρατηρεῖν, εἰ μέλλοι κάρπιμ' ἔσεθαι, μηδὲ,

„Νῆ Φρῆδος, ὥτ' ἀχρεῖα, Φροντίδες κενᾶ.

τὸ τῆ ἔπες, εἰς ἀθὲν ὑγιὲς, ἀθ' ἄρτιον ἀποβαίνοντα. Ἡ γὰρ ἐπὶ τῷ τὰς μελέτας ἐκ ἀκάρπες ποιεῖθαι μέθοδος, ἀθὲν ἕτερον εἶναι δοκεῖ, ἢ τῶν νοήσεων ἡ δόκιμός τε καὶ εὔθετος χρῆσις, ἧς τέλος ἡ τῶν ἀγνοεμένων κατάληψις.

§. Δ'. Ἔσι δὲ ὁ τρόπος τῆς τῶν ἀγνοεμένων θήρας διτλός. Ὁ μὲν γὰρ, ἢ τῶν βιβλίων τις ἐγκύπλων τοῖς ἐκδεδομένοις, τὰ παρὰ τῶν ἄλλων διὰ ωεθῆς ποιεῖται σωιέναι, καὶ παιδωθῆναι, ἅτλα ἐκεῖνοι διαμελετήσαντες, τοῖς εἰσέπειτα κειμήλια οἷα καλίσων καταλελοίπασι γνώσεων· ὁ δὲ, ἢ καὶ καθ' ἑαυτὸν ποτέτινος τῶν ἀγνοεμένων, ἤτοι πᾶσιν, ἢ τισὶν, ἑαυτῷ δὲ πάντως, τὶω εὑρεσίν τις καὶ κατανόησιν ἀναβάλλεται. Διο καὶ τότων τὶω μὲν ἄντις Μαθητείας μέθοδον ἐκ ἀπεικότως ὀνομάσειε, τὶω δὲ Ἀναλύσεως, καὶ Εὑρέσεως ἰδιαίτερον, ἢ κοινῇ προσηγόρδται. Ἀλλὰ περὶ μὲν ἐκείνης, καὶ τὰ ἀνωτέρωπε (Μέτιθι τὶω Β Προδιατ., καὶ ἰδίᾳ τὰ ἀπὸ § λή. εἰς τέλος) ἡμῖν παρατεθέντα, τάχα ἂν τοῖς μὴ ὀλιγώρως ἀντιπαρελθσομένοις αὐτὰ ἐξαρκέσειεν· ὥσε περὶ ταύτης ἐξῆς διαλεπλέον.

§. Δά.

§. ϑά. Ἔστι δὲ, ὡς τύπῳ εἰπεῖν ἡ κατὰ τὴν Ἀνάλυσιν αὕτη Μέθοδος, ὁδός τις οἵα, ἣν δεῖ βαδίζειν, ἐπὶ ζήτησει ἀγνοουμένης τινὸς ἀληθείας. διὰ τῶν ἤδη γινωσκομένων νοερῶς βηματίζοντας, καὶ ἀπὸ τῶν σωϑέντων προσβιβαζομένους ἐπὶ τὰ, ἐξ ὧν ἐκεῖνα, ἁπλέστερα. Ἐξ ἃ καὶ τῶν ὀνομάτων (§. ἀνωτ.) τῷ μὲν ὡς ἐκ τοῦ τρόπου, τῷ δ' ὡς ἐκ τοῦ τέλους, προσφυῶς ἔλαχε. Διαφέρει δὲ τῆς ἐν ταῖς Ἀποδεικτικαῖς προόδοις περὶ ὧν ἐλέγομεν (§. ωμβ'. κξ.) αὕτη, ἢ ὅλον μέρος. Κατ' ἐκείνην μὲν γὰρ, μόνη ἡ τῶν Συλλογισμῶν σειρὰ, ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα δι' ἀναλύσεως ἡμῖν ἐχώρει, ἐξ ὧν συνεκροτεῖτο καὶ συνεπλέκετο. Διὰ δὲ ταύτης, ἀπάσαις κατὰ τὸ παρῆκον ταῖς νοεραῖς ἐνεργείαις δεῖσει προχεῖϑαι, ἄλλοτε ἄλλη, καὶ καϑὰ τὸ δέον αὐτὰς διαιτεῖν, ἥπερ ἂν ἑκάστῳ συμφέρῃ ἔχοι καὶ τρόπῳ καὶ τάξεως, πρὸς τὴν ἀπὸ τῶν ὑποκειμένων ἐπὶ τὰς ἀνωτάτας τῶν ἀρχῶν ἄνοδον. Ὅπερ ἐστὶ, πρὸς τὴν ἀπὸ τῶν ἡμῖν ἤδη γνωρίμων τε καὶ δήλων, ἐπὶ τὴν τοῦ ἀδήλου καὶ ἀγνοουμένου τέως ἀνεύρεσιν (1). Ταύτης τοιγαροῦν Κανόνες οἱ Κεφαλαιωδέστεροι κείσϑωσαν οἱ ἑφεξῆς.

ΚΑΝΩΝ Α.

§. ϑβ'. „Ἡ τοῦ Ζητήματος κατάστασις ἐπ' ἀκριβὲς ὡς „οἷόντε πανταχόϑεν πολυπραγμονείσϑω.

Τρία τινὰ ἐνταῦϑα ἐκ πρώτης ἀπαντᾷ, ἐφ' οἷς, ὁπόσῳ ἄντις καὶ καλαϑείη, τὸ τῆς προσοχῆς περιττὸν ἐμπόδιον γένοιτο. Τὰ μὲν, οἱ δύο τοῦ Ζητήματος ὅροι εἰσὶ, τὸ δὲ τρίτον ἡ τούτων μεταξὺ ἐγχωροῦσα σχέσις, ἐν ᾗ τὸ πᾶν ἔοικε συνειλῆφϑαι τῆς τοῦ ἀπορουμένου διωάμεως. Τούτων ἐκεῖνα μὲν πάντη πάντως προγινώσκειν ἐπάναγκες, οὕτω δέτοι δεῖ μή πως προειληφέναι, εἰκὸς δ' ἔπος καὶ ἀγνοεῖν, ὡς εἰς τοῦτο, ἐξ ἐκείνων τε καὶ δι' ἐκείνων τῆς ὅλης ἐκπεραλουμένης ἀνεύρεσεως (2). Οὐκοῦν

(1) „Τότε γὰρ οἰόμεϑα γινώσκειν „ἕκαστον, ὅταν τὰ αἴτια γνωρίσωμεν „τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώ„τας, καὶ μέχρι τῶν στοιχείων. (Ἀριστ. Φυσ. Βιβλ. Α. Κεφ. α. Καὶ Μεταφ. Βιβλ. Α. Κεφ. γ'.)

(2) „Ὅτι μὲν ἂν ἀναγκαῖον ἐστὶ παντὸς ζητήματος τὰς ὅρας καλῶς προγινώσκεϑαι, αὐτόϑεν οἶμαι φανερὸν παντὶ τὸν νῦν ἐπισήσαντι· „Πῶς „γάρ τις καὶ ζητῆσαι δύναται μηδε„μίαν ἔννοιαν ἔχων τοῦ ζητουμένου πράγ„ματος, ἔτε γὰρ ἐπιτυχὼν ἔσεται ὅ„τι ἐπέτυχα, ἔτε ἀτυχήσας ὅτι ἠ„τύχησα (Σέξτ. Ἐμπειρ. πρὸς τοὺς Μαθημ.). Ἀγνοῶν γὰρ τί τὸ περὶ ἕ ὃ

ζητήματος ἡμῖν προκειμένου τοῦ τυχόντος, πρῶτον ἔργον ἂν εἴη, ἑκάτερον τῶν ἐν αὐτῷ ἐπιμελῶς προδιασκέψασθαι ὅρων. Καὶ ἐὰν μὲν τῶν πλεοναχῶς τύχωσι λεγομένων, διαιρέσει τούτους κατὰ τὰ ἑτερολογούμενα πρὸ παντὸς ἀντιδιαστεῖλαι· Καθ' ὃ δὲ τούτων κεῖται, ἢ οὐ κεῖται φιλοκρινῆσαι. Μεθ' ὃ, δι' ὀνοματώδους ὁρισμοῦ τὴν ἐκδοχὴν ἑκατέρου στῆσαι· Εἶτα καὶ τῶν πραγματιωδεστέρων, τῷτε Γνωριστικῷ, καὶ τῷ Γενετικῷ χρησαμένους, καὶ τῷ μὲν τὰ πάθη, τὰ ἴδια, τοὺς χαρακτῆρας, τῷ δὲ τὰ αἴτια, καὶ τὸν τῆς ὑπάρξεως τρόπον ἀναπτύξαντας, τὴν καθ' ἑκάτερον ἔννοιαν ἀναλύσαι, καὶ προαγαγεῖν εἰ δέοι τὴν ἀνάλυσιν ἐφεξῆς χωρήσαντας ἔσγ' ἐπ' αὐτὰ τὰ ἁπλούστατα. Ἐνθένδε δ' ἤδη ἐπὶ τὴν σχέσιν μεταβῆναι τῶν ὅρων· Καὶ ταύτης δὲ ποικίλως ἐννοεῖσθαι δυναμένης, τὰς διαφορὰς ἁπάσας ἀκριβολογῆσαι· καὶ τὸ καθ' ἑκάστην, οἷον τῷ ὄντι ὑπακούεσθαι χρὴ διορίσαι. Ὃ στάσιν ἄντις, ἢ δύναμιν τοῦ Ζητήματος ὀνομάσειεν.

§. Θγ'. Οἷον Ζητήματος εἰς δεῖγμα προτεθέντος τοιούτου, πότερον τὰ ἐπὶ Γῆς βαρέα, καὶ ἐπὶ τῆς Σελήνης ὡσαύτως ἐστὶ;

Θεωρητέον Α. τὰ ἐπὶ Γῆς βαρέα· τίνα δὴ ταῦτα; καὶ ὅπως τὸ βάρος τυγχάνει ἔχοντα, καὶ (εἴπερ οἷόντε καὶ τοῦτο εἰδέναι)

οὗ ὁ λόγος, ἀγνοῶν δὲ καὶ ὃ περὶ ἐκείνου ῥηθήσεται, ὅμοιος ἂν εἴη τῷ ἐν ζόφῳ ἀκριβεστάτῳ ὄντι, ἢ καὶ πάντῃ τυφλώττοντι, ὃς ἂν ἐξ ὄψεως κρίνειν ἐθέλοι τῶν πολλῶν ἕνα, καὶ οὐδὲ τοῦτον ὅς τις ἐστὶν εἰδὼς, οὐδ' εἰ τὴν ἀρχὴν πάρεστι σαφῶς ἐπιστάμενος. Διὸ δὴ ὡς ἀναμφήριστον τοῖς πᾶσιν ἠξίωται τὸ ὑπὸ τοῦ Ἀριστο. ῥηθὲν (Ὑστέρ. Ἀναλ. Βιβλ. Α. Κεφ. α'.) „ὅτι πᾶσα διδα„σκαλία καὶ πᾶσα μάθησις ἐκ προϋ„παρχούσης γίνεται γνώσεως. Ἀλλ' ἔστι δήτινα ἀπορίαν ἔχον τὸ περὶ τῆς πρὸς ἀλλήλους σχέσεως τῶν ὅρων προστεθὲν, ὡς καὶ ταύτην δέοι προειληφέναι, τὸν περὶ αὐτῆς ζητήσοντα. Ὃ γὰρ προείληπται, ἐρεῖς, πῶς καὶ ζητεῖσθαι δυνήσεται; ἢ ταύτηγε, ᾗπερ οὐ προείληπται „Οὐδὲν γὰρ οἶμαι κω„λύει ὃ μανθάνειτις, ἔστιν ὡς ἐπίστα„σθαι, ἔστι δ' ὡς ἀγνοεῖν· οὐκ ἄτοπον „γὰρ εἰ οἶδεπως ὃ μανθάνει, ἀλλ' εἰ „ὡδὶ, οἷον ᾗ μανθάνει, καὶ ὡς. (Ἀριστ. αὐτ.). Ἀνάγκη τοίνυν ἑκάτερον, καὶ εἰδέναι πως τὴν ζητουμένην σχέσιν, καί πως ἀγνοεῖν, τὸ μὲν ἵνα ζητήσῃ τις, τὸ δὲ ἵν' εἰδέναι ἔχῃ ὃ ζητήσει, καὶ εὑρεθὲν ἐπιγνῶ ὅτι εὕρηκε. Δυνατὸν γὰρ ἐν ἀφαιρέσει εἰδότα, προσαρμόσαι τοῖς προκειμένοις. „Οἷον ἐπὶ τοῦ θεω„ρήματος, ὅτι τὰ παραλληλόγραμ„μα τὰ ἐπὶ τῆς αὐτῆς, ἢ ἴσων βά„σεων, καὶ ἰσοϋψῆ, ἢ ἐν ταῖς αὐταῖς „παραλλήλοις ὄντα, ἴσα ἀλλήλοις ἐστὶ, τὴν κατ' ἰσότητα σχέσιν ἥτις ἐστὶ καθ' ἑαυτὴν ἀφῃρημένως πᾶς τις οἶδε, τὸ δὲ καὶ τοῖς οὕτως ἔχουσι παραλληλογράμμοις παρεγχωρεῖν τὴν αὐτὴν, τοῦτ' ἔστιν ὃ ἀγνοεῖται τὴν ἀρχὴν, καὶ ἀγνούμενον ζητεῖται, καὶ ζητούμενον εὑρίσκεται.

εἰδέναι) κἀκτίνων αἰτίων; καθ' οὓς δὲ θεσμούς τε καὶ ὅρους; καὶ εἰ πάντα ἀλλήλοις ἰσοβαρῆ; καὶ εἰ μὴ, ἀλλ' εἴπερ ἄρα ἰσοκατωφερῆ ἅπαντα; καὶ εἰ πανταχόσε γῆς, καθ' οἱανδηποτοῦν ἀπὸ τοῦ κέντρου ἀπόστασιν ἐπίσης; καὶ ὅσα ἄλλα περὶ τῆς ἐν σώμασι βαρύτητος δυνατὸν προσπεριεργάζεσθαι. Ἥκει γὰρ ἐπὶ τῶν διαπορημάτων ἐπιλάμπον τὸ φῶς πολλάκις, ὅθεν οὐκ ἄντις ἤλπισεν.

Θεωρητέον Β. καὶ τὸ ἐπὶ τῆς Σελήνης ὡσαύτως εἶναι, ὅπερ τὴν τὸ ἐν τῷ προβλήματι ζητούμενον· καὶ τούτου τὴν ἔννοιαν, ὅσον ἐγχωρεῖ, παραπλησίως κατισχνευτέον. Τὶ γὰρ ἐκεῖνο βούλεται; Πότερον ἄρα, τὸ ἐκεῖσε τὰ τῇδε σώματα μετενεχθῆναι; γελοῖον· Ἀλλὰ τοῖς τῇδε, κἀκεῖσε ὑφεστηκέναι τινὰ, ὁμοειδῆ ὄντα καὶ παραπλήσια; Οὐδὲ τοῦτ' ἔοικε· περὶ γὰρ μόνης τῆς τῶν σωμάτων βαρύτητος ἐνταῦθα ὁ λόγος. Ἀλλὰ τὰ παρ' ἡμῖν, ᾗ δοκεῖ, κατ' ἐπίνοιαν ἐπὶ τὸν πλανήτην μετενεχθέντα, εἰς ἔρευναν προβάλλεται τῷ ζητήματι, ὅπως ἂν ἔχοι βαρύτητος. Πότερόνποτε δηλονότι, ἐν ὑποθέσει τὸ τῆς ῥοπῆς κἀκεῖσε ἐνδιασώσειαν, ἣν ἐνταῦθα φαίνεται ἔχοντα; ἢ γοῦν, (ὅπερ εἰς ταυτὸ φέρει), ἡ αὐτὴ δύναμις, ἡ παρ' ἡμῖν τοῦ βάρους τῶν σωμάτων οὖσα παραίτιος, ὁποία ποτ' ἂν ᾖ, ἄρα κἀκεῖσε κρατεῖ;

Θεωρητέον Γ. καὶ αὐτὴν ἐπιμελῶς τὴν τοῦ προβλήματος δύναμιν. Τὶ γὰρ ἐστὶν ὃ κυρίως πρόκειται κρίναι περὶ τῶν ἐνταῦθα μὲν τῷ ὄντι βαρέων, τῷ δὲ λόγῳ ἐπὶ τὴν Σελήνην μετακομιζομένων, ὥστε ὡσαύτως ἔχειν οὕτως ὑποτιθέμενα; Εἰ ἄρα τὸ περιὸν αὐτοῖς ὧδε, περιέσοιτ' ἂν κἀκεῖσε τεθεῖσιν; Ἀλλὰ πότερον δὴ; Εἰ οὕτως, ὡς κἀκεῖθεν τὴν πρὸς τὰ τῇδε ἔχειν ῥοπὴν, ὥστε καὶ εἰ ἀφεθεῖεν πεσεῖν ἂν ὡς ἡμᾶς αὐτόματα; ἢ τοῦτο μὲν οὐχὶ, ἐκεῖνο δὲ μᾶλλον, εἴπερ ἄρα πρὸς τὸ τῆς Σελήνης κέντρον παραπλησίαν τὴν φορὰν λάβοι ὥσπερ πρὸς τὸ τῆς γῆς ὧδε ὁρᾶται ἔχοντα; Δῆλον γὰρ ὡς πολὺ ἀλλήλων διαφέρει τούτων ἑκάτερον. Ἀλλ' ἐπὶ τούτοις ἔτι καὶ τόδε ἄντις προσθείη περὶ τοῦ ζητήματος προσδιαπορῶν· Πότερον ἄρα, καὶ τὴν πρὸς ἡμᾶς φορὰν διασώζοντα, οὕτως ἂν ἔχοι, ὡς καὶ παρ' ἡμῖν ἰσχυράντε καὶ σύντονον, ἢ ἐν ὑφέσειπως, καὶ ἀντιστρόφως συνεξελαττουμένην τῷ μήκει τῶν ἀποστάσεων; Εἰδὲ πρὸς τὸ Σελήνης κέντρον, ἡ ῥοπὴ προσδιορισθείη, πότερον πάλιν, οἱ αὐτοὶ τοῖς ἐνταῦθα παρατηρουμένοις ὅροι κρατήσουσιν,

ὥστε εὐθὺ μὲν, καὶ ἀπαρεγκλίτως διὰ τῆς ἐπὶ τὸ κέντρον φερούσης χωρεῖν, προϊόντα δὲ τὴν ὁρμὴν ἐπιταχύνειν, τάτε διαστήματα ὡς τά τετράγωνα τὰ ἀπὸ τῶν χρόνων ποιεῖν, κτ. Φανερὸν γὰρ αὖθις, ὡς κατὰ μὲν τὴν πρώτην ἐκδοχὴν, τὰ ἐπὶ Γῆς βαρέα, καὶ κατὰ τὴν Σελήνην ἔσεται, οὐμὴν δ' ἐπὶ τῆς Σελήνης. Καὶ τῷ μὲν διορισμῷ ὡσαύτως, τῷ δὲ βρίθει, καὶ τῇ ταχυτῆτι τῆς Φορᾶς οὐκ ἐπίσης· κατὰ δὲ τὴν δευτέραν καὶ κατὰ τὴν Σελήνην, καὶ ἐπὶ τῆς Σελήνης· οὐχ ὡσαύτως μὲν, ἅτε τὸν πρὸς ὃν ὅρον τῆς Φορᾶς διαμείβοντα. ἐπίσης δὲ, ὡς κατὰ τοὺς αὐτοὺς ὅρους τὴν ἐπὶ τὸ ἕτερον κέντρον ῥοπὴν διασώζειν ὑποτιθέμενα.

ΚΑΝΩΝ Β.

§. Ιδ'. „Ἐπὶ τῶν Ζητημάτων οἱ προσδιορισμοὶ (1), (ὡς „ἐξ ὧν ἡ πᾶσα τοῦ ζητουμένου ἤρτηται δύναμις) εἰ ἀνελλιπῶς „ἔχουσιν ἐπιθεωρείσθωσαν· τῶν περιττῶν, εἴτι παρεισάγεται, „ἀποξεομένων.

Τῶν ζητουμένων τὰ μὲν ἀπροσδιορίστως ἔχει, οὐδὲ προσδιορισμοῦ τινὸς χρήζει ὥστε λυθῆναι. Οἷον πότερον τὰ βαρέα ἰσοταχῶς φέρεται; Ἐνταῦθα γὰρ ἁπλῶς τε καὶ ἀπροσδιορίστως τὰ βαρέα τῶν σωμάτων ὑπόκειται, τό, τε ἰσοταχῶς φέρεσθαι, ἄνευ προσδιορισμοῦ ζητεῖται. Ἀλλ' ἐπὶ τοῦ ἀνωτέρω (§. Ιγ'.) ἀμφότερα προσδιώριστο· τὰ μὲν σώματα, ᾗ ἐπὶ τῆς Σελήνης, τὸ δὲ βάρος ἔχειν, εἰ κατὰ τοὺς αὐτοὺς ἐκείνοις ὅρους, καὶ ὡσαύτως ἂν τοῖς ἐπὶ γῆς παρακολουθοίη· Τὰ δὲ ἀπροσδιορίστως μὲν προβάλλεται, προδιορισμοῦ μέντοι πρὸς ἐπίλυσιν δεόμενα ἐστὶν· οἷον ἡ ψυχὴ ἀθάνατος; ποτέρα γὰρ ἡ λογικὴ, ἢ ἡ ἄλογος; Καὶ τὸ ἀθάνατον πότερον, ὡς ἐπὶ τὸ μὴ ὂν μηδεμιᾷ δυνάμει τραπῆναι δυνάμενον, ἢ ὡς τὸ δι' ἁπλότητα φύσεως ἀδιάλυτον; Ὡσαύτως εἰ ὁ Νοῦς ἀληθὴς, προβληθὲν προσδιορισμοῦ δεῖται· τὶ γὰρ ἀντὶ τοῦ Νοῦ νοητέον; τὴν οὐσίαν; τὴν δύναμιν; τὴν ἕξιν; τὴν ἐνέργειαν; (Προδιατ. Γ. §. ιά. Σημ. 3.) τίνα δὲ τρόπον καὶ τ' ἀληθὲς ἐκδεκτέον; (Αὐτ. §. γ'. Σημ.)· Καὶ τοιαῦτα πάντα τὰ ζητήματα, οἷς ἐνεισάγεταί τι τῶν πλεοναχῶς λεγομένων. Δεῖ τοίνυν ἐν μὲν τοῖς προσδιορισμοῦ ἀνεπιδέκτοις ἁπλῶς οὕτω

(1) Διακριτέον δὲ δήπου τοὺς ἐν τοῖς Ζητήμασι προσδιορισμοὺς, τῶν προσδιορισμῶν τῶν ἐν ταῖς προτάσεσι. (§. σθ'. σκή. Σημ.).

ἕτω καὶ ἐν γένει τὴν μελέτιν καθιστᾶν· ἐπὶ δὲ τῶν προσδιορισμὸν χρηζόντων, μὴ τὸν ὁσις ἐστὶ προειληφότας, ἤτοι εἷς, ἢ καὶ πλείους, τὸ προτεθὲν ἐπιλύειν ἀμήχανον· ἐντεῦθεν γὰρ ἡ τοῦ ζητουμένου ἤρτηται δύναμις (§. ηβ΄.), ἧς ἀγνοουμένης ἀνόνητος ἅπας ὁ πόνος ἔσται, ὁ διὰ τῆς γινομένης μελέτης καταβαλλόμενος.

Ἀλλ' ἔστιν ἃ προσδιώρισται μὲν, ἀτελῶς δέ. Δυοῖν γὰρ, ἢ πλειόνων ἀπαιτουμένων εἰς πλήρη τοῦ ζητουμένου κατάληψιν, τούτων πολλάκις τὸ μὲν κεῖται, τὸ δὲ λανθάνει παρ' ἔλλειψιν προσοχῆς. Ἢ καὶ τῶν ἄλλων εἰ τύχοι, ἐπίτηδες ἔτως ἀτελῆ προτεινόντων, ἐφ' ᾧ γράψαι ἀπαιδευσίας τὸν ἀπαντήσοντα, καὶ τινὶ ἐπίλυσιν τοῦ ζητουμένου μάτην ἐκπειρασόμενον. Οἷον εἴτις Κώνων φέρε, ἢ Κυλίνδρων, τύτε ἄξονας, καὶ τὰς τῶν βάσεων διαμέτρους προσδιορίσας, ὥστε εἶναι ἀνάλογον, ἐντεῦθεν τῶν σφαιρῶν λαβεῖν πειρῶτο τὸ ὅμοιον, ἀτελῶς ἂν ἔχοι καὶ ἐλλιπῶς τὸ προτεθὲν προσδιοριζόμενον. Πρὸς γὰρ τῷ ληφθέντι, καὶ προσδιορισμοῦ ἄλλυ ἔτι προσδεῖ· τὸ τοὺς ἄξονας δηλονότι ὁμοίως ἐπὶ τῶν βάσεων ἴσαθαι.

Τελευταῖον φέρεται καί τινα, ἐν οἷς ἔστιν ἃ παρεισάγεται, τὰ μηδὲν πρὸς τινὰ τοῦ ζητουμένου πρόθεσιν τείνοντα· Ταῦτα δὲ τῶν Ζητημάτων ἐστὶ τὰ προσδιοριζόμενα περιττῶς. Οὕτω περιττῶς ἂν προβληθείη τὸ ἀνωτέρω (§. θγ΄.)· πότερον τὰ παρ' ἡμῖν ἴσαθμα, τοῖς ἀναὶ τινὰ Σελινίτου ἀγορασαῖς, τινὶ αὐτινὰ ἂν πληρώσειαν χρείαν, ἧς χάριν καὶ παρὰ σφίσι κατασκευάζεται, ἢ ἐδὲν ἂν σωτελέσειαν ὅλως παρ' ἐκείνοις, ὡς μηδὲν αὐτοῖς παρὸν μηδὲ τὸ τυχὸν, ὁ βάρος ἔχον ἴσαθεν. Ἐνταῦθα γὰρ τοῦ τε πλατομένου Σελινίτου, καὶ τοῦ παρ' ἐκείνοις ἀγορασαῖς, καὶ τὰ ἴσαθμα, καὶ τὰ ὤνια, πάντα ἄντις ὡς περιττῶς εἰσαγόμενα ἀποξέσειεν· Ἐκεῖνο δ' ἂν καὶ μόνον, ὡς λόγου ὂν καὶ σκέψεως τῆς προκειμένης ἐπιμελῶς πολυπραγμονήσειεν, εἰ καὶ κεῖσε τοῦ κόσμου ὁ τῆς βαρύτητος ἰσχύει νόμος, ὃν ἐπὶ πάντων κρατεῖν τῶν ἐπὶ γῆς σωμάτων πείρᾳ μανθάνομεν. Ὡσαύτως ἑάντις προτείνῃ εἰ δυνατὸν ἄνδρα ἔνοπλον ἐξῶτα ὄρθιον ἀναδεῖξαι, ἐν ὀφθαλμοῖς ὑγιέσιτε καὶ ἡνεωγμένοις, καίτοι δύσκοπος τινὶ ὄψιν ἰδιώοντα, ὅμως μηδένα μὲν αὐτὸν τῶν ἀντιπαρερχομένων θεᾶθαι, ὑπὸ πάντων δὲ βλέπεθαι. Τί δεῖ γὰρ ὧδε τῆς ἐνοπλίας περιβολῆς; τί δὲ καὶ τῆς ὀρθοσασίας; ἅπερ περιττῶς ἑκάτερον εἰσηνήνεκται. Τοιαῦτα

αὗται τινὰ οἱ Αἰνιγματοθέται καὶ Γριφοθέται σοφίζονται: Ἐνίοτε γὰρ τὰ ἀναγκαίως ἐναπαιτέμενα τῶν προσδιορισμάτων σιγῇ παρατρέχοντες, ἄλλοτε δὲ ὡς πλεῖσα τῶν ἀπροσφόρων περιτίθεσι συνεπιφορεῦντες, τὸ προβαλλόμενον συγκαλύπτουσι. Καὶ ὑπεναντίως ἔν ἐκείνοις ἰτέον, ἃ μὲν προσιθέασιν αὐτὲς ἀφαιρεῦντας, ἃ δὲ παρατρέχουσιν ἀνακαλεῦντας, καὶ δι' ὧν ἁπλῶς ἐκεῖνοι τὸ τῆ ζητήματος δύχερειαν τεχνιτεύουσιν, ἐκ τῶν ἐναντίων τὸ δύχερὲς τῆς ἐπιλύσεως πρυτανεύοντας.

ΚΑΝΩΝ Γ.

§. Δέ. „Τὰ Σιώθετα τῶν Ζητημάτων ἀναλυτέον εἰς τὰ „ἁπλᾶ, καὶ τέτων προδιαληπτέον τὰ πότερα, καὶ ὧν ἡ λύ„σις πρὸς τὸ τῶν λοιπῶν φέρει δύχερεςέραν ἐπίκρισιν.

Πολλῶν γὰρ καὶ διαφερόντων πολλάκις ὡς ὑφ' ἓν ζητήματι προβαλλομένων, τὸ πᾶσιν ἅμα ἐπιχειρεῖν ἐπεξιέναι ἄτακτον, καὶ θορυβῶδες, καὶ καθάπαξ ἀσωτελές. Καὶ διακρίνειν ἔν ἐπάναγκες ἐπιμελῶς τὰ ἁπλέςερα ἐξ ὧν τὸ ὅλον συγκροτεῖται, καὶ τέτων ἀνακρίνειν ἰδία ἕκασον. Τάγε μὴν ὑφ' ἓν προβαλλόμενα, ἤτοι κατὰ συλλογὴν ἐπισεσώρευται, μηδὲν ἀλλήλων ἐχόμενα, ὡς μηδὲ εὖ τυγχάνειν κυρίως τὸ ζήτημα πολλὰ δὲ καὶ τῶν τοιέτων δύχερεςέρα πως ἥτε διάκρισις, καὶ ἡ ἀνάκρισις, καὶ ἡ κρίσις, εἰ μὴ ἄλλως τὴν ἐκ τῆς φύσεως τῶν περὶ ἃ ἡ ζήτησις ἁπαντῶσαν ἔχει δυχέρειαν· οἷον πότερον ὁλκὴ, ὥσις, ὁρμήτις ἔμφυτος, ἢ φυσικός τις ἄλλος θεσμός τε καὶ ὅρος τὸ ἐν τοῖς σώμασι βάρος ἐναπεργάζεται; Ἢ γῆν συνέχεταί πως τῶν ἁπλεςέρων ἑτέρᾳ ἕτερον, καὶ ἐκ πάντων τὸ ὁλοχερὲς σωθέσει σωίσταται, καὶ τότε δὴ περὶ ἐκεῖνα πρῶτον ποιεῖσθαι δέον τὴν θεωρίαν, ἐξ ὧν ἤδη κριθέντων φῶς ἃ τὸ τυχὸν ἐπιλάμψει καὶ πρὸς τὴν τῶν λοιπῶν, καὶ τὴν τῆ ὅλε σωθέτε ἐπίκρισιν. Οἷον ἐφ' ὅσον ἄρα ποτὲ χρόνον κατέλθοι ἂν ἀπὸ Σελήνης λίθος ἄφετος κατιών, καὶ, οἷς τὰ παρ' ἡμῖν βαρέα πειθαρχεῖ, τὲς ὄρες τῆς ἐπὶ τὰ κάτω φορᾶς ἐκ πρώτης ἀφελησίας διασώζων; Πρὸς γὰρ τὴν τέτε ἐπίκρισιν Α. δέον ἐπιθεωρῆσαι καὶ μαθεῖν τὴν τῶν βαρέων κατὰ τὴν ἐπὶ τὰ κάτω φορὰν παρ' ἡμῖν πρόοδον. Β. τὸ ἐν τεταγμένῳ χρόνῳ μέτρον λαβεῖν, ἃ κατὰ τὴν ῥηθεῖσαν πρόοδον τὸ κινηθὲν σῶμα διέλθοι ἂν διαςήματος. Γ. καὶ ὅσον τὸ ἀπὸ Γῆς ἄχρι Σελήνης ἐςὶ διάςημα τάξαι. Δ. καὶ τοσέτε τεθέντος, ὅση μὲν ἡ τῆς

περὶ

περὶ τὴν γῆν ἀπαντώσης ἀτμοσφαίρας ἐςὶ διάμετρος, ὅσον δὲ τὸ ἐπέκεινα, ἀτμῶν τε παχύτητος καὶ ἀναθυμιάσεων καθαρεῦον· καὶ εἰ πρὸς τούτοις καὶ περὶ τὴν Σελήνην ἀτμοσφαίραν δεήσει θέσθαι, τῇ καθόδῳ ὁπωσοῦν ἀντιβαίνουσαν, καὶ ὅσην. Τούτων γὰρ οὕτω προδιαταχθέντων, ἐκ μὲν τῆς τοῦ Α. ἐπικρίσεως, προδιασκευάζεται προδήλως ἡ τοῦ Β. ἐκ δὲ τῆς τοῦ Α. καὶ τοῦ Β, καὶ τῶν ἄλλων, ἡ λύσις ἤρτηται ἡ τοῦ ὅλου Ζητήματος. Ταῦτα οὖν ἐςὶ τὰ Σύνθετα κυρίως τῶν Ζητημάτων (1), καὶ οὕτως αὐτὰ μετιτέον.

ΚΑΝΩΝ Δ.

§. Θς'. „Οὕτως οὖν τὸ Ζήτημα κατὰ τοὺς τεθέντας Κανόνας ἀκριβῶς ἐκπεριελθοῦσι, πάνθ' ὅσα ἤδη φθάσαντα ἀποχρώσῃ ὑπηνέχθη τῇ σκέψει, τὰ μὲν ὡς τῆς κατ' αὐτὸ ὄντα δυνάμεως συνεκτικὰ (Α), τὰ δὲ ὡς τῶν ἐμπαρεισαγομένων αὐτῷ προσδιορισμάτων ἐνδεικτικὰ (Β), τὰ δὲ ὡς τῆς αὐτοῦ, εἰ οὕτω τύχοι, συνθέσεως συμπληρωτικὰ (Γ), σημειωτέον καὶ διὰ γραφῆς ἐπὶ χάρτου, κεφαλαιωδῶς τε καὶ εὐτάκτως, τὰ μὲν γράμμασι, τὰ δὲ καὶ σχήμασιν ἄλλοτε ἄλλοις, προσφυῶς τε καὶ καταλλήλως ἔχουσι χαρακτηρίζοντας, καὶ ἀλλήλων ἀποδιαςέλλοντας.

Μέγιςον τὸ ἐκ τῆς Σημειογραφίας ταύτης προσγίνεται τοῖς περὶ τὴν μελέτην τῶν ἀγνοουμένων ἐνασχολουμένοις βοήθημα, καὶ ὑπὲρ ὃ ἄντις ἤλπισε, μὴ ἐκ πείρας παιδευθεὶς τοῦ πράγματος τὴν συντέλειαν. Ὡς γὰρ διὰ πίνακος ἡ τοῦ ὅλου σκέμματος εὐκρινῶς παρίςαται ἰδέα, ἥτε διασκευὴ, καὶ ἡ οἰκονομία τῶν ἐννοιῶν, καὶ τούτων ἡ πρὸς ἀλλήλας διαφορὰ, καὶ ἡ ἀπ' ἀλλήλων συνάρτησις σαφῶς εἰκονογραφεῖται. Ῥᾴδιον δὲ οὕτως ὡς ἐξ ἰχνογραφίας ἀπλανῶς χειραγωγουμένους, εὐθὺ τείνειν πρὸς ὅπερ ἂν δεήσῃ τῶν ἐκκειμένων, ὅσον τε ἅλις περὶ ἕκαςον διατρίβειν τῶν ἐπιδεῶν ἀνακρίσεως, καὶ ἐξ ἄλλων ἔπειτα ἐπ' ἄλλα μεταβαίνειν ἑτοίμως· ἐπανιέναιτε πάλιν εὐκαίρως

(1) Οὐ γὰρ Ἰωάν. τοῦ Κλερίκου ἀκουςέον (Λογ. Μέρ. Γ. Κεφ. Ζ. Ἀριθ. 1. 2.) Ἁπλᾶ καλεῖν ἀξιοῦντος τὰ ζητήματα ἐφ' ὧν ἡ τῶν ὅρων συνάφεια, δι' ἀμέσου παραθέσεως δήλη, οἷον ὅτι ἐπὶ τοῦ Κύκλου πᾶσαι αἱ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἴσαι εἰσίν. Σύνθετα δὲ, ἐφ' ὧν διὰ μέσου· ἐκεῖνα γὰρ οὐδὲ ζητήματα ὅλως εἰσίν.

ρως ἐπὶ τὰ πρῶτα, καὶ τȣ́τοις παραβάλλειν τὰ δεύτερα· μηδὲ μάτην περὶ τὴν ἀνάκλησιν τῶν πρὶν νενοημένων (εἰ δέοι ἀναπεμπάσασθαι) διαπονεῖν, τῷ μνημονικῷ ἐπιθαῤῥȣ̃ντας, ἀστάτῳ καὶ ὀλισθηρῷ πράγματι (1).

ΚΑΝΩΝ Ε.

§. ϑζ'. „Καὶ τὰ γένη δὲ τῶν εἰωθότων ζητεῖσθαι διακρινέ„σθω. Ἵν ἐπὶ τὸ οἰκεῖον τῶν προβαλλομένων ἕκαστον ἐπαναχ„θὲν, ἐκ τȣ̃ καταλλήλȣ τόπȣ τῶν Μέσων θηρευομένων, ῥᾴδιον ἔχοι καὶ ἐπιλύεσθαι.

Ζητεῖσθαι δὲ εἴωθε τὰ μὲν εἰ ἐστὶ, τὰ δὲ τὶ, τὰ δὲ ὁποῖοντι, τὰ δὲ διατὶ ἐστίν. Ὧν τὸ μὲν ζήτημα ἐστὶ τὸ περὶ ὑπάρξεως· οἷον πότερον ἔστι τις περὶ τὴν Σελήνην ἀτμοσφαίρα, παραπλησία τῇ περὶ τὴν γῆν; τὸ δὲ περὶ Οὐσίας (ȣ̓ ταύτης λέγω τῆς ἐνδοτάτης καὶ πρώτης, ὡς ἀλήπτȣ κομιδῇ ἐπὶ τῶν πραγμάτων ὁμολογȣμένης, ἀλλὰ περίτινος τῶν ȣ̓σιωδῶς προσεῖναι νοȣμένων τῷ ὑποκειμένῳ γνωρισμάτων καὶ χαρακτήρων.), οἷον ἡ κτηνώδης καὶ ἄλογος ψυχὴ τῶν ζώων πότερον σωματικὴ, ἢ ἀσώματος; Τὸ δὲ περὶ ἐπȣσιωδεστέρȣ τινὸς πάθȣς τῷ ὑπο-

(1) Ἴσασιν οἱ τὰ Ἀλγεβραϊκὰ διδαχθέντες, ὅσητις ἐκ τῆς τοιᾶσδε Σημειογραφίας εἰς ἐπίλυσιν τῶν παρ' αὐτοῖς προβαλλομένων ἡ ὄνησις· ἴσασι δὲ καὶ οἱ τὰ Ἀριθμητικά. Οἴονται γȣ̃ν μηδὲ τȣ̀ς πάλαι δυνηθῆναι ἂν ἄλλως ἐπὶ τὴν γνῶσιν ἐλάσαι τῶν Θεωρημάτων, καὶ τὴν εὕρεσιν τῶν Προβλητῶν, ἀφ' ὧν ἄχρι καὶ τȣ́τȣ θαυμάζονται. Εἴτις γάρ (ἡ δὲ κρίσις ἀνδρὸς ἐστὶ τῶν τοιȣ́των ἀποδρεψαμένȣ τὸ ἄκρον ἄωτον.) διασκέψαιτο τὰ Διοφάντȣ Ἀριθμητικὰ, καὶ τὰ Ἀπολλωνίȣ Γεωμετρικὰ, καὶ τὰ τȣ̃ Πάππȣ, γνοίη ἂν ἐκ τȣ́των μηδὲ τȣ̀ς Ἀρχαίȣς καθόλȣ τινὸς χαρακτηριστικῆς ἀμοίρȣς γενέσθαι τέχνης, ἢ τὸ μνημονικὸν αὐτοῖς ἀποφορτίζȣσα, ȣ̓ μικρὸν ἦν ὑπȣργȣ̃σα εἰς τὴν τῶν ζητȣμένων ἀνεύρεσιν (Λεϊβνίτ. ἐν ταῖς πρὸς τὰ Λωκ. Ἀνακρίσ. Βιβλ. Δ. Κεφ. ΙΖ. §. 9.). Καί τοι δὲ ȣ̓ τοσȣ̃τον ἐστὶ ταῖς ἄλλαις ἕξεσιν, ὥσπερ ταῖς Μαθηματικαῖς, τὸ ἀπὸ τῶν σχημάτων, καὶ τῶν χαρακτήρων βοήθημα, ὡς ἄριστα τῷ Λωκίῳ σεσημείωται (ἐν τῷ περὶ τȣ̃ Νȣ̃ Βιβλ. Δ. Κεφ. Γ. §. 19.) Ἔστιν ἀλλ' ȣ̓ν ȣ̓ καταφρονητέον. Ὅθεν καὶ Βεϊγελίῳ τινὶ Σχηματογραφία τις καὶ ἐπὶ τῶν Ἠθικῶν, οἷον ἀπομίμημα τȣ̃ κατὰ Κέβητα ἐπινενόηται πίνακος. Τὰ γὰρ τοιαῦτα τῶν σχημάτων, κἂν μὴ εἰς κρίσιν συμβάλλοιτο (ὡς ὁ Λεϊβν. ἐνθ. ἀνωτ. πρὸς τὰ τȣ̃ Λωκίȣ παρεσημείωσεν.) ἀλλὰ γίνεται δήπȣ διὰ τȣ́των ταῖς ἐννοίαις ἡ προσήκȣσα διαστολὴ, καὶ τὸ κατάλληλον τῆς τάξεως οἰκονομεῖται, ἥτε μνήμη ὑποστηρίζεται, ἐξ ὧν καὶ τὸ εὐεπιβόλως, καὶ τὸ ἀμέμπτως διανοεῖσθαι τοῖς φιλοσοφȣ̃σι προσγίνεται.

ὑποκειμένῳ συμπίπτοντος· οἷον ὁποῖαι τινες ἄρα αἱ τὸν ἡλίου δίσκον ἐπιμιαίνειν ὁρώμεναι κηλίδες; τὸ δὲ περὶ τῶν αἰτίων, ἤτοι τοῦ ὑλικοῦ, οἷον ἐκτίνος ἄρα ὕλης ἡ περὶ τὸν κομήτην κόμη; ἢ τοῦ ποιητικοῦ, οἷον ὑπὸ τίνος αἰτίου αἱ παλίῤῥοιαι; ἢ τοῦ τελικοῦ, οἷον ἐφ' ὅτῳ αἱ ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις πυλίδες; καὶ διατὶ αὗται μὲν διχίτονες, ἐκεῖναι δὲ μονοχίτονες οὖσαι εἰσὶ; Τούτων οὖν ἐπιλυσομένῳ τὰ κατὰ τὸ Α. Γένος ἀπὸ τῶν φαινομένων, καὶ διὰ τῆς πείρας θηρευτέον τὰ Μέσα. Τὰ δὲ κατὰ τὸ Β. καὶ τὸ Γ. ἐντεῦθεν αὖθις, καὶ διὰ παρατηρήσεως τῶν δυνάμεων καὶ ἐνεργειῶν· καὶ ἐκ τοῦ ὁρισμοῦ ὃν χαρακτηριστικὸν καὶ γνωριστικὸν ὀνομάζομεν. Τὰ δὲ κατὰ τὸ Δ. ἐκ τοῦ γενετικοῦ καὶ αἰτιώδους ὁρισμοῦ· Ἐφ' οἷς προσεκτέον καὶ αἷς τὸ ζητούμενον πρὸς τὰ παρ' αὐτὸ ἔχει ἀναφοραῖς, καὶ σχέσεσιν.

Οἱ δὲ ἄλλως πως τὰ τῶν ζητουμένων διαστέλλουσι γένη (1). Ἤτοι γὰρ ζητεῖται, φασὶν, ἐκ τῶν ἀποτελεσμάτων τὰ αἴτια, οἷον τὰ τῆς περὶ τὸν Μαγνήτην ἑλκτικῆς δυνάμεως, τὰ τῆς περὶ τὰ παρατριβόμενα τῶν Σωμάτων Ἠλεκτρικῆς, τὰ τῶν παλιῤῥοιῶν, κτ. Ἢ ἐκ τῶν αἰτίων ἀνάπαλιν τὰ ἀποτελέσματα· οἷον ἐκ τοῦ κυματισμοῦ τῆς θαλάσσης, τὶ τὸ συμβαῖνον; Τὶ δὲ περιγίνεται τῷ ἀέρι ἐκ τῶν κεραυνῶν; Κομήτου δὲ προσγειοτέρου ἢ σύνηθες γενομένου, τίποτ' ἂν ἕψοιτο τῇ καθ' ἡμᾶς οἰκουμένῃ; Ἢ ἐκ τῶν μερῶν τὸ ὅλον καθ' ὁμοιότητα τῶν ἐν τοῖς Ἀριθμητικοῖς μεθόδων, δι' ὧν τὸ διὰ προσθέσεως κεφάλαιον, ἢ τὸ διὰ πολλαπλασιασμοῦ γινόμενον ἀνευρίσκομεν· οἷον τοῦ ὕψους δοθέντος καὶ τῆς βάσεως, τὸ παραλληλόγραμμον εἰπεῖν ὅσον. Ἢ ἐκ τοῦ ὅλου καὶ τοῦ μέρους, τὸ λοιπὸν λαβεῖν, κατὰ τὰς ἐν τοῖς ἀριθμητικοῖς ἀφαιρέσεις τε, καὶ διαιρέσεις· οἷον τοῦ ὀρθογωνίου δοθέντος, καὶ τῆς βάσεως, τὸ ὕψος προσευρεῖν κτ.

ΚΑΝΩΝ ϛ'.

§. Θή. „Τὰ ἐπὶ τοῦ προκειμένου Ζητήματος οὕτως ὅσον ἅλις „εὐκρινῶς προειληφόσιν (Α), ἀνελλιπῶς προσδιορίσασιν (Β), „ἐπὶ τὰ ἁπλούστερα ἀναλελυκόσιν (Γ), εὐτάκτως ἐπισημειω„σαμένοις (Δ), τέως δὲ καὶ ἐπὶ τὸ καταλλήλον γένος τὸ ζητού„μενον ἀναγαγοῦσιν (Ε), ἑπόμενον ἐστὶ τῆς τῶν μέσων ἄρξασθαι „θήρας, δι' ὧν ἡ τῶν ἐννοιῶν τελεῖται παράθεσις, ἐξ ἧς δήλη „καθί-

(1) Μέτιθι τὴν Τέχν. τοῦ Νοεῖν Μέρ. Δ. Κεφ. Β.

„καθίσταται ἡ ἐν αὐταῖς ἐγχωρῆσα χέσις, ἥτις ἐστὶν ἡ καθ' ἑ-„κάστην διανοητικὴν μετάβασιν ἐπιφερομένη κρίσις. Τὸν δὲ τρό-„πον τοῦτον ἕξῆς τε καὶ ἑξῆς προακτέον, ἄχρι τῶν προδηλοτά-„των, ἃ δὴ πρῶτα ἀρχαὶ τῆς γνώσεως ἡμῖν εἰσὶν αἱ αὐτοὶ καὶ „ἔχαται. Τὸ μὲν Ἀναλύσει, πρῶται δὲ Συνθέσει, περὶ ἧς „ὕστερον. Δεῖ δὲ καὶ τὰ καθ' ἕκαστον βαθμὸν τῆς προόδου ἀνα-„κύπλοντα τῶν διανοημάτων, γραφῇ καὶ ταῦτα, ὡς καὶ τὰ „πρὸ τούτων (Δ) προσεπισημειῶν, τὸ μὲν φαντασικὸν ἀποφορ-„τίζοντας, τὸ δὲ διανοητικὸν τῆς ἐκ τοῦ πλήθους ἀεὶ ἐμποιεμέ-„νης αὐτῷ συγχύσεως, ἀπαλλάττοντας.

Τῆς Εὑρετικῆς Μεθόδου τὸ κυριώτατον ὁ ς'. ἡμῖν ἔτος καθυποβάλλει Κανών. Τῶν γὰρ προτέρων, ἐπὶ τῷ εἰς μελέτιν προκειμένῳ προπαρασκευαστικῶν πως καὶ προτελεστικῶν ὄντων, αὐτῆς ἔτος ἅπτεται τοῦ πράγματος (φασὶ) τῆς πιτυᾶς. Εἰς γὰρ θήραν τέως τῶν μέσων ἐξάγει, δι' ὧν ἡ τοῦ ἀγνοουμένου εὕρεσις, βαθμηδὸν χωρῆσα, ἔσγ' ἐπ' αὐτὰ τὰ γνωριμάταλα γίνεται. Οὐδὲν ἔν δεῖ ἐπὶ τοῦ παρόντος, τὰ ἐν ἄλλοις περίτε τῆς τοῦ μέσου εὑρέσεως (§. ωκζ'. κξ.), καὶ τῆς κατ' ἔφοδον Ἀναλυτικῆς προϊούσης Ἀποδείξεως (§. ωιβ'. ωυδ'.) ἐπαναλαβεῖν. Ἔχουσι γὰρ ἐξ ἐκείνων τὰς μεθόδους, ἐδὲν λοιπὸν, ἢ ὀρθῶς ἐνταῦθα καὶ ἐπισταμένως αὐταῖς προχρῆσθαι (1).

ΚΑΝΩΝ

(1) Ἡ τῶν Ἀρχαίων Ἀνάλυσις ἐν τούτῳ ἰδίᾳ ἡ πᾶσα κεμένη κατὰ τὸν Πάππον, ἐν τῷ λαμβάνειν τὸ ζητηθὲν, καὶ κατάτε συνάγειν τὰ ἑπόμενα, ἕως ὃ ἀπαντήσειέ τι τέως γνώριμον καὶ τοῖς πᾶσιν ὁμόλογον. Περὶ ὃ καὶ τοῦτο σεσημείωται (Λεῖβν. Βιβλ. Δ. τῶν πρὸς τὰ Λωκ. Κεφ. ΙΖ. §. ϛ.) ὅτι δεῖ τοιαύτας εἶναι τὰς συναγομένας Ἀποφάνσεις, ὡς δι' αὐτῶν, ἥπερ ἐκτάσσοντας, ἀπὸ τῆς ἐσχάτης ἐξείνης ἐπαναστρέφειν ἐπὶ τὴν πρώτην ἀφ' ἧς ἡ πρόοδος, ἵν, ἡ Συνθετικὴ δεῖξις ἕπεται κατ' ἴχνη τὰ τῆς Ἀναλυτικῆς ποιεῖσθαι δύναιτο τὴν ἐπάνοδον. Οἷον ζητήματος προκειμένου εἰ ὁ ἄνθρωπος ἐστὶν ἐλεύθερος, λαμβάνω δή, ὅτι ἐλεύθερος· ἔτ' εἰσβάλλω, ὅτι καὶ ἑαυτὸν ἔχοι ἂν διορίζειν, ἕως τὸ ποιεῖν τὰ αὐτὰ, ἢ μὴ ποιεῖν. Εἰ δὲ τοῦτο, ἐκεῖνο αὐτῷ καὶ ἀπηγόρευται ἃ μὴ δέον ποιεῖν, ὡς δυναμένῳ καὶ ποιεῖν· καὶ πάλιν ἐντέταλται ἃ δέον ποιεῖν, ὡς δυναμένῳ καὶ μὴ ποιεῖν. Καὶ τοίνυν ἐπετέθησαν αὐτῷ Νόμοι, οἱ τούτων τὰ μὲν ἀπαγορεύοντες, τὰ δ' ἐντελλόμενοι.

Κεῖνται δὲ Νόμοι (τοῦτο γὰρ βέβαιον καὶ τοῖς πᾶσιν ὁμόλογον· ἐξ ἧς καὶ ἡ κατὰ Σύνθεσιν ἀποδεικτικὴ ἐπάνοδος, τῆς γνωμένης Ἀναλύσεως κατ' ἴχνη βαίνουσα, καὶ τὸ ὑποτεθὲν ἤδη κατασκευάζουσα.)· Εἰ ἄρα Νόμοι τινὲς εἰσὶ κείμενοι τῷ ἀνθρώπῳ, ἔτοι τὰ μὲν αὐτῷ ἀπαγορεύσει, τὰ δ' ἐντελλόμενα. Ὥστε ἀπαγορεύσιν αὐτῷ ἃ μὴ δέον ποιεῖν, ὡς δυναμένῳ καὶ ποιεῖν· καὶ πάλιν ἐντελλόμενα ἃ δέον αὐτῷ ποιεῖν, ὡς δυναμένῳ καὶ μὴ ποιεῖν.

Τοιγα-

ΚΑΝΩΝ Ζ'.

§. Θθ'. „Δι' ἁπάσης τῆς ἐν τῷ (ϛ'.) Κανόνι (§. Θη'.) Ὑ-„ποτεθείσης προόδου (α'.) ἐν μὲν ἐννοίαις τὸ ἐναργέστε καὶ εὐ-„κρινὲς, ἐν δὲ κρίσεσι τὸ ἀσφαλέστε καὶ βέβαιον, ἐν δὲ διανοή-„σεσι τὸ ὀρθόντε καὶ ἀναγκαῖον τῆς συνεπείας ἐφ' ἑκάστησοῦν „τῶν κατὰ τὴν πρόοδον μεταβάσεων πρυτανευτέον. (β'.) Ἐκ „τῶν σαφῶν ἀεί ποτε καὶ ὁμολογουμένων, ἐπὶ τὰ ἧττον σαφῆ „καὶ βέβαια χωρητέον (1).

Ὁ δὲ Κανὼν οὗτος οὐ μόνῃ τῇ Ἀναλυτικῇ Μεθόδῳ χρήσιμος ἐστὶν, ἀλλὰ καὶ τῇ Συνθετικῇ οὐδὲν ἧττον, περὶ ἧς ἐν τῷ ἐφεξῆς Κεφαλαίῳ.

ΚΑΝΩΝ Η'.

§. Θι'. „Ἐὰν μὴ ἐκ τῶν ἤδη δήλων ἡ τοῦ Ζητουμένου Ἐπίκρι-„σις προχωρῇ, τῆς μελέτης κατὰ τοὺς τεθέντας ὅρους προηγ-„μένης, καὶ πάλιν καὶ πολλάκις ἐπανειλημμένης, μηδὲν δὲ ὅμως „σαφὲς συνιδεῖν παρεχούσης, ὁμολογητέον τὸ μελέτημα ἀνεπί-„λυτον εἶναι, ἢ ἡμῖν ἀνεπίλυτον.

Δεῖ μὲν γὰρ τοῖς σκέμμασιν ὡς οἷόντε ἐπιμόνως ἐγκαρτερεῖν, καὶ σπουδαίως ἕκαστα τῶν ἐν αὐτοῖς ἀνελίττοντας τὴν θεωρίαν παρατείνειν ἐφ' ὅσον ἂν οἷόντε ᾖ. Μεταξὺ δὲ καὶ διαλιπόντας (Προδιατ. Β'. §. μϛ'.) ἐφ' ᾧ τὸ ἀκμαῖον τοῦ λογιστικοῦ ἀνακαλέσαι καὶ σύντονον, αὖθις ἐπὶ τὰς αὐτὰς σκέψεις ἐπανιέναι, τήν τε μελέτην οὕτω καὶ τρίτον, καὶ πολλάκις ἢν δέοι ἀποκαθιστᾶν. Οὔκουν ἀλλ' οὖν καὶ ἄληκτόν τινα τὴν σπουδὴν περὶ τὸ αὐτὸ καταβάλλειν· Πλεῖστα γὰρ ἐστὶ καὶ τῶν ἤτοι καθ' ἑαυτὰ, ἢ ἡμῖν ἀνεφίκτων, ὡς τῶν ἰδεῶν ἀμοιροῦσιν, ἃς ἐπάναγκες προειληφέναι πρὸς τὴν τούτων κατάληψιν. Περὶ ὧν καὶ τῶν

τοιγαροῦν καὶ ἔχοι ἂν ἑαυτὸν ὁ ἄνθρωπος διορίζειν εἰς τὸ ποιεῖν τὰ αὐτὰ, ἢ μὴ ποιεῖν. Ὁ ἄρα ἄνθρωπος ἐλεύθερός ἐστιν. Ο Ε. Δ.

Οὐδὲν οὖν οὕτως ἀνιοῦσιτε καὶ κατιοῦσιν ἢ τὰ προσφυῶς ἔχοντα μέσα θηρεύεται, δι' ὧν ἀπὸ τῶν κειμένων ἐπὶ τὰ προσεχῶς ἑπόμενα ἡ μετάβασις, ὡς καὶ ἀνωτ. ἐν τοῖς περὶ τῆς τῶν Ἀποδεικτ. Ἐφόδ. Μεθόδου ἐλέγετο. (§. ωιγα'. -- ωιγη'.).

(1) „Ὁπότε δὲ αὐτόστι (ὁ Σωκρά-„της τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα „ὁμολογουμένων ἐπορεύετο, νομίζων „ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. Ξενοφ. Ἀπομν. Βιβλ. Δ'.

τῶν ὑπὲρ ἡμᾶς ἐγγεγυμνασμένων τινὸς καλὸν πυνθάνεσθαι, εἴτις διαβατικώτερος, καὶ τὸ προτεθὲν ἄμεινον ἡμῶν συνιδεῖν δυνάμενος. Ἀτεχνῶς γὰρ βύσσινος ὁ λόγος, καὶ τῷ εἰπόντος ἄξιος. „Μὴ αἰχύνῃ βοηθέμενος (2).

ΚΕΦ. ΤΕΤΑΡΤΟΝ.

Περὶ τῆς κατὰ Σύνθεσιν Μεθόδε, ἥτις καὶ Ἐκθέσεως Μέθοδος ἐπιλέγεται καὶ Διδασκαλίας.

§. Διά.

Ἀντίστροφα τῇ Ἀναλυτικῇ Μεθόδῳ, ἡ κατὰ Σύνθεσιν βαίνουσα, ἀπολήγειν μὲν ὅθεν τιὼ ἀρχιὼ ἐλάμβανεν, ἀρχιὼ δὲ ποιεῖσθαι θέλει, εἰς ἃ ἐκείνη κατέλυε. Βαίνει γᾶν ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ ἐξ αὐτῶν προϊόντα, καὶ μέθοδος ἐκ τότε Συνθέσεως ἀκούει δεόντως. Ἡ δ' αὐτὴ καὶ Διδασκαλίας μέθοδος καὶ Ἐκθέσεως. παρὰ τὸ σὺν χρήσει γίνεσθαι τοῖς φιλοσοφοῦσιν, ἐπειδὰν τὰ σφίσι δῆλα τοὺς ἀγνοοῦντας ἀναβάλλωνται διδάσκειν, εἴτ' ἐκ συγγραφῆς, εἴτ' ἀπὸ στόματος τὰς Διδασκαλίας ποιέμενοι. Βίβλος γάρ τις ἐστὶ φθεγγομένη, ἡ διὰ φωνῶν τοῖς ἀκροωμένοις ἀποδιδομένη εἰσήγησις· ὥσπερ δὴ καὶ ὁμιλίατις ἐστὶ σιγῶσα ἡ ταῖς βίβλοις ἀνάγραπτος. Διὸ καὶ ἑκατέρωσε ὁ τρόπος ἐστὶν ὁ αὐτός. Ὁ δὲ τρόπος ἐκεῖνα πρότερα τῶν ἄλλων λέγειν, ἢ γράφειν, ἀφ' ὧν τὰ ἐπιφερόμενα ῥᾴδιον ἂν ἔχοι καὶ νοεῖσθαι, καὶ ἀποδείκνυσθαι.

§. Διβ'. Διέλοι δ' ἄντις τιὼ ἕτω Συνθέσει τεχνιτοδομένιω μέθοδον, τῷ πλάτει ἐπισήσας τῶν κατ' αὐτιὼ διαληφθησομένων, εἰς τιὼ ὁλοχερῆ, καὶ τιὼ ἐν μέρει· ὧν τῇ μὲν ἐπὶ ἐκθέσει τινὸς ἐν μέρει Ζητήματος χρῆσθαι δείσει, οἷον τῷ περὶ κενῷ εἰ ἐς, τῷ περὶ βαρύτητος, εἰ κοινῇ τῇ ὕλῃ παροπηδεῖ, κτ. τῇ δὲ Ὁλοχερῶς τινος ὑποκειμένης Ἐπιστήμης, ἣν ἄντις ἐπιχειρήσειεν ἀνελλιπῶς πραγματοῦσαθαι, οἷον τιὼ Λογικιὼ, τιὼ Φυσικιὼ, τιὼ Γεωμετρίαν κτ. Περίεσι γάρτι πλέον δυχερείας ἐν

(1) Ἀντωνίν. Καίσαρ. Βιβλ. Ζ'. πρὸς ἑαυτ. §. ί.

τὰ ταύτῃ, ὅτι παρ' ἃ δέον κατ' ἐκείνῳ ἐπὶ ἑκάστου τῶν ἐν μέρει ζητεμένων παρατηρεῖν, καὶ τὰ ἐπιόντα ἔτι ζητήματα κατὰ τὸ δέον προσήκει διατάσσειν, καὶ τῆς ὅλης ἕτω πραγματείας τῷ κατατομῷ καὶ διαίρεσιν ἐπισαμένως οἰκονομεῖν οἵονει μελῶν σώματος καλῶς ἐξ ὧν ὅλῳ ὁλοκληρίαν ἔχει, προσφυῶς ἀλλήλοις συναρμολογεμένων, καὶ τῷ καταλλήλον θέσιν λαμβανόντων ὅπως ἂν κάλλισα ἔχοι, καὶ ἐμμελέσατα. Ἀλλὰ γὰρ ἡμῖν τὰ ἑκατέρα ἐπιβάλλοντα, ἐν εἴδει Κανόνων τινῶν καὶ ταῦθα ὑποθησομένοις, ἀπὸ τῆς περὶ ἑκάστου τῶν Ἐπιστημῶν, ὁλοχερέστερον οἰκονομεμένης τῶν μερῶν διαιτήσεως τῷ ἀρχῷ ληπτέον.

ΚΑΝΩΝ Α'.

§. Θιγ'. Τῷ ὅλῳ ἀναβαλλομένῳ πραγματείαν κατὰ Μέθοδον ἐπιστήμη πρέπουσαν διελθεῖν, διαιρετέον τὸ ὑποκείμενον εἰς τὰ μέρη, ἢ εἴδη, ἢ πάθη ὧν ἔλαχεν ὅμοιρεῖν, καὶ τῶν τῷ διαλῆψιν ἐκείνων προτακτέον, ἃ καθ' ἑαυτὰ θεωρεῖσθαι ἂν ἔχοι, μεθ' ἃ τὰ τούτων ἐχόμενα, καὶ ἕτως ἑφεξῆς, ὡς ἀεὶ μὲν τὰ πρὸ ὁδῷ τοῖς ἄλλοις γινόμενα ἡγεῖσθαι, κατακολουθεῖν δὲ τὰ δι' ἐκείνων προδιαληφθέντων ἤδη ἀναπτυσσόμενα καὶ κρατυνόμενα.

Ὁ μὲν λόγος τῆς Κανόνος καὶ μάλα σαφής. Εἰμὴ γὰρ προηγοῖντο αἱ οἷον ταῖς λοιπαῖς δαδεχῆσαι τῶν γνώσεων, χολῇ γ' ἂν τις τῇ σκότῳ ἀπαλλαχθήσεσθαι τὰς ἐφεπομένας ἐλπίσειεν. Ἀλλ' ἐκεῖνο δὴ ἐκ ἀπεικοτως πάρεσι ζητεῖν, τίνα τίσι ποτὲ τῶν μερῶν, ἢ εἰδῶν, ἢ παθῶν τῇ ὑποκειμένῳ, τὰ τῆς δαδεχίας ταύτης διακονήσει. Ἦ δῆλον ὅτι τὰ πολλὰ ὅσα ἁπλέστερα τυγχάνει καὶ τῇ Φύσει πρότερα (§. ρνς'.). Οἷον τὰ περὶ τῶν ὅρων ἐν τῇ Λογικῇ τοῖς περὶ τῶν προτάσεων, καὶ ταῦτα τοῖς περὶ τῶν συλλογισμῶν. Ἐν γὰρ δὴ τούτοις ἐκεῖνα. Καὶ ἐν τῇ Ἀνατομίᾳ φέρε, τὰ περὶ ὀστέων, καὶ μυῶν, καὶ ὑμένων, καὶ νεύρων, κτ. καὶ τῶν ἄλλων σκολῶν, καὶ τῶν ἐν αὐτοῖς ὑγρῶν, προτακτέα ἐξ ἀνάγκης πρὸ τῆς ἑκάστε τῶν μελῶν ἐπισκέψεως· ταῦτα γὰρ ἐξ ἐκείνων. Καὶ ἐν τοῖς Ἀριθμητικοῖς δὲ τῶν Προβλημάτων, τὸ ἀπὸ Ἀριθμῷ τῷ δοθέντος τῷ ζητεμένῳ ῥίζαν λαβεῖν, τὸν μὴ διὰ τῶν ἁπλεστέρων ἀχθέντα μεθόδων, ἀμήχανον· Καὶ κατὰ τὰς ἄλλας δὲ τῶν Ἐπιστημῶν ὡσαύτως.

Ἐπ' ἐνίων μέντοι τῷ ῥηθεῖσαν ἀθετεῖν τάξιν ἐπάναγκες. Ταῦτα δ' ἐστὶν ἐφ' ὧν διαπλοκήτις συμβαίνει· ὡς ὅτε πρὸς ἀ-

κριβεστέραν τοῦ ἁπλουστέρου διάληψιν, τῶντι μᾶλλον συνθέτων, ἀπραγμονέστερόν πως ἐμπίπτον ἐμπαρεισάγεται, οὗ ἐφεξῆς ἡ τελεωτέρα ἔκθεσις ἐν οἰκείῳ τόπῳ ἐπεξεργασθησομένη πληρέστερον ἀποταμιεύεται. Οὕτωμοι μετὰ τὰ περὶ τῶν πρώτων ἐννοιῶν τὰ τῆς Λογικῆς πραγματευομένῳ, λόγος παρενέπεσεν ὁ περὶ τῆς Σκέψεως, τὴν τάξιν δόξαν ἐπιμελῶς παρατετηρηκέναι, τὴν ταῖς ἐννοίαις φύσει προσήκουσαν· καθ' ἣν ἡγεῖται μὲν ἡ τῶν νοουμένων ἀντίληψις, ἐμφιλοχωρεῖ δὲ ἐπὶ πάνυ πολλῶν, πρὸ τῆς περὶ αὐτὰ Κρίσεως, ἡ Σκέψις (§. σλγ. κξ'.). Ἀλλὰ γὰρ ἐν τοῖς περὶ σκέψεως, ἡ ἑτέρας ἐξ ἑτέρας γνώσεως, κατὰ τὸ μᾶλλον καὶ ἧττον πιθανολογουμένη ἐναπαιτεῖται ἐπιφορά. Ἡ δὲ τοῦ κατὰ Διάνοιαν προβαίνοντος λογιστικοῦ ἐνέργεια ὡμολόγηται οὖσα· ἡγεῖται δὲ τῆς Διανοίας ἡ Κρίσις, ἧς χάριν καὶ ἡ σκέψις προβάλλεται· Τὶ οὖν; ἢ ταῦτα ἁπλῶς ἐπάναγκες ἦν προϋποτιθέναι, καὶ ὀρθοδοξαστικῶς, οὕτω φᾶναι, παραλαβεῖν, ὡς φύσει πᾶσιν ἐνόντα, καὶ μηδένα ταύτηγε λανθάνειν δυνάμενα, περὶ ὧν ἔδει τὸν λόγον ἔπειτα ἀναλαβεῖν, καὶ ἀκριβέστερον ἐπεξεργάσασθαι (1).

Τοι-

(1) Τὴν τοῦ ἐκτεθέντος ἀθέτησιν Κανόνος πικρῶς τινες τῷ Στοιχειωτῇ ἐπιμέμφονται (ὅρα Τέχν. τοῦ νοεῖν Μέρ. Δ'. Κεφ. Θ'. Ἑλλείμ. Ε'.). Ὅτι μεταξὺ τῶν ἄλλων ἐν οἷς (φασὶν) ἀτακτεῖ, ἀρχὴν μὲν ἐπὶ τοῦ Α'. τῶν Στοιχ. ἀπὸ τῆς κατασκευῆς τοῦ ἰσοπλεύρου τριγώνου λαβὼν, ἐπὶ τὰ περὶ τῶν γραμμῶν μεταβαίνει· εἶτ' αὖθις ἐπὶ τὰ τρίγωνα ἐπάνεισι, καὶ ἀπὸ τῶν τριγώνων πάλιν ἐπὶ τὰς γραμμάς. Οἵ γε μὴν ἔσχατον Λατινιστὶ ἐκδεδωκότες (ἐν Ἀμστελαιδάμῳ Ἔτ. ᾳψλς'.), τὸ περὶ τῆς Τέχν. ἧς εἴρηται, ἐν αὐτοῖς Προοιμ. τῆς ἐπενεχθείσης αἰτίας τὸν Εὐκλείδην κρείττονα διατείνονται εἶναι ὡς ἐπ' ἀκριβὲς τὴν τάξιν τετηρηκότα τὴν τῶν θεωρουμένων τῇ φύσει πρέπουσαν, ἣν οὐδὲν (φασὶν) ἀπεικὸς μὴ κατιδεῖν, τὸν τὴν ἀληθῆ τῶν Γεωμετρούντων Μέθοδον, καὶ σκοπὸν τὸν τούτων μὴ συνεωρακότα. Qui veram Methodum Geometrarum, eorumque scopum non intellexit. Τῷ γὰρ ὄντι ἡ Α'. τοῦ Α'. τῶν Στοιχ. πορίσματος δίκην ἀπὸ τῆς τῶν εὐθειῶν ἰσότητος ἕπεται. Ἔστι δὲ περὶ τοῦ ὅπως οἷόν τε εὐθεῖαν εὐθείᾳ ἴσην ἄγειν, ἐν ταῖς πρώταις τρισὶ προτάσεσι τῷ Στοιχειωτῇ ὁ λόγος. Τῷ δὲ, μάλιστα μέλον ἐκεῖνα ᾀείποτε προλαμβάνειν, δι' ὧν τὰ λοιπὰ ῥᾳδίως ἀποδειχθήσεται. „Ταύτητοι καὶ Σγραβεζάνδ. ἐν τῇ Εἰσαγ. εἰς τὴν Φιλοσοφίαν Ἀριθμ. 1086. „Τὰ τῆς Γεωμετρίας (φησὶ) διδάσκειν „ἐπιχειρήσας, κατὰ μὲν τὸν ἔσχατον „Κανόνα (οὗτος δὲ ἦν ὁ τὰ ἁπλούστερα „πρὸ τῶν μᾶλλον συνθέτων πραγματεύεσθαι δεῖν ὑποτιθέμενος) πρῶτον ἂν διέλθοιμι περὶ Γραμμῶν. Εἶτα περὶ τριγώνων, καὶ τῶν ἄλλων εὐθυγράμμων· Ἐφεξῆς δὲ περὶ τοῦ κύκλου. „Ἀλλ' οὕτως ἄν μοι ἀτελὴς λίαν προβαίη τῆς πραγματείας ἡ ἔφοδος· τα

„γὰρ

Τοιγαρῆν σκεπτέον ἐν ταῖς Ἐπισημονικαῖς τῶν πραγματειῶν τὰ ὑπὸ τὴν θεωρίαν πίπτοντα, ὅπως μὲν εἶναι φύσιν ἔχει, ὅπως δὲ, καὶ νοηθῆναι. Καὶ ἂν μὲν τὰ φύσει πρότερα (ἅττα κοινῇ λέγεται, τὰ ἁπλούστερα), ταῦτα καὶ τῇ γνώσει προτερεύοντα ᾖ, ὡς αὐτῶν ἄνευ μὴ μόνον μὴ εἶναι καθ' ἑαυτὰ, ἀλλὰ μηδὲ διανοίᾳ παρίσασθαι τὰ ἐξ αὐτῶν, ἐκ τῶν ἔτως ἐχόντων καὶ τῆς Διδασκαλίας ἀρκτέον. Ἐὰν δὲ τῆς τάξεως ἀναιρεθείσης (ἢ τὰ πολλὰ συμβαίνει) τὰ ἐν τοῖς ἔσι προτερεῦντα, τῶν ἐν τῷ νοερῷ κόσμῳ (ἔτος δ' ἐστὶν ὁ τῶν ἐννοιῶν, αἷς ἡμῖν τὰ ὄντα καθίσαται νοητὰ) παρισαμένων ὕστερα ἅπαντᾷ, ἐκ τούτων ἀνάπαλιν καὶ τὸ διδάσκειν τὴν ἀρχὴν ποιητέον. Οὐ γὰρ οἷόντε ἄλλως, εἰμὴ δι' ὧν ἡ κατάληψις προσδοποιεῖται, ταῦτα προειληφότας, ἐπὶ τῶν ἐξ αὐτῶν διασαφεμένων χωρεῖν τιὼ διάσκεψιν (1).

ΚΑΝΩΝ Β'.

§. Διδ. „Μηδὲν τῇ προκειμένῃ ἐμπαρεισαγέσθω πραγμα„τεία σκέμμα, μηδὲν τῷ κατ' αὐτὴν ὑποκειμένῳ προσῆκον, μη„δὲ ποιάντινα πρὸς τοῦτο σχέσιν ἔχον καὶ ἀναφοράν. Κἂν ὁ„πωσοῦν ἀναφέροιτο, ἀλλὰ τῶν κομιδῇ τυγχάνον περιττῶν, ἢ „ἀνερμιώτων (2), ἔξω μενέτω.

„γὰρ περὶ τῶν παραλλήλων γραμμῶν, „καὶ τὰ περὶ τῶν καθέτων, ἐκ τῶν περὶ τὰ τρίγωνα ἀποδεικνυμένων ἐπιφέρειν δεῖ. Τούτου δὴ χάριν ἡ διαίρεσις αὕτη καίτοι τῇ ὑποκειμένῃ τῇ „φύσει δοκοῦσα συνάδειν, παραιτητέα „ἂν εἴη. Ὡσαύτως (Αὐτ. Ἀριθμ. „1087.). Εἴμοι ἀναπτύξαι παρείη „τὰ τοῖς ὑγροῖς τῶν σωμάτων κατὰ „γένος θεωρημένοις ἀνήκοντα, διαληπτέον ἂν εἴη πρῶτον περὶ τῶν ὑγρῶν τῶν ἐν ἡρεμίᾳ, ἔπειτα δὲ καὶ περὶ τῶν ὑπὸ κινήσεως (τιὼ προσήκεσαν τοῖς ὑποκειμένοις σείβοντι δηλονότι.). Ἀλλ' „ἀπαντήσειέ τις ἀλλαχόθεν δυσχέρεια· „ἡ γὰρ ἔνσασις ἰῶ τὰ διὰ τῆ ὑγρᾶ „φερόμενα πάχα, ὀλίψιστις ἐστὶν, ἡ „καὶ ἐν ἡρεμοῦντι τῷ ὑγρῷ χώραν ἔχε„σα. Περὶ δὲ ταύτης διελθεῖν ἐχ οἷον„τε, μὴ πρότερον τὰς ἐν τοῖς ὑγροῖς „διαφερέσας κινήσεις προαναπτύξαν„τας.

(1) Τῇ μὲν φύσει πρότερον εὐθεῖα τριγώνε, τῇ δὲ γνώσει ἐκ τῶν τριγώνων ᾗ δέον προσπαραληφθέντων, καὶ ἐκ ἄλλως, τὰ τῶν παραλλήλων γραμμῶν πάθη νοεῖται καὶ δείκνυται. Ὥστε πρότερον ἔτω γίνεσθαι τὸ τρίγωνον, ἔχειν τῆς εὐθείας ἁπλῶς, τῆς δὲ, τῆ κατὰ τιὼ παραλληλίαν τῶν εὐθειῶν πάθος, καταλήψεως.

(2) „Πᾶν Θεώρημα πρῶτον μὲν „ἀληθὲς εἶναι δεῖ· εἶτα χρήσιμον· „εἶτ' ἀκόλουθον ταῖς ὑποτεθείσαις ἀρ„χαῖς. Γαλλιν. πρὸς Θρασύβ. περὶ „Ἀρίσ. Αἱρέσ.

Οὕτω γάρ τοι παρείσακτον ὄν, ἐδεμίαν πρὸς τὰ λοιπὰ τῆς πραγματείας Θεωρήματα ἔξει τὴν ἁλληλεχίαν, ὡς τισὶ μοὶ ἐκείνων, ἅτε δὴ ὕστερον ἔπεσθαι, ἄλλων δ' ὡς πρότερον ἢ χρὴν (§. Διγ'.) ἠγεῖσθαι. Διαφορᾶν δ' ὅπως δή, καὶ ὅπως ἂν ταχθείη, αὐτόθεν καὶ τὸν ἔλεγχον οἶσει τὸ τοιοῦτο τῷ εἶναι ἀλλότριον, καὶ τῆς ἰδίας ἐκτὸς, ὡς ἂν εἴποιτις σφαίρας, εἰκῇ πλαζόμενον. Τοῦτο μὲν ἓν τοῖς ἀπὸ σώματος διδάσκειν λαχοῦσιν, ἢ τοῖς διὰ συγγραφῆς ἐξαμαρτάνεσθαι ῥᾴδιον. Ἐκεῖνο δὲ τὸ τῶν περιττῶν, καὶ ἀνερμιώτων δεῖν ἀπέχεσθαι, καίτοι πρὸς τὴν αὐχερσὶ πραγματείαν ὁπωσοῦν τείνειν δοκέντων, καὶ μάλα πᾶσιν ἐσὶ τηρητέον. Καὶ φειστέον τοῦ χρόνου, ὃν δὴ βραχὺ ὄντα, πρὸς ἐπιβολὴν καὶ μόνων τῶν χρησιμωτέρων ἴσμεν, καὶ ποτνιώμεθα. (Προδι. Β'. §. κς'. λή. Καὶ Λογ. §. σλθ'. καὶ Αὐτ. Σημ. 2.).

ΚΑΝΩΝ Γ'.

§. Διέ. „Ἐὰν δὲ ὑπάλληλός τις ᾖ πρὸς ἑτέραν ἢ αὐχερσὶ „πραγματείαν, τὸ ἀπὸ τῆς Ἀρχικῆς παραλαμβάνειν τινὰ, „ἤτοι λημμάτων δίκιλυ (§. υιβ'.), ἢ αἰ εἴδει χολιασμάτων (§. „υιβ'.), εἰς πληρεσέραν τῶν ὑποκειμένων ἀκρίβωσιν, ὡς „μὴ ἀσυντελὲς ὄν, ἀλλ' ἔσιν ὅτε καὶ ἀναγκαῖον, μηδαμῶς „ἀπειρήθω.

Οὕτως αἵια Μεταφυσικῆς ἐχόμενα θεωρίας, καὶ τῶν περὶ ψυχῆς λόγων, (ἅτε δὴ ἐκείναις ὡς Ἀρχικαῖς ὑπαλληλεμένη ταῖς ἕξεσιν), καὶ ἡ Λογικὴ ἐθέλει προσερανίζεσθαι· Οὗ δὴ χάριν καὶ τῶν καθ' ἡμᾶς εἰσὶν οἱ πρὸ ταύτης πέρι ἐκείνων πραγματευσάμενοι (Προδι. Δ'. §. ς'.). Ἥτε τῆς Φυσικῆς ἐπιςήμη ἐπὶ τὴν Ἀριθμητικὴν καὶ τὴν Γεωμετρίαν συνεχῶς ἀνατρέχει. Ταύτητοι καὶ μηδενὶ ἐφείσθω ἐπιςήμης ἅψασθαι, ὁπότε ταύτης τῶν πρὸ ὁδῶ γινομένων ἐσὶν ἀμύητος (Προδι Β'. §. λή. λθ'.).

ΚΑΝΩΝ Δ'.

§. Δις'. „Ἐπὶ ἑκάστου τῶν αὐ μέρει ζητεμένων ἡγεῖσθαι δέον „τὸς ὁρισμὸς, καὶ τὰς διαιρέσεις· μεθ' ἃς τὰ ἀξιώματα καὶ „τὰ αἰτήματα ἐκτάσεσθαι· μεθ' ἃ τὰς προτάσεις, καὶ τὰ„των τὰς ἐκ τῶν προταχθέντων κατασκευάς· ἤτοι τὰς ἀπο„δείξεις. Ἀπὸ δὲ τῶν προτάσεων, ὅσον ἅλις ἤδη ἀποδεδειγ„μένων συνάγεσθαι τὰ ἐπίοντα τῶν πορισμάτων. Ἐπὶ πᾶσι „δὲ

„δὲ, καὶ τὰ πρὸς ἁδροτέραν δεῖξιν τε καὶ διασάφησιν συμβαλ-„λόμενα τοῦ ἀποδειχθέντος, ἐν εἴδει σχολίων ἐπιφέρεσθαι.

Τοῦδε τοῦ Κανόνος, ἅπαν τὸ ἀνωτέρω Β'. Κεφάλ. (§. ωξβ'.-ωιη.) τὴν ἔκθεσιν δαψιλῶς παρέχεται. Τουτὶ δ' ἐνταῦθα σημειωτέον αὖθις εἶναί μοι δοκεῖ, ὅπερ ἂν οὐδέποτε περιττὸν εἴη, ὁσάκις ἄντις καὶ παραινέσειε· τὸ τοὺς μὲν ὁρισμοὺς ἐναργεῖς εἶναι δεῖν, καὶ ὡς οἷόν τε ἀκριβεστάτους· τὰς δὲ διαιρέσεις ἀνελλιπεῖς τε καὶ ἀπερίττους· τὰ δ' ἀξιώματα, καὶ αἰτήματα, αὐτόπιστα, καὶ ὁμόλογα, καὶ δοθῆναι ῥᾴδια. Τὰς δ' ἀποδείξεις τὴν μὲν ὕλην ἀληθεύουσας, τὸ δὲ εἶδος ἀμέμπτους, ἢ πρὸς τοιόνδε εἶδος ῥᾷστα ἀνακαλεῖσθαι δυναμένας· τὰ δὲ πορίσματα καὶ αὐτόματα παρακολουθοῦντα, καὶ λόγου ἄξια. Τὰ δὲ σχολιάσματα τέως μὴ περιττὰ, μηδ' ἀπροσφυῶς ἔχοντα, μηδὲ ἀπὸ τῶν ὡς πορρωτάτω τῆς προκειμένης πραγματείας μεταπεμπόμενα.

ΚΑΝΩΝ Ε'.

§. Θιζ. „Καὶ ἐν ὁρισμοῖς δὲ, καὶ διαιρέσεσι, καὶ τοῖς λοι-„ποῖς, ἃ καταλέλεκται ἐπὶ τοῦ προσεχῶς ἀνωτέρω Κανόνος, „τηρείσθω μὲν, ὡς ἂν οἷόν τε ᾖ, ὁ τῆς κατὰ φύσιν τάξεως ὅρος· „ἀθετείσθω δὲ ταύτης μὴ προχωρούσης, καὶ ὁ κατὰ Διδασ-„καλίαν προκρινέσθω, ὡς ἀείποτε πρότερα τάττεσθαι τῷ λόγῳ, „δι' ὧν ἡ τῶν ἐφεξῆς κατάληψις ῥᾴων ἀπαντᾷ καὶ ἀπονωτέ-„ρα. Ὃ καὶ περὶ τῶν καθ' ὁλοσχερῆ τὴν πραγματείαν μειζό-„νων μερῶν προδιηγόρευται ἀνωτέρω (Καν. Α'.).

Οἷον ὁτὲ μὲν Ὁρισμὸς ἡγήσεται διαιρέσεως (§. ρξέ.), ὁτὲ δ' ἀνάπαλιν (§. ρξϛ'.). Καὶ τῶν ὁρισμῶν ἄλλος ἄλλου πρότερος ἂν ταχθείη. Οὗ τὸ ὁριστὸν δηλονότι ἐν τῷ ὁριστικῷ λόγῳ θατέρου παραλαμβάνεται. Ἐκκλίνειν δὲ δεῖ τὸ διάλληλον (§. ρμβ'.). Ἀλλὰ καὶ τῶν Ἀξιωμάτων τὰ μὲν πρότερα ἂν εἴη, τὰ δέπως τῇ τάξει δεύτερα· οἷον τὸ ἐὰν τοῖς ἴσοις ἴσα προσθῇς κξ. τοῦ ἐὰν ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς κξ. προτεροῦν ἔοικεν (1). Καὶ

 τῶν-

(1) Διὸ καὶ τούτων τὸ Α'. ὑποτιθεὶς ὁ Μαθηματικὸς Ῥοβερβάλιος, δεικνύειν ἐπεχειρεῖ τὸ Β'. ὑπὲρ οὗ καὶ σκώμματα παρὰ τῶν ἐν Παρισίοις Ἀκαδημαϊκῶν ἀπηνέγκατο, τῶν ἤτοι ἄμφω ἀκινήτους δεῖν τὰς ἀρχὰς ἐᾷν διατεινομένων, ἢ γοῦν ἐκ τοῦ ἴσου ἑκατέραν πειρᾶσθαι κατασκευάζειν. Οὐ μὴν ἀλλ' οὐχ οὕτως ἦν, ὁ περὶ ταῦτα δεινὸς Λεϊβνίτ. γινώσκων, αἰτίας δὲ τῆς περὶ τοῦ-

τῶνγε Αἰτημάτων τὸ ἀγαγεῖν εὐθεῖαν τοῦ προαγαγεῖν οἶμαι πρότερον, ἢ τοῦ περὶ αὐτὴν θατέρῳ πέρατι στηριζομένην περιαγαγεῖν, καὶ κύκλον γράψαι. Ἀλλὰ μικρὰ ταῦτα πρόσγε τὴν τῶν προτάσεων διάταξιν παραβαλλόμενα· διὸ περὶ αὐτὰς μάλιστα τῇ δυνατῇ προσοχῇ χρηστέον· τὸ γὰρ τούτων τὰς ἁπλουστέρας τῶν ἧττον ἁπλῶν προτάσσειν, καὶ τὰς ἀορίστους πρὸ τῶν ὡρισμένων, τῆς κατὰ φύσιν τῶν νοουμένων τάξεως ἀπαιτεῖν ἐοικείας, αἰνεῖν ὅμως τήνδε τὴν τάξιν τὰ πολλὰ ἐπειγόμεθα. Οἷον τὸ ἁπλῶς ἐκ τριῶν εὐθειῶν, ὧν αἱ δύω τῆς λοιπῆς μείζους πάντῃ μεταλαμβανόμεναι, ἁπλούστερόν πως ἐστὶ, καὶ μᾶλλον ἀορισταῖνον, τοῦ ἐξ ἴσων τρίγωνον συστήσασθαι· ἀλλὰ τοῦτο ἐκείνου προλαβεῖν ἡ τῆς διδασκαλίας μέθοδος τὸν Στοιχειωτὴν ἀνέπεισεν. Ὡσαύτως δὲ καὶ τὰς παραπλησιαζούσας ἀλλήλαις ἔγγιστα τιθέναι προτάσεις, εὐμεθόδου διδασκαλίας εἶναι δοκεῖ. Ἀλλὰ τὴν ιστ΄. καὶ τὴν λβ΄. τοῦ Α΄. τῶν Στοιχ. παραπλησιωτάτας οὔσας ὁ Γεωμέτρης διέστησεν. Ἦν γὰρ ἄρα διὰ τῆς τῶν παραλλήλων θεωρίας μεταξὺ γενομένης, ἀρίστω τε καὶ εὐχερεστάτην ἡ λβ΄. τὴν ἀπόδειξιν ἀποισομένη (1). Τελευταῖον δὲ καὶ τῶν πορισμάτων τῶν ἐκ τῆς αὐτῆς προτάσεως ἠρτημένων ἄλλο ἄλλῳ ἐπιτακτέον, ἢ ὑποτακτέον, ὧν ἂν πρὸς τὴν ἐπιφορὰν ἐπιῤῥέῃ τὴν θατέρου, ἐκεῖνο πρότερον ἀεὶ συναπτόμενον. Συνελόντι οὖν ἀείποτε καὶ ἐπὶ πάντων μέθοδος Διδασκαλίας ἀρίστη τὸ δι' ἐκείνων πρότερον ἰέναι, δι' ὧν ἡ ἐπὶ τὰ ἄλλα ὁδὸς λειοτέρα ἔσται καὶ ἀπονωτέρα.

ΚΑΝΩΝ ϛ΄.

§. Θιή. „Ἐξέσται μὲν τὰς ὑποθέσεις κατ' ἀρχὰς τῆς „πραγματείας ὑφ' ἑνὶ τμήματι προεκτιθέναι ἅμα πάσας, καὶ „πρὸς αὐτὰς ἑξῆς ὅπη παρείκοι τὸν ἐντυγχάνοντα παραπέμ„πειν. Ἐξέσται δὲ, καὶ πρὸ ἑκάστου ἀμέσως τῶν εἰς ἃ διῄρηται βιβλίων

το ἠφίει τὸν Ἄνδρα, ἁπλούστερόντι κρίνων εἶναι πρόσθεσιν ἀφαιρέσεως. Ἐν τοῖς πρὸς τὰ περὶ Νοῦ τοῦ Λωκ. Βιβλ. Δ΄. Κεφ. Ζ΄. §. 1.

(1) Ἔντι καὶ τοῦτο τῶν πολλῶν ἢν ἃ ὁ τὴν τοῦ νοεῖν Τέχνην συγγράψας, τοῦ Εὐκλείδου καταμέμφεται (Τμήμ. Δ΄. Κεφ. θ΄. Ἐλλείμ. ε΄.). Ἀλλ' ὁ Βαταβὸς ΣΓραβεζάνδιος, τοὐναντίον οἴεται (ἐν Στοιχ. τῆς Φιλοσ. Ἀριθμ. 1102.) εὐλόγως (φήσας) τὴν ιστ΄. καὶ λβ΄. τοῦ Α΄. τῶν Στοιχείων Εὐκλείδης διέστησε, καίτοι λόγος ἐφ' ἑκατέρας περὶ τῆς ἐκτὸς τοῦ τριγώνου γωνίας ὑπόκειται.

„βιβλίων ἡ πραγματεία, προλαβεῖν τὰς ἐπιβαλλέσας. Ἐξέ„σας δὲ τέως καὶ πρὸ ἑκάστου τῶν Κεφαλαίων, τὰς τούτῳ προ„σηκέσας προτάσεις· Μηδὲν διαφέρον καθ' ὁντινα δὴ τῶν εἰ„ρημένων τρόπων αἱ ἀρχαὶ προδιαταχθεῖεν, εἰ μόνον προϋπο„τεθεῖθαι φθάσειαν, ὡς ἂν δέοντι προειλημμένας εἶναι πρὸ „αὐτῆς τῆς χρήσεως.

Ὑποθέσεις λέγω (§. υθ'. κξ'.) τὰς ἀρχὰς γινομένας τῶν ἀποδείξεων (§. ωγ' Σημ.), ἐφ' ἃς ἀναίγειν ἀξιῶ καὶ τὰς προαποδειχθείσας προτάσεις (§. Αὐτ.). Τὰς τοίνυν ὑποθέσεις ταύτας, οἱ μὲν εἰς ἓν συλλέγεσι τμῆμα, περὶ τῶν ἀρχῶν αὐτὸ τῆς ἐν χερσὶν αὐτοῖς ἕξης πραγματείας ἐπιγραφόμενοι (1)· οἱ δὲ πρὸ ἑκάστε τμήματος· οἱ δὲ καὶ πρὸ τῶν Κεφαλαίων αὐτῶν τῶν εἰδικωτέρων τὰς πρὸς τὸ παρὸν ἑσομένας ἐν χρήσει παραλαμβάνειν εἰώθασιν. Ἔσιν ἓν τὴν τῶν ἀρχῶν ἔκθεσιν προοικονομεῖν ἄλλοτε ἄλλως. Ἔοικε δὲ, τῶν περὶ ἃ ὁ λόγος ἐπιστημοτέραν τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων, ἄμεινον ἔχειν τὰς ἀρχὰς ἑκάστε ἐκ τῆ σύνεγγυς ἀμέσως προτάσεσθαι· Ἵνα δὴ μὴ παρὰ μὲν τὸ ποικίλον τῶν καθ' ὅλα πολλὴν διαφορὰν παραλλαττόντων, ἀσυναρμοξός τε γίγνοιτο καὶ ἀσυναρτητος ἡ τῆς διδασκαλίας ὑφὴ, παρὰ δὲ τὸ δυσπερίληπτον, καὶ δυσμνημόνευτος.

(1) Οὕτως Οὐίλφιος σὺν Ἀριθμητ. καὶ Γεωμετρ. Στοιχ. Ἰαὶ Α' Ἰῶν καθ' ἑκάτερα Κεφαλαίων, ἐκ τῶν ὑποθέσεων συνεκρότησεν. Μεταβαίνων δὲ ἀπὸ τῶν Ἐπιπέδων ἐπὶ Ἰὰ στερεὰ, ἐν Β'. Μέρ. Ἰῶν Γεωμέτρ. ὁρισμὰς αὖθις προτάσσει τὰς ἐπιβάλλοντας. Ὁ δὲ Εὐκλείδης ἀπάντων συλλήβδιν Ἰῶν Ἐπιπέδων τὰς ὑποθέσεις ἰῷ προειληφὼς, πρὸ ἑνὸς ἑκάστε δὲ τῶν Στοιχείων προέταξε τὰ ἀνήκοντα. Οἱ δὲ καθ' ἡμᾶς φιλοσοφέντες σὺν Φυσικοῖς ὑπομνήμασι, καὶ ἄλλοις, πρὸ παντὸς σχεδὸν Κεφαλαίου προκαταβάλλειν εἰώθασι Ἰὰς ὁρισμὰς οἷς ἐφεξῆς κατὰ τὰς ἀποδείξεις προχρήσονται, καλῶς ποιοῦντες. Τῷ γὰρ ὄντι, ὡς ἄριστα Ἀρισ. (Ὑστέρ. Ἀναλ. Βιβλ. Β'. Κεφ. ΙΖ'.) „Πᾶσαι αἱ Ἐπι„στῆμαι διὰ ὁρισμῶν γίνονται. Ταῦτα δὲ „καὶ ἡμῖν ἐν τοῖς περὶ Συλλογισ. Τέχν. ἀπὸ §. χιβ'. ἄχρι §. χκζ'.) τὰς ὑποθέσεις προτεταχόσι, διὰ ὧν τὰ κοινῇ παντὶ συλλογισμῷ θεωρέμενα ἀποδειχθείη, σὺν τοῖς Εἰδικωτέροις αὖθις τῶν Συλλογισ. Σχημάτ. Θεωρήμασιν, ἄλλαι ἀρχαὶ προτετάχαται (§. χξε'. χξζ'.). Καὶ ἐφ' ἑκάστε δὲ Κεφαλ. καινοῦ τινος παρεισαγομένου σπέρματος, ἢ τῷ λόγῳ ἀρχὴ ἐκ ἀλλαχόθεν ἐνίσατο, ἢ ἐκ τῶν ὁρισμῶν, καὶ τῶν διαιρέσεων.

ΚΑΝΩΝ Ζ'.

§. Ιθ'. „Μηδέποτε ἀποδεικνῦντας ὁτιῶν, ἐπέκεινα τῶν δι-„καίων ὅρων παρεξάγειν τὸ ἀποδειχθέν· τετέχι μηδὲν πλέον „ἀποδεδεῖχθαι οἴεσθαι, ἢ τὸς ἄλλος πείθειν, ὑπὲρ ὃ τῷ ὄντι „ἀποδέδεικται.

Ἀπότε τῆς σκιᾶς τῆς γῆς, ἣν ἐν τῇ Σελήνῃ πάρεσι καθε-ρᾶν ἰσαμένης ἐκλείψεως· ἔτι δὲ μὴν καὶ ἀπὸ τῶν κατὰ μέρος, ὧν ἀφ' ἡλίε ἐπιδέχεται ἡ γῆ φωτισμῶν, εἴτις τὸ σφαιροειδὲς τῆς γῆς ἀποδεδειχὼς, τελεωτάτιν ἔσαν σφαῖραν τὸ ἀπὸ τῆ-δε τὴν γῆν πρεσβύοι, εἰς ἀπάτιν σαφῶς ἂν αὐτός τε γένοιτο κατενεχθεὶς, καὶ τὸς ἄλλος ὠθέμενος. Οἱ γὰρ προσληφθέν-τες λόγοι, σφαιροειδῆ τὴν γῆν ἀποφαίνειν ἔχοντες, ἔπω ταύ-τιν εἴγε καὶ σφαῖραν ἀκριβῆ, ἢ κρομμυοειδῆ, ἢ ὠοειδῆπως τὸ χῆμα δοξαξέον ἐδήλωσαν.

Διὰ τὸν αὐτὸν δὲ λόγον ἀφεκτέον, καὶ τὰ ἐξ ὑποθέσεως κατασκοαζόμενα, μὴ ἁπλῶς τε καὶ ἀπολύτως ἔπειτα δογ-ματίζειν, καὶ ταῦτα ἀραρότως κατέχειν, (Προδι. Β'. §. κ') εἰμὴ πρότερον, δι' ἀναντιρρήτων κατασκοαθεῖσα λόγων, εἰς θέσιν εἶναι ἢ τὸ πρὶν ὑπόθεσις ἐκνικήσειεν (§. τπ'.).

ΚΑΝΩΝ Η'.

§. Κ'. „Ἐν διαλόγοις, εἰτ' ἔν τι εἴδει προσλαλιᾶς τὰ Ζη-„τέμενα πολλάκις ἐκτίθεσθαι εἴωθεν, ἐφ' ᾧ ῥᾴδιον τῇ διασολῇ „τῶν προσδιαλεγομένων ἀναφαίνεσθαι τῶντε περὶ τὲ αὐτὲ φε-„ρομένων ὑπολήψεων τὸ διάφορον, καὶ τὸν τόνον τῶν ἐπὶ κα-τασκοῇ παρατιθεμένων λόγων, καὶ τῶν ἀνθυποφερομένων „ἀπορημάτων τὴν ἰσχύν, καὶ τὸ κράτος τῆς τέτων αὐτῶν ἀνα-σκοῆς τε καὶ ἐπιλύσεως.

Μέρη ἓν τῶν ἔτως εἰωθότων προβάλλεσθαι Ζητημάτων, Α'. Θέσις. Β'. Ἔκθεσις. Γ'. Κατάθεσις· εἴτ' ἔν ἡ τῆς Θέσεως κατασκοή Δ'. Ἀντίθεσις. Ε'. Λύσις.

Τῇ τοιᾷδε δὴ τὰ πλεῖστα Μεθόδῳ χρησάμενοι Φέρονται οἱ καλέμενοι Σχολαστικοί. Ἦν ἔτιγε μεμπτέον ἡμῖν δοκεῖ, εἰ μὴ εἰς Λογομαχίας περιτὰς ἐξοκέλλοι καὶ ἀνηνύτες, διασώζοι δὲ τὴν ἐναπαιτεμένιν ταῖς γνησίαις ἀποδείξεσι πρόοδον διὰ τῶν σαφῶν ἀεὶ καὶ ὁμολογεμένων πορδομένη ἐπὶ τὰ κατασκοῆς καὶ δείξεως χρήζοντα. Καὶ εἰ ἐπὶ τὰς ἀντιπιπτέσας τῶν ἀπο-

ἀποριῶν ἀπαντῆσαι δεῆσαν, μὴ ἐπὶ διαιρέσεις ἐκ οἶδ' ἅς τινας, καὶ ἐπιδιαιρέσεις παντὸς νοῦ κενὰς καταφεύγοι καὶ φρούδας, λόγοις δὲ προσχρῷτο τοῖς εὐτονωτάτοις, οἷς ἂν τὸ ἀχλυῶδες καὶ ζοφερὸν τῆς ἀγνοίας, οἷα φωτὸς δαψιλοῦς ἐπιλάμψει, αὐτίκα μάλα διαλύοιτο, καὶ εἰς τὸ μηδὲν οἴχοιτο.

ΚΑΝΩΝ Θ'.

§. Θκά. „Ταυτολογεῖν ἐν οἱᾳδήποτε λόγου ἰδέᾳ ὀχληρὸν καὶ „ἀμέθοδον, ἐν δὲ τοῖς κατ' ἐπιστήμην πραγματευομένοις, καὶ „λίαν ἄμουσον. Πλὴν ἀλλ' ἐπιτρέπει πολλάκις καὶ φιλοσο„φία τὰ ἐν ἄλλοις εἰρημένα ἐπανακεφαλαιοῦν, καὶ ἀναπεμ„πάζεσθαι, τὴν τούτων μνήμην οἷον ἀναζωπυροῦντας, καὶ „μάλιστα εἰ πρὸς πίστιν ὁπωσοῦν τῶν ἑξῆς εἰρησομένων ἐστὶ συμ„βαλλόμενα.

ΚΑΝΩΝ Ι'.

§. Θκβ'. „Δεῖ δὲ καὶ τοῦ ἀπὸ τῶν παραδειγμάτων βοη„θήματος, ἐπὶ τῶν διδασκομένων πολλάκις, ἵν' ὡς ἐν εἰκόσι „προβαλλομένοις εὐμαρέστερον ἔχοιεν οἱ ἐντυγχάνοντες παρα„κολουθεῖν. Ἔστω δὲ τὰ εἰς δεῖγμα προχειριζόμενα τῶν προσ„φυεστάτων, ὡς τάγε ἀλλοτρίως ἔχοντα, καὶ συσκιάσαιεν „μᾶλλον τὸ λεχθὲν, πολλοῦγε δέον τοῦ τὴν ἀπαιτουμένην ἐμ„ποιῆσαι σαφήνειαν.

ΚΑΝΩΝ ΙΑ'.

§. Θκγ'. „Καὶ τοῦ σαφοῦς δὲ τῆς ἑρμηνείας πρὸ πάντων „τῷ ἐγχειροῦντι τὴν διδασκαλίαν μελέτω. Μελήσει δὲ τῆς „τῶν ἐντυγχανόντων ὠφελείας πλείονα λόγον ποιουμένῳ, ἢ „ὅπως κενὴν αὐτὸς δόξαν ἐκ τῶν λεγομένων ἢ γραφομένων „καρπώσαιτο. Οὐκοῦν μηδαμῇ μηδαμοῦ ὅρῳ κεχρήσθω, ὃς ἂν „μὴ καθ' ἑαυτὸν σαφῶς παρέχοι συνιδεῖν τὸ δηλούμενον· ἢ „γοῦν, ἀλλὰ δι' ὁρισμοῦ ὀνοματώδους τὴν ἐκ τοῦ ὀνόματος δυσχέ„ρειαν περιαιρείτω.

Καὶ γὰρ ἐξ ὅρων μὲν αἱ προτάσεις, ἐκ δὲ προτάσεων αἱ ἀποδείξεις, καὶ ἐξ ἀποδείξεων δὲ ἡ κατ' ἐπιστήμην γνῶσις ἐγγίνεται. Ὡς εἴπερ ἀπὸ πρώτων, οὕτω φᾶναι, πηγῶν τοῖς λεγομένοις ἀχλὺς ἐπιχέοιτο, ἑξῆς εἰς μεῖζον τὸ κακὸν προϊὸν,

ἀντ'

ἀντ' Ἐπιςήμης, ἥτις γνῶσις εἶναι θέλει ἐναργής τε καὶ ἀδιάπταιςος, δόκησίντινα γνώσεως ἀσαφοῦς παρέςαι λαβεῖν, καὶ πλείςῳ τῷ ἀπὸ τῆς ἀπάτης θολερῷ κράματι μεμιγμένης.

ΚΑΝΩΝ ΙΒ'.

§. Θκδ'. „Τελευταῖον δὲ καὶ τοῖς παιδευομένοις ἡ τῆς δι„δασκαλίας μέθοδος, τόγε παρ' ἑαυτῶν εἰσφέρειν ἐντέλλεται, „Νοῦν ἡσύχιόντε καὶ εἰρηναῖον, τρόπον πειθήνιον καὶ εὐά„γωγον, προσοχὴν ἀτενῆ καὶ ἀπερίσπαςον, μελέτην πυκνὴν „καὶ σπουδαίαν, καὶ ταύτην ἐμμελῶς τε καὶ εὐμεθόδως συ„νιςαμένην, πεῦσιν αἰδήμονα καὶ ἀνύπουλον, ἀπάντησιν ἀφι„λότιμον καὶ ἀκόμπαςον. Καὶ ὅλως ψυχῆς ἐπιεικῶς φιλο„σόφου παρασκευὴν, καὶ διάθεσιν τὴν προσήκουσαν (1). Ἐκ „γὰρ τούτων ἁπάντων, ἐκ πολλῶν οἷον ἀριθμὸν εἰς ἕνα καιρὸν ἡκόντων, ὡς ἐν συμφωνίᾳ τινὶ καὶ ἁρμονίᾳ ἡ κατὰ τὴν Ἕξιν τελειότης κατὰ βραχὺ περιγίνεται, καὶ ἡ ἐπὶ τὴν ζητουμένην τέως ἐπιςήμην ἀνάβασις ΘΕΟΥ συναιρομένου προάγεται καὶ συντελεῖται.

(1) Μέτιθι Προδιατριβ. Β'. τὰ ἀπὸ §. κβ'. ἄχρι τέλους.

ΚΕΦ.

ΚΕΦ. ΠΕΜΠΤΟΝ.

Περὶ Μεθόδε τῆς κατ' Ἀντίθεσιν

Ἤτοι

Προσδιαλεκτικῆς.

§. Θκέ.

Τιὼ σὺ ταῖς συνισαμέναις Διαλέξεσιν ἐμπειρίαν, καθ' ἣν τοῖς εἰς τόδε ὑποτεθεῖσι χρώμενοι κανόσι καὶ τρόποις, ἤτοι δόγματος ἐπιχειρεῦμεν ἀλλοτρίε καὶ ἀτόπε δοκεῦντος τῇ αἱναιρέσει, ἢ τε οἰκείε καὶ ὡς ἀληθες ἡμῖν πρεσβευομένε προϊσάμενοι, τὰ παρὰ τῶν ἀντιδοξέντων, καθιέμενα τῶν ἐπιχειρημάτων τοξεύματα διακρέεσθαι, καὶ τέτων τιὼ ὁρμιὼ ὀξόχοις ἀπαντήσεσιν ὑπεκλύεντε καὶ θραύειν ἀγωνιζόμεθα, ταύτιω μέθοδον Ἀντιθέσεως, καὶ Προσδιαλεκτικιὼ καλεῖν ἀξιεμεν. Τὸ μὲν δηλονότι διὰ τιὼ ἐν λόγοις διαμάχιω, τὸ δὲ διὰ τιὼ ἐν ταῖς καθισαμέναις ζητηματικαῖς συνεσίαιστε καὶ ἀντδξεσι χρῆσιν, ἃς Διαλέξεις κοινῇ προσειρήκασι.

§. Θκς. Δυσὶ δὲ τρόποις τὲς διαφερομένες ἀντυγχάνειν ἀλλήλοις σύνηθες. Ἢ γὰρ κατὰ πεῦσιν καὶ ἀπάντησιν, τῇ μὲν τὰ πύσματα προτείνοντος, τῇ δ' ἀποκρινομένῳ πρὸς αὐτὰ, οἷα δὴ Σωκράτης καὶ Πλάτων τὰς πρὸς τὲς ἀντυγχάνοντας ποιεῖσθαι συνεσίας εἰώθεσαν· ἢ ἐν εἴδει Συλλογισμῶντε καὶ Ἐνθυμημάτων, τῇ μὲν ἐνισαμένου τῇ δόξῃ περὶ ἧς ὁ λόγος, τῇ δὲ τὰς ἐπαγομένας ἐνστάσεις, ὡς οἷοντε ἐπιλύοντος, ὅ δὴ τοῖς ἐκ τῆς Στοᾶς, καὶ τοῖς ἐκ τῇ Περιπάτῳ μάλισα ἠκρίβωτο, διαφερόντως δ' ἔπειτα, κακοζήλως μέντοι, τοῖς Σχολασικοῖς ὕσερον ἄχρι καὶ διαπληκτισμῶν πεφιλοτίμητο. Τέτων δὴ τιὼ μὲν Ἐρωτηματικιὼ ἄντις, ἢ πύσικιὼ ὀνομάσειε, τιὼ δὲ Συλλογισικὴν ἢ ἐπιχειρηματικὴν, ἀπὸ τῶν προτεινόντων, ὡς παραιτίων σὺ τῇ συζητήσει, καὶ προτέρων προσάψας τὄνομα. Ἐξ ἀμφοῖν δὲ τῶν συζητέντων ἡ μὲν Διαλόγε μέθοδος, ἡ δὲ Διαλέξεως προσφυῶς οἶμαι εἰρήσεται.

§. Θκζ. Δύω δὲ τὲς ὁμόσε χωρεῦντας ἐπὶ παντὸς Διαλόγε, ἢ Διαλέξεως εἶναι εἰκός. Ἐπὶ παντὸς γὰρ τῇ προκειμένε, ἤτοι

φᾶναι

φάναι ἐστὶν, ἢ ἀποφάναι. Τῶν δὲ θάτερον μὲν ὁ τῆς δόξης προϊσάμενος αἱρεῖται, θάτερον δὲ ὁ ἐπεμβαίνων, καὶ ἀνασκάσας ἐπιχειρῶν. Τῶν γὰρ λοιπῶν, οἱ μὲν παιδαίας χάριν φιλομαθείας παρεισιάζοντες, οἱ δὲ καὶ ὑπὸ περιεργείας ἀφιλοσόφε κινέμενοι· κἂν τις δὲ καὶ τῶν ἀξιώσει τύχοι διαφερόντων, ᾧ (κατὰ τὸ ἐπικρατῆν παρὰ τοῖς Σχολαστικοῖς Λατίνοις ἔθος) τὰ τῆς διατριβῆς ἀνατιθοῖτο, ἕτοι ἐξώτερικοίπως ἂν οἱ πάντες κληθεῖεν, μηδὲν ἐκτὸς τῆ ἀκροᾶσθαι, καὶ τὰς ψήφες διαμερίζεσθαι, κοινωνοῦντες τῆς σάσεως.

§. Θκή. Ἀμφοῖν τοίνιν τοῖτε προϊσαμένω καὶ τῷ προσδιαλεγομένω, κοινῆ ὀφείλεται τάδε.

Α΄. Ἡ περὶ τὸ περὶ ὃ ὁ λόγος προαπαιτεμένη παρασκδὴ, καὶ ἡ τῶν εἰς αὐτὸ τεινόντων ἀκριβὴς εἴδησις· Ὡς ἐ δέον περὶ ἅτις ἕπω τρίβων κατέση δι ἐμμελῆς ἀσκήσεως καὶ μελέτης, τὰ τυχόντα βατταρίζειν προπετδόμενον, καὶ ὅττικεν ἐπ' ἀκαιρίμαν γλῶτταν ἐπέλθοι θρασέως ἀποχρέμπτεσθαι. Διδασκόμενον γὰρ ἐκπυθάνεσθαι τὰ μὴ ξυνετὰ, ἐπαινετόν· τάχα γὰρ ἐδ' ἀμαθίᾳ κρύπτειν ἄμεινον, τὸ τῆ Ἡρακλείτε. Παρεπιδεικνύμενον δὲ τιὼ ἐπισήμιω ὧν ἕπω διηκριβωκὼς ἐστὶ τιὼ γνῶσιν, τῆς περὶ αὐτὰ διατριβῆς καὶ συζητήσεως κατατολμᾶν, νηπιῶδες, καὶ καταγέλασον, καὶ αἰσχρᾶς ἐς ὑπερβολιὼ ἀμαθίας σιὼ ἀπονοίᾳ μεμιγμένης καὶ θράσει ἐνδεικτικόν.

§. Θκθ΄. Β΄. Οὐ καλὸν πεπαιδδμένον ἐν ἀπαιδδτοις διαλέγεσθαι, ὥσπερ ἐδὲ νήφοντα μεθύσιν, ἧπε ὀρθῶς πάνυ Φιλισίων παραινεῖ.

§. Θλ΄. Γ΄. Τιὼ γλῶτταν μὴ προτρέχειν ἐᾶν τῆ Νῆ, ὡς ὁ Χίλων φησί. Τῆτο γὰρ ἐπὶ παντὸς λέγε, ἐξόχως δὲ ἐπὶ τῆ ἐρισικώτερον καθισαμένε σφαλερὸν λίαν καὶ ἀμαρτῶδες.

§. Θλά. Δ΄. Ἡσύχω ψυχῆ καὶ διαθέσει εἰρικιάτε καὶ ἀκύμονι ἐπὶ τὰς Διαλέξεις ἥκειν χρεών, μὴ ὑπερεθιζομένες, μηδ' ἐκ πάθες τινὸς τὸν Νῆν προκατέχοντος ὑποθολεμένες. Καὶ τὸν Ἀνταγωνισιὼ δὲ ἔτως ἀξιῶν ἔχειν ἐν παραπλησίω τῷ κατασήματι. Οἴμοι κασίγνητε! Ὄμμα σὸν ταράσσεται, ἐπιλέγοντας τὸ τῆ Χρυσίππε, τοῖς ἐμπαθέσερον ἀντυγχάνεσι. Δυοῖν γὰρ λεγόντοιν, θατέρε θυμεμένου, ἢ ἑτέρω τινὶ πάθει ὑποκινεμένε, κἂν ταῖς Διαλέξεσιν ἐχ ἥκιστα, ὁ μὴ τοῖς λόγοις ἀντιτείνων σοφώτερος.

§. Θλβ΄.

§. Ϡλβ'. Ε'. Ἐριδαντέωντε (τό τῦ Δημοκρίτυ) καὶ ἱμαντελικτέων λόγυς ἀφετέον. Τῶν δὲ Σοφισμάτων ἀπεχομένυς, καὶ τὸ σωμυλοῦσθαι καὶ ἐς ἄγαν φιλοκαλεῖν τινὶ λέξιν, παραιτεῖσθαι δεῖ ἐν ταῖς Διαλέξεσιν ὡς περιττὸν καὶ μειρακιώδες, καὶ ἀπειροκαλον, αὐτοῖς ὅλον τὸν νῶν ἐμφυομένυς τοῖς πράγμασι περὶ ἃ ἡ ζήτησις.

§. Ϡλγ'. ς'. Τῶν Συζητέντων θάτερον θατέρυ τῶν μορίων τῆς ἀντιφάσεως δέον ἀντέχεσθαι (§. Ϡκζ'.). Οἷον τῦ προϊσαμένυ τινὶ γῆν, φέρε, κινεῖσθαι δογματίζοντος, ὁ ἀνισάμενος ὅτι ἠ κινεῖται διατείνεσθαι ὀφείλει, ἢ καὶ ἀνάπαλιν.

§. Ϡλδ'. Ζ'. Συνάδειν δὲ πρὸ παντὸς ἀμφοτέρυς ἐπάναγκες, περὶ τὰς ἐννοίας τῶν λεγομένων, καὶ τινὶ τῦ ζητυμένυ δύναμιν ἐπ' ἀκριβὲς κοινῆ (§. Ϡβ'.) προειληφέναι. Οἷον ἐπὶ τῦ τεθνάτος ἐχὶ τῶ μὲν, ἣν αὐτοὶ οἰκεῖμεν ὁλικῶς τινὶ γλῶ νοητέον, τῷ δὲ λίθον φέρ' εἰπεῖν, ἢ βῶλον γῆς, ὃν ἄντις καὶ σφενδόνη χάσειε· γελοῖον γάρ. Ὡσαύτως καὶ ἡ κατηγορυμένη κίνησις, ἀντὶ τῆς κατὰ τόπον περιφορᾶς, ἢ τῆς περιδινήσεως ἑκατέρω ἐσὶν ἐκληπτέα. Εἰ γὰρ τῷ μὲν ἕτω νοημένη τύχοι, τῷ δ' ἄλλως, ἀντὶ τῶν κατὰ τὰς φυσικὰς ἀλλοιώσεις, καὶ φθορὰς, καὶ γενέσεις λεγομένων κινήσεων, ἢ τῶν ἐκ βίας, ἢ τέχνης ἢ ἄλλως ὁπωσῦν τοῖς μέρεσι τῆς γῆς συμβαινόντων κινημάτων, ἀδ' ἀντιφρονῦντες κυρίως ἂν εἶεν ἕτως ὑπολαμβάνοντες ἕτοι, ἀδ' ἄντις ὅλως συσαιη ζήτησις πρὸς ἀλλήλυς.

§. Ϡλε'. Η'. Ὁ μὲν ἓν Ἐνισάμενος πρὸ πάντων καλῶς ποιῶν τινὶ Θέσιν ἐκτιθέσθω ἧς ποθεῖ καθάψασθαι, καὶ σαφῶς διερμηνευέτω, τὸν νῶν αὐτῆς ἀναπτύσσων τὸν γνησιώτατον, Ὁ δὲ Προϊσάμενος, κατὰ νῶν τὸν ἴδιον ἐκτεθεῖσαν ἀποδεχέσθω, παρωδῦσαν δὲ τινὶ γινομένῳ ἔκθεσιν ἐλεγχέτω, ἐπίτε τὸ κυριώτατον τῆς ἐκδοχῆς ἀνακαλείτω.

§. Ϡλς'. Θ'. Εἴτι τῷ προσδιαλεξομένῳ ἀπαντήσειεν ἐπὶ τῆς Θέσεως δυσξύμβλητον, τέτευχε τὸν προϊσάμενον τινὶ ἔκθεσιν αἰτεῖντε δίκαιος ἂν εἴη, καὶ ἀπαιτεῖν. Τῆ δὲ τινὶ διασάφησιν ἀπανηναμένε, καὶ διασύραι ἂν εἰκότως τινὶ δόξαν, ψόφον διακενῆς ἠχῆντα καλέσας, καὶ τὸ προσδιαλέξασθαι παραιτήσαιτο. Τῷ δὲ ἐνισαμένῳ ἰδία τὰ ἐξῆς τηρεῖσθω.

§. Ϡλζ'. Α'. Τινὶ προσήκεσαν καὶ ἀξιόχρεων πρόσρησιν τῷ προϊσαμένῳ ἀποδιδῦς, ἀπὸ τῦ ἑκάτε Συλλογισμῦ ὁμόσε χωρείτω ἀρξάμενος· λέγω δὲ ἕκατον Συνθέσει τὸν πρῶτον ὄντα

τῷ

τῇ Ἀναλύσει (§. ωγβ'. κξ.). Διὶ ἐκείνε γὰρ τὸ ἀντιφάσκον τῇ Θέσει μόριον ἐκ πρώτης ἐμβολῆς αὐτίκα σωσάπτεται. Οἷον ἐπὶ προκειμένη Θέσει, ὅτι τὰ ἐράνια τῶν σωμάτων φθορᾶς ἐστὶ κρεῖττονα. Οὕτω πως συλλογιεῖται.

„Οὐδὲν κινητὸν φθορᾶς ἐστὶ κρεῖττον.
„Ἀλλ. τὰ ἐράνια πάντα σώματα ἐστὶ κινητά.
„Οὐδὲν ἄρα τῶν κατ' ἐρανὸν σωμάτων κτ.

Ἀλλὰ γὰρ εἴτις διὰ πόσεων ἐπιχειρήσειε τλιὼ ἀνασκολιὼ, ἀπὸ τῆ πρώτη Συνθέσει συλλογισμῆ ἐμβαλεῖ τῷ λόγῳ, ὃς ἔχατος ἐστὶν Ἀναλύσει (§. αὐτ.), καὶ τὰς ἐν αὐτῷ προκειμένας πόσεται τὸν ἀποκρινόμενον, ἐφεξῆς δὲ τὰς ἐκ τῶν ὁμολογεμένων ἀκολεθίας ὑποσυνάψει. ἄχρις ἓ ἐπὶ τὸ ἀντιπίπτον ἀμέσως τῇ τῆ ἀπαντῶντος δόξῃ ἀφίκοιτο.

§. Ὑλή. Β'. Ἡ μὲν Α'. Ἀντίθεσις οἱονεὶ πρώτη τις ἐμβολὴ ἔσαι τῷ προσδιαλεγομένῳ. Ἡ δὲ Β'. Ἐπαντίθεσις καὶ ἐπεμβολὴ, ἡ ἀπόδειξις τετέχι τῆς ὑπὸ τῆ ἀπαντήσαντος ἀποκρεθείσης προτάσεως. Ἡ δὲ Γ'. Προσεπαντίθεσις καὶ προσεπεμβολή. Καὶ ἑξῆς ὁμοίως. Ἀεὶ δὲ διὰ τῆ ἐπαγομένε ἐπιχειρήματος τλιὼ ἦν ὁ προϊσάμενος ἐκ ἀποδέχεται πρότασιν, ὡς συμπέρασμα ἐπὶ λέξεως ὀφείλει ὑποσωάπτειν. Οἷον ἐὰν τὴν μείζονα τῆς ἀνωτέρω ἀντιθέσεως ἐκεῖνος ἀποφάσκῃ, διὶ ἐπαντιθέσεως ὁ ἀνισάμενος ἔτως ἐπὶ λέξεως αὐτλιὼ συμπερανεῖ.

„Οὐδὲν ὃ ἀ ἑαυτῷ ἔχει τὸ παραίτιον τῆς φθορᾶς, κρεῖττον ἐστὶ φθορᾶς.
„Ἀλλ. ἅπαν κινητὸν, ἀ ἑαυτῷ ἔχει (τλιὼ κίνησιν) παραίτιον τῆς φθορᾶς.
„Οὐδὲν ἄρα κινητὸν κρεῖττον ἐστὶ φθορᾶς.

Ὡσαύτως δὲ καὶ περαιτέρω δεῆσαν χωρῶν ἀεὶ αὐτολεξεὶ κατασκολάσει καὶ τῶν ἄλλων, ἦν ἂν ὁ προϊσάμενος ἀποφήσειε, καθ' ὃν δὴ τρόπον ἀ ἄλλοις δεδήλωται (§. ωλγ'. κξ.).

§. Ὑλθ'. Γ'. Ἐὰν ὁ τῆς θέσεως προϊσάμενος τῶν ἀ τῷ προτεινομένῳ συλλογισμῷ ἀποφάσεων, καθ' ἑτέραν, ἢ κατ' ἄμφω, διαιρέσει χρησάμενος ἀπαντήσῃ, καὶ τῇ μὲν τλιὼ πρότασιν ἀποδέχεθαι εἴπῃ, τῇ δὲ μὴ, ὅθεν μάλισα ἡ κρίσις ἐξῆπται τῆ δόγματος· τῷ Προσδιαλεγομένῳ ἔργον τλιωκαῦτα ἔσαι τὸ κατὰ τῆς προτεθείσης διαιρέσεως ἀγωνιδῆναι, καὶ ἤτοι πα-

παραπταίουσαν ἀπελέγξαι, ἢ γοῦν τὸ διδόμενον τῆς διαστολῆς μόριον ὑπὲρ αὐτοῦ λαβόντα, δι' αὐτοῦ πάλιν ὡρισμένως ἤδη τὸ δοκοῦν ὑποσυνάψαι. Οἷον εἰ διέλοι τὴν ἐλάττονα ὁ ἀπαντῶν ὡδίπως.

„Ὅτι μὲν ἅπαν κινητὸν κατ' ἀλλοίωσιν ἐν ἑαυτῷ (τὴν κίνη-„σιν) ἔχει τῆς φθορᾶς παραίτιον, ξύμφημι. Ὅτι δὲ καὶ ἅ-„παν ὃ ἂν κινητὸν εἴη τὴν κατὰ τόπον φορὰν κτ. ἀπόφημι.

Ὁ ἐνιστάμενος οὕτως ἀντεμβαλεῖ.

„Εἶμι δὴ κατὰ τῆς διαιρέσεως ἧς προκεχείρησαι. Οὐδένα γὰρ „ἔχει λόγον, τὸ κατ' ἀλλοίωσιν κινούμενον τοῦ κατὰ τόπον ἀντι-„διαστέλλειν κτ.

Καὶ δείξει λοιπὸν τὸ ἐπισφαλὲς καὶ ἄτοπον τῆς διαστολῆς.

Ἄλλως. Λαβὼν ἐκ τῆς διαιρέσεως τὸ συνομολογηθὲν, οὕτως ἐπιχειρήτω.

„Ἅπαν (κατὰ τό σοι δοκοῦν) ὃ ἂν κινητὸν ᾖ κατ' ἀλλοίωσιν, „ἔχον ἐστὶν ἐν ἑαυτῷ (τὴν κίνησιν) παραίτιον τῆ φθορᾶς.

„Ἀλλ. Πάντα τὰ οὐράνια σώματα κινητά ἐστι κατ' ἀλλοίωσιν.

„Πάντα ἄρα τὰ οὐράνια σώματα, ἔχει κτ.

Ἐξ οὗ δὴ συμπεράσματος ῥᾴδιον βουληθέντα ἐπανελθεῖν, καὶ συμπεραῖναι, ὡς οὐδὲν ἄρα τῶν οὐρανίων σωμάτων φθορᾶς ἐστὶ κρεῖττον, ἢ τῆς πρώτης ἦν ἡ ἐπιφορὰ ἀντιθέσεως.

§. Θμ. Δ'. Ἀρχαῖς τῷ ἐνισταμένῳ χρηστέον, μάλιστα μὲν ταῖς πρώταις, καὶ τοῖς πᾶσι κοιναῖς. Ἢ γοῦν ταῖς πρὸς ἐκείνας ῥᾳδίως ἐπαναγομέναις. Εἰ δὲ μὴ παρείη, ἀλλὰ ταῖς ἐκ τοῦ δόγματος καθ' οὗ ἡ ἔνστασις ἀρυομέναις. Τοῦτο γὰρ, ὃ πρὸς τὸν Ἄνδρα φασὶν εἶναι ἐπιχειρεῖν, εἰς μὲν ἀποδείξεως ἀκρίβειαν, καὶ τοῦ ἀληθοῦς θήραν, τάχα μὲν ἐνίοτε ἀσυντελὲς (§. Φνζ'. Συμ. 2.) πρὸς ἔλεγχον δὲ τοῦ ἀντιδοξοῦντος, κράτιστον εἶδος ἐνστάσεως, καὶ νίκη ἀρίστη, τὸ κατ' αὐτοῦ τρέψαι τὰ ὅπλα τοῦ φέροντος. Οἷον κατὰ μὲν τῶν τὸ ἐνεργείᾳ ἄπειρον τῆς φύσεως εἰκότως ἐκσυριττόντων, τὴν δὲ τοῦ ποσοῦ φυσικὴν ἐπ' ἄπειρον τομὴν δογματιζόντων, ὧδε ἄντις τὰ μὲν ἐκ τῶν κοινῶν, τὰ δὲ ἐκ τῶν σφίσι δοκούντων εἰσβάλοι.

„Ἐφ' οὗ τὰ μέρη οὐκ ἔστιν ἄπειρα ἐνεργείᾳ, τοῦτ' ἐπ' ἄπειρον „οὐκ ἂν ἔχοι διαιρεῖσθαι.

„ Ἀλλ. τὰ μέρη ἑνὸς μηδενὸς τῶν Σωμάτων ἄπειρα ἐστὶν
„ ἐνεργείᾳ.
„ Οὐδὲν ἄρα σῶμα κτ.

Ἡ μείζων ἐκ τῆ κοινῆ πᾶσι δοκοῦντος δείκνυται.

„ Ἕκαστον ἐξ ὧν τινὶ ὁλοκληρίαν ἔχει, εἰς αὐτὰ ταῦτα καὶ
„ διαιρεῖται.
„ Ἀλλ. ἃ τὰ μέρη ἐκ ἐνεργείᾳ ἄπειρα, τέτῳ ἐκ ἐκ τῶν ἐνερ-
„ γείᾳ ἀπείρων ἡ ὁλοχέρεια.
„ Ἀρ' ἃ τὰ μέρη ἐκ ἐνεργείᾳ ἄπειρα τῆτ' ἐπ' ἄπειρον κτ.

Ἡ Ἐλάσσων τῆ Α. Συλλογ. πρὸς Ἄνδρα (ᾗ φασὶ) τετέχι πρὸς αὐτὸν τὸν προϊσάμενον ἐκ τῶν αὐτῆ ὧδε διαπιῆται.

Τὸ ἐνεργείᾳ ἄπειρον ἐκ ἔστιν ἐν τῇ Φύσει.
„ Ἀλλ. τὰ μέρη σώματος παντὸς ἐστὶν ἐν τῇ Φύσει.
„ Ἀρ' ἑδενὸς σώματος τὰ μέρη ἄπειρα ἐστὶν ἐνεργείᾳ.

Πρὸς Ἄνδρα δὲ Θωμιστὶ προσφυῶς ἄντις ἀποδείξειε τινὶ Λογικὶ μὴ εἶναι Ἐπιστήμιν, ἐξ ὧν οἱ περὶ τὸν Θωμᾶν, τινὶ κατὰ τέχνιν Λογικὶν ἀπαραιτήτως ἀπαιτεῖσθαι εἰς ἐπιβολὶν Ἐπιστήμης δοξάζεσι.

§. Ημά. Ε'. Ἀντὶ δὲ Συλλογισμῶν χρῆσεται πολλάκις καὶ Ἐνθυμήμασιν, ἐπειδὰν μάλιστα τινὶ ἑτέραν τῶν προκειμένων συνομολογεμένιν ἤδη ἐκφέρειν περιττόν.

§. Ημβ. ς'. Ἀνδρὶ δ' ἐντυχὼν, περὶ τὰς ἀρχὰς ἐξ ὧν ἡ ἀπόδειξις περανθήσεται, ἀπαιδεύτως ἔχοντι, ἢ ἐθελοκακῆνλι, παύσεται τῆ διαλέγεσθαι ὁ ἐνισάμενος καλῶς ποιῶν. Πρὸς γὰρ τὸν ἀναιρεῖντα τὰς ἀρχὰς λόγος ἐδείς. Τὸν γὰρ τοιῆτον πείθειν πειρᾶσθαι, ἴσον καὶ χρωμάτων ἔννοιαν ἐμποιῆσαι τυφλώττοντι.

§. Ημγ. Ζ'. Ἐπιεικὴς ἂν εἴη καὶ Φιλοσόφε τρόπε, τὸ ἀφ' ὧν ὁ προϊσάμενος ἀπείρως ἔχει παραιτεῖσθαι ἐπιχειρεῖν. Ἄλλως γὰρ πρὸς τὸν τὰς ἀρχὰς μὴ οἷον ὄντα συγχωρεῖν, ἡ διάλεξις αὐτῷ περισήσεται. Καὶ πρὸς δὴ τέτῳ, καὶ τῇ ἑτέρε δόξει μᾶλλον πεποιθέναι ἀπαιδευσία, ἢ τῇ δυνάμει τῶν λόγων οἷς αὐτὸς προσερείδεται.

§. Ημδ. Η'. Οὗτοι θέμις τῷ ἐνισαμένῳ ἐν τῷ διαλέγεσθαι ἀπὸ Μέσε εἰς Μέσον προάλως μεταπηδᾶν· Ἐλεγχθήσεται γὰρ, ὁσάκις ἂν τῆτο ποιοίη, ἑαυτὸν ἐπιδήλως ἡττώμενον ὁμολογῶν,

λογῶν ἐπὶ τῇ προληφθείσῃ ἀποδείξει, καὶ πρὸς ἄλλῳ καταφθέγγονται ἀφ' ἧς τι μᾶλλον ὤναιτο. Οἷον εἰ Ἀθλητὴς πυξάρξαμενος ἀγωνίζεσθαι, εἶτ' ἀπαυδήσας δίσκῳ ἄψαιτο· καὶ ἐνταῦθα γενναίοντι ἐπιδείξασθαι δυνηθείς, ἐπὶ δρόμον τὸν ἀνταγωνιστὴν προκαλοῖτο. Ἐξῆς δ' ἅρματος ἐπιβαίνοι, καὶ ἐξῆς ἄλλοτι παρεπιδεικνύοιτο, ἀφ' ἑτέρᾳ ἐφ' ἑτέρᾳ τι ἀγωνίσματος εἴδος ἀεὶ τρεπόμενος. Ἐμμένειν ἓν χρὴ τῷ ἅπαξ ληφθέντι Μέσῳ, καὶ τὰς ὑπάσεις προάγειν, τὰς μὲν ἀποφασκομένας τῶν προτάσεων ἀποδεικνύντα, κατὰ δὲ τῶν προτεινομένων διαιρέσεων ὅσκοπος βαίνοντα, ἕως ἓ, ἤτοι ἐπὶ τὰς πρώτας τῶν ἀρχῶν γενόμενος τῇ ἀνταγωνιστῇ περιγένηται, ἢ γῆν τῆς ἀκριβοῦς ἐπιλύσεως αὐτῷ ἀποδοθείσης, μετ' ὀφθαλμίας παραπέμψῃ τὸν ἀπαντήσαντα. Ὡς ἀναγκαῖος ἐν ταῖς Διαλέξεσιν ὁ καιρὸς ἔτος, καὶ κομιδῇ ἀπαραίτητος.

§. Θμέ. Θ'. Μὴ ἐπιχαιρέτω ὁ διαλεγόμενος τοῖς σοφίσμασιν, ἀλλὰ πρὸ τῆς ἐν τοῖς λόγοις κράτησ τιμάτω. Ἡ γὰρ ἀπὸ τῆς ψεύδους δόξα, ὄνειδος ἐξαίτιον τῷ θηρωμένῳ πέφυκε προσρίβειν. Καὶ καιρὸν δὲ ἐπιλογισμῷ τῷ ἀπαντῶντι διδότω, καὶ ἐπιτάσεως.

§. Θμς'. Ι'. Εὐδοκιμοῦντι μὲν τὸν προσήκοντα ἀπονεμέτω ἔπαινον, σφαλλομένῳ δὲ καὶ ἀποτυγχάνοντι, ἐδὲν ἧττον ἡδύτε καὶ χαρίεντα ἑαυτὸν παρεχέτω. „Καὶ γὰρ καὶ τὸν „Ἑρμῆν τοῖς χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μάλι„στα τῷ λόγῳ τὸ κεχαρισμένον καὶ προσφιλὲς ἁπαιτοῦντος. „Τῶν δὲ ἐπαίνων αἱρεῖσθωσαν οἱ προσήκοντες. Τὸς γὰρ θείους, „καὶ θεοφορήτους, καὶ ἀπροσίτους ἐπιλέγοντας, ὡς ἐκέτι „τῷ καλῶς, καὶ τῷ σοφῶς ἐξαρκοῦντος (1), ἀδίκως ἂν ἀνὴρ „ἐχέφρων μωμήσαιτο, ἀνελεύθερε θωπείας, ἢ ἀγροικίας τε καὶ ἀμαθίας αὐτὸς αἰτιώμενος.

§. Θμζ'. Ὁ δὲ τῆς Θέσεως προϊσάμενος, ἵνα τὸ καθ' ἑαυτὸν ἀμέμπτως παρέχηται, πρὸ πάντων τιμᾷ ἐπαγομένῳ ἀντιθέσιν ἐπ' ἀκριβὲς ἀποματτέσθω, καὶ μηδὲ χῆμα, μηδὲ τρόπον συλλογισμοῦ περιορῶν, αὐτοῖς λέξεσιν ἀποδιδότω. Εἶτα προσειπόντε τὰ εἰκότα καὶ αὐτὸς τὸν προσδιαλεγόμενον, καὶ ἐπισήσας τὸν λογισμὸν ἀτενῶς ἐφ' ἑκάστης τῶν τοῦ Ἐπιχειρήματος προτάσεων, τιμᾷ μὲν ἀληθεύσαν ὁμολογείτω,

(1) Πλάτ. ἐν τῷ περὶ τοῦ ἀπέσαν.

τῆς δὲ τȣ̃ ἀληθȣ̃ς ἀπέχειν δοκȣ́σης τὴν δεῖξιν αἰτείτω· οἷον ἐπὶ τȣ̃ προτεθέντος (§. Ϙλζ'.) ἀνωτέρω, τῆς μείζονος φέρε, ὅτι.

„Οὐδὲν κινητὸν φθορᾶς ἐςὶ κρεῖττον,

Τὸ γὰρ ἐκ πρώτης ἀποτοξεῦσαι τὸ ἀπόφημι, θρασύτερον τάχα, καὶ ἀγροικότερον.

§. Ϙμή. Β'. Καίπερ ἐξ αὐτῆς τὰ πολλὰ τῆς μείζονος, αὐτίκα δὴ ἀπαγγελθείσης, τὸ ἑξῆς τȣ̃ συλλογισμȣ̃ πρόδηλον, ȣ̓μὴν ἀλλ' ἀντικόπτειν εὐθὺς, καὶ τὴν ἀπάντησιν ἀντικρȣ́ειν πρὶν ἢ τὸν λέγοντα παύσασθαι, ȣ̓κ ἀςεῖον ἐπιεικῶς, ȣ̓δ' ἄλλως ἀσφαλές. Συμβαίνει γὰρ ἐνίοτε ὑπὸ τȣ̃ ἀκαίρȣ τάχȣς τῆς διανοίας τῶν λεγομένων παραφερόμενον, καὶ γέλωτα ὀφλισκάνειν. „Ὃς γὰρ ἀποκρίνεται λόγον πρὶν ἀκȣ̃„σαι, ἀφροσύνη αὐτῷ ἐςὶ καὶ ὄνειδος. Τȣ̓ναντίον δὲ ἐμβριθής τε δόξει καὶ κόσμιος ὁ ἀπαντῶν, ἐὰν ἀνέχηται καὶ πε„ριμένῃ παύσασθαι τὸν διαλεγόμενον, καὶ παυσαμένȣ μὴ εὐ„θέως ἐπιβάλλῃ τὴν ἀντίῤῥησιν, ἀλλ' ὡς Αἰσχίνης φησὶ, διαλείπῃ χρόνον, εἴτε προσθεῖναί τι βȣ́λοιτο τοῖς λελεγμένοις ὁ „εἰρηκὼς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. Οἱ δὲ εὐθὺς ἀντι„κόπτοντες, ȣ̓́τε ἀκȣ́οντες, ȣ̓́τε ἀκȣόμενοι, λέγοντες δὲ πρὸς „λέγοντας ἀσχημονȣ̃σιν (1).

§. Ϙμθ'. Γ'. Ὡς ȣ̓̃ν ἱκανῶς ἔχειν αὐτῷ τὰ τῆς ἐπιςάσεως δόξῃ, τῶν τριῶν ἀμυντηρίων ὅπλων (ἔςι δὲ ταῦτα ξύμφασις, καὶ ἀπόφασις, καὶ διαίρεσις), ἀποχρήσεται τῷ συμβαλλομένῳ. Καὶ συμφήσει μὲν ἡδέως τὸ ἀληθὲς, δώσει δὲ καὶ τὸ μὴ πρὸς ἔπος λεγόμενον, μηδὲ τῆς θέσεως ὅλως ἁπτόμενον (κἂν ἄλλοθεν μὴ ἀκριβῶς τύχοι ῥηθὲν πρὸς ἀλήθειαν) ἀποφήσει δὲ τὸ ψευδές· διαςελεῖ δὲ καὶ διελεῖται τὸ πῇ μὲν ἀληθεῦον, πῇ δὲ ψευδόμενον. Καὶ ταῦτα ὥς τε, καὶ ὅτε, καὶ ἐφ' οἷς δεῖ. Οὐ γὰρ ἀσφαλὲς ὅτινες εἰσὶ παρεγγυώμενοι, „τὸ μόλις μὲν ξυμφάσκειν, σπανίως δὲ διαιρεῖν, θᾶτ„τον δ' ἀποφάσκειν. Ἐνὸν καὶ μὴ ἐνδιδόντα οἷς δέον ἁλῶναι, ȣ̓δὲν ἧττον ἤπερ οἷς ȣ̓δέον συννεύοντα.

§. Ϙν'. Δ'. Τὸ τοίνυν ἐκ τῆς διαιρέσεως μέγιςον ἐςὶ τῷ προϊςαμένῳ βοήθημα. Ὑπȣργεῖ δὲ ἡ διαίρεσις ἐπὶ τῶν προτάσεων ὅσαι ἀοριςαίνȣσαί πως ȣ̓́τε κομιδῇ ἀληθεύȣσαι εἰσὶν, ȣ̓δὲ

(1) Πλȣ́τ. περὶ τȣ̃ ἀκȣ́ειν.

ἀδὲ πάντη ψαδόμεναι· τάτων γὰρ ἡ διαίρεσις ἐν δέοντι ἐπενεχθεῖσα τῆς διωάμεως ἵστησι τὸ ἀμφίῤῥοπον, πῶστε εἰσὶ παραδεκτέαι, πῶστε μὴ ἐκπαιδεύσαι. Τοιαῦται δὲ, αἷς ἤτοι τὸ ὑποκείμενον ἐσὶ τὸ συζοληῖς χρῆζον, οἷον πόνοι τιὼ ψυχὴν ἀμβλυύσιν, οἱ μεθ' ὑπερβολῆς δήπε· ἢ τὰ κατηγορέμενον, οἷον τὸ σιγᾶν ἐπαινετὸν· ὅπη γὰρ καλὸν δηλονότι. Ἐαν ἕν ὁ προσδιαλεγόμενος ἔτως ἐπιχειρῶν ᾖ,

„Οὐδεὶς ἀναίτιος φθύγει δίκιω.
„Ἀλλ. Σωκράτης φθύγει δίκιω.
„Οὐκ ἄρα ὁ Σωκράτης ἀναίτιος.

Ὁ ὑπὲρ τᾶ Σωκράτες ἀπαντήσων διαιρήσει μὲν τιὼ μείζονα, καὶ τιὼ μὲν δικαίαν ὁμολογήσει, ἀποφήσει δὲ τιὼ ἄδικον. Διαιρήσει δὲ καὶ τιὼ ἐλάτλονα, συωμολογῶν μὲν τιὼ ἄδικον φθύγειν τὸν Σωκράτιω, τιὼ δὲ δικαίαν ἀπαναινόμενος. Ἔνθα καὶ τῶν προκειμένων ἑκατέρα διήρηται, τὸ δὲ συμπέρασμα ἓ, ὅτι ὁ μέσος ἰῶ ὁ τῆς διαζολῆς δεόμενος. Ἐαν δὲ θάτερον ἢ τῶν ἄκρων, διαιρεῖν δεήσει τῶντε προκειμένων τιὼ ἑτέραν ἐν ᾗ φέρεται, καὶ τὸ συναγόμενον· ὡς ἐπὶ τᾶ ἑξῆς

„Τὸ τοῖς λοιποῖς ἐπιπολάζον σώμασι κᾶφον ἐσίν.
„Ἀὴρ δὲ τοῖς λοιποῖς ἐπιπολάζει.
„Ἀὴρ ἄρα κᾶφον.

Διαιρετέον τιὼ μείζονα, ὅτι κᾶφον κατὰ χέσιν εἰπόντας, ἐκ ἀπολύτως· καὶ τὸ συναγόμενον ὡσαύτως.

§. Δνά. Ε. Τῆς ἐπιφερομένης διαιρέσεως ἀσαφεςέρας ἔσης, καὶ μάλισα ἐὰν ὁ προσδιαλεγόμενος ἀπαιτῇ, προσαπλέον τιὼ ἔνθεσιν, ἐν ὁρισμοῖς προσφυέσιν ἀναπτύσοντας τῶν σημαινομένων τὸ διάφορον, καὶ τὸ οἰκεῖως ἔχον τῇ προτάσει ἀπονέμοντας.

§. Δνβ'. ς'. Ἁπλῶς δὲ, καὶ καθ' ὁντιναοιῶ τρόπον ψαδομένω τιὼ ἑτέραν, ἢ ἑκατέραν τῶν προκειμένων φωράσας, ἀνυποζόλως ὁ ἀπαντῶν ἀποφήσει. Ἔσι δὲ τὸ μὲν, ᾗ δέον, ἀποφάσκειν ἐπίφορον καὶ λυσιτελὲς, τὸ δ' ἃ μὴ δεῖ, σφαλερόντε καὶ ἁμαρτῶδες. Συμβαίνει τοίνιω τοτὲ μὲν ἐν μέρει, τοτὲ δὲ καὶ ὅλον χρεῖαν τὸν προτεθέντα συλλογισμὸν ἀποκρέεθαι. Οἷον προτεθέντος τᾶ ἑξῆς·

„Οὐδὲν ὃ μὴ πρότερον ἰῶ ἐν τῇ αἰσθήσει, νῷ τυγχάνει
„καταληπτόν.

„Τὸ δ' ἐν Αἰθήσει ἀεὶ ἐπισφαλές.
„Ὅ, τι ἄρα νῷ καταληπτόν ἐσίν, ἐπισφαλές.

Πλατωνικὸς μὲν ἀνὴρ, καὶ ὅς τις ἄλλος τῶν ἰδεῶν ἐξὶ τὰς ἐμφύτες ἀποδεχόμενος, ἀποφήσει καὶ μείζονα, καὶ ἐλάσονα, καὶ συμπέρασμα. Ὁ δὲ ἐκ τῆ περιπάτε μόνιω ἀποφήσει τιὼ ἐλάσονα.

§. Δνγ'. Ζ. Ἔξεσι δὲ καὶ ἀποφάσκοντας ὑποτιθέναι, ὡς ἔτως ἔχειν ἐχ οἵοντε τὸ ἀποφασκόμενον, μηδ' ἐπιτρέπειν ὅλως τῷ προσδιαλεγομένῳ, δεῖξαι πειράσαθαι. Πότε δὲ τῆτο; Ἐπειδὰν πρότασιν προχειρίσηται, κατὰ δόγμα ἡμῖν μὲν ἀδοκῆν, τῆς δὲ σωισαμένης συζητήσεως πάντη ἀλλοτρίως ἔχον. Ἵνα μὴ πάνυ πόρρω δηλαδὴ ἀποπλανηθῶμεν τῆ ζητεμένε. Τιωικαῦτα ἓν ἔτως ἐξὶν ἀπαντῆσαι. „Ἀποφάσκων τῆ συλλο-„γισμῆ τιώδε, ἢ τιώδε, ὑποτίθημι τιὼ ἀντιφατικιὼ ἐκείνης, „ὡς ἀληθέσαν· Οὐδ' ἐπιτρέπω σοι τιὼ κατασκολιὼ τῆ ἀπο-„φασκομένε· Ἕτερον γὰρ τὸ περὶ ἐκείνε ζητεῖν· Ἐν ἄλλοις ὁ „περὶ αὐτῆ λόγος ὑπερτιθέσω· Ἤδη δὲ ὦ τὰν κείτει τὸν πῶ-„λον περὶ τιὼ νύσσαν, καὶ καλῶς γε ποιῶν, ἀπὸ τῶν κοινῶν „ἐννοιῶν, ἢ ἀφ' ὧν ἐγὼ πρεσβεύω ἐνίσασο. (§. Δμ.).

§. Δνδ'. Η. Ἄμφω δόντα τὰς προκειμένας, Συλλογισμῆ ἀνεπιλήπλως χήματε καὶ τρόπον ἔχοντος, μὴ ὁμολογεῖν ἐ θέμις τὸ σωαγόμενον. Οἷον τῆ ἐξῆς ἐπὶ ΘΕΑΣΕ,

„Οὐδὲν νόσημα ἀνίατον.
„Πᾶσα μανία ἐξὶ νόσημα.
„Οὐδεμία μανία ἀνίατος.

Εἴτις ξυμφήσειε τὰς προτέρας, ἐκ ἂν ἐνέχοι τῆ λοιπῆ περὶ τιὼ συμβαίνεσαν, ὅτι ἐδεμία μανία ἐξὶν ἀνίατος.

§. Δνέ. Θ. Τῆ δὲ Συλλογισμῆ διεζροφότος, ἔξι καὶ τὰς προκειμένας ἀποδεξάμενον, ἀποκρέσαθαι τὸ ἐπιφερόμενον. Οἷον, τῆ ἑξῆς,

„Πᾶς ἵππος τετράπεν.
„Οὐδεὶς ὄνος ἵππος.
„Οὐδεὶς ὄνος τετράπεν.

Δεῖ δὲ καὶ τιὼ αἰτίαν τῆς διαζροφῆς ἐπιλέγειν· οἷον ἐπὶ τῆ παρατεθέντος, τὸ μὴ ἐξεῖναι δηλονότι, ἐ πρωτοχήμονι Συλλογισμῷ Καταληλῳ, ἀποφάσκειν τιὼ ἐλάσονα. (§. χγθ'.).

§. Δνς'.

§. Θνζ'. Ι. Ἔστι δὲ καὶ τὰς προκειμένας ξυμφάμενον, καὶ αὐτὸ ἐχ ἧττον τὸ συμπέρασμα, ὡς ἀληθείας ἐχόμενα πάντα, τιὼ ἐξ ἐκείνων τότε ἐπιφορὰν, ἰὼ καλῶμεν σωέπειαν (§. Φμ'.), ἀποφάσκειν, ἐὰν ᾖ ὁ ἔλεγχος ἀσυλλόγιστος. Οἷον ἐπὶ τῆ ἑξῆς·

„Οὐδεὶς ὄνος ἵππος.
„Οὐδεὶς λύκος ὄνος.
„Οὐδεὶς λύκος ἵππος.

Ἀποδοτέον δὲ καὶνταῦθα τῆς ἀσυλλογισίας τὸν λόγον, οἷον ὅτι κατὰ τῆ ΙΒ. τῶν Γενικ. Θεωρημάτ. (§. χμά.) ὁ Συλλογισμὸς φέρεται, καὶ κατὰ τῆ Α. τῶν Εἰδικ. (§. χξή.).

§. Θνζ'. ΙΑ. Ἐὰν Συλλογισμῆ ὑποθετικῆ μὴ ὀρθῶς ἔχῃ τὸ ἐν τῇ μείζονι σωημμένον, εἴτε κατὰ θέσιν, εἴτε ἦν καὶ κατὰ ἄρσιν σωάγοντος (§. ψξή.), ὁ ἁπάντων σωαποφήσει τῇ μείζονι καὶ τὸ σωαγόμενον. Οἷον,

„Εἰ ὄρη ἐμφαίνεται τῇ Σελήνῃ, πρόδηλον ὅτι οἰκεῖται.
„Ἀλλ ἐμφαίνεται. ἢ Οὐκ οἰκεῖται.
„Ἄρα οἰκεῖται. ἢ Οὐκ ἐμφαίνεται.

Οὐ ξωορῶ τιὼ ἀνάγκιω, ἐρεῖ, τῆ σωημμένῃ· Γένοιτο γὰρ ἂν τὸ τραχὺ τῆ Σελιωαίᾳ σφαίρᾳ καὶ ἀνώμαλον καὶ πρὸς ἄλλιω χρῆσιν, καὶ ἐχὶ μόνον πρὸς οἴκησιν.

§. Θνή. ΙΒ. Ἐὰν δὲ ἐπὶ τῆ ὑποθετικῆ τὸ μὲν σωημμένον ὑγιῶς ἔχῃ, ψεῦδες δέτι ᾖ τὸ ἐπιφερόμενον, ἤτοι ἐκ τῆς διαφθορῆς τῶν ἡγεμόνων ἢ ἑπομένων τὸ σόφισμα ῥᾳδιεργεῖται, τῇ θέσει τῆ ἑπομένῃ, τιὼ τῆ ἡγεμόνῃ θέσιν, ἢ τῇ τότε ἄρσει τιὼ ἐκείνῃ ἀτόπως σωάπτον, ἢ τότε δὴ ἐκ τῆ κανόνος τῶν ὑποθετικῶν Συλλογισμῶν (§ ψξή.) ὁ ἁπάντων ἐλέγξει τὸν Σοφιζόμενον· ἢ ἄλλως τίθεται μὲν εὐτάκτως τὸ ἡγεμνον, αἴρεται δὲ ἧ δέον τὸ ἑπόμενον, ἐν τῇ προσληφθείσῃ ἐλάττονι, ἀλλὰ προῖ· καὶ, καὶ ἀλόγως· ἔνθεντοι καὶ ἀποφατέον τιωικαῦτα τιὼ τῆ ἡγεμόνῃ θέσιν, ἢ τιὼ ἄρσιν τῆ ἑπομένῃ, καὶ ταύταις δὴ σωαποφατέον καὶ τὰ σωαγόμενα. Οἷον κατὰ θέσιν προτεθέντος,

„Εἰ τὸ ἡδὺ συμφέρον, καὶ τὸ σὼ ἡδονῇ βιῶν εὐδαιμον.
„Ἀλλα. τὸ πρῶτον. Ἄρα καὶ τὸ δεύτερον.

ἢ κατὰ ἄρσιν

„Εἰ μὴ τὸ ἡδὺ συμφέρον, οὐδὲ τὸ σὼ ἡδονῇ βιῶν εὐδαιμον.
„Ἀλλ. ψεῦδες τὸ δεύτερον. Ἄρα καὶ τὸ πρῶτον.

Ἐπ' ἀμφοῖν ἀποφήσεις σὺν αὐταῖς ταῖς προσλήψεσι καὶ τὰ συμπεράσματα.

§. Θνθ'. ΙΓ. Ἐπειδάντι οὐκ ὀρθῶς ἐκ τῶν ὁμοίως ἔχειν δοκούντων συνάγεται, ἔργον δὴ τοῦ ἀπαντῶντος τότε, τὴν ὁμοίωσιν ἀπανηνάμενον, τὴν παραλλαγὴν παραδεῖξαι. Τοιγαροῦν τῷ οὕτως ἐπιχειροῦντι,

„Δᾶδ κλαύσας πικρῶς ἐφ' οἷς ἥμαρτε, δεδικαίωται.
„Ἄρα καὶ Σαοὺλ θρηνήσας, ἐφ' οἷς ἠνόμησεν.

Ἀπαντήσει, ὡς ὁ μὲν προσκρούσας, δάκρυσι ψυχῆς τεταπεινωμένης, τὸν θεὸν ᾐτεῖτο γνησίως τὴν ἄφεσιν, ὁ δὲ παρῃτεῖτο τὴν ἀπὸ τῆς βασιλείας ἔκπτωσιν, καί γε τῆς ἁλουργίδος ἕνεκα, τῆς τοῦ προφήτου ἐσθῆτος ἐπείληπτο.

§. Θξ'. ΙΔ. Συλλογισμοῦ Αἰτιολογικοῦ προτεθέντος (§. ψνή. κξ.), τὰ μὲν ἄλλα ὀρθῶς διεσχηματισμένου, οὐδὲν δὲ ὑγιὲς ἐπιφέροντος τὴν Αἰτιολογίαν ἀποκρουσόμεθα. Ἐνστάντος ἡμῖν ἄρα τινὸς οὕτως·

„Ἡ Λογικὴ ἕξις ἐπιστήμη ἂν λέγοιτο, διὰ τὸ μὴ περὶ τὴν „ὕλην κατὰ τὰς βαναύσους τῶν τεχνῶν ἐνασχολεῖσθαι.
„Ἀλλ. καὶ Γραμματικὴν, καὶ Ῥητορικὴν κτ., οὐδὲν τοῦτο κω„λύει μὴ τέχνας εἶναι.
„Ἄρα οὐδ' ἡ Λογικὴ παρὰ τοῦτο οὐκ ἂν εἴητε, καὶ λέγοιτο „τέχνη.

Ἀπαντήσομεν τὴν ἐν τῇ μείζονι Αἰτιολογίαν ἀποσυρίττοντες. Οὐ γὰρ δὴ παρὰ τὸ μὴ περὶ τὴν ὕλην ἐνασχολεῖσθαι, διὰ δὲ τὸ ἀποδεικτικῶς τὰ κατ' αὐτὴν Θεωρήματα καὶ Προβλήματα κατασκευάζειν ἡ Λογικὴ τῆς τῶν Ἐπιστημῶν Ἕδρας ἠξίωται.

§. Θξά. ΙΕ. Μὴ τὸ ἀληθοῦς ἐχόμενον ἐπιεικῶς συνομολογῶν, τῷ ἐνισταμένῳ ὁ ἀπαντῶν λαβὴν παρέχεται καθ' ἑαυτοῦ καιριωτάτην. Δεῖ δὴ περὶ πλείονος ἀληθεύειν ποιεῖσθαι ἢ ἀναπνεῖν. Ταύτητοι καὶ Συλλογισμὸν ὅλον τὰ πολλὰ ὁμολογητέον, ὕλην τε καὶ μορφὴν ἀμέμπτως ἔχοντα· τὸ γὰρ ἡττᾶσθαι εἰδέναι, οὐδὲν ἧττον ἢ νικᾷν, εἰ μὴ καὶ μᾶλλον, τοῖς γε σωφρονοῦσιν ἐπαινετὸν κρίνεται.

§ Θξβ'. Ις. Συλλογισμὸν ἐπενεχθέντα, ἄλλοτι παρὰ τὸ προκείμενον ἐπιφέροντα, δώσομεν ἡδέως τῷ ἀγωνιζομένῳ καθ' ἡμῶν, χαριζόμενοι· Ἅμα δὲ καὶ τὴν τοῦ ἐλέγχου ἄγνοιαν (§. ωνγ'.) ἀντελέγξομεν. Οἷον εἴτις ὡς δῆθεν ἀκαταληψίαν εἰσάγων, οὕτως ἐπιχειροίη·

„Τόγε

„ Τόγε πολύδοξον ἀπάτης ἔλεγχος.
„ Τὸ δὲ πολύδοξον ἐν ἐπιςήμαις.
„ Οὐκ ἄρα αὗται ἀπάτης κρείσσονες εἰσί.

Καὶ μὴν ὃ τῦτο πρόκειταί σοι δεικνύειν ὦ θαυμάσιε, τὸ ἐν ἐπιςήμαις πολιῶτιναι ἐμφιλοχωρεῖν τιὼ ἀπάτιω, ὅπερ ἐπιεικῆς ἀνδρὸς ἂν εἴη δέξαθαίτε ἡδέως, καὶ ὁμολογῆσαι εἰλικρινῶς. Ἐκεῖνο δὲ μᾶλλον, ὡς ἀδεμίαν ἐπ' ἀδενὶ Ἐπιςήμιω ἀδέποτε λαβεῖν ἐςὶν ἀδόλως, ὃ καὶ ὅλον Σοι δοίημεν τὸν προτεθέντα Συλλογισμὸν, ἀδαμῶς ἔπεται.

§. Ξζ'. IZ. Ἔςι δὲ καὶ κατὰ τῦ προτείναντος τὸν Συλλογισμὸν τὰ πολλὰ ἀντιςρέφειν. Οἷον τὸν ἀνωτέρω ὧδέπως·

„ Καθ' ἕτι λέγεται εἶναι, αὐτὸ ἐκεῖνο προϋποτίθεται.
„ Λέγεται δέ Σοι κατὰ τῶν ἐπιςημῶν τὸ πολύδοξον.
„ Αὗται Σοι ἄρα καὶ εἶναι προϋποτίθενται, τῷ τιὼ Ἀκατα-
„ ληψίαν εἰσάγοντι.

§. Ξζδ'. IH. Ἀμφοῖν τῶν προκειμένων, ψιλῆ ἀποφαινομένων, ἢ ἀμφισβητήσιμα, τῆς μὲν ἀποπωτέρας τιὼ δεῖξιν ἀπαιτητέον, θατέραν δὲ ὃ σιωμολογητέον, ἀλλὰ δοτέον. Διαφέρει δὲ τῦτο ἐκείνε. Τὸ μὲν γὰρ, σιωαινεῖν ἐςὶ τῷ λεχθέντι, καὶ ἀποδέχεθαι ὡς ὁμολογον· τὸ δὲ, ὑπέρτιθέναι ἐςὶ τιὼ τότε δεῖξιν, ἧς ἐπιδεὲς ἐςὶν, ὡς μηδὲν πρὸς τὸ παρὸν ἐπιβάλλοντος. Οἷον ἐπὶ τῦ ἀνωτέρω (§. Ξνβ'.) Πλατωνικὸς Ἀνὴρ ὁ τὰς ἐμφύτες τῶν ἰδεῶν εἰσάγων, δεδόθω δὴ ἐρεῖ ἡ μείζων, ἀποφήσει δὲ τιὼ ἐλάτλονα.

§. Ξζέ. IΘ. Ἐπὶ τῶν ἐκ μαρτυρίας ἀποδεικνυμένων (τοιαῦτα δὲ θετέον τὰ μὴ λόγω κρατυνέθαι πεφυκότα· ἐπὶ γὰρ τῶν τοιῦτων τὸ ἐκ μαρτυρίας ἐπιχειρεῖν τῷ ἐνισαμένω ἥκισα συγχωρητέον.). Ἀπαντήσεως ὅρος δικαίας ἔςω, τῶν ἐπιμαρτυρέντων τὸ πλῆθος, καὶ τὸ ἀξίωμα, ὡς ἀλλαχῆ εἴρηται. (§. τλδ'. τλέ. κξ.). Εἰ δέπε δεήσει, καὶ διὰ μαρτυριῶν πρὸς τὰς μαρτυρίας ἀντιπαραταξόμεθα, καὶ ἐνὸν διὰ πλειόνων πρὸς τὰς ἐλάσονας, καὶ διὰ τῶν ἀξιολογωτέρων πρὸς τὰς κεφοτέρας. Φιλεῖ γάρπε ἡ τῶν πλειόνων συγκατάθεσις κρατυίειν τὰ νοηθέντα· καὶ νὴ δία, ἡ τῶν δόξη διαφερόντων. Ὧν δὲ αἱ μαρτυρίαι ὑπὸ τῦ ἐναντίε καταβάλλονται, τέτων μὴ σκώμμαλα, μηδὲ λοιδορίας χριῶαι κατασκεδάζειν, σιὼ ὑπεροψίαλε καὶ θρασύτητι, περιτλόντι ἂν εἰκότως παραινεῖν δόξαιμι.

§. Ξξ'. Κ. Ἐπὶ πᾶσι προσέχειν. Τὸ περὶ ὀνομάτων (ἐφ' ἂν ᾖ τὰ πράγματα συμβαίνοντα) μὴ πάνυ διαφέρεσθαι (1). Ἀβολέχω δὲ ἐντυχάνοντα, μὴ σιωπαβολεχεῖν, σιγᾶν δ' αἱρεῖσθαι, καὶ μηδ' ἀξιᾶν ἀπαντήσεως (2). Ἐκ παντός τε τρόπε τὸ Σοφιστικὸν, καὶ Φιλόνεικον, καὶ δύσερι φεύγειν (3), ὁ τῶν τῆς Διαλεκτικῆς παραγγελμάτων τὸ ΠΡΩΤΟΝ ἐστὶ, καὶ ΜΕΣΟΝ, καὶ ΠΥΜΑΤΟΝ.

(1) „Τεχνάζονται γάρτινες ἐξεπί-„τηδες, ὑπὲρ τᾶ μηδὲν περαντθῶσι, „πρὸς ἕκαστον τῶν ὀνομάτων ἐνίσασθαι. „(Γαλ. περὶ τῶν καθ' Ἱπποκρ. καὶ „Πλάτ. Δογμ. Βιβλ. Ε.). Τὰ τοί-„νυν πράγματα συγχωρήσας ὑπὲρ ὀνο-„μάτων αἰδεσθῆσῃ διαφέρεσθαι. . . . . „μηδὲ καθάπερ κολοιὸν, ἢ κόρακα „περὶ φωνῶν ζυγομαχεῖν, ἀλλ' αὐτὼ „τῶν πραγμάτων σπεδάζειν τιὼ ἀλή-„θειαν. (Αὐτ. ὅτι Ἄριστος, Ἰατρ. καὶ Φιλόσ.).

(2) Ἀληθὲς γὰρ τὸ ὑπὸ τῶν παλαιῶν φιλοσόφων εἰρημένον, ὡς ἐν „ἐνδέχεται τινὰ διαλεγόμενον ἀβολέ-„χοις ἀνθρώποις, ἀποχέσθαι τελείως „ἀπάσης ἀβολεχίας. (Αὐτ. περὶ τῶν καθ' Ἱπποκ. καὶ Πλατων. Δογμ. Βιβλ. Γ.)

(3) Εἰσὶ γὰρ οἱ φαύλως δηλονότι καὶ ἀπαιδεύτως περὶ τῆς Διαλεκτικῆς κρίνοντες, καὶ τὸ ἐξ αὐτῆς καλὸν σφίσιτε ἐνδιαφθείροντες, καὶ τοῖς ἄλλοις προσδιαβάλλοντες· „Οἱ μὲν γὰρ, „ὥσπερ τὰ Σκυλάκια (φησὶν ὁ Πλά-„των) τῷ ἕλκειν καὶ σπαράτταν χαί-„ροντες, ἐπὶ τὰς ἔριδας, καὶ τὰς ἀ-„πορίας, καὶ τὰ σοφίσματα χωρᾶσιν. „Οἱ δὲ πλεῖστοι τοῖς Διαλεκτικοῖς ἐν-„δύντες, εὐθὺς ἐπισιτίζονται πρὸς Σο-„φιστείαν. Ἀλλὰ γὰρ αἰθοίμεθ' ἂν „ἑαυτῶν προκοπτόντων ἐπ' ἀρετῇ, ὡς ὁ Πλάταρχος διατείνεται (Αὐτ.), μάλιστα ἐὰ τὸ Φιλόνεικον καὶ δύσερι περὶ „τὰς συζητήσεις ὑφεῖται, καὶ πε-„παύμεθα τὰς λόγκς ὥσπερ ἱμάντας, „ἢ σφαίρας ἐπιδόμενοι πρὸς ἀλλήλες, „καὶ τῷ πατάξαι καὶ καταβαλεῖν „μᾶλλον, ἢ τῷ μαθεῖντι καὶ διδά-„ξαι χαίροντες. Ἡ γὰρ ἐν τέτοις „ἐπιείκεια καὶ πραότης, καὶ τὸ μὴ „μετ' ἀγῶνος συνίσασθαι, μήτε διαλύε-„σθαι μετ' ὀργῆς τὰς κοινολογίας, „μηδ' οἷον ἐφυβρίζειν ἐλέγξαντας, ἢ „καλεπαίναν ἐλεγχθέντας, ἱκανῶς „προκόπλοντος ἐστίν. Ἐδήλωσε δὲ Ἀρί-„στιππος ἔντινι λόγῳ κατασοφισθεὶς „ὑπ' ἀνθρώπκ τόλμαν ἔχοντος, ἄλ-„λως δὲ μανικᾶ καὶ ἀνοήτε. Χαίρον-„τα γὰρ αὐτὸν ὁρῶν καὶ τετυφωμένον, „ἐγὼ μὲν (ἔφεν ὁ ἐλεγχθεὶς) ἄπαμι „σᾶ τᾶ ἐλέγξαντος ἥδιον καθευδήσων.

ΤΕΛΟΣ.

ΕΛΕΓΧΟΣ

ΕΛΕΓΧΟΣ
ΤΩΝ ΕΝ ΤΗ ΒΙΒΛΩ.

Ἐν ᾧ

Διὰ μὲν τῶν Ἀραβικῶν χαρακτήρων ὁ ἀριθμὸς τῶν Σελίδων δηλοῦται, διὰ δὲ τῶν Ἑλληνικῶν ὁ τῶν Παραγράφων. Οὗ δ' ἂν ᾖ τὸ Σ. ἡ τῷ Παραγράφῳ ἀνήκουσα Σημείωσις.

Α.

Ἀγωγῆς ἐκ Φαύλης προλήψεις. Σελ. 98. §. κή.

Ἀδὰμ πρῶτος ἔδοξε Φιλοσοφῆσαι. 1. ά. Σημ. 1. Πρῶτος ὀνοματοθέτης. Αὐτ.

Αἰγύπτιοι Γεωμετρίας Εὑρεταί. 6. ς'.

Αἰνιγμάτων διασάφησις 287. σγή.

Αἱρέσεις Φιλοσοφικαί.

Ἰταλική. 11. ιβ'. κξ.

Ἐλεατική. 13. ις'. κξ.

Πυῤῥώνειος. 15. ιθ'. κξ.

Ἐπικούρειος. 16. κά.

Ἰωνική. κβ'. κξ.

Κυνική. 17. κδ'.

Στωϊκή. 18. κέ.

Κυρηναϊκή. 19. κζ'.

Ἡγησιακή. Ἀννικέρειος.

Α.

Θεοδώρειος. 20. κή.

Ἀκαδημαϊκή. 21. λ'. κξ.

Ἠλειακή. 22. λέ.

Μεγαρική. λς'.

Ἐρετριακή. λζ'.

Περιπατητική. 23. λή.

Αἱρέσεις ἐν Ῥώμῃ ἀνθήσασαι πρότε, 24. μά. καὶ ἐπὶ τῶν Καισάρων. 25. μβ'. μγ'. κξ.

Αἱρέσεως Ἐκλεκτικῆς χρῆσις τε, καὶ κατάχρησις. 29. μή μθ'.

Αἰσθήσεις τὸν νοῦν ἀπὸ τῶν νοητῶν ἀφέλκουσαι. 76. ή. Σφαλεραί. 77. θ'. Ἃ ταύταις ἐναπαιτεῖται πρὸς ἀσφαλῆ ἀντίληψιν. Αὐτ. Παῤ ὃ πέφυκασιν εἰς κρίσιν αὐτῶν

αὐταῖς ȣ̓ προσχρηςέον 79. ι. τȣ́των τὸ ὀλιγάριθμον ἀγνοίας πολλῶν αἴτιον. 80. ιά. Αἴσθησιν κοινὴν περιττὸν ὑποτιθέναι. 164. λέ.

Αἴσθημα τὶ; 162. κή. Οὐκ ἐκ πάσης σωματικῆς κινήσεως ἐγείρεται. 162. κθ'. Αἰσθημάτων εἴδη τοῖς αἰσθητηρίοις συμπληθύνεται. 163. λγ'. Καὶ ἐπὶ τῆς αὐτῆς Αἰσθήσεως ποικίλλεται. 164. λδ'. Αἰσθήματα ὁπαδὰ τίνα. 165. λζ'. Εἰ πᾶσιν ἐκ τῶν αὐτῶν Αἰσθήματα προσπίπτει τὰ αὐτά. 165. λθ'. Αἴσθημα ἀνεπίληπτον ὑπονοίας ἐκτός. 261. σμδ'.

Αἴτημα τὶ ἐςὶ; 354. υί. ϗ Σ. ὅθεν λαμβάνεται. 357. ωπά. κξ.

Ἀκαδημία. 21. Ἀρχαία λ'. Μέση. λά. Νέα. λβ'. Ἐσχάτη. λγ'.

Ἀκολȣθία Προτάσεων 386. φγ'.
ὡς ἐκ τȣ̃ πλάτȣς. φέ. φς'.
ὡς ἐκ τȣ̃ βάθȣς. 387. φζ'.-φιβ'.
ὡς ἐκ τῆς μάχης. 388. φιγ'.-φκς'.
ὡς ἐκ τῆς ἰσοδυναμίας. 391. φκζ'.
ὡς ἐκ τῆς ἀντιςροφῆς. φκή.

Ἀληθεύειν τὶ ἐςὶ; 114. γ'. Καθ' ὅσȣς τρόπȣς λέγεται. Αὐτ. Σ. 3.

Ἀλήθεια καὶ ψεῦδος λογικώτερον ἐν οἷς θεωρεῖται. 267. 268. σνβ'.-σξ'. Ἡ μὲν ἁπλȣ̃ν, τὸ δὲ πολυσχεδές. σξά.

Ἅμα ὁσαχῶς λέγεται. 238. ρυζ'.

Ἀμμώνιος ὁ Σακκᾶς ἀρχηγὸς τȣ̃ συμβιβασμȣ̃ τῶν ἀσυμβάτων Αἱρέσεων 29. μθ'.

Ἀμφίγνοια θετικὴ, ἢ ἀποφατική. 264. σμθ'.

Ἀναγκαῖον διττῶς λεγόμενον. 377. υξθ'. Σ.

Ἀνάγνωσις βιβλίων, ὃν τρόπον ἐπωφελὴς γίνεται. 107. λθ'.

Ἀναγωγῆς Συλλογισμῶν μέθοδος 486. ψπθ'.-ψυδ'.

Ἀνάλυσις τῶν Ἀρχαίων ὁποίατις ἰῶ. 560. θή. Σ.

Ἀνατολικοὶ οἱ περὶ τὴν Κωνςαντινȣπόλεως ἅλωσιν τὴν Φιλοσοφίαν εἰς Ἰταλίαν διαπορθμεύσαντες. 38. ξγ'.

Ἀντίθεσις ἐν ἀποφάνσεσι τὶ; 365. υλδ'.

Ἀντικείμενα ὁσαχῶς μάχεται 237. ρυέ.

Ἀντισθένης πατὴρ τῆς Κυνικῆς Αἱρέσεως, καὶ οἱ τȣ̃τον διαδεξάμενοι. 17. κδ'.

Ἀντιςροφὴ προτάσεων. 377. υξζ'. Ταύτης τρόποι. υξή.-υογ'. Λόγοι Ἀντις. 379. υοέ.

Ἀντιςρ.

Ἀντισρ. ἐπὶ τῶν μετὰ τρόπ. 381. υος'. Περὶ Ἀντισροφ. Ἀπορέμενα. υοέ. Σ. υος'. Σ. Ἀντισρ. Προτάσ. ὡς ἐπ τῆς τῶν ὅρων δυνάμεως. 383. υοή.--Φά'. Ἀντισροφαὶ Προτάσεων ὑποθετικῶν παρεκτικαί. 385. φβ'.

Ἀξίωμα τὶ; 354. υί. Σ. Ὅθεν καὶ ὅπως λαμβάνεται. 533. ωοέ.--ωπ'. Ἀξιώματα τινὲς ἀποδεικνύειν φιλοτιμησάμενοι. 498. ωιά. Σ. 2.

Ἀπαγωγῆς εἰς ἀδύνατον μέθοδος. 488. ψγέ. ψγς'. Καὶ ἄλλη τρόπῳ διαφέρουσα. 491. ψγθ'. Ἀπαγωγῇ τῇ εἰς ἀδύνατ. ὡς ἐλάχισα χρησέον. 499. ωιγ'.

Ἀπάτη τὶ; 275. σοέ.

Ἀπάτης τῷ λογισικῷ ἐνσκηπτόσης πηγαὶ τέσσαρες. 60. β'.

Ἀπόδειξις τὶ; 493. ωά. Ἀρχαὶ Ἀποδείξ. τίνες. ωβ'.--ως. Ἐκ παντὸς εἴδους αἰτίας ἡ Ἀπόδειξ. 495. ως'. Καὶ ἡ μὲν τῷ ΔΙΟΤΙ, αὐτ. ἡ δὲ τῷ ΟΤΙ. ωή. Ἡ τῷ ΟΤΙ κατὰ Ἀριστ. διττή. 496. ωή. Σ. Ἀπόδειξ. Μονοσυλλόγισος. Πολυσυλλόγισος. 497. ωί.

Ἀποδείξεως τρόπος διὰ τῷ ἐλέγχ. 499. ωιδ'. Καὶ ὁ ἐξ Ἀντιπερισάσεως. ωιέ. Ἀποδεικνύειν διὰ κύκλ τὶ ἐστὶ, καὶ ὅπως γίνεται; 500. ωις'. ωιζ'. Ἀπόδειξις Κυκλικὴ πότε ὑπ' εὐθυώλου ἄγεται; ωιή. Πότε δ' ἀνεκτή; 501. ωιθ'. Πότε δ' ἀναγκαία; ωκ'. Καὶ Σ. 1. 2. Ἀπόδειξις ἡ καθ' ὑπόθεσιν ὁποίατις, 502. ωκά.

Ἀποδεικτὰ τίνα καὶ ἀναπόδεικτα; 496. ωθ'. Ἀποδεικτὰ μὲν, μὴ ἀποδεικτέα δέ. 497. ωιά. Ἐν τοῖς ἀποδεικνυμένοις ἃ μόνον τῷ ἀναγκαίᾳ, ἀλλὰ καὶ τῷ σαφῆς δεῖ φροντίζειν. 498. ωιβ'.

Ἀπόφανσις τὶ; 342. τμά'. ταύτης μέρη. τμβ'. ἐνίοτε μονόφωνος. 343. τμγ'. κξ'.

Ἄραβες φιλοσοφῆσ. 35. νθ'.

Ἀρίσιππος πατὴρ τῆς Κυρηναϊκῆς Αἱρέσεως. 19. κζ'.

Ἀριστοτέλης. 23. λή. Τῶν ὁμιλητῶν αὐτῷ οἱ γνησιώτατοι. λθ'. Οἱ τὴν Αἵρεσιν προαγαγόντες. μ'.

Ἀρχαιότης, ποιητικὸν προλήψεων. 99. λά.

Ἀχολίαι αἱ παρὰ τὸ προσῆκον ἐπιδόσεως κώλυμα. 107. λή'.

Ἄτομον τὶ, καὶ Ἀτομικόν, 169. υ'. Ἀτόμα σημαινόμενα. Αὐτ. Σ.

Ἀφαιρέσεως εἴδη παρὰ τοῖς Σχολαστικοῖς. 191. οή. Σ. 1. Ἀφαιρέσεως χρῆσις. 192. π'. κξ'.

π'. κξ'. Καὶ κατάχρησις. 193. πγ'.
Ἀφυία ἐκ τῦ ὀργανικῦ σώματος προβαίνουσα ἀνίατος. 71. δ'. Ἰάσιμος. Αὐτ. έ.

Β.

Βάρβαροι πρὸ τῶν Ἑλλήνων φιλοσοφήσαντες. 6. ς'. κξ'.
Βεβαιότης τί; 269. σξβ'. τριττή, Μεταφυσική, Φυσική, Ἠθική. σξγ'.--σξς'.
Βιβλίων διαφθορά. 303. τκζ'. Σ.

Γ.

Γένος τί; 200. υϛ', Γενικώτατον, καὶ Ὑπάλληλον. 203. ρβ'.
Γνωρίσματα Γνωρισμάτων ἐπὶ τῶν ἐννοιῶν. 206. ριγ'.
Γνώσεως βαθμοὶ, Πρῶτος. 122. ιβ'. Δεύτερος. 123. ιγ'. Τρίτος 124. ιδ'. Τέταρτος. 125. ιέ.
Γρίφος τί; καὶ ὅπως αὐτὸν μετιτέον; 287.

Δ.

Δαμασκηνὸς ὁ θεῖος τὴν Ἀριστοτέλες φιλοσοφίαν, ἀντὶ τῆς Πλατωνικῆς εἰσάγων. 34. νζ'.
Δημόκριτος σοφία ἐπικληθεὶς καὶ γελασῖνος. 14. ιζ'. Οἱ ἐξ αὐτῦ πεφιλοσοφηκότες. ιή.
Διαίρεσις τί; 220. ρνβ'. Διαιρέσεως τρόποι. Αὐτ. Σ. Εἴδη αὐτῆς ὡς ἐκ τῶν ὅλων. 221. ργ'. κξ'. ὡς ἐκ τῶν εἰς ἃ γίνονται μερῶν. 222. ρνέ. ρνς'. Διαίρεσις πραγματιώδης, ἢ τροπική. Ἐνεργείᾳ, ἢ κατ' ἐπίνοιαν, καὶ τῷ λόγῳ. Εἰδική. 222. ρνς'. Διαιρ. ὑγιῶς ἐχέσης ὅροι. 223. ρνζ'. κξ.
Διάλεξις Διαλόγε τί διαφέρει; 573. Θκς'.
Διάνοια τί; 392. Φλ'. Ἐπὶ τῶν ἀξιωμάτων ἐκ ἔχει χώραν. 393. Φλά. Ἀποδεικτική, καὶ μή. Φλβ'. Διανοίας αἱ μεταβάσεις ἰσάριθμοι τοῖς ὅροις. Φλγ'. Ἡ ἐκ μεταβάσεων καταφασκεσῶν, καταφατικῶς συνάπτει. 395. Φλέ. Ἡ ἐξ ἀπασῶν ἀποφασκεσῶν, ἐκ ἐκπεραίνεται. Φλς'. Ἡ ἐξ ἀποφασκεσῶν καὶ ἀντιθέτων ἀλλήλαις, καὶ καθ' ἑαυτὰς ἀληθευσῶν μεταβάσεων, ἐν ὅροις τῶ ἀριθμῶ περιττοῖς μὲν ἀληθεύουσα, ἀρτίοις δὲ ψευδομένη. Φλζ'. Διανοίας συμπληρωτικὰ τέτταρα. 396. Φλή. κξ'. Ἡγέμενον αὐτῆς, καὶ Ἑπόμενον, καὶ Συνέπεια. 397. Φμ. Ἀεὶ τὸ ἐν αὐτῇ Ἑπόμενον ἀνίρτηται τῦ Ἡγεμένε, διάτινα περιοχῆς λόγον.

λόγον. 399. φμγ'. Ἡ δὲ περιοχὴ ἤτοι Σχέσει. φμδ'. ἢ Βάθει. 400. φμέ. ἢ Πλάτει. φμς'. Διανοία ἐξ οἵων οἷα ἐπιφέρεσθαι δύναται, ἢ οἷα οὐχί. 400. φμζ'.--φνς'.

Διαφορὰ τί; 201. ηή, Γενικωτάτη, Μέση, Εἰδική. 204. ρέ. Κοινῆ, Ἰδίᾳ, Ἰδιαίτατα. ρς'. Διαιρετικὴ γενῶν, Συσατικὴ εἰδῶν, Κατηγορικὴ ἀτόμων. ρζ'.

Δίλημμα τί; 481. ψοέ. κξ. Ὅπως εὐέλεγκτον καὶ δύπερίτρεπτον εἶναι συμβαίνει; 482.--ψπβ'.

Δογματικῶν τε καὶ Σκεπτικῶν τὰς ὑπερβολὰς ἐν τῷ φιλοσοφεῖν φόβητέον. 50. δ'.

Δόξα τὶ ἐστὶ; 118. ί. καὶ Σ.

Δυνάμεις γνωσικαὶ. 116. ζ'. Καὶ αἰκατ' αὐτὰς ἐνέργειαι. 117. ή. Καὶ Γνωσικὴ καὶ λογικὴ ὁ Νῆς, ἄλογοι δὲ Φαντασία, ἢ Αἴθησις. 118. θ'.

Ε.

Ἔθη τὰ παρὰ τοῖς διαφόροις Ἔθνεσιν, ὅπως ἐπικριτέον. 314. τμδ'.

Εἶδος τὶ ἐστὶ; 200. ηζ'.

Ἐκλεκτικὸς τρόπος τῦ φιλοσοφεῖν. 29. μή. μθ'. Πρὸ τῶν ἄλλων μιμητέος. 55. ς'.

Ἐλεατικὴ ἔνσασις. 13. ιέ'.

Ἔλεγχος τὶ ἐστὶ; 514. ωλή.

Ἐλευθερία περὶ τὸ φιλοσοφεῖν 59. ή. Ἐλευθεριάζειν ἀκράτως ἃ δεῖ. 61. θ'.

Ἕλλωες τὲς αὐτὲς διδάξαντας ὑπερβαλόντες. 8. θ'. Τέτων ἀρχαιότατοι ἐπὶ σοφίᾳ. 9. ί.

Ἕλλωος λόγε μὴ ἀδαὴς ἔτω ὁ φιλοσοφῆσαι ἐπιχειρῶν. 49. β'.

Ἑλλωισμῦ ὅροι. 288. τ'. Σ.

Ἐλπίδες καὶ Φόβοι εἰς ἐκ ἐρθὰς τὶω ψυχὶω παρεξάγεσι κρίσεις. 93. κδ'.

Ἐνθύμημα τὶ; 465. ψλέ. ϗ Σ. 2. Ῥητόρων ἴδιον. 466. ψλζ'. Σ. 2. Ἐξ εἰκότων. 467. ψλθ'. Ἐκ Σημείων. ψμ'. Ἐνθυμήματα τοῖς Ῥήτορσιν ἰδιαίτερον ἄλλα. 468. ψμέ. Ἐνθυμηματικαὶ προτάσεις. Αὐτ.

Ἔννοια πρώτη τὶ ἐστὶ; 146. β'. γ'. Ὀνόματα αὐτῆς παντοῖα. 147. δ'. Ἐπιβολὴ ἀκέσσα. 148. έ. Προσοχή. Αὐτ. Ἀντίληψις, Ἀνάληψις, Πρόσληψις, Πρόληψις. ς'. Ἐπαντίληψις, Συνείδησις. 149. ζ'. Ἐπαναλήψεις τῶν Προλήψεων διττάί. 150. θ'. Ἐννοιῶν ἀρχῆς πέρι. 150. ιά. καὶ Σ. Ἐννοιῶν ἀρχαὶ τρεῖς. 157. ιθ'. ὁ Δημιεργός. 158. κ'. ἡ ψυχὴ αὐτή. 159. κά. τὸ σῶμα. 160. κς'. Ἐννοιῶν ἀμοι-

ἀμοιρεῖ τὰ κτήνη. 160. κγ'. Τὰ βρέφη. κδ'. οἱ ἀπαίδευτοι τίνων; κέ. Ἔννοιαι καθαραὶ καὶ μή. 167. μ'. Ἁπλαῖ. μβ'. Σύνθετοι 168. μγ'. Συμπεπλεγμέναι, Αὖ. Ἐπαναλήψει. μδ'. Συγκυρήσει. 169. μέ. Περισάσει. μς'. Τέχνη μζ'. Σχέσει. 170. μή. Ἐπινοία. μθ'. Ὑπολήψει 172. ν'. Ἔννοια ἐναργὴς καὶ ἀμυδρά. 175. νέ. Εὐκρινὴς καὶ συγκεχυμένη. 177. νθ'. Πλήρης, καὶ ἐλλιπής. 180. ξ'. Πλεονάζουσα. 181. ξβ'. Ὅθεν ταῖς Ἐννοίαις ἐγγενᾶται ἡ ἀσάφεια, καὶ ἡ σύγχυσις. 183. ξς'. Ἔννοιαι αἱ πρῶται ὅπως περὶ τὸ ἀληθεύειν ἔχουσι καὶ ψεύδεσθαι. 184. ξζ'. Ἔννοιαι συγκεκριμέναι. 185. ξή. Κυρίως συγκεκριμέναι, καὶ συγκρινόμεναι. 188. οά. Συγκεκριμέναι αἱ μὲν ἐκ συγκεκριμένων, αἱ δὲ ἐκ συγκρινομένων. 188. οβ'. Ἐννοιῶν πρόοδος ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰς μᾶλλον καὶ μᾶλλον συγκεκριμένας. 189. ογ'. Ἔννοιαι κατὰ τὰς συγκρίσεις ἀπαραιτήτως συνιοῦσαι, καὶ μὴ ἀπαραιτήτως. 189. οδ'. Ἔννοιαι ἀφῃρημέναι. 190. οέ. ος'. κζ'. Πρόοδος ἐννοιῶν ἀπὸ τῶν συγκεκριμένων ἄχρι τῶν ἁπλουστάτων. 191. οθ'. Ἐννοιῶν βάθος ἀναγκαῖον, καὶ μή. 194. πδ'. Ἐν τίνι κεῖται. πέ. Ἔννοια ἀβαθής. Αὖτ. Ἐννοιῶν πλάτος 195. πς'. Ἐννοιῶν βάθος καὶ πλάτος κατὰ τὸ μᾶλλον καὶ ἧττον. 195. πζ'. Ἐννοιῶν βάθος καὶ πλάτος ἀντιπέπονθεν. πή. Κατὰ βάθος ἡ ἔννοια ὅλον ἐνεργείᾳ, καθὸ δὲ πλάτος ὅλον δυνάμει. 196. πθ'. Ἔννοια ἁπλατής. 196. ύ. Ἐπὶ μέρους. Αὖτ. Μερικὴ ἐνικῆς τί διαφέρει. 197. υά. Ἔννοια καθόλου. 198. υγ'. Καὶ ταύτης διαφορὰ ἀπὸ τῆς περιληπτικῆς. Αὖτ. Ἐννοιῶν Ἀνάλυσις. 206. ριά. ριβ'. Καὶ Διαίρεσις. 207. ριδ'.

Ἕξεις ταῖς γνωσικαῖς δυνάμεσιν ἐμποιούμεναι. Ἐμπειρία. Τέχνη. Ἐπιστήμη. Νοῦς. 119. ιά.

Ἐπαγωγὴ τί; 410. Φξέ. ταύτης λόγος ὁ βάσιμος. 411. Φξή. ταύτης διαίρεσις. Φξθ'. Φό.

Ἐπίκουρος. Τῆς κατ' αὐτὸν Αἱρέσεως διαδοχή. 16. κά.

Ἐπιδιαίρεσις τί; 221. ρνδ'.

Ἐπίνοια. ἃ δέον ἐκ τῶν κατ' αὐτὴν ἐπὶ τὰ ὄντα τῇ διανοίᾳ μεταπηδᾶν. 87. ιή. Ὅσα χῶς ἡ Ἐπίνοια λέγεται. 170. μθ'. Σ. (*).

Ἐπιστημῶν τίνες τίνων ἐσὶ προ-

προτερȣ̃σαι τάξει; 131. ϛ'. Καὶ ἀξίᾳ; 132. ζ'. Τὸ ἀφ' ἑκάϛης αὐτῶν τοῖς ἀνθρώποις ἐγγινόμενον ὄφελος. 133. ή.

Ἐπιχείρημα τὶ; 403. φνζ'. καὶ Σ. 1.

Ἑρμηνευτικῆς ὅροι. 294. τιά. -- τκϛ'.

Ἑρμηνεία ἡ ἀπόφανσις, διατι; 341. τπθ'. Πολυώνυμος ἐϛίν. τυ'.

Ἐϛὶν, ȣ̓ ῥῆμα τοῖς Διαλεκτικοῖς, ἀλλὰ Σύνδεσμὸς ἐϛι. 344. τυδ'. 346. τυϛ'. Σ. Διπλόητις κἀν τȣ́τῳ θεωρεῖται. τυέ. καὶ Σ. Περὶ τȣ́τȣ ἐσφαλμένως κρίνων ἦν ὁ Βλεμμίδης. 345. τυέ. Σ.

Ἑτερότης, καὶ τὰ ἕτερα ποσαχῶς λέγεται, 222. ρνέ.

Εὔνοιαι καὶ δύσνοιαι τὴν ψυχὴν τυφλώττειν περὶ τὰς κρίσεις ποιȣ̃σι. 91. κγ'.

Ἔχειν τὶ, ϗ ποσαχῶς; 237. ρυδ'.

Ζ.

Ζήνων ὁ Κιττιεὺς, ἀρχηγὸς τῆς τῶν Στωϊκῶν Αἱρέσεως. 18. κέ. Ζήνων δὲ ὁ Ἐλεάτης τῆς τῶν Ἐλεατικῶν. 13. ιϛ'.

Η.

Ἡδονὴ ἡ τȣ̃ σώματος εἰς διαϛροφὴν ψυχῆς, καὶ ἐξαπάτην βιαιότατον. 94. κέ.

Ἠθῶν ἐπίκρισις τριττῶς. 317. τν'. -- τνέ.

Ἡράκλειτος θρηνῴδης ἀντιπεπονθὼς Δημοκρίτῳ 14. ιζ'. Σ.

Θ.

Θαλῆς πατὴρ τῆς Ἰωνικῆς αἱρέσεως. Καὶ ȣ̃ς ἔχε διαδόχȣς. 16. κβ'. Θαλῆς ἐκ προδιαγνώσεως χρήματα πολλὰ συλλέξας. 327. τξά. Σ.

Θέσις ποσαχῶς λέγεται. 341. τυ. Σ. 2.

Θεώρημα τὶ ἐϛὶ; 355. υιά.

Ι.

Ἰάμβλιχος. Τȣ́τȣ ἀκȣϛαὶ, καὶ ὀπαδοί. 30. ν'. να'. καὶ διάδοχοι. νβ'.

Ἰατροὶ μὴ περὶ τὸ προγνωϛικὸν τῆς τέχνης προπετευέσθωσαν. 326. τξ'. Σ.

Ἴδιον, τὶ ἐϛὶ; 201. υθ'. Πότερον ȣ̓σιῶδες ἐϛὶ γνώρισμα, ἢ ἐπȣσιῶδες; Αὐτ. Σ. Γενικώτατον, Μέσον, Εἰδικώτατον. 204. ρέ. Τȣ́τȣ τρόποι τέτταρες. 205. ρή. τὸ κατὰ τὸν Δ'. τρόπον τριχόθεν παρὰ τοῖς Πλατωνικοῖς. Αὐτ.

Ἰσοδυναμία τῶν ὡς ἐκ τȣ̃ κατηγορȣμένȣ ἀντιθέτων προτάσεων. 373. υνδ'. υνέ. τῶν ὡς ἐκ τῶν προσδιορισμῶν.

374. υνϛ'. κξ. Ἰσοδυναμιῶν λόγοι. 375. υνή.--υξβ'. Ἰσοδυναμίαι Προτάσεων οὐκ ἐκ μάχης, ἀλλ' ἐκ ταυτοσημασίας. 376. υξγ'. κξ.

Κ.

Κάϊν. οἱ ἐξ αὐτοῦ πολλῶν τεχνῶν εὑρεταί. 2. α'.

Καθόλου, μὴ ὑφεστηκότα ἐν τοῖς πολλοῖς. 198. υδ'. Σ. Τούτων διαίρεσις. 199. υέ. Καθόλου Μεταφυσικῶς καὶ Ἠθικῶς 253. σλ'.

Κατασκευῆς Ἐπιχειρηματικῆς κατὰ Λώκιον, τρόποι τέτταρες. 403. φνζ'. Σ. 2. Καὶ ἕτερος ἐπὶ τούτοις κατὰ Λεϊβνίτιον. 499. ωιέ. Σ.

Κατηγορίαι καὶ ἄλλως ὀνομαζόμεναι. 225. ρξζ'. Τὶ ἐστὶ Κατηγορία. ρξή. τὰς Κατηγορίας διαφόρως ἄντις διέλοι, καὶ διατάξειε. 227. ροα'. Τούτων ἡ κατ' Ἀριστοτέλην διαίρεσις. 228. ροβ'. Ὁποίατις αὐτῶν ἡ χρῆσις. 239. ρυθ'.

Κατηγορούμενον τὶ; 243. σέ. σϛ'.

Κεῖσθαι τὶ, καὶ ποσαχῶς; 236. ρυγ'.

Κινήσεων εἴδη. 238. ρυή.

Κοινὸν ὁσαχῶς; 198. υγ'. Σ.

Κρίσις ἐνέργεια τοῦ γνωστικοῦ ὁποίατις; 337. τπδ'. κξ'. Ὅτι απλουστάτη. τπέ. Ἐλευθέρας ἔργον βουλήσεως πολλάκις. 339. τπζ'. Οὐκ ἀεὶ δέ. 340. τπή. Κρίσις κυρίως τὶ κατὰ Λώκιον; Αὐτ. Σ. Κρίσεις Ἐννοηματικαὶ, καὶ Ἐποπτικαὶ τίνες; 262. σμϛ'.

Κριτηριον τῶν ἐναργῶν ἐννοιῶν. 262. σμέ. τῶν Ἐννοηματικῶν, καὶ Ἐποπτικῶν κρίσεων. σμϛ'.

Κριτικὴ δύναμις κυρίως ὁ Νοῦς. Φαντασία δὲ καὶ Αἴσθησις κριτικαὶ δι' αὐτοῦ 118. θ'.

Κριτικὴ τέχνη τὶ; 284. συγ'. Σ.

Εἴδη αὐτῆς. 285. συδ'.

Συμβολικὴ, καὶ ταύτης εἴδη. συέ.

καὶ τρόπος ἐπιχειρήσεως. 286. συϛ'. συζ'. συή.

Λογικῆς εἴδη. 288. συθ'.

καὶ τρόπος ἐπιχειρήσεως. τ'.--τδ'.

Πραγματικῆς εἴδη. 291. τϛ'.--τί.

Ἑρμηνευτική. 294. τιά.-τλϐ'.

Ἱστορική. 307. τλγ'.--τμά.

Πολιτική. 313. τμβ'.--τνέ.

Πρακτική. 322. τνϛ'.--τξϐ'.

Φυσική 329. τξγ'.--τπά.

Κυνόσαργες. 17. κδ'.

Λ.

Λαέρτιος Διογ. οὐκ εὐλόγως τὰς ἀπαρχὰς τῆς φιλοσοφίας

φίας ἀπὸ τῶν Ἑλλήνων δρεπόμενος. 6. ς'.--ή.
Λέξεων παράχρησις ἀπάτης παραίτιος. 104. λς'. Χρῆσις τέτων ἡ προσήκεσα. 105. λζ'.
Λεύκιππος, ὁ πρῶτος ἀρχὰς ἀτόμες εἰσαγαγών, καὶ τὸ κενόν, καὶ κόσμων ἀπειρίαν δοξάσας. 13. ιζ'.
Λῆμμα τί; 355. υι.β'.
Λογικὴ τρόπος Ἐπιςήμης. 46. α'. Νῦ θεραπεία. Αὐτ. Ἐπιςήμη. 47. β'. Κανονική. γ'. Προδιαθετική, προφυλακτική, θεραπευτική. Αὐτ. Ἐμφυτος. 135. α'. β'. Ἐπίκτητος. 137. ε. Λογικῆς ἄρεται οἱ παλαιοί. 139. ζ'. Οἱ ἐν τοῖς νεωτέροις προαγαγόντες. Αὐτ. Σ. 2. Πότερον ἐπιςήμη γελοῖον περαιτέρω ζητεῖν. 141. ι. Λογικὴ ἡ ἐν Διδασκαλίᾳ καὶ ἡ ἐν Χρήσει. 141. ια'. Ὀνομασίαι τῆς Λογικῆς ποικίλαι. 142. ιβ'. Ταύτης τὸ ὀνησιφόρον. 142. ιγ'. ιδ'. Λογικὴ τῶν Πιθανῶν, ἧς ἀπόπειραν εἰλήφασι τῶν Νεωτέρων τινές. 283. συά. Σ.
Λόγοι τῶν ἀρεκτικῶν παθημάτων σημαντικοὶ, Ῥητόρων ἴδιοι. 342. τγά. καὶ Σ. 2.
Λόγε μέρη τὰ κυριώτατα τὸ Ὄνομα, καὶ τὸ Ῥῆμα. 240. σβ'.

Μ.

Μαθημάτων ἄλλοις ἄλλα πρόσφορα. 74. ζ'.
Μαρτυρόντων τὸ ἀξιόπιςον. 308. τλδ'. κξ.
Μάχαι προτάσεων ὡς ἐκ τῆ κατηγορεμένε. 365. υλέ. υλς'. Ὡς ἐκ τῶν Προσδιορισμῶν. 366. υλζ'. υλή. Ἐπὶ τῶν ἀπροσδιορίςων. 396. υμδ'. υμέ. Καὶ τῶν καθ' ἕκασα. υμς'. Καὶ τῶν Ἀορίςων. υμζ'. υμή. κξ. Καὶ τῶν Στερητικῶν. 372. υνά. Καὶ τῶν μετὰ τρόπε. υνβ'. υνγ'.
Μέθοδος τί; 526. ωνή. Ἁπλῆ, Μικτή. ωνθ'. Ἁπλῆς εἴδη. ωξ'. Μικτῆς εἴδη. 527. ωξά. Μέθοδος Ὁρισμῶν, 528. ωξβ'.--ωξζ'. Διαιρέσεων. 530. ωξή.--ωό. Τῆ τὰς προτάσεις καθολικεύειν ἢ μερικεύειν. 531. ωοά.--ωοδ'. Ἀξιωμάτων. 533. ωοέ.--ωπ'. Αἰτημάτων 537. ωπά.--ωπγ'. Θεωρημάτων, Προβλημάτων, Πορισμάτων, Σχολιασμάτων, 538. ωπδ'.--ωγ'. Ἀποδεικτικῶν Ἐφόδων. 544. ωγά'. Ἀναλυτικῶς. ἢ Συνθετικῶς. 545. ωγβ'.--ωγή. Μέθοδος Ἀναλύσεως, ἤτοι Εὑρέσεως. 551. Θά. Ταύτης Κανόνες, Α'. Θβ'. Β'. 554. Θδ'. Γ'. 556. Θέ. Δ'. 557. Θς'. Ε'. 558. Θζ'. ς'.

559. Θή. Ζ'. 561. Θθ'. Η'. Θί. Μέθοδος ἐκθέσεως, ἤτοι Διδασκαλίας. 562. Θιά. Ὁλοσχερὴς ἢ ἐν μέρει. Θιβ'. Τούτων Κανόνες. Α'. 563. Θίγ'. Β'. 565. Θιδ. Γ'. 566. Θιέ. Δ'. Θιϛ'. Ε'. 567. Θιζ'. ϛ'. 568. Θιή. Ζ'. 570. Θιθ'. Η'. Θκ'. Θ'. 571. Θκά. Ι. Θκβ'. ΙΑ'. Θκγ'. ΙΒ'. 572. Θκδ'. Μέθοδος Ἀντιθέσεως, ἢ Προσδιαλεκτική. 573. Θκέ. Ἐρωτηματικὴ, καὶ Συλλογιϛική. Θκϛ'. Ταύτης ὅροι οὓς τηρητέον τοῖς προσδιαλεγομένοις. 574. Θκή. -- Θξϛ'.

Μελέτη τὶ; 550. ωιθ',

Μέλλον καὶ ἐσόμενον διαφέρει. 351. υέ. Σ.

Μερικῶν ἐκ, μεταβαίνειν εἰκῇ οὐ δέον ἐπὶ τὰ καθόλου. 88. ιθ'.

Μέσου εὕρεσις οὐ ῥᾳδία. 504. ωκϛ'. ὅπως φιλοτεχνεῖται. 505. ωκζ. -- ωλϛ'.

Μνήμης τὸ ἄτονον καὶ ἥκιϛα ϛέγον ἐπιϛήμης κώλυμα. 83. ιέ. Ἐπιβοηθήματα. 85. ιϛ'.

N.

Νόησις κατ' ἐπιϛροφὴν, καὶ εὐθυτενής. 115. δ'.

Νοῦς ὁ κατὰ δύναμιν, καὶ ὁ καθ' ἕξιν. 120. ιά. Νοῦ διάφορα σημαινόμενα. Αὐτ. Σ. 3. Νοῦ δύναμις πότερον παθητικὴ, ἢ ἐνεργητική. 150. ί.

O.

Ὅλον δυνάμει, ἢ ἐνεργείᾳ. 203. ργ'.

Ὄνομα τὶ; 241. σγ'.

Ὄργανα δι' ὧν οἱ φυσιολογοῦντες τὰς τῆς Ἀτμοσφαίρας ἐξαλλοιώσεις εἰώθασι παρατηρεῖν. 322. τνζ. Σ. καὶ ἄλλα. 329. τξδ'. Σ.

Ὄρεξις τοῦ εἰδέναι, ἀρχὴ τοῦ φιλοσοφεῖν. 4. δ'.

Ὁρισμὸς τὶ; 207. ριϛ'. καὶ Σ. Ὀνοματώδης καὶ Πραγματιώδης. 208. ριζ'. Τοῦ Ὀνοματώδους ὁ μὲν Ἐτυμολογικὸς, ὁ δὲ Συνωνυμικὸς, ὁ δὲ τοῖς φιλοσοφοῦσι πρέπων. 208. ριή. Τοῦ Ὀνοματώδους χρῆσις. 209. ριθ'. κξ. Παράχρησις. 210. ρκγ'. κξ. Ὁρισμοὶ Ὀνοματώδεις κατὰ τοὺς ὕϛερον τίνες; 212. ρκθ'. καὶ Πραγματιώδεις, καὶ Γενετικοί. Αὐ. Διαίρεσις Ὁρισμοῦ εἰς Ὀνοματώδη, καὶ Γνωριϛικὸν, καὶ Γενετικόν. Αὐτ. Σ. Πραγματιώδης οὐσιώδης, ὁ μὲν Μεταφυσικὸς, ὁ καὶ Λογικὸς, ὁ δὲ φυσικός. 214. ρλ'. Ἐπουσιώδης, οὗ εἴδη ὁ Αἰτιώδης, ὁ ἐκ τῶν Ἰδίων, ὁ ἐκ τῶν Συμβεβηκότων, ὁ Μεταφορικός. 214. ρλά. κξ'. Ὁρισμὸν ἀποδώσοντι τίσι προσεκτέον; 215. ρλζ'. -- ρν'.

Ὅρος ἁπλοῦς, ἢ συμπεπλεγμενος

μένος. 244. σζ'. Θετικὸς, Στερητικὸς, Ἀόριστος. σή. Οὐσιαστικὸς, Ἐπίθετος, Ἀφῃρημένος, Συγκεκριμένος, Κατηγορηματικὸς, Συγκατηγορηματικός. σθ'. Μερικὸς, Ἀτομικὸς, Περιληπτικὸς, Διανεμητικὸς, Συνώνυμος, Ὁμώνυμος, Ἀνάλογος Μεταφορικὸς, Καθόλ. 245. σί. Παρώνυμος, Ἑτερώνυμος, ὁ πρὸς ἄλλον ἕτερος, καὶ ὁ κατὰ Γραμματικὴς Συνώνυμος, ἤτοι Ἰσοδύναμος, Πολυώνυμος, Μετωνυμικὸς, Στερεὸς, Ἀξιατῶν. σιά. Κατηγορικὸς, Διαβατικὸς, Ἀπόλυτος, Σχετικός. 246. σιβ'. Πρώτης ἐπινοίας, καὶ Δευτέρας. Ἡγέμενος, Ἑπόμενος, Ἀντίστροφος. σιγ'. 248. σιζ'. σιή.

Ὄρος Ἀναδρομή. 377. υξθ'. Δυνάμεις. Α'. Β'. Γ'. 247. σις'.--σιθ'. Ὑποβολαὶ, καὶ ἐκδοχαὶ ποικίλαι. 250. σκά.--σλβ'.

Οὐσία πρώτη ἄληπτος τῇ νοήσει. 187. ξθ'. Οὐσίας Πρώτης, καὶ Δευτέρας διαφορά. 229. ροδ'. Παρεπόμενα τῇ ἐσίᾳ. ροέ.

Π.

Πάθη τὲ ὑποκειμένε ὀλίγα τινὰ εἰδότας, ἐχρὴ νομίζειν αὐτὶω ἤδη τελέως κατειληφέναι τὴν ἐσίαν τὲ πράγματος. 90. κά.

Παιδαγωγοὶ κξ. προλήψεων αἴτιοι. 99. λ'.

Παραβολὴ καὶ ὁ καλόμενος Λόγος, ἀνάγονται ἐπὶ τὸ Παράδειγμα. 415. φπγ'.

Παράδειγμα. 412. Φοά. Ὅροι ἐν αὐτῷ τέτταρες Φοβ'. Ἀναλύεται εἰς Συλλογισμὲς δύο. Φογ'. Παράδειγμα Ἀποφατικὸν. 413. Φοδ'. Λόγος βάσιμος τὲ Παραδείγματος. Φοέ. Παράδ. ἐκ τῶν ὁμοίων, καὶ ἀνομοίων. Φος'. — Φπ'. Διαφέρει Συλλογισμὲ καὶ Ἐπαγωγῆς. 414. Φπά. Ὅθεν τὸ σφάλλεθαι τῷ Παραδείγματι. 415. Φπβ'.

Παραλογισμὸς τὶ διαφέρει Σοφίσματος. 514. ωλθ'.

Πάσχειν τὶ; καὶ πόσαχῶς, καὶ ἄτλα αὐτῷ παρέπεται. 236. ρή.

Πεῖρα τὶ; 119. ιά. Ἐμπειρίας τὶ διαφέρει; 120. ιά Σ.

Περιπατητικὴ Φιλοσοφία ὑπὸ Ἀριστοτέλει, καὶ τοῖς διαδεξαμένοις. 23. λή. λθ'. μ'. Καὶ ἐπὶ τῶν Ῥωμαικῶν. 24. μά. 28. μζ'. Ὑπὸ τὲ θείε Δαμασκιὲ αὖθις συνισαμένη. 34. νζ'. Παρὰ τοῖς Ἄραψι. 36. νθ'. Παρὰ τοῖς Σχολαστικοῖς. ξ'. ξά. Περὶ τὶὼ Κωνσαντινε-

πόλεως ἅλωσιν. 38. ξγ'. Ἔσχατον καθ' ἡμᾶς. 44. ξθ'. Οἱ πρῶτοι κατὰ τῆς Περιπατητικῆς φιλοσοφίας τὴν ςάσιν ἐν τοῖς νεωτέροις ὠδίναντες. 45. ό.

Πιθανὸν τὶ; 274. σοά. Διαφέρει τȣ̃ Ἀδυνάτȣ, καὶ τȣ̃ Δυνατȣ̃, καὶ τȣ̃ Ἐνδόξȣ, καὶ τȣ̃ Πιθανȣ̃ τȣ̃ κατὰ τὴν Ποίησιν. σογ'. Ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. 275. σοδ'.

Πιθανολογιῶν βαθμοί. 276. σος' – σπ'.

Πίςις ἡ εἰς ΘΕΟΝ, καὶ τὰ θεῖα ἀκροτάτης ἐςὶ βεβαιότητος. 272. σξζ'. Οὐδὲν κατὰ τῆς θείας πίςεως ἀντιφερόμενον, τῆς ὑγιȣ̃ς εἶναι δόγμα φιλοσοφίας δύναται. 61. θ'. Ἔςιν ἃ τῶν τῆς πίςεως δογμάτων, καὶ διὰ τῆς ἐναργείας τȣ̃ λόγȣ δείκνυται, ὅσα ταῖς φυσικαῖς ἐννοίαις ληπτά. 63. ί.

Πίςις δȣλοπρεπὴς ἡ πρὸς τȣ̀ς διδάσκοντας, προλήψεων ἐςὶ γεννητική. 100. λβ'.

Πιςωτικȣ̃ λόγȣ εἴδη. 404. φνή.

Πλάτων τῆς Ἀκαδημίας ὁ κορυφαῖος. 20. κθ'.

Πλωτῖνος 30. μθ'. Καὶ ἡ ἐξ αὐτȣ̃ ἱερὰ κληθεῖσα γενεά. ν'. καὶ οἱ διάδοχοι. 31. νβ'.

Ποιεῖν τὶ; καὶ ποσαπλȣ̃ν, καὶ ἃ παρέπεται αὐτῷ. 235. ρπθ'.

Ποιότητες σωματικαὶ ὅπως εἰσὶ νοητέαι. 162. κή.

Ποιότης τὶς, καὶ ποσαπλῆ; 233. ρπγ'. Ἕξεις, καὶ Διαθέσεις. ρπδ'. Φυσικαὶ δυνάμεις, καὶ ἀδυναμίαι. ρπέ. Πάθη, καὶ παθητικαὶ ποιότητες. ρπς'. Σχήματα, καὶ μορφαί. ρπζ'. Παρεπόμενα τῇ Ποιότητι. 235. ρπή.

Πολυπραγμοσύνη ἀρχὴ τȣ̃ φιλοσοφεῖν. 4. έ.

Πόρισμα τὶ; 355. υιά.

Ποσὸν τὶ, καὶ ποσαπλȣ̃ν; 230. ρος'. ροζ'. καὶ τȣ́τȣ παρεπόμενα. 231. ροή.

Ποτάμων ἀρχηγὸς τῆς Ἐκλεκτικῆς Αἱρέσεως. 29. μθ'.

Ποτέ. 236. ρυβ',

Πȣ̃. ρυά.

Προβλημάτων τινῶν πιθανῶν ἐπιλύσεις. 280. σπδ'. – συά.

Πρόβλημα ἐν ἐπιςήμαις τὶ; 355. υιά.

Προβλήματα Διαλεκτικὰ τίνα; 503. ωκγ'. Θεωρητικὰ, Πρακτικὰ, Αὐτ.

Προδιαγνωςικῆς Ἐπικρίσεως ὅροι. 324. τνή. κξ. Προδιαγνωςικὸν ἐπὶ τῶν ἰδίων πραγμά-

μάτων ἑκάστω σφαλερώτατον. 327. τξβ'. Σ.

Προλήψεων ἀρχαὶ ποικίλαι. 99. κθ'. κξ. Πρόληψις χρῆμα δυσίατον, καὶ οἱ συνεχημένοι αὐτῇ δυσαγωγότατοι. 101. λδ'. Προλήψεων ἀπόθεσις. 102. λέ.

Προμηθεὺς εὑρετὴς ἁπάσης τῶν τεχνῶν. 4. γ'.

Προπέτεια Φοβὸν εἰς ἀπάτιω. 96. κζ'.

Προσδιορισμοὶ τίνες; 244. σθ'.

Προσδιαλεγομένων, τίνα κοινῇ ἀμφοτέροις, καὶ τίνα ἑκατέρῳ τούτων ἴδια παρατηρητέα; 574. Θκή.—Θξς'.

Προσοχὴς ποιητικὰ, Ἔφεσις τοῦ εἰδέναι. 108. μ'. Ζῆλος, καὶ Φιλοτιμία. 109. μά. Μελέτη εὐμεθόδως καθισαμένη. μβ'. Ἀταραξία ψυχῆς. 110. μγ'. Τόπος. 111. μδ'. Χρόνος προσήκων. μέ.

Πρός τι τὶ; 231. ροθ'. καὶ τούτων εἴδη παντοῖα. ρπ'. Τῶν Πρός τι καὶ ἑτέραι διαιρέσεις τῷ λόγῳ τῶν βάσεων. 232. ρπά. Παρεπόμενα τοῖς Πρός τι. ρπβ'.

Πρότασις ἐξ ἑνὸς κειμένη, ἢ ἐκ δύο τερα, καὶ ἐκ τριῶν. 344. τνδ'. Προτάσεις ἐκ ἀεὶ ἀμεταθέτως τιὼ τῶν ὅρων διασώζουσι τάξιν. 347. τνζ'. Ταυτολογοῦσαι. τνή. Προτάσεως Ἀπροσδιορίστου ἡ ποσότης ἠλίκη. 253. σλ. καὶ Σ. 3.

Προτάσεις Καταφατικαὶ, Ἀποφατικαί. 348. τνθ'. Ἀληθεῖς ψευδεῖς. Αὐτο. Ἀναγκαῖαι, Ἐνδεχόμεναι, Ἀδυνάτοι. υ. Καθόλου. Ἐπὶ μέρους. Καθ' ἕκαστα. υά. Προσδιωρισμέναι. Ἀπροσδιόριστοι. Αὐτ. Αἱ μὲν Α, αἱ δὲ Ι, αἱ δὲ Ε, αἱ δὲ Ο. 350. υβ'. Ὡρισμέναι, Ἀόριστοι. υγ'. Ἐκ μεταθέσεως αἱ Ἀόριστοι ὑπὸ Θεοφράστου κληθεῖσαι διατί; Αὐτ. Σ. 3. Στερητικαί. 351. υδ'. Κατὰ τὰς χρονικὰς διαφορὰς τριτλαί. υέ. Αἰδὶς ἀληθείας ἐκφαντορικαί. Αὐτ. Τροπολογέμεναι. 352. υς'. Προτάσεων εἴδη ὅσα ἀριθμεῖται. 353. υή. καὶ Σ. Πρότασις Ἁπλῆ καὶ Κατηγορική. 356. υιδ'. Ἡ διπλόϊν τινὰ ἔχουσα. 357. υιέ. Ἀναπτυσσομένη. 358. υις'. Διοριζομένη. υιζ'. Ὑποθετική. 359. υιή. Ἣν ἐκ ὀρθῶς ἀθετοῦσί τινες. Σ. 3. Αἰτιολογική. 360. υιθ'. Ἀναφορική. 361. υκ'. Ἐξομοιωτική, ἢ Παραβολική. υκά. Ἐναντιωματική. υκβ'. Διαζευκτική. υκδ'. Ἀποκλεισική. 362. υκς'. Ἐξαιρετική. υκζ'. Συγκριτική. υκή. Ἐπαναληπτική. υκθ'.

Ἀρκτική. υλ'. Λογική. 364. υλά. Προτάσεις ἄλλως πως διπλόϊω τινὰ περιέχουσαι. υλβ'. Κρυπτικαί. υλγ'.

Προτάσεων μαχομένων, ἀλήθεια καὶ ψεῦδος. Τῶν Ἀντιφασκουσῶν. 368. υμ'. Τῶν Ἐναντίων. υμά. Τῶν Ὑπεναντίων. 369. υμβ'. Τῶν Ὑπαλλήλων. Αὐτ. Τῶν Ἀποσδιορίστων. 370. υμέ. Τῶν Καθ' ἕκαστα. υμς'. Τῶν Ἀορίστων. υμζ'. υμή. κξ. Τῶν Στερητικῶν. 372. υνά. Τῶν μετὰ τρόπου. υνβ'. υνγ'.

Πρότερον καὶ ὕστερον ὁσαχῶς λέγεται. 238. ρμς'.

Πυθαγόρας. ιι. ιβ'. Πατὴρ τῆς Ἰταλικῆς Αἱρέσεως. Αὐτ. Οἱ τὸν διαδεξάμενοι. 12. ιγ'. κξ. Ὁμιλητὰ τέτε κατὰ τάξεις διαξελόμενοι. ιδ'.

Πύρρων. Οἱ ἐκ τῆς αὐτῆ ἐνστάσεως διαφόρως ὀνομαζόμενοι. 15. ιθ'. Οἱ αὐτῷ παρηκολουθηκότες. κ'.

Ρ.

Ῥαθυμία ἐκ τῆς βαρύτητος καὶ νωθρίας τῆ σώματος, ἀποθετέα. 72. ς'.

Ῥῆμα τί; 241. σδ'. Τέτε διύαμις ἐν ᾧ κεῖται. Σ. Λεκτὸν ἐλλιπὲς ἐλλιπῶς τοῖς ἐκ τῆς Στοᾶς ἀποδέδοται. 343. τμγ'. Σ. 2.

Σ.

Σήθ ἀπόγονοι πρῶτοι λέλονται ἀστρονομῆσαι. 2. ά. Τέτω ἀπονενέμηται ὑπὸ τῆ Ἰουδαίε Ἀρχαιολόγε σῆλαί τινες, αἱ τὸν Κατακλυσμὸν προλέγουσαι. 3. β'.

Σημειογραφίας, καὶ Σχηματογραφίας ὄφελος ἐν μελέταις. 558. θς'. Σ.

Σημεῖον τί; καὶ ποσαπλῶν; 240. σά. Σημεῖον καὶ Τεκμήριον τὶ διαφέρει; 324. τνή. καὶ Σ. 4. 467. ψμ'.

Σκέψις τί; 257. σλέ. σλς'. κξ. Σκέψεως τίνα ἐ δεῖται. 258. σλθ'. Σ. 2. 260. σμβ'. 261. σμγ'. 262. σμέ. σμς'. 263. σμζ'. 264. σμή. Σκέψις ἐφ' ὧν ἀναγκαία. 264. σμθ'. 266. σν'.

Σοφῶν κόμματα, καὶ Σοφίας Ἀρχηγέται, παρ' ἑκάστοις τῶν πάλαι ἐθνῶν. 8. ς'.

Σοφῶν τῶν ἑπτὰ ἀριθμὸς, ἄλλοις ἄλλως. 10. ιά.

Σόφισμα τί; 513. ωλή. Παραλογισμῆ τὶ διαφέρει. 514. ωλθ'. Σόφισμα παρὰ τὸ Σχῆμα. ωμ'.

Παρὰ τλὺ λέξιν τετραπλῆν. 515. ωμά.

Παρὰ τλὺ Διαίρεσιν. 516. ωμβ'.

Παρὰ τλὺ Συνθεσιν. ωμγ'.

Παρὰ τλὺ Ἀνίφασιν ωμδ'.

Παρὰ

Παρὰ τὶῶ Α. καὶ τὶῶ Β. Ἐπίνοιαν. 517. ωμέ.
Παρὰ τὸ Συμβεβηκός. ωμς'.
Παρὰ τὸ κατάτι, καὶ τὸ ἁπλῶς. ωμζ'. ωμή.
Παρὰ τὸ ἑπόμενον τῷ Ἐλέγχῳ. 518. ωμθ'.
Παρὰ τὶῶ ἀτελῆ ἐξαριθμησιν. 519. ων'.
Παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ωνά.
Παρὰ τὸ μὴ αἴτιον ὡς αἴτιον. 520. ωνβ'.
Παρὰ τὶῶ τῆ Ἐλέγχε ἄγνοιαν. ωνγ'.
Παρὰ τὶῶ ἀπὸ γένες εἰς γένος μετάβασιν. ωνδ'.
Παρὰ τὰς πολλὰς ἅμα ἐρωτήσεις. 522. ωνέ.
Παρὰ τὶῶ ὑπόθεσιν τῆ πύσματος. 523. ωνς'.
Σοφισμάτων εἴδη παρὰ τοῖς Ἀρχαίοις.
Ὁ Ψευδόμενος.
Ὁ Ἐγκεκαλυμμένος, ἢ Λανθάνων.
Ὁ Κροκόδειλος.
Ὁ Κερατίνης, ἢ ἡ Κερατίς.
Ὁ Φαλακρός.
Ὁ Οὔτις.
Ὁ Θερίζων.
Ὁ Σωρείτης.
Ἡ Ἠλέκτρα.
Ὁ Ἀχιλλεύς.
Ὁ Ἰνδός.
Ὁ Κυριεύων. 523. ωνζ'. Σ.
Σοφιστῆ χαρακτὴρ. Αὐτ.
Συγγραμμάτων ἀνάκρισις γνησίωντε καὶ ὑποβολιμαίων. 303. τκζ'. – τλβ'.
Συλλογισμὸς τί; 405. φνθ'. – φξά.
Συλλογισμοὶ Ἐκθετικοὶ, καὶ τέτων χρῆσις. 408. φξγ'. καὶ Σ.
Συλλογισμῆ ἀρχαὶ θεμελιώδεις. φξβ'. καὶ 409. φξδ'.
Συλλογισμοὶ Στοιχειώδεις. 416. φπδ'. καὶ τέτων τρόποι παντοῖοι. φπς'. – χβ'. Κρατίσατοι εἰς πίσιν. 421. χγ'. καὶ οἷον γνώμονες. χδ'.
Συλλογισμῆ Σχήματα. 422. χς'. κξ.
Συλλογισμῆ χρῆσις, καὶ κατάχρησις. 424. χιά. Σ.
Συλλογισμῷ τὰ κατὰ γένος ἐπιθεωρέμενα. 427. χκή. – χξδ'.
Συλλογισμὸς Κατάληλος, καὶ Ἀκατάληλος. 442 χξς'.
Συλλογισμῷ τὰ κατ' εἶδος ἐπιθεωρέμενα καθ' ἕκασον Σχῆμα. χξή – ψις'.
Συλλογισμοὶ Ἀμέθοδοι, καὶ Ἀνώμαλοι. 461. ψιή. – ψλδ'. Μονολήμματοι. 466. ψλζ'.
Συλλογισμὸς ἁπλῆς, ἢ κατηγορικὸς, καὶ σιώθετος. 473. ψνγ'.

Συμπλεκτικὸς. ψνδ'. κξ.
Αἰτιολογικὸς. 474. ψνή. κξ.
Διαζευκτικὸς. 475. ψξά. κξ.
Ὑποθετικὸς. 478. ψξς'. κξ.
Συγκριτικὸς. 484. ψπγ'. ψπδ'.
Ἐξομοιωτικὸς. 485. ψπέ.
Ἀναφορικὸς. ψπς'.
Ἐναντιωματικὸς. ψπζ'.
Συλλογισμῶ Ἀναγωγὴ καὶ Ἀπαγωγή. 486. ψπή.
Συλλογισμὸς Ἀποδεικτικὸς. 493. ωά.
Συλλογισμοὶ πρῶτοι· Δευτερόπρωτοι. Δευτερόδευτεροι. κξ. 497. ωί. Σ'.
Συλλογισμὸς Ἔνδοξος, Πιθανὸς, Τοπικὸς. 503. ωκβ'.
Σοφιστικὸς ψευδώνυμος. 513. ωλζ'.
Συνείδησις, καὶ συναίθησις ἐνδοτάτη, γνώμων ἀληθείας. 113. β'.
Συνεισάγοντα, καὶ συναναιρῶντα τίνα; 203. ρδ'.
Συμβεβηκὸς τί ἐστὶ; 202. ρ'. Γενικώτατον, Μέσον, Εἰδικώτατον, 204. ρέ. Χωριστὸν, ἀχώριστον, ἄρχετον, χετικόν. Καίτι κατὰ συμβεβηκὸς λεγόμενον, τὸ μὴ ὂν Συμβεβηκός. 205. ρθ'.
Συμβεβηκὸς γένος τῶν ἐννέα Κατηγοριῶν. 227. ροά. Σ.
Σχολαστικῆς Φιλοσοφ. πρώτη περιοχὴ, καὶ δευτέρα, καὶ τρίτη. 36. ξ'.
Σχόλιον τί ἐστὶ. 355. υιγ'.
Σῶθος Αἰγύπλιος, ὁ τὰς σήλας ἐγείρας κατάτινας, ἃς Ἰώσηπος τῷ Σήθῳ ἀνέθετο. 3. β'.
Σωκράτης, καὶ οἱ ἐξ αὐτῆ Φιλοσοφήσαντες. 17. κγ'.
Σωρείτης τί; 469. ψμς'.
Σωρείτε σημασία παρὰ τοῖς παλαιοῖς. Αὐτ. Σ.
Σωρείτε ταῖς προτάσεσιν οἱ ὅροι ἰσάριθμοι. 470. ψμζ'. Καὶ οἱ Συλλογισμοὶ εἰς ὃς ἂν ἀναλυθείη, ἰσάριθμοι τοῖς ἐν αὐτῷ κοινολογημένοις ὅροις. ψμή.
Σωρείτης ἐκ καταφάσκεσῶν καταφάσκων. 471. ψμθ'. Ἐξ ἀποφασκεσῶν μὴ συνισαμενος, πλὴν εἰ μήτις ἀορισαίνεσα τῷ δοκεῖν ἀποφάσκοι. ψν'.
Σωρείτης κατὰ Συνέχειαν, διαφέρων, τῆ κατ' Ἀληλεχίαν. 472. ψνβ'.

Τ.

Τέχνη τί; 120. ιά.
Τρόποι ἐπὶ προτάσεων πολλοὶ μὲν, οἱ δὲ κυριώτατοι τέτταρες, διττῶς ἐκφερόμενοι. 352. υς'. Τοῖς προσδιορισμοῖς ἰσοδυναμοῦντες. υζ'.

Υ.

Ὑπατία ἡ Φιλόσοφος· παρὰ

ρὰ τῶν Ἀλεξανδρέων διαπαθεῖσα 32. νγ'.
Ὑπερβολαὶ καὶ ἐν πόνοις φιλτέαι. 111. μς'.
Ὑπογραφὴ, καὶ Ὑπογραφικὸς ὁρισμός. 215. ρλέ.
Ὑποδιαίρεσις τί; 221. ρνδ'.
Ὑποθέσεων ἐξ, ἃ δέον ἐπὶ τὰς θέσεις εἰκῇ μεταβαίνειν. 89. κ'.
Ὑπόθεσις τὶ θέσεως διαφέρει. 333. τογ'. Ὅπως μετιτέον τὰς Ὑποθέσεις. τοδ'. - τπ'.
Ὑποθέσεις, καὶ αἱ Ἀναπόδεικτοι τῶν προτάσεων. 354. υθ'. υί.
Ὑποκείμενον τοῖς Διαλεκτικοῖς, τί; 243. σέ. σς'.
Ὑπόνοια διτλή, 266. σν'.

Φ.

Φαινομένων παραλήρησις πρὸς εἰκασίαν τῶν ἀποβησομένων. 322. τνς'. - τξβ'.
Φαινόμενον πείρας διαφέρει. 320. τξδ'.
Φαινόμενα, καὶ πειράματα μεθ' ὅσης τῆς ἀκριβείας εἰσὶ ληπτέα. 330. τξέ. - τοβ'.
Φαντασίας ὀξυτέρας τε καὶ ἀκολασταγνέσης τὸ ἀπατηλόν. 81. μβ'. Ἰνδαίμεθα ἐπείγεται, καὶ τὰ μὴ πεφυκότα. 82. ιγ'.
Φαντασίας ἀμυδρᾶς τε, καὶ συγκεχυμένης, εἰς ἀπάτιλω καταφορά. 83. ιδ'.
Φιλαυτία δεινὸν εἰς ἀπάτην ποικίλως παραγαγεῖν. 95. κς'.
Φιλοσοφήσαντες ἐν χριστιανοῖς. 32. νδ'.
Φιλοσοφήσαντες κατὰ τὴν Δ'. ἀπὸ τῆς Οἰκονομίας Ἑκατονταετηρίδα, καὶ τλὼ Ε'. 33. νέ. καὶ τλὼ ς'. νς'. καὶ τλὼ Ζ'. 34. νξ. καὶ τλὼ Η'. 35. νθ'. καὶ τλὼ Θ'. Αὐτ.
Φιλοσοφήσαντες ἐκ τῶν ἡμετέρων. Περὶ τλὼ Κωνσαντινεπ. Ἅλωσιν. 38. ξβ'. ξγ'. ξδ'. Οἱ μετὰ τλὼ Ἅλωσιν. ἐν Ἑκατονταετηρίδι Ις'. 41. ξέ. καὶ ΙΖ'. ξς'. καὶ ἀρχομένης τῆς ΙΗ'. 42. ξζ'. κξ'.
Φιλοσοφεῖν ἀναβαλλόμενε ἡ πρόθεσις τίς; 50. γ'.
Φιλοσοφεῖν περὶ τὸ, ἐκ ἀθύμως ἔχειν δεῖ, παράτε τλὼ ἀπαντῶσαν δυχέρειαν, καὶ τλὼ τινῶν ἀποτυχίαν, καὶ διὰ τλὼ πολυδοξίαν τῶν πάλαι καὶ νῦν πεφιλοσοφηκότων. 53. έ.
Φιλοσοφίας εἰς ἐπιβολὴν καὶ ἐπίδοσιν, τίνα δέον συνδραμεῖν. 54. έ. Σ.

Φιλοσοφήσων ἤντινα ὀφείλει ἔχειν διάθεσιν. 58. ζ.
Φιλοσοφία ἐ διαπληκτίζεσθαι συγχωρητέον πρὸς τὶω Ὑπερφυῆ Πίςιν. 61. θ.
Φιλοσοφεῖν περὶ ΘΕΟΥ, ἢ τῶν Θείων ὡς ἐφεῖται 63. ί. καὶ ὡς ἐχί. 65. ιά.
Φιλοσοφίας ὁρισμοί. 126. ά. β. γ. Διαιρέσεις. 128. 120. δ. 130. έ.
Φωναὶ σημεῖα τῶν ἐννοιῶν. 240. σά.

X.

Χρόνος ἰχυροποιεῖ τὰς προλήψεις. 101. λγ.

Ψ.

Ψεύδεσθαι τὶ; 114. γ.
Ψυχὴ συνδιατιθεμένη τῷ σώματι. 69. γ.
Ψυχικῶντε ῥοπῶν, καὶ ἐπικλίσεων ἐπίκρισις. 315. τμέ. κξ.

ΤΕΛΟΣ.

Παροράματα.

Προσφων. Σελ. 5. Στίχ. 11. θάτερόν τε Γράφ. ἕτερόν τε.
Σελ. 12. Στιχ. 22. ὄγδωος Γρ. ὄγδοος.
13. 10. ἔξοθεν Γρ. ἔξωθεν.
16. 18. τὸ ζῆν Γρ. τὸ ζῆν.
Αὐτ. καὶ Ἀλλ. ὁπαδοὶ Γρ. ὀπαδοὶ.
39. Σημ. (2) fine Γρ. fine.
58. 10. ἀναθαχθήσης Γρ. ἀναδειχθείσης.
98. 33. ἀπόθοιτο Γρ. ἀποθεῖτο.
106. Σημ. (2) καὶ μηδ' ἀκριβείας Γρ. καὶ μὴ δι' ἀκριβείας.
106. 23. ξυνίη, Γρ. ξυνίη;
107. 2. ἀς δέξαιτο Γρ. εἰσδέξαιτο.
119. 12. Ἔξις Γρ. Ἕξεις.
128. Σημ. (4) ἥ ἔτις Γρ. ἥ ὅστις.
131. Σημ. (2) ὡς τὰς μὲν Γρ. ὡς τὰς μὲν.
136. Σημ. (2) Περὶ ε Γρ. περὶ ἔ.
178. Σημ. 64. συγκεχυμόνον Γρ. συγκεχυμένιν.
198. 3. τῆς ἁπλατῆς, Γρ. τῆς ἁπλατῆς ἐννοίας.
243. 26. ἑκατέροθεν Γρ. ἑκατέρωθεν. καὶ ἀλλ. τὰ ὅμοια.
249. 13. ἠρέμα Γρ. ἠρέμα. καὶ ἀλλ. τὰ ὅμοια.
263. Σημ. 8. νομικόος Γρ. νομικόοις.
311. Σγμ. 20. σὺ θυκλείᾳ Γρ. σὺ θυκλείᾳ τῇ ἐκ τῶν λόγων.
Αὐτ. Σημ. (2) 11 δύσκον Γρ. δίσκον.
326. Σημ. (1) ὑπερδιετείνετο Γρ. ὑπερδιετείνετο.
356. 5. ἐσὶν Γρ. ἦ.
407. 25. Ἡλίᾳ Γρ. Πλανήτῃ.
432. 25. Ἀλλ' ἔ Γρ. ἀλλ' εἰ.
472. 8. κατηγορεῖ Γρ. κατηγορῇ.
481. 7. Βούθην Γρ. Βούδιν.
502. 8. δ' ὑποθετικῶ Γρ. δι' ὑποθετικῶ.
505. 19. ὑπ' ἐκεῖνα. Γρ. ὑπ' ἐκεῖνο.
528. 17. $\frac{9}{20}$ Γρ. 9. Ε. Ν. τῶ κτ. Καὶ 23. ἀντὶ $\frac{5}{16}$ Γρ. 5. Ε. Ν.
536. 33. κινδύνος Γρ. κινδύνοις.
568. 20. ὧν ἄν Γρ. ὅ ἄν.
581. 32. ἐπίφορον Γρ. πρόσφορον.
584. 4. συνάγεται Γρ. συνάγηται.
585. 18. θατέραν Γρ. τὴν ἑτέραν. ὡσαύτως δὲ ἐπιδιορθέτεος καὶ τὸ 169. 7. θατέρα Γρ. ἡ ἑτέρα. καὶ τὸ 189. 32. θατέρας Γρ. τῆς ἑτέρας. Καὶ 190. 4. Καὶ 386. 10. 11. Καὶ 575. 7. θάτερον Γρ. τὸν ἕτερον.


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
0070000079736